UNIV OF
TORONTO
LIBRARY

Digitized by the Internet Archive
in 2009 with funding from
University of Toronto


https://archive.org/details/novaepatrumbibli05maiauoft

PATRUM

NOVA BIBLIOTHECA.

II a

S. Nicephori Specimen.



III

NOVAE PATRUM BIBLIOTHECAE

TOMUS QUINTUS.

SANCTI NICEPHORI

[PATRIARCHAE CONSTANTINOPOLITANI]

OPERA ADVERSUS ICONOMACHOS.

SANCTI THEODORI STUDITAE

SCRIPTA VARIA QUAE IN SIRMONDI EDITIONE DESUNT.

[OMNIA CUM EDITORIS INTERPRETATIONE ET ADNOTATIONIBUS.]

ed. Angelus Maius

THE NEW YORK PUBLIC LIBRARY DUPLICATE SOLD

14489 14 11 18.

ROMAE

TYPIS SACRI CONSILII PROPAGANDO CHRISTIANO NOMINI.

M.DCCC.XLIX.

AD S. NICEPHORI OPERA

EDITORIS PRAEFATIO.

Nicephori scripta inedita.

I. Sanctum Nicephorum doctrinae pietatisque dotibus cunctos byzantinae ecclesiae post Chrysostomum praesules superasse, vere mihi dixisse videtur Anselmus Bandurius, qui illius opera ex mss. colligere, et duobus comprehensa voluminibus edere constituerat; quamquam eius consilium, non insolito humanarum rerum casu, postea evanuit. Mihi in vaticana bibliotheca duo prae ceteris observati fuerunt ineditorum Nicephori scriptorum codices; unus in fol. pulcherrimus vetus, cuius primam paginam habes in hoc nostro volumine aere excusam; isque continet 1. Apologeticum pro ss. imaginibus (quem dico maiorem, ut a minore alio distinguam, de quo mox.) 2. Tres adversus Constantinum Copronymum, iconomachum dirum, Antirrheticos. Alter autem (quem paulo serius coepta iam editione reperi) priscus aeque codex, subiunctam nicaeno II. concilio praebuit mihi eiusdem Nicephori orationem seu libellum pro sacris item imaginibus, quem Apologeticum minorem inscripsi. Porro hunc minorem a Nicephoro fuisse compositum sub Leone armenio, pariter iconomacho, anno 813; maiorem autem, regnante eodem, an. 817, demonstravi in parte voluminis latina p. 11. et 174. Editionis autem hunc ordinem tenui, ut primo tres Antirrheticos ponerem, quorum iucundiorem lectionem fore existimavi: deinde maiorem Apologeticum, cuius prolixitas et alta theologiae strues multo maius studiosorum otium requirit: postea collocavi Apologeticum minorem cum adiuncta interpretatione: denique trium Antirrheticorum et Apologetici maioris latinam item interpretationem, cum brevi materiarum indice.

Historia horum scriptorum.

II. Bellum apud Graecos iconoclasticum quum multi iam scripserint, ego hanc quidem crambem non recoquam: sed quia Nicephorus in minoris Apologetici titulo ait se causa novi schismatis scribere, hoc unum dicam, demortuis sanctarum imaginum hostibus Leone isaurico et Copronymo; eaque haeresi in nicaeno II. concilio an. 787. damnata, rursus sub Leone armenio, quem factus iam patriarcha Nicephorus an. 813. coronaverat, e cineribus suis renatum erroris hydrum, novo in ecclesia schismati, de quo Nicephorus loquitur, occasionem obtulisse: quo tempore brevem primo Apologeticum, quasi quandam velitationem, edidit: in quo rerum gestarum iam inde ab initio erroris compendium adumbrans, invehitur postea in apostatas praesertim episcopos, qui a fide in nicaeno concilio iurata rursus discesserant: cui concilio, quamquam sacris nondum infulis praeditus, Nicephorus ipse interfuerat, ibique pro orthodoxa doctrina peroraverat, ut eius biographus Ignatius diaconus narrat, et synodales actus testantur. Scripto, ut dixi, anno 813. minore Apologetico, secutus est calamitosissimus annus 815, quo Nicephorus a Leone Armenio iconomacho deiectus sede pulsusque in exilium fuit, post annum patriarchatus nonum, quem anno scilicet 806. susceperat. In exilio igitur cetera conscripsit opera, nempe maiorem Apoogeticum anno 817, et deinde Antirrheticos, ut ipse initio primi nos docet; donec anno 828, septuagenarius obiit, vel in caelum potius fortissimus orthodoxiae pugil evolavit.

De Antirrheticis. III. Iam quod adtinet ad Antirrheticos, etsi Copronymus multos ante annos vita excesserat, nihilominus prudenter Nicephorus totam suam contra Iconomachos invectionem in Copronymi diserte nomen contulit, tum ut liberius de mortuo loqueretur; tum quia mutato nomine, ut ait poëta, de Leone armenio vivente, et religiosum bellum instaurante, fabula tota narrabat. Nihil enim erat evidentius, quam, quoties Copronymus feriebatur, toties iacula ad Leonem paris meriti hominem penetrare. Pars in his Antirrheticis inexpectata et curiosa est, tot illa segmenta quae recitantur a Nicephoro libri hactenus incogniti Iconomachorum, Copronymi regio nomine et auctoritate scripti, quem Nicephorus particulatim irridet atque refutat. Ibi enimvero subtiles haereticorum technae, simulata pietas, argumentorum fallaciae, ceteraeque eiusmodi fraudes apparent: quae omnia Nicephorus sublimi ingenio, gravi doctrinae ecclesiasticae pondere, exactis logicae artis regulis invicte prosternit. Et in primo quidem diu et acute, de natura imaginis, de prototypo seu archetypo, de pictura, de descriptione, de hypostasi, de enhypostato, et de circumscripto potissimum et incircumscripto. In secundo autem breviore, inter cetera de angelis, de manufactis cherubinis, et quid sint γράφειν et περιγράφειν cum derivatis, et multa huiusmodi edisserit. Tertius denique seu postremus Antirrheticus, valde prolixus et varius, historiam partim et honorandi sacras imagines rationes potissimas exponit: quarum praecipua est usus priscus et constans, id est traditio, ecclesiae catholicae, quae iconi et cruci dominicae martyrumque et sanctorum virorum reliquiis et imaginibus nullo tempore honorem non tribuit. Itaque Iconomachos qui catholicis idololatrici cultus crimen impingebant, novo haereseos titulo nuncupat χριστιανοκατηγόρους. Praeter hos tres a nobis editos Antirrheticos, Bandurius alios quoque Nicephori Antirrheticos in codicibus vidit, nempe 1. Adversus Eusebium sectae iconoclasticae principem. 2. Adversus Epiphanidem consectaneum. 3. Adversus eos qui Salvatoris imaginem idolum esse dicebant. Verumtamen hi tres postremi in vaticanis mihi codicibus non occurrebant (1). Iam Theodorum quoque Studitam, Nicephori contemporalem ac familiarem, tres contra Iconomachos scripsisse Antirrheticos, nemo post sirmondianam ipsorum editionem nescit: verumtamen hi nihil nostris, praeter titulum et argumentum, simile habent.

De Apologetico maiore. IV. Ceterum ante Antirrheticos, Apologeticum maiorem scripserat in exilii pariter quiete Nicephorus, opus grande ac spissum, eruditione plurima, declamatione, invectione, egressionibus etiam variis et episodiis figuratum atque redundans. Stilus auctoris acer, tum heic tum in Antirrheticis, adversariorum latera et praesertim Copronymi alte confodiens, quorum nullum vitium non acerbo conviciorum sale perfundit. Contendit enim eos, praeter morum turpitudinem graphice descriptam, modo esse phantasiastas aut monophysitas et acephalos, modo arianos aut manichaeos vel iudaeos, Christi ac B. Mariae infensissimos hostes, ethnicos, antichristos, diaboli filios; passim denique stolidos, ebriosos, ac beluas appellat. Quamquam reapse ad Copronymum quod adtinet nihil par foeditati, saevitiae, impietatique eius dici potuit. Haec narro, non quia id tam vehemens et praefractum invectionum genus indoli meae placeat; sed ut rem prout se habet exponam: nam nec sancti Hieronymi ardentiores invectiones imitari vulgo solemus. Ceteroqui zelus, honor Christi aut virtutis offensus, sollemnia scandala, impiorum triumphus, bonorum oppressiones, religionis

(1) Nicephorum pro ss. imaginibus vidi citatum etiam a Georgio Hamartolo in chronico ms. vat. p. 153. 189. 192. 196.

ruina, sic interdum sanctorum animos inflammant, ut ii praesertim qui eloquentiae impetu valent, querelis et vituperationibus sine modo frena relaxent. Iam hic Apologeticus in priore sui parte, fidei orthodoxae descriptionem continet, et quantopere Christiani ab idololatriae crimine absint demonstrat. Deinde in media quodammodo parte complura recitat ss. bibliorum testimonia, ut ostendat idololatriam a Christo prorsus fuisse destructam, ita ut illius ecclesia morbo hoc laborare non possit, secus ac χριστιανοκατήγοροι haeretici calumniabantur. Tum et alia scribuntur plurima, quae ferme a capitulo LXV. ordiuntur, de ritibus variis, figuris, tabernaculo, arca, praecipueque de cherubinorum positis in ea formis, et de salomonico templo eiusque sacris emblematibus aut ornamentis dicitur: quae omnia sacri cultus genera, ad ss. imaginum suadendam venerationem auctor trahit. Tum multis huiusmodi disputatis, praescriptionem denique octingentorum annorum arripit, ab ecclesiae primordiis usque ad aetatem suam; ut hinc concludat, honorem ss. imaginibus absque sacrae antiquitatis accusatione negari non posse. Iamvero quum a Nicephori temporibus usque ad nostra plus quam mille anni decurrerint, perseverante interim apud catholicos ss. imaginum veneratione, sequitur ut praescriptio multo adhuc longaevior nobis faveat adversus hodiernos occidentalium regionum Iconomachos, qui a damnato illo errore nondum discedunt. Atque hi utinam, praeter Nicephorum, legant docili animo magni Augustini locos classicos circa honorem sanctorum martyrum de C. D. lib. XIX. cap. ult., nec non eundem contra Faustum manich. lib. XX. 21!

V. Age vero quinam meus in hoc edendo Nicephoro labor fuerit, ii facile aestimabunt, qui plures eruditos saxum id versare molitos sciunt, sed defatigatione aut impensis deterritos abstitisse. Nam praeter Bandurium, Turrianus etiam, Crusius, Combefisius, atque ut audio Allatius, de editione hac cogitarunt; et Petavius ipse non nisi breve fragmentum protulit. Certe ad latinam translationem quod attinet, quam diversis temporibus inter varias occupationes, et modo in urbe, modo peregrinans, scriptitavi, res quidem per se molesta et prolixa taedium ingerebat: perstiti tamen, quamquam multis locis propter theologicam graecae scholae locutionem, aliasque salebras, non raro aestuabam, neque me semper rem feliciter gessisse autumo. Sane Nicephori stilum Photius cod. LXV. in primis laudat: καλλιλεξίᾳ τὲ καὶ συνθήκῃ λόγου κεχρημένος, οἵᾳ ἂν χρήσαιτο ὁ ῥητορικὸς ὡς ἀληθῶς καὶ τέλειος ἀνήρ: *ea verborum venustate et orationis compositione utitur, qualem adhiberet perfectus omnino orator*. Profecto purus est hellenismus Nicephori, artificiosa et ornata elocutio, non tamen attici generis sed asiani; immo non semel ut mihi quidem videtur tautologia peccans vel saltem perissologia: nam sententiam semel dictam, alia mox ratione replicat, multimodis commutat et versat: et quod alii uno commate clauderent, is integro interdum periodi ambitu expandit; quodque antea dixerat, multis deinde interpositis in scenam denuo reducit. Aliquando etiam vel nimia ingenii ubertate, vel anagogico mysticove sensu abreptus, ita per sacra biblia vagatur, ut paene devius extra suum propositum deerrare videatur. Ceterum Nicephori dictio nobilis est, ut dixi, suavis, rotunda, et quasi pompatica, cuiusmodi decebat hominem, omni ut ait Ignatius biographus disciplinarum genere a pueritia excultum, scribendis plurimis diu exercitum, otio etiam abundantem, et librorum optimorum supellectile laute instructum. Postremo non meum sed Bandurii iudicium ponam, in conspectu cogitatae suae editionis ita loquentis. « Quanti aestimanda sint isthaec opera, etsi res ipsa » per se loquatur, paucis tamen recensere ne pigeat. Hic Iconomachorum omnes sen-

Iudicium de his scriptis.

» tentiae, impia dicta et molitiones aperiuntur, et incredibili diligentia confutantur: » qua in re nihil perfectius huc usque in lucem prolatum est. Hic bene multa ad hi» storiam pertinentia, et ab historicis intacta, narrantur: ac ubique absoluta et varia » in rebus, cum ecclesiasticis tum profanis, Nicephori eruditio deprehenditur. Con» stantini Copronymi, quem Mamonam ubique nuncupat, ausus in temeranda religio» ne varii, doli, fraudesque, furor in Christianos, machinationes contra piam fidem, » admixtis subinde rerum gestarum monumentis, recensentur, eiusdemque impia do» ctrina pro virili refellitur etc. (1) »

Fructus varii horum scriptorum.

VI. Iam horum Nicephori operum fructus paulo adhuc numerosiores recenseri queunt. Nam primo insunt testimonia dogmatica de fidei indubiae necessitate, de sacratissima eucharistia, de auctoritate peremptoria concilii oecumenici, de romanae ecclesiae primatu, de virginitatis honore, de angelis multa, et de aliis (2); nequid dicam de invocatione sanctorum, quae toto operis argumento commendatur. Sunt etiam in biblicis testimoniis pulchrae codicum varietates. Sunt nova graecae linguae non pauca vocabula lexicis inferenda. Sunt theologici sermonis formulae. Est multiplex haereseon notitia. Est salsa deorum ethnicorum per singulos decurrens irrisio. Est Clementis alexandrini breve ex deperdito paschali opere lemma (3). Sunt duo maiora Cyrilli pariter alexandrini segmenta antehac incognita commentarii in ep. ad Rom. I. 4. X. 6, quorum primum in calcem tomi nostri secundi anecdotorum Cyrilli intulimus, alterum in lat. part. p. 27. Adseruntur etiam a Nicephoro homiliae aliquot Basilio et Chrysostomo, quas eis critici eripiebant. Epiphanii, ut volebant, celebre de imaginibus dictum satis nunc exsufflatur. Denique nequid bonae frugis nobis forte oblatum praeteriremus, multas in adnotationibus nostris Macarii Chrysocephali partes scripsimus, nonnullas etiam chronographorum duorum G. Hamartoli, et P. Siculi, nec non Matth. Cantacuzeni, ex vaticanis codicibus sumptas; et argumentum Nicephori, substratis in latina praesertim parte scholiis declaravimus. Menda denique graeci textus, quae mediocri numero obrepserant, in latini textus marginibus plerumque correximus, ad quos lectores ut oculos flectant, rogamus. Sed haec hactenus.

(1) Inter S. Nicephori laudatores excellit Theodorus Studita, quem nos feliciter hoc eodem volumine simul edimus. Fuit enim aequalis eius ac familiaris, et aerumnarum pro orthodoxia exantlatarum socius, et biennio ante illum demortuus. Legantur apud Sirmondum epistolae Studitae ad Nicephorum, atque alia de eodem Nicephoro dicta honorifica.

(2) Sic ex. gr. in apol. maiore cap. 26. innuit Nicephorus pictorum antimensiorum usum (qui adhuc in graeca ecclesia perseverat) quorum unum cum ego aspexerim, eius descriptionem heic non subtraham. « Linteolum in cuius medio crux, supraque eam aeternus Pater cum Spiritu sancto. Sub cruce sedens » Maria virgo cum Iesu in genubus mortuo, angelis interim in aëre lugentibus: tum adstantes mulieres » item plorantes, cum Iosepho ab Arimathaea, Iohanne, alioque discipulo. In angulis interioribus ange» lorum aligerorum capita: in angulis vero exterioribus evangelistae quatuor. Circumambiunt sacrae pas» sionis instrumenta. Est etiam inscriptio: ὁ εὐσχήμων Ἰωσὴφ ἀπὸ τοῦ ξύλου καθελὼν τὸ ἄχραντόν σου σῶμα, » σινδόνι καθαρᾷ εἱλήσας καὶ ἀρώμασιν, ἐν μνήματι καινῷ κηδεύσας ἀπέθετο: *nobilis Ioseph de ligno deponens » immaculatum corpus tuum, puraque sindone involvens cum aromatibus in monumento novo funerans » posuit* (ex Marc. XV. 43.) » In antimensiis autem Melchitarum, haec eadem arabice scribuntur. Est id ergo antimensii genus ΕΙΛΗΤΟΝ, ut appellant Graeci, ut ab illo perfectiore et ss. reliquiis praedito distinguant, quod proprie antimensium dicunt. De antimensiis responsum Emmanuelis patriarchae constantinopolitani memoratur a Latino Latinio in lucubrat. et epist. ed. rom. an. 1659. p. 370. Item de antimensiis accurate agit Iohannes episcopus Citri apud Leunclavium iur. gr. rom. p. 330.

(3) Huius nos clementini operis fragmenta alia dedimus Script. vet. T. VII. pp. 94. 98. 99.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΚΑΙ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΓΕΝΟΜΕΝΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

ΝΙΚΗΦΟΡΟΥ

ΑΝΤΙΡΡΗΣΙΣ ΚΑΙ ΑΝΑΤΡΟΠΗ

ΤΩΝ ΠΑΡΑ ΤΟΥ ΔΥΣΣΕΒΟΥΣ ΜΑΜΩΝΑ

ΚΑΤΑ ΤΗΣ ΣΩΤΗΡΙΟΥ ΤΟΥ ΘΕΟΥ ΛΟΓΟΥ ΣΑΡΚΩΣΕΩΣ

ΑΜΑΘΩΣ ΚΑΙ ΑΘΕΩΣ ΚΕΝΟΛΟΓΗΘΕΝΤΩΝ ΛΗΡΗΜΑΤΩΝ.

ΑΝΤΙΡΡΗΣΙΣ ΠΡΩΤΗ.

Οὕτως μὲν δὴ τῶν προτέρων ἡμῖν λόγων ἐκπεπόνηται τὸ ἀγώνισμα καὶ ἐξήνυσται· καὶ γὰρ τὴν χριστιανῶν θεοσέβειαν, δυσσεβείας εἰδωλικῆς διὰ τῶν ἱερῶν γραμμάτων ὁ λόγος προλαβὼν, καθαρεύουσαν ἀποδέδειχε, τοὺς δὲ ἀδικίαν εἰς τὸ ὕψος λαλήσαντάς τε καὶ μελετήσαντας, στηλιτεύσας ὡς παράφρονας ἀπεῤῥάπισε· νῦν δὲ αὖθις ἐπὶ τὸ ἕτερον τῆς ἀσεβείας ἀποδυσάμενοι μέτιμεν στάδιον· ἐπείπερ, καθὰ δὴ καὶ πρότερον ἡμῖν ἐῤῥήθη, διττὸς παρὰ τῶν τῆς ἀληθείας ἐχθρῶν ὁ κατὰ τῆς εὐσεβείας συνέστηκεν ἀγὼν, κατὰ τὸν ζηλωτὴν Φινεὲς τῷ σειρομάστῃ καθοπλισθέντες τοῦ πνεύματος, καὶ αὐτῇ τῇ ἀληθείᾳ συνεργῷ χρώμενοι, ὑπὲρ ἧς μαχόμενοι συμμαχούμεθα, καὶ ὁ παρὼν ἡμῖν ἐπισυνέστηκε πόλεμος, τὴν μαδιανίτιν ἀθεΐαν τῇ ἰουδαϊκῇ ἀπιστίᾳ, τὴν μανιχαϊκήν φημι λύτταν τῇ ἀρειανικῇ μανίᾳ, συνεκκεντήσοντες.

α. Ἐπεὶ οὖν εἴ τις αὐτῶν διαπύθοιτο, ποῦ ποτε ἄρα χριστιανοὺς εἰδωλικοῖς προσοχθίσμασιν ὡς θεοῖς ἐφώρασαν ὑποκύψαντας, οὐκ ἔχουσι ὅτι καὶ ἀντιφθέγξαιντο, ἰλιγγιῶσι δὲ μάλιστα ὑπ' αὐτῆς τῆς ἀληθείας στρεβλούμενοι, καὶ τὴν γλῶσσαν δεσμούμενοι, καὶ τὴν ψυχὴν σκότους πληρούμενοι· καὶ ἄλλως συναισθόμενοι ὡς λίαν ἀσεβοῦσι τὰ πρὸς θεὸν τοῖς ἱεροῖς ἀθέσμως προσπταίοντες, ἐγνωσμένον αὐτοῖς ὅποι τὰ τῆς ὕβρεως ἀναφέρεται, τηνικαῦτα χωροῦσιν ἐπὶ τὸ ἀπερίγραπτον· οἰόμενοι γὰρ διαδράναι τὸ τῆς ὕβρεως ὑπέρογκον, κομψὸν ἐπενόησαν ὅπερ ὑπέδυσαν προσωπεῖον, τοῦ ἀπεριγράπτου τὸ πρόσρημα, ὃ δὴ τῷ Χριστῷ ἐπιγράφουσι· ταύτῃ δῆθεν κατασκευάζοντες τὸ ἀπρόσκοπον, ὡς ἂν τῷ μὴ δεῖν εἰκονίζεσθαι, τὰ ἐπὶ τῇ παροινίᾳ τῶν ἁγίων ἄτοπα διαπεφευγέναι δόξαιεν· ὃ μεῖζον αὐτοῖς εἰς ἀτοπίαν ἐξεύρηται· σοφί-

ζονται γὰρ λανθάνειν θεὸν, ἐφ' οἷς εἰς αὐτὸν ἀσεβοῦσιν οἱ ἀσύνετοι· λελήθασι δὲ τῷ ὄντι σφᾶς αὐτοὺς οἱ πλανώμενοι, ὡς τό γε ἑαυτοὺς παραλογίζεσθαι, τῶν ἀνοήτων πάνυ καὶ σφαλερῶν ὑπάρχει τεκμήριον.

β. Πάλιν οὖν κἀν τούτῳ τῷ μέρει τῆς ἀσεβείας ἑαυτοῖς ἀκολουθοῦντες· οὐ γὰρ δὴ τὴν τῆς ἀληθείας διασκοποῦσιν εὕρεσιν, τὴν τοῦ Μαμωνᾶ πλάνην, κανόνα καὶ δογμάτων ἀκρίβειαν οἱ δείλαιοι ἐξεδέξαντο· οὕτω γὰρ τοῦ δέοντος παρεκομίσθησαν λογισμοῦ, καὶ τοῖς αἰσχίοσι τὴν ψῆφον ἤνεγκαν, ὅθεν αὐτοῖς τὸ πᾶν τῆς εἰκαίας ταύτης διδασκαλίας ἀνοήτως συνέστηκεν· ὄντως ἀληθὲς περὶ τῶν ὧδε φρονούντων, φάναι καὶ νῦν, ὡς εἴη ἐξ ἀμπέλου Σοδόμων ἡ ἄμπελος αὐτῶν, ἡ κληματὶς αὐτῶν ἐκ Γομόῤῥας, ἡ σταφυλὴ αὐτῶν σταφυλὴ χολῆς, βότρυς πικρίας αὐτῶν· τὸν γὰρ τῆς ἀσεβείας ἐκεῖθεν πικρὸν ὥσπερ ἐκχεάμενοι ἄκρατον, καὶ τοῖς ἐκπεπονημένοις αὐτῷ ψευδομυθήμασιν ἐκμεμεθυσμένοι τὸν νοῦν, πρὸς ἀλλοκότους καὶ ἀλογίστους φλυαρίας τὴν γλῶσσαν ἀτοπώτατα παραφέρονται· πολλὰ δὴ οὖν καμόντες, καὶ πολλὰς βίβλους διαφθείραντες καὶ νοθεύσαντες, πελείστας τὲ δόξας τῶν τε ἀοιδίμων πατέρων ἡμῶν, πρὸς δὲ καὶ τῶν ἐκτὸς καὶ τοῦ τῆς ἐκκλησίας ἀπεληλαμένων χοροῦ ἐξερευνήσαντες, καὶ ταύτας παρακινεῖν καὶ δολοῦν πειραθέντες· ἤνυσαν πλέον μὲν οὐδέν τι· ἐκεῖνον δὲ ταῖς ἰσοθέοις καθ' ἕλληνας γεραίρουσι τιμαῖς, τῇ τε δόξῃ τῇ αὐτοῦ καὶ τῷ φρονήματι προστρέχοντες ἀφρονέστατα, ὡς οἰκεῖον περιπτύσσονται καὶ ἀσπάζονται· καὶ τούτων μάλιστα οἱ ἀνοήτως τῆς ἐκείνου ἀποστασίας προεστηκότες, ἐκ τῆς τοιαύτης αἰσχύνης τὸ περιφανὲς καταπτᾶσθαι οἰόμενοι, καὶ τούτοις ἐρεύνης καὶ ἐξετάσεως ἄνευ συντίθενται· ἐπειδὴ πρόχειρον ἡ κακία, καὶ πολὺς ἐπὶ τὸ χεῖρον ὁ δρόμος, καὶ τὸ πρὸς τὰ περικόσμια τῶν φιλοσάρκων ἐπιῤῥεπές· ὑφ' ὧν ἐναυξηθέντος αὐτοῖς τοῦ κακοῦ, τὰ τῆς οἰκείας ἀσφαλείας προὔδωκαν, ὥσπερ λοιμικοῦ τινὸς ἐφερπύσαντος καὶ ψυχοφθόρου πάθους, ἐντεῦθεν τῇ τοῦ ἀπεριγράπτου συνίστανται φωνῇ, δι' ἧς τὴν τοῦ σωτῆρος ἡμῶν θείαν οἰκονομίαν πανούργως καὶ κακοήθως ἐκ βάθρων αὐτῶν ἀνατρέπειν ἐπιχειροῦσι, καὶ ταύτην κατὰ τῶν εὐσεβούντων προχειριζόμενοι, καὶ ὥσπερ δυσκαταγώνιστον ἐπιτείχισμα κατεξανιστάντες αὐτοῖς, αἱρήσειν οἴονται· ὡς εἰ μὴ δέξαιντο, διαιρήσειν τὴν κατὰ Χριστὸν μίαν ὑπόστασιν ἐκβιασθήσαιντο· ἀλλ' ἐπειδὴ ποικίλον καὶ πολυσχυδὲς τὸ τοῦ ψεύδους τέχνασμα, ὑποπλάττονται μὲν ταύτην δέχεσθαι, μέχρι ψιλῶν ῥημάτων μόνων περιϊστάντες, τὸ ἑτερόδοξον αἰσχυνόμενοι, ἔργῳ δὲ ὅτι μὴ ἀπαναίνονται μόνον, ἤδη δὲ καὶ τοὺς προσιεμένους ὡς δυσμενεῖς ὁρῶντες, πικρῶς ἀπελαύνουσι μὴ δὲ μιᾶς ἀξιοῦντες φειδοῦς.

γ. Τί δὴ οὖν λοιπὸν τὸ ἐντεῦθεν σκοπεῖν ἔξεστι; τί δὲ ἄλλο ἢ τοῦτό γε ἀληθὲς ἐννοεῖν καὶ φράζειν, ὅτι δὴ πάλιν ἡ τοῦ Μάνεντος χάρυβδις πλατὺ χάνασα τοῖς ἐν τῇ ἁπλότητι τοῦ βίου τὸν πλοῦν ἐξανύουσι, στόλους ὅλους ψυχῶν ἀναρπάζουσα, καὶ βρυχύους τῷ βυθῷ τῆς ἀπωλείας ὑπάγουσα, παραδίδωσι;

δ. Πάλιν τῆς ἀρειανικῆς φλογὸς ἡ χίμαιρα, τῷ ψυχοφθόρῳ πυρὶ τῶν τῆς ἀθεότητος διδαγμάτων, τῶν ἀπροόπτως πως καὶ ἀφυλάκτως παρὰ τυγχανόντων τὸν νοῦν, παραναλίσκει διαφλέγουσα.

ε. Πάλιν ἡ πολυκέφαλος ὕδρα τῶν Ἀκεφάλων καὶ τῆς συγχυτικῆς τῶν Εὐτυχιτῶν μᾶλλον δὲ Δοκητῶν συμπνοίας, ἐπὶ διαιρέσει καὶ λύμῃ τοῦ τῆς ἐκκλησίας καλῶς ἡνωμένου σώματος, πολυσχιδεῖς τὰς παραφυάδας τῶν πικρῶν γεννημάτων ἐβλάστησε· καὶ ὡς ἂν συλλαβών τις εἴποι, ἐκ τῆς μανιχαϊκῆς ἐχίδνης, καὶ τῆς ἀρειανικῆς ἀσπίδος, ἕτερός τις ἐκ συμπλοκῆς τούτων οἷον ἑρπηστὴς ἀμφικέφαλος ἐξέφυ· ὁποίαν δὴ καὶ τὴν τῶν Ὑψισταρίων κίβδηλον καὶ βδελυρὰν θρησκείαν ἀκούομεν, ἐξ ἑλληνικῆς τερθρείας, καὶ νομικῆς τερατείας συνισταμένην· καὶ δεινὸν κατὰ τῶν τῆς θείας ἐντολῆς ὑπερορώντων ῥέψας, ὧν καὶ πτέρναν τηρεῖν ἤδη προστέτακται, πικρὸν τὸν ἰὸν καὶ ὀλέθριον ταῖς ψυχαῖς τῶν εὐπαρακόμιστον εἰς τοῦτο τὴν ἀκοὴν ἐχόντων ἐνέχεεν· ὅτι μὲν γὰρ Ἀρειανοὶ Μανιχαίοις συμφύρονται, ἐν τοῖς μετὰ ταῦτα σαφῶς παραστήσομεν.

ϛ. Δῆλον δὲ δή που παντὶ, ὡς βούλεται αὐτοῖς ἡ σπουδὴ, τὰς πολυανθρώπους ἐκείνας καὶ θεολέκτους τῶν ἀοιδίμων πατέρων ἡμῶν ὁμηγύρεις τέλεον ἠθετῆσθαι· ὑφ᾽ ὧν διὰ τοῦ ἐνεργοῦντος καὶ λαλοῦντος ἐν αὐτοῖς θείου πνεύματος, πεφοιτηκέναι εἰς ἡμᾶς τὴν τοῦ θείου μυστηρίου ἀληθότητα ἐκφανέστερον καὶ τρανότερον ἀσφαλῶς πεπείσμεθα, τάς τε κατὰ Νίκαιαν τὸ φιλόθεον ἄστυ συγκεκροτημένας φημὶ, ὃ τῶν ἐν Βιθυνοῖς καθ᾽ ὧν τὸ κράτος ἔσχε πόλεων, τὰ πρεσβεῖα οἷα δὴ μητρόπολις φέρεται, καὶ ἣν τὸ Χαλκηδονίων αὐχεῖ μάλιστα πόλισμα, καὶ μὲν δὴ καὶ αὐτὴν ἧπερ ἡ Βύζαντος ἐγκαλλωπίζεται πόλις, ἐπὶ τῷ τελείῳ τῶν ἀριθμῶν ἐνσεμνυνομένη, τῷ εἰς πλείονα τῆς ἀσεβείας ἔνδειξιν διεῤῥίφθαι καὶ ἐκκεκρίσθαι, καὶ οὓς οἱ κατ᾽ αὐτὴν θεσπέσιοι πατέρες θεσμοὺς καὶ νόμους τῇ ἐπινοίᾳ τῇ ἄνωθεν ποδηγούμενοι ἐκπεφωνήκασιν· ὑφ᾽ ὧν καθορίζεται θεοσόφως μάλιστα καὶ ἐνδικώτατα, τὴν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ θεοῦ σεβασμίαν εἰκόνα κατὰ τὸν ἀνθρώπινον χαρακτῆρα, τὸ ἐξ ἐκείνου ἀναστηλοῦσθαι· ὅπερ ἤδη καὶ πάλαι μὲν γεγονὸς διεφαίνετο· καὶ γὰρ ἡλικιῶτις τῆς τοῦ σωτῆρος ἐπιφανείας, ἡ θεία αὕτη γραφὴ, ὅσον δὲ τὸν ἀμνὸν ὃς εἰς τύπον παρελήφθη τῆς χάριτος ἐπιλαμψάσης αὐτῆς μὴ προϊέναι περαιτέρω εἰκονιζόμενον· δέον γὰρ εἶναι τοὺς παλαιοὺς μὲν τύπους καὶ τὰς σκιὰς ὡς τῆς ἀληθείας σύμβολά τε καὶ προχαράγματα τιμωμένους, σεπτούς τε καὶ αὐτοὺς ἤδη τυγχάνοντας, περιγεγράφθαι, τὴν χάριν δὲ προτετιμῆσθαι εἰκότως καὶ τὴν ἀλήθειαν· πρὸ τούτων δὲ καὶ ὑπὲρ ταύτας, τὴν ἐφ᾽ ᾗ ἡ Ἐφεσίων μέγα φρονεῖ, τέλεον ἀποσκευάσασθαι, ἄντικρυς περιγραπτὸν τὸν Χριστὸν καὶ θεὸν ἡμῶν κατὰ τὸ ἀνθρώπειον, μεγαλοφώνως κηρύξασαν, καὶ τοὺς μὴ ταύτην δεχομένους τὴν φωνὴν, φρικτοῖς ἀναθέμασι περιδεσμήσασαν· καὶ τί χρὴ λέγειν συνόδους ἀνατετράφθαι παρ᾽ αὐτῶν; τὸ πᾶν τοῦ μυστηρίου τῆς τοῦ σωτῆρος οἰκονομίας περιυβρίζοντες, ἐκφαυλίζουσιν ἔθη τὰ καθ᾽ ἡμᾶς καὶ θεσμοὺς καὶ σεβάσματα.

ζ. Ἐπεὶ οὖν κατὰ τῆς Χριστοῦ ἐκκλησίας καὶ τῶν θείων ἡμῶν δογμάτων ἀπηναισχύντησαν, πᾶσαν ἱερὰν παράδοσιν διωσάμενοι, καὶ τὰς κατὰ τῆς δόξης τοῦ μονογενοῦς, παρὰ τοῦ πατρὸς τῆς ἀπιστίας μᾶλλον δὲ ἀποστασίας εἰπεῖν οἰκειότερον, κενολογηθείσας φωνὰς εἰς βεβαίωσιν τῆς ἑαυτῶν προχειρίζονται ματαιότητος, ἔδει μὲν ταύτας ὡς φληνάφους, ὡς ἀγυρτώδεις, ὡς ἀηδίας καὶ λέσχης πεπληρωμένας, ὡς ἀπαιδεύτους και ἀσυνέτους καὶ ψεύδους ἐμπλέους, ὡς ἑαυτῷ ἀνακολούθους, ὡς τῇ ἀληθείᾳ καὶ ἑαυταῖς μαχομένας, καὶ πλάνης ἁπάσης μεμεστωμένας, καὶ ὡς οὐκ ἂν λόγος πρὸς τὴν αὐτῶν κακίαν ἀφίκοιτο, καὶ τὸ πᾶν εἰπεῖν, ὡς ἐκ πολλῆς κοπρίας καὶ φορυτοῦ ἀπαιδεύτως καὶ ἀμαθῶς συναγηγερμένας, τέλεον ἀπωθεῖσθαι καὶ διακρούεσθαι· οὕτω γὰρ ἀκόσμως καὶ αὐθαδῶς καὶ ἀσέμνως, κατὰ τῶν φαινομένων καὶ ὑπ' ὄψιν πάντων ἠγμένων καὶ ταῖς ἁπάντων ὁμολογουμένων ὄψεσιν πρότασιν, ὡς εἰς γέλωτα μᾶλλον ἢ ὄνησιν τοῖς σώφροσι ταῖς ἀληθείαις προκεῖσθαι· πῶς γὰρ οὐκ ἄξιον γέλωτος, τὸ τῇ φύσει τῶν πραγμάτων αὐτῇ, καὶ τοῖς ἐκ πλειόνων χρόνων καὶ γενεῶν πολλῶν ἐπ' εὐσεβείᾳ γνωρίμων καὶ μεμαρτυρημένων, τὸ πιστὸν καὶ τὴν ἰσχὺν, ἀπομάχεσθαι, καὶ αὐτόθεν τὸ ἀσφαλὲς, τῷ παρακεχωρηκότι πάντων τῆς ἐννοίας, πρὸς λόγου πληροφορίαν εἰς ἀπόδειξιν καὶ βεβαίωσιν παραλαμβάνεσθαι;

Ὡς γοῦν ἤδη τοιαῦτα καὶ οὕτως ἐχόντα ἔγνωσται, μὴ δὲ τὴν ἀρχὴν ἀντιλέγειν ἐχρῆν· ἵνα μὴ ταυτὸν ἐκείνοις πεπονθέναι ὀφθείημεν, καὶ ἀβελτερίας καὶ ἀπαιδευσίας ὀφλήσαντες γέλωτα, τὴν ἴσην ἀπενεγκοίμεθα γραφὴν, τοῖς μειρακιώδεσιν ἐπιβάλλοντες λόγοις· ἔοικε γὰρ ὁ ταῦτα ἀνατρέπειν πειρώμενος, τὰς κατὰ παιδιὰν ἐκ ψάμμου παίδων ἀθύρμασι κατεσκευασμένας περιτρέπειν μᾶλλον οἰκοδομίας, ἢ τοῖς παρὰ πᾶσι τοῖς συνιοῦσιν ὡς ἀληθῶς καὶ τὴν ἀλήθειαν τετιμηκόσιν ἐπεγνωσμένοις, συναγορεύειν· ἀλλ' ἐπειδὴ ὥσπερ ἐξ ἐπιτάγματος σοφοὶ εἶναι βούλονται, μὴ ὅτι τῆς ἀληθείας ἀντέχεσθαι σπουδὴν ποιούμενοι, τοῦ ψεύδους τὲ ὡς οἷοι τέ εἰσι μεταποιούμενοι, ἐρεσχελίᾳ πολλῇ καὶ φλυαρίᾳ καὶ βατταρισμοῖς χρώμενοι, ἐπὶ τῇ τῶν πολλῶν λύμῃ, συναρπάζουσι δι' αὐτῶν τοὺς ἀκεραιοτέρους, ἐκ πολλῆς ἄγαν ἀποπληξίας καὶ δυσβουλίας αἰχμαλωτίζοντες, εἰς τὸ οἰκεῖον πτῶμα τοὺς πολλοὺς ἕλξειν· οἷς ἤδη καὶ τῶν λογιμωτέρων δοκοῦντες καὶ περιφανεστέρων τινὲς, σκανδαλίζονται, ἐπειδὴ ἅπτεται ὡς τὰ πολλὰ καὶ τῶν ἀρίστων ὁ μῶμος· καθάπερ γὰρ φθοροποιοῦ νοσήματος πᾶσιν, ὡς ἔπος εἰπεῖν, τῆς ἑαυτῶν μεταδιδόασι λώβης· τῷ φαινομένῳ γὰρ καὶ κεχρωσμένῳ τῶν τὴν ἀκοὴν περισαινόντων λόγων περιθελγόμενοι, τὸν δὲ κατορωρυγμένον καὶ κεκρυμμένον βόθρον διὰ τὸ ἀνεπιστάτητον οὐ προορώμενοι, ταῖς πάγαις ἐξ ἀπροσεξίας τῆς ἀπιστίας ἀκλεῶς περιπίπτουσιν· ἐν προσχήματι γὰρ χριστιανισμοῦ τὸ χριστιανίζον ἅπαν εὐσεβῶς ὁ ταῦτα συγγεγραφηκὼς δυσμενῶς ἐξεπόρθησε· ταύτῃ τοι καὶ οὐκ ἀκόσμως τί δόξαντες δρᾷν, εἰς τήνδε τῶν λόγων τὴν ἐξέτασιν καθήκαμεν ἑαυτούς· καὶ οὐκ ἂν ἀποκνήσαιμεν σαθρὰ καὶ κατερρυηκότα καὶ ἀραχνίων ἀσθε-

νέστερα τὰ τούτων ἀποφαίνειν προβλήματα, τοὺς τῆς ἀληθείας ἐλέγχους εὐστόχως ἐπάγοντες· ὡς ἂν δήλης ἅπασι τῆς ἐν αὐτοῖς ἀτοπίας καθισταμένης, ἐπιγνοῖεν οἱ συνετοὶ τὸ ἀπατηλὸν αὐτῶν καὶ κατεπτυσμένον, καὶ τῆς ἑαυτῶν ἀσφαλείας προνοήσαιεν· ὅτι μὲν οὖν ὡς ἐν ἅπασιν ἀσυνετοῦντες καὶ ἀμαθαίνοντες, κἀνταύταις ἀποσφάλλονται ταῖς φωναῖς, τῷ ἀγράπτῳ φημὶ καὶ ἀπεριγράπτῳ, ὡς οἶμαι παντί τῳ σαφές· εἰς ταυτὸν ἀμφότερα συνενεγκόντες, τὰ ἐν πολλοῖς διαφέροντα, περὶ ὧν εἰς ὕστερον διαληψόμεθα, τήν τε διαφορὰν καὶ τὴν ἀπ' αὐτῶν σημαινομένην δύναμιν ἐπισκεπτόμενοι· ἐν τῷ παρόντι δὲ, τῇ τούτων ἀπαιδευσίᾳ καὶ ἀμουσίᾳ συγκαθιστάμενοι, πρὸς τὰς τοῦ διδασκάλου αὐτῶν προβεβλημένας φωνὰς, οἰκείως ἁρμοσόμεθα· φανερὸν δ' ἂν γένοιτο, ὡς εἰ τὰ τοῦ μυσταγωγήσαντος τὴν κακίαν καταβληθείη μηχανήματα, καὶ τῶν ἐκεῖθεν ἐξηρτημένων τὴν μύησιν, συγκαθαιρεθείη τὰ ἐγχειρήματα.

η. Κοινὸς δὲ ἔσται ἡμῖν ὁ λόγος, πρός τε τὸν εὑρετὴν καὶ πατέρα τοῦδε τοῦ δραματουργηθέντος δόγματος, καὶ τοὺς ὑπασπιστὰς καὶ κενοὺς δογματιστὰς τῆς βωμολόχου ταύτης καὶ ἀπατηλῆς δόξης· καιρὸς λοιπὸν ἤδη ἐπ' αὐτὴν τῶν προβλημάτων αὐτῶν ἰέναι τὴν ἔρευναν· καὶ ταῦτα εἰς μέσους ἀγαγόντας ὅσα παράλογα ἐν αὐτοῖς, καὶ πρὸς ὑπαγωγὴν καὶ ἀπάτην τῶν πολλῶν σκευωρούμενα· καὶ εἴ τι βλασφημίας ἔμπλεων διαφανείη, διελέγξαι ῥᾳδίως, ἀλλὰ τὸν πολὺν ὕθλον καὶ τὴν ἐγκειμένην φλυαρίαν, καὶ ἄλλως ῥημάτων ὄχλον τοῖς ἀκροαταῖς ἐμποιοῦσαν περιϊστάμενοι, ἐπ' αὐτὰ τὰ δοκοῦντα καίρια εἶναι τῆς ματαιότητος αὐτῶν ὁμόσε χωρῶμεν· οὐδὲν δὲ χεῖρον ἐπιμνησθῆναι καὶ ᾧ τρόπῳ τοῖς τὸ τηνικάδε τὸ τῆς ἱερωσύνης ἐσχηματισμένοις ἀξίωμα τῷ λόγῳ προσάγεται· ἐν σχήματι γὰρ ἐρωτήσεως προάγων τὸν λόγον, ἐκεῖθεν ὑποπλάττεται τὰς λύσεις τῶν ἠπορημένων ἐπιζητεῖν, καί τοι κατὰ πολλὴν ἐξουσίαν, αὐθαδείᾳ πάσῃ καὶ φιλαυτίᾳ κεχρημένος, τὰ αὐτῷ κεχαρισμένα προδικνυκὼς ἤδη· ἔχει δὲ ὧδε τὰ προτεινόμενα.

θ. ⁘ Ἡ ἁγία τοῦ θεοῦ καθολικὴ ἡμῶν πάντων τῶν χριστιανῶν ἐκκλησια.
⁘ παρέλαβεν οὕτως ὁμολογεῖν τὸν υἱὸν καὶ λόγον τοῦ θεοῦ φύσει ἁπλοῦν
⁘ ὑπάρχοντα, σαρκωθέντα δὲ ἐκ τῆς παναγίας ἀχράντου δεσποίνης ἡμῶν θεο-
⁘ τόκου ἀεὶ παρθένου Μαρίας, μὴ τρέψαντα τὴν θεότητα εἰς σάρκα, μήτε
⁘ τὴν σάρκα εἰς τὴν θεότητα αὔξος ἐμποιησαμένην, ἀλλὰ τῶν δύο φύσεων
⁘ συνελθουσῶν εἰς ἕνωσιν ἀσύγχυτον μίαν, τήν τε τῆς θεότητος καὶ τῆς ἀν-
⁘ θρωπότητος, ἕνα τὸν αὐτὸν καθ' ὑπόστασιν μίαν ὑπάρχειν· τουτέστι δι-
⁘ πλοῦν ἐν ἑνὶ προσώπῳ ὄντα, κἂν πᾶσα εἰκὼν παράγωγος πρωτοτύπου τινὸς
⁘ γνωρίζεται. ⁘

Τὰ μὲν δὴ τῶν προοιμίων τοιαῦτα· τί οὖν πρὸς ταῦτα φαμὲν ἡμεῖς; ὅτι εὐθὺς μὲν καὶ ἐκ πρώτης ἐπιχειρήσεως, ἐπειδὴ πρὸς χριστιανοὺς ἦν αὐτῷ ὁ λόγος, χριστιανοῦ πρόσωπον ὑποδύεται, τὸ ὕπουλον καὶ δολερὸν ὥσπερ ἐν ταμείῳ τῇ ἑαυτοῦ ψυχῇ τέως ἀποκρυψάμενος· καταλαζονεύεται δὲ τὴν τῆς ἐκκλησίας φυλάττειν παράδοσιν, καὶ ἀποσεμνύνειν δοκεῖ τὸ τῆς οἰκονομίας τοῦ

θεοῦ λόγου μυστήριον· γεραίρειν γε μὴν κατασχηματίζεται τὴν παναγίαν παρθένον, τοῦ θεοῦ μητέρα, ἣν ἐν ἑτέροις πολυτρόπως ἠτιμωμένην δεικνύειν ἐβούλετο, καὶ αὐτὰς τὰς πρὸς θεὸν παρ' αὐτῆς πρεσβείας, δι' ὧν πᾶσι χριστιανοῖς ὡς σωτηρίας προξένων ἐλπίσιν ἀκλονήτοις ἐρηρεισμένοις τὸ σώζεσθαι περιγίνεται, ἀπαναινόμενος· καταγοητεύει δὲ τοῖς ἐπιπλάστοις ῥήμασι τούτοις, τῶν ἀκροωμένων τὰ ἤθη, ὡς ἂν αὐτοὺς διὰ τούτων ἐπαγαγέσθαι δυνήσοιτο· ἐντεῦθεν ἀστείως τις μάλα καὶ ἐμμελέστατα ἀποφανεῖται πληροῦσθαι ἐπ' αὐτῷ, ἐκεῖνα δὴ τὰ ἱερὰ λόγια φάσκοντα " βολὶς τιτρώσκουσα ἡ γλῶσσα αὐτῶν· „ τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν· ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν. „ Πιθανεύονται μὲν γὰρ τῷ λείῳ καὶ περιχαρεῖ τῶν λόγων μεμορφωμένοι, τὴν ἀκοὴν καταθέλγοντες· τιτρώσκουσι δὲ ὅμως, ὡς ἐν βολίσιν ὀξείαις, τὰς τῶν ἀμαθεστέρων ψυχὰς, ποικίλοις καὶ ἀνιάτοις τραύμασι κατὰ βάθους περιαμύσσοντες· ἡνίκα γὰρ δυστρόπως καὶ κακοήθως κατὰ τῆς ἀληθείας προσφέρεται, εὐθὺς οὐ παῤῥησιάζεται τὴν ἀσέβειαν· εὐγνωμόνως δὲ περὶ τὸν ὑγιᾶ διατίθεται λόγον, ἀπὸ τοῦ δόξαι ὀρθῶς καὶ ἀμέμπτως δοξάζειν, θηρᾶσθαι τῶν πλειόνων τὴν ἔννοιαν μηχανώμενος, ἵνα ἐν ᾧ μέλλοι τὰ τῆς οἰκείας ἐξερεύγεσθαι πονηρίας, πιθανὸς ὀφθεὶς, ῥαδίως ἕλοι τοὺς πειθομένους αὐτοῦ τοῖς πλάσμασιν· ἀλλὰ γὰρ οὐ χρὴ προσεπιβλέπειν τοῖς ῥήμασιν, ἀλλὰ προσέχειν τοῖς ἐγχειρήμασι· ταῖς ἀληθείαις γὰρ αἴρεται αὐτῷ κατὰ τῆς τοῦ μονογενοῦς οἰκονομίας ὁ πόλεμος, ἐντεῦθεν ὁ Τυφὼς τῆς ἀσεβείας διαίρεται καὶ πολὺς ἐπιφύεται, κατὰ τῶν ἱερῶν ἡμῶν δογμάτων τὴν ἑαυτοῦ ἀντεξανιστὰς κακοδοξίαν· καὶ οἷς οὐκ ἐξῆν αὐτῷ ἐγχειρεῖν ἢ προσβλέπειν, τούτοις παρὰ πάντα τὸν τοῦ δικαίου λόγον καὶ τὴν ἱερὰν ἡμῶν θεσμοθεσίαν ἀντικαθίσταται, ἐμβριθέστατά τε καὶ δυσμενέστατα ἑαυτὸν ἐπιῤῥίψας τῇ ἐκκλησίᾳ· ἐπείπερ δῆλοι πᾶσι καθίστανται οὓς ὁ θεὸς ἐν τῇ ἑαυτοῦ ἐκκλησίᾳ ἔθετο, τῇ τοῦ μεγάλου ἀποστόλου μυσταγωγίᾳ ἡμῖν φανερούμενοι· παρὸν γὰρ τοῖς δημοσίοις καὶ βασιλικοῖς ἐνασχολεῖσθαι πράγμασιν, ἐπειδὴ τῆς θείας δόξης τὴν οἰκείαν φιλοσαρκίαν καὶ ἐμπάθειαν προτετίμηκε, ταῖς τῶν ἀγόντων ὑπαγόμενος εἰσηγήσεσι, δεινὸν πνεύσας, κατὰ τοῦ εὐσεβοῦντος μέρους τὴν χεῖρα καθώπλισε, καὶ τὴν γλῶσσαν κατὰ τῆς ὀρθῆς καὶ ἀμωμήτου ἡμῶν παρέθηξε πίστεως· εἴ τις οὖν τὸν νοῦν προσέξει καὶ ἀκριβέστερον ἐπιστήσειε, ῥᾷστα ἂν αὐτὸν ἐπιγνοίη, οὐ μόνον τῇ ἀληθείᾳ προσκρούοντα, ἀλλ' ἤδη καὶ ἑαυτῷ ἀγεννῶς περιπίπτοντα.

ι. ⁓ Ἡ ἁγία τοῦ θεοῦ, φησὶ, καὶ καθολικὴ ἡμῶν πάντων τῶν χριστιανῶν ⁓ ἐκκλησία. ⁓ Ποίαν ἐνταῦθα φὴς ἐκκλησίαν, ἤρετο ἄν τις αὐτόν; εἰ μὲν ἑτέραν τινὰ καὶ οἰκείαν ἀποτεμόμενος, ἐν τῇ ματαιότητι τῶν λογισμῶν φαντασιούμενος ἀνετυπώσω, σὸν ἂν εἴη τὸ τεχνούργημα· εἰ δὲ δὴ ταύτην τὴν καθ' ἡμᾶς εἴποις, πῶς ἁγίαν ἐνταῦθα καλεῖς, ἣν ἐναγῆ καὶ ἀκάθαρτον ἐν ἑτέροις διὰ πλείστων ὅσων ἐπινοιῶν καὶ κακουργημάτων, καὶ λάτριν δαιμονίων ἀποφῆναι ἐσπούδασας, καὶ ξοάνοις ἀνοσίοις προσκυνήσασαν, καὶ τοῦτο ἐκ παλαιῶν τῶν χρόνων κατειθισμένην εἰσήγαγες; ταῦτα γὰρ τῆς σῆς διανοίας τὰ ἀπο-

βράσματα, καὶ τῆς θεομάχου γλώσσης τολμήματα· οὐ λόγοις μόνον, ἤδη δὲ καὶ ἀνάγραπτον εἰς ἔλεγχον τῆς εἰργασμένης σοι πρὸς θεὸν καὶ ἀνθρώπους παρανομίας, πανταχοῦ τὴν βλασφημίαν ἀπολιπών· πῶς οὖν αὐτὴν, ὁπότε μὲν ταῖς οἰκείαις συναγορεύειν βούλοιο δόξαις, καθολικὴν καὶ ἁγίαν ὀνομάζων καλλωπίζῃ· ἡνίκα δὲ τῶν θείων ἡμῶν καθεξανίστασθαι δογμάτων, εἰς ταυτὸν ἄγων θεὸν καὶ δαίμονας, εἰδωλικὴν καταγγέλλεις; πῶς δὲ οὐχὶ σὺ μᾶλλον εἰδωλολάτρης; καὶ ἵνα τῶν ἀποῤῥητοτέρων ἀφέξωμαι, ὁ τῷ κόσμῳ προσπεπηγὼς καὶ δόξῃ τῇ κοσμικῇ ὑπεραιρόμενος, ὁ τῇ σαρκὶ καὶ ταῖς φιληδονίαις κατηνδραποδισμένος, χρόνοις τὲ καὶ ταῖς παρούσαις εὐημερίαις τὴν εὐδαιμονίαν πᾶσαν μετρῶν, καὶ μηδὲν ὑπὲρ τὰ γήϊνα φανταζόμενος, ἀλλ' οὐχὶ τῇ εἰς θεὸν ἐλπίδι καὶ τηρήσει τῶν θείων ἐντολῶν δοξάζεσθαι προαιρούμενος, ἐφ' οἷς ὡς πρόσυλος καὶ περιπαθὴς ἀποβουκολούμενος, κληρονομίας τῆς οὐρανῶν βασιλείας ἐκπέπτωκας, τῷ δὲ ἀποτεταγμένῳ σοι τῆς γεέννης τόπῳ τοῖς θείοις δικαιωτηρίοις ἀποπεμφθήσῃ· διὰ δὴ τοῦτο τῆς θρησκείας τῶν χριστιανῶν καταγορεύεις, καὶ ἀσθένειαν τῆς πανσθενοῦς τοῦ θεοῦ καταψηφίζῃ δυνάμεως, ὡς ἂν οὐκ ἰσχύσαντος εἰδώλων πλάνης τὸ γένος ἐξελέσθαι τὸ ἀνθρώπειον, ἵνα τὸ δύστηνον καὶ ἀπηχθημένον τοῦ σοῦ φρονήματος ὑποφθὰς προεκφεύξῃ, καὶ τὴν οἰκείαν κακούργως ἐπικρύψῃ αἰσχύνην· διὰ τοῦτο τὴν ἄμπελον τοῦ Χριστοῦ, ἣν τῆς νοητῆς Αἰγύπτου μετήγαγε, καὶ τοῦ πηλοῦ τῆς πλινθείας τῶν ἁμαρτημάτων, καὶ τῶν ἀοράτων ἐργοδιωκτῶν ἠλευθέρωσεως, ὡς ὗς ἐκ δρυμοῦ ἐλυμήνω, καὶ ὡς μονιὸς ἄγριος κατενεμήσω· οὐδὲν ἧττον μανεὶς κατ' αὐτῆς, ἢ πάλαι κατὰ τῶν ἐκ φυλῆς Ἰακὼβ, ὁ βαρυκάρδιος καὶ πικρὸς ἐργεπείκτης αἰγύπτιος, καὶ ὁ τύραννος καὶ σοβαρὸς δυνάστης ὁ βαβυλώνιος· καὶ γὰρ οὕτω τῇ Χριστοῦ κληρονομίᾳ ἐπιθέμενος, τῇ μερίδι τῇ ἐκλεκτῇ, καὶ ταύτης μάλιστα τῷ θερμοτέρῳ μέρει, καὶ ὕβρεσιν ἀνυποίστοις ὡς πλείσταις ἐπιὼν, τὰς μέχρι θανάτου αἰκίας ἐπήγαγες· ἓν ἤρχθω δὴ τοῦτο τῆς σῆς ἀπονοίας τεκμήριον.

ια. Εἶτα. « Παρέλαβεν οὕτως ὁμολογεῖν. » Ἐν τούτοις ἢ οὐ συνῆκεν ὅ τι καὶ λέγει ὁ πάντων σοφώτατος εἶναι οἰόμενος, ἢ ἑκὼν πάλιν τινὰς παρακρούεται· καὶ οὐκ οἶδα πότερον παρανοίας ἢ πανουργίας αὐτόν τις γράψαιτο· ἀκούσεται γὰρ, πάλιν αὐτὸς παράδοσιν εἰσάγεις; τί δή ποτε: μὴ πρότερον τὴν ἀνέκαθεν καὶ ἐξ ἀρχῆς παρὰ τῶν ἱερῶν ἀποστόλων καὶ τῶν ἀοιδίμων ἡμῶν πατέρων παραδεδομένην καὶ κεκρατηκυῖαν ἐπὶ τῇ ὄντως καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ, συνήθειαν παραδέχῃ, ὅση τὲ ἐν γράμμασι καὶ ὅση ἐν λόγοις παραδέδοται; στήκετε γάρ, φησιν ὁ θεῖος ἀπόστολος τισὶν ἐπιστέλλων, καὶ κρατεῖτε τὰς παραδόσεις ἃς ἐδιδάχθητε, εἴτε διὰ λόγου εἴτε δι' ἐπιστολῆς ἡμῶν· ἐπίσης γὰρ ἐν ἑκατέρῳ τούτων μέρει ἥ τε ἰσχὺς καὶ ἡ ἀπόδειξις πρόσεστιν· ἆρ' οὐ παράφρονος καὶ παραπλῆγος οἱ λόγοι; πῆ μὲν δέχεσθαι περὶ ἓν καὶ τὸ αὐτὸ πρᾶγμα τὴν τῆς ἐκκλησίας παράδοσιν, πῆ δὲ ἀποτρέπεσθαι· ταῦτα δογματίζειν βουλόμενος ὁ συνετώτατος, πῶς οὐκ ἐννενόηκεν, ὅτι

γε δὴ τοῦ Χριστοῦ ἡ ἐκκλησία μετὰ τῶν ἄλλων ἁπάντων ἱερῶν σεβασμάτων, καὶ τὴν τῶν σεπτῶν εἰκόνων ἱστορίαν τε καὶ προσκύνησιν τὴν προσήκουσαν, ἐξ ἀρχῆς καὶ μέχρι τοῦ δεῦρο παραλαβοῦσα διασώζει; ἀλλ' ἔοικεν ἡ οἴησις πάθος οὖσα χαλεπόν τι καὶ εὐπερίστατον, ἐν τοῖς καιριωτάτοις αὐτοῖς ἀποσφάλλεσθαι· κἀνταῦθα γὰρ ἑαυτὸν παραλογίζεται, ἢ οὓς πείθειν ὑπολαμβάνει· οὐ τοῖς λόγοις οὖν οἷς χρῆται πρὸς ἐξαπάτην τῶν πολλῶν προσεκτέον, τῷ τρόπῳ δὲ καὶ τοῖς ἔργοις, ἃ δὴ κατὰ τῶν ἁγίων ἐβουλεύσατό τε καὶ ἔδρασεν, αὐτὸν κριτέον.

ιβ. Εἶτα ἐπάγει· „ μὴ τρέψαντα τὴν θεότητα εἰς σάρκα, μήτε τὴν σάρκα „ εἰς θεότητα αὔξος ἐμποιησαμένην. „ Ἐντεῦθεν δῆλον ἑαυτὸν πεποίηκε, περὶ τὴν τοῦ λόγου σάρκωσιν ἀποσφαλλόμενον· καὶ κατάρχεται λοιπὸν κατὰ μικρὸν τὰ τῆς πονηρίας παραγυμνοῦν· οὐ γὰρ ὥσπερ τῷ λόγῳ τὸ ἄτρεπτον ἔνειμεν, οὕτω δὲ καὶ τῇ σαρκὶ αὐτὸ δὴ τοῦτο ἀποδέδωκε, κἂν πείθειν τινὰς ἐνόμιζεν, ὡς τὴν σάρκα ἀποδέχεται· τί γὰρ ἔδει αὔξος τοῦ ἀτρέπτου ἀντιπαραλαμβάνεσθαι; τὰ γοῦν ἰδιώματα αὐτῆς τέλεον ἀποσκευαζόμενος, τὴν οἰκείαν κακοδοξίαν προανακρούεται. „ Ἀλλὰ τῶν δύο φύσεων συνελθουσῶν εἰς ἕνω- „ σιν ἀσύγχυτον, τήν τε τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος, ἕνα τὸν αὐτὸν „ καθ' ὑπόστασιν ὑπάρχειν, διπλοῦν ἐν ἑνὶ προσώπῳ. „ Παραλογίζεται ἑαυτὸν κἀνταῦθα, οὐ γὰρ τῶν ἀκροωμένων τοὺς συνετοὺς καὶ νοῦν ἔχοντας· εἰ γὰρ ὀρθῶς προσέφερε, τί δή ποτε μὴ καὶ ὀρθῶς διεῖλεν, εἰ ἀσυγχύτους μεμενηκέναι τὰς κατὰ Χριστὸν συνελθούσας φύσεις διωμολόγει, καὶ ἀτρέπτους ἂν πάντως ταύτας παρεδέχετο; ἐπεὶ τίνι τρόπῳ θατέρας μὲν τὰ ἰδιώματα, τουτέστι τῆς τοῦ λόγου φύσεως διὰ τοῦ ἀτρέπτου διασωζόμενα, εἰσφέρειν προσποιεῖται; θατέρας δὲ, τουτέστι τῆς σαρκὸς, ὥσπερ παρῃρημένα, ἀπαναίνεται; οὐκ ἔστιν οὖν τοῦτο, ἀτρέπτους καὶ ἀσυγχύτους τὰς φύσεις δοξάζοντος· εἰ γὰρ τὸ μὲν πεπονθέναι περὶ τὰς ἰδιότητας ἀξιοῖ, ἀνάγκη καὶ τὸ λοιπὸν πεπονθὸς συνομολογήσειν· ὥσπερ γὰρ θεὸς τέλειος πρὸς ἡμῶν πάντων ὡμολόγηται ὁ Χριστὸς ἐν μορφῇ θεοῦ, ἤγουν ἐν οὐσίᾳ θεοῦ ὑπάρχων, οὕτω καὶ μορφὴν δούλου λαβὼν τὴν καθ' ἡμᾶς, τέλειος ἂν πιστεύοιτο ἄνθρωπος, ἐν μηδενὶ λειπόμενος· καὶ γὰρ οὖν καὶ ἡ καθ' ἡμᾶς ἐκκλησία, κατὰ τὰ θειωδῶς ἡμῖν παραδεδομένα ἔκ τε ἀποστολικῶν κηρυγμάτων καὶ πατρικῶν διδαγμάτων, ἀτρέπτους καὶ ἀσυγχύτους τὰς φύσεις ὁμολογοῦσα, καὶ τὰ ἑκατέρας τούτων ἰδιώματα, τοῦθ' ὅπερ ἐστιν ἑκάτερον διαῤῥήδην προανακέκραγε· μάτην οὖν τῇ δόξῃ τῆς ἐκκλησίας ἐπερείδεσθαι ᾤετο· ἀπεναντίας γὰρ ταύτῃ κἀν τούτοις δοξάζων ἐλέγχεται. τοῖς διδασκάλοις αὐτοῦ τοῖς Ἀκεφάλοις ἑπόμενος, ὧν τινὲς τὰς φύσεις δοκοῦσι δέχεσθαι, πάντες δὲ τὰ ἰδιώματα αὐτῶν πάντῃ ἀναιροῦσι καὶ παραγράφονται· ἐντεῦθεν τὸ φλεγμαῖνον τῆς γνώμης, καὶ τὴν ὑποικουροῦσαν ἐν τῷ βάθει τῆς ψυχῆς, κατὰ τῶν χαρακτηριζόντων καὶ ἐμφανιζόντων ἡμῖν τὸ τοῦ σωτῆρος ἡμῶν Χριστοῦ ἀνθρώπειον εἶδος δυσμένειαν, ἀτάκτως πως καὶ ἀσυναρτήτως ἐκπομπεύων παραδείκνυσι.

ιγ. Φησὶ γάρ. „ Κἂν πᾶσα εἰκὼν παράγωγος πρωτοτύπου τινὸς γνωρίζεται. „ Τίνι ταῦτα παραβλητέον; ἢ ἐκεῖνο ῥητέον, ὅτι χαλκέως ἐν ἴσῳ φυσητῆρι ὑπὸ τοῦ ἐμφωλεύοντος καὶ ὀλέκοντος πνεύματος τὰ σπλάγχνα περιτεινόμενος, κατ᾽ ἐκεῖνον δὴ τὸν Βουζίτην τὸν λάλον, ἡνίκα τῷ Λυσίτῃ τῷ μεγάλῳ ἐπιπληκτικώτερόν πως προσδιελέγετο· οὐ γὰρ ἔσθενεν ἔτι κρύπτειν ἐντὸς τὴν κακοήθειαν· νῦν ὅπερ πάλαι ὤδινε, πικρὸν τῆς ἀσεβείας ἐξήμβλωσε κύημα, καὶ ἣν πρὶν ὑπὸ παραπετάσματι τῷ πλάσματι κατασκιάζειν ἐδόκει πονηρίαν ἐκρήγνυσι· καὶ ταῦτα μὴ δὲ τῆς ἀκολουθίας τοῦ λόγου φερούσης, ἀκαταλλήλως ἐκτιθέμενος δεικνὺς καὶ ἐντεῦθεν, ὅτι βίᾳ κατεῖχεν ἐν ἑαυτῷ, καὶ ἃ προλεχθέντα αὐτῷ παρεπλάσατο· καὶ δὴ ἂν περιεῤῥώγει αὐτοῦ ἡ γαστὴρ, εἰ μὴ ταύτην ἔῤῥηξε τὴν φωνὴν, καὶ παρὰ τὴν τάξιν, καὶ παρὰ τὴν ἁρμονίαν, καὶ παρὰ τὴν ἀκολούθησιν τῆς τοῦ λόγου ἐκθέσεως· μικρὰ γὰρ τῇ σκηνῇ προσπαίξας, καὶ τὸ δράμα ὅπερ ὑπεκρίνατο μονονουχὶ διαγελάσας, πρὸς τὴν οἰκείαν ῥοπὴν ἐπανιὼν, ἐφ᾽ ἑαυτὸν γίνεται.

ιδ. Τὸν μυθολογούμενον κολοιὸν ἐκεῖνον, ἣ παλαιὰ εἰσφέρει μυθοπλαστία, ὀθνείοις πτεροῖς ἐγκαλλωπιζόμενόν πως καὶ ἐπαγαλλόμενον· ἐφ᾽ ὃν ἀέριόν ποτε προσρήξαν πνεῦμα. σκεδάννυσι μὲν τὴν ἐπείσακτον εὐμορφίαν, καὶ φροῦδον ποιεῖ τὸ ἀλλότριον, ἐκεῖθεν δὲ αὐτῷ τὸ δυσειδὲς λοιπὸν ἐξελέγχεται· τάχά τι παραπλήσιον καὶ αὐτός μοι πεπονθέναι δοκεῖ· ἀλλοτρίοις γὰρ ὥσπερ τῆς εὐσεβείας ἐν βραχέσιν ἑαυτὸν περιμορφώσας λόγοις, ὑπὸ τῆς ἐμπνεούσης αὐτῷ ἐναντίας δυνάμεως, οὐκ εἰς μακρὰν τὸ αἶσχος τῆς ἑαυτοῦ δόξης ἔκδηλον παρεστήσατο· ἆρα γὰρ οὐ πᾶσιν ἐστὶ καταφανὴς, τῇ τοῦ Χριστοῦ δόξῃ μεμαχημένος, ἀπειλῶν καὶ βρέμων κατὰ τῆς τοῦ λόγου σαρκώσεως; ὅτι δὴ πρὶν ἢ κατάρξαι τοῦ περὶ εἰκόνων λόγου, δι᾽ ὧν ἀπέῤῥιψεν ἐν μέσῳ ῥημάτων, τὴν οἰκείαν καὶ πρὸ τῆς ἀρίστης ἐκείνης τοῦ λόγου κατασκευῆς, ὑπαινίττεται γνώμην· σκοπεῖτε γὰρ ἐνταῦθα, ποίας ἀκολουθίας ἔννοιαν διασώζει ταῦτα πρὸς τὰ προηγούμενα· ἐν γὰρ τοῖς προλαβοῦσι περί τε φύσεων καὶ ὑποστάσεως διαλεγόμενος, ἀθρόον ὑπ᾽ αὐθαδείας καὶ ἐμπαθείας ἐκβιαζόμενος, ἐπὶ εἰκόνας ἀκόσμως ἀφάλλεται καὶ πρωτότυπα· ἵνα δείξῃ σαφῶς ὡς πᾶς ὁ κεκινημένος αὐτῷ λόγος, πρότερός τε καὶ ὕστερος, τοῖς ἱεροῖς τῆς πίστεως ἡμῶν συμβόλοις, τὴν ὅλην τοῦ σωτῆρος ἡμῶν Χριστοῦ συγκαθυβρίσαι οἰκονομίαν, μᾶλλον δὲ αὐτὸν Χριστὸν ἀθετήσειν ἐξώρμητο· ἅπαξ οὖν τοιούτου σκοποῦ ἀπαρξάμενος, ἐμφιλοχωρεῖ λοιπὸν, δεινῶς ἄγαν καὶ δριμέως τὰ τῆς διασκευῆς τοῦ λόγου διεργαζόμενος· τῷ καθολικῷ δὲ προσδιορισμῷ κέχρηται, ἀπὸ τοῦ δοκεῖν περὶ πάσης εἰκόνος τὸν λόγον ποιεῖσθαι, ἀνύποπτος τοῖς πολλοῖς ἔσεσθαι, λέγεσθαι δὲ περὶ ὅτου αὐτῷ τὰ τῆς σκέψεως πρόκειται.

ιε. Εἰσάγει γοῦν εὐθύς. „ Καὶ εἰ καλῶς ὁμοούσιον αὐτὴν εἶναι τοῦ εἰ„ κονιζομένου. „ Οὐκοῦν τὸ ἁπλῶς εἰκονίζεσθαι τὸν Χριστὸν οὐ κωλύεις, διὰ δὲ τὸ ἑτεροούσιον τοῦ εἰκονίσματος· ἕτερον γὰρ ὁ Χριστὸς, καὶ ἕτερον τὸ τῆς ὕλης ἐξ ἧς ἀπεικόνισται· ταῦτα δὲ εὐθύνειν ἆρα οὐ καταγέλαστον; ἃ γὰρ

οὐδ' ἂν τῶν ἀπὸ τῆς σκηνῆς τις ἢ τῶν ἐκ τριόδων, οὓς ἐπὶ κόῤῥης οἱ πολλοὶ ἐπιτωθάζοντες παίουσι παρεφθέγξατο, οὗτος τῇ μέθῃ τῆς ἀπιστίας ἐκβακχευθεὶς, καὶ τῷ κράτει τῆς ἀσεβείας ἐξοιστρηθεὶς, παραπεφώνηκε· τερθρεία γὰρ ἤδη ταυτὶ, καὶ τηνάλλως ἐκπεπονημένα αὐτῷ· ἀλλ' εἰσί τινες ἐπὶ τοσοῦτον ἀμαθίας καὶ ἀλογίας ἥκοντες, ὡς οἴεσθαι αὐτοῖς ἐνορᾶσθαι λόγου τι ἄξιον· διὸ ἀναγκαίαν ποιούμεθα οὐκ ἐπ' ἀναγκαίοις τὴν ἐξέτασιν· τί γὰρ τῶν εἰρημένων ἀλογώτερον, ἢ ἀδιανοητότερον; οὐδὲ γὰρ ἂν εἴη ταῦτα τῶν σωζόντων τὸ ἐν διανοίαις ἀκόλουθον· εἰ μὲν γὰρ περὶ φυσικῆς εἰκόνος, ἥ περ δὴ τῇ τεχνητῇ ἀντιδιαστέλλεται, προὔκειτο αὐτῷ ὁ σκοπὸς, ὁποίαν εἶναι τοῦ πατρὸς λέγομεν τὸν υἱὸν, εὐώδωτο ἂν αὐτῷ πως ἴσως ὁ λόγος· διέπιπτε δὲ τὸ ἐν τούτοις ἀνοήτως παραλαμβάνεσθαι τὸ ἀπείκασμα· οὐδὲν γὰρ δεήσει ἀπεικασμάτων ἐνταῦθα καὶ στοχασμάτων· οὐκ ἔστιν οὖν ἐπὶ τούτων ἀπεικάσματα λέγειν· ἀσυνετώτερον γὰρ καὶ ἀσεβέστερον τοῦτο μᾶλλον ἢ ἐκεῖνο· καὶ δῆλον ποιεῖ ἑαυτὸν ἐξ ἀλλοκότων καὶ ἀσυμβάτων τὸν λόγον προάγων.

ις. Νῦν δὲ ἐπειδὴ περὶ ἀπεικασμάτων καὶ τεχνητῶν εἰκόνων ὁ λόγος αὐτῷ κεκίνηται, ἅπερ ἐξ ὕλης ὑποκειμένης τέχνης τὲ καὶ τῆς τοῦ μετιόντος ταύτην εὐφυΐας ἀποτελεῖται, τίς τῶν εὖ φρονούντων ἀκούειν ἀνέξεται, λέγοντος ὁμοούσιον ἀπείκασμα καὶ εἰκόνα τοῦ πρωτοτύπου γίνεσθαι; πρῶτον μὲν γὰρ διασφάλλεται, εἰς ταυτὸν ἄγων οὐσίαν τὲ καὶ τέχνην, ἅπερ ἀλλήλων παραπολὺ διενήνοχε· τὴν μὲν γὰρ φύσιν, ὁ δημιουργὸς καὶ τεχνίτης τῶν ὅλων, ἐκ μὴ ὄντος εἰς τὸ εἶναι παρήγαγε θεός· ἡ δὲ τέχνη μιμεῖται τὴν φύσιν, οὐκ αὐτὴ ἐκείνη γε οὖσα, ἀλλὰ τὸ φυσικὸν εἶδος ὡς παράδειγμα καὶ πρωτότυπον παραλαβοῦσα, ἐοικός τι καὶ ὅμοιον ἀπετέλεσεν, ὥς ἐστιν ἐπὶ πλειόνων τοῦτο ἰδεῖν τεχνητῶν· ἔπειτα δὲ τοῦ εἰκότος καὶ νῦν παρενήνεκται λογισμοῦ, κατ' οὐδὲν διαφέρειν τοῦ ἀψύχου τὸ ἔμψυχον καθοριζόμενος, ἀλλ' εἶναι ἄμφω ὁμοούσια· ἐπειδὴ ὡς φέρε εἰπεῖν ὁ ἄνθρωπος ἔμψυχον, δεῖ καὶ τὴν τούτου εἰκόνα ἔμψυχον εἶναι, καὶ τὸ ἀπείκασμα, καὶ ἀπαραλλάκτως ἔχειν τά τε χρώματα καὶ τὴν ἄλλην ὕλην τὴν ἄψυχον ἐξ ὧν ἡ εἰκὼν συνέστηκε, πρὸς τὴν ἀνθρώπου φύσιν· ἐχρῆν δὲ κατὰ τὸν τοιοῦτον λόγον, καὶ ἐπικοινωνεῖν τῷ ὁρισμῷ ἀμφότερα, καὶ τὸν αὐτὸν ἀποσώζειν λόγον τῶν ὁμοουσίων· οἷον ὥσπερ ἄνθρωπος πρὸς ἄνθρωπον τῷ αὐτῷ ὅρῳ ὑποπέπτωκεν, οὕτω καὶ τὸ ἀπείκασμα· καὶ εἰ ὁ ἄνθρωπος ζῶον λογικὸν, θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικὸν, καὶ τὴν εἰκόνα ζῶον λογικὸν, θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικὸν ὡσαύτως εἶναι, μηδὲν παραλλάσσουσαν· ἀλλ' οὐχ' οἷόν τε τῶν εἰκαζομένων οὐδὲν, πρὸς πᾶσαν ἐξικνεῖσθαι καθαρῶς τὴν ἀλήθειαν, ἡ ἀλήθεια βεβαιοῖ, καὶ τῶν θεολόγων οἱ ἔκκριτοι· καὶ ὁ μὲν ἀληθὴς λόγος καὶ τὸν ἄνθρωπον, αὐτὸν ἑαυτοῦ διαφέρειν οἶδεν, ἐξ ἑτεροφυῶν συνεστῶτα, ψυχῆς λέγω καὶ σώματος· εἰ καὶ ἕν τι ἐκ τούτων ὁ ἄνθρωπος, ἑκάτερον γὰρ τὸν οἰκεῖον ὅρον ἀποφέρεται· ἄλλος γὰρ ὁ τῆς ψυχῆς λόγος, καὶ ὁ τοῦ σώματος ἕτερος, διαφοραῖς δὲ καὶ συμβεβηκόσι πλείοσι· σύνθετοι γὰρ ἡμεῖς, ἀλλὰ καὶ ἀντίθετοι καὶ ἑαυτοῖς καὶ ἀλλήλοις· ὁ δὲ οὐδὲ

τὰ ἀπεικάσματα κατά τι γοῦν τῶν ὧν εἰσιν ἀπεικάσματα παραλλάσσειν ἡγεῖτο, ἀλλ' ἀκραιφνῶς ἀποσώζειν πρὸς τὰ ἀπεικαζόμενα τὸ ὁμοφυὲς καὶ ὁμοούσιον· πῶς δ' ἂν ἔτι εἰκὼν καὶ ἀπείκασμα λεχθείη, εἰ μὴ τὸ ἀπεοικὸς ἔχει τῷ ἑτεροίῳ τῶν φύσεων: ἀπέῤῥηκται οὖν πάντη τῆς ἀληθείας ὁ σοφώτατος, καὶ πόῤῥω που τῆς τῶν πραγμάτων καταλήψεως ἀποπέπτωκεν.

Ἄξιον δὲ καὶ τοῦτο πρὸς αὐτὸν εἰπεῖν· ὅτι λέληθας σεαυτὸν κἀνταῦθα, ὦ φιλοσοφώτατε, τοῖς οἰκείοις περιπίπτων ἐπιχειρήμασιν· ἐπειδὴ γὰρ κατὰ τὸν σὸν λόγον, ὁμοούσιον εἶναι δεῖ τὴν εἰκόνα τῷ πρωτοτύπῳ, ἡ δὲ εἰκὼν ὅτι περιγραπτὴ συμφήσεις πάντως καὶ αὐτὸς, οὐ γὰρ ἂν οὕτω μανείη τις μὴ οὐχὶ οὕτως ἔχειν ταῦτα φάναι, ἔσται καὶ τὸ πρωτότυπον περιγραπτὸν ὡς ὁμοούσιον· τὰ γὰρ ὁμοούσια, διαφέρειν ἀλλήλων ὅσον κατὰ τὸν τῆς οὐσίας λόγον, οὐδαμῶς οἷόν τε ἐστὶν· ἡνίκα καὶ αὐτὸς τὸ περιγραπτὸν καὶ ἀπερίγραπτον εἰς τὸν τῆς οὐσίας παραλαμβάνεις λόγον· εἴ σοι οὖν τὰ τοῦ δόγματος στήσεται, κατέστραπταί σου ἡ μηχανὴ, καὶ καταλέλυται τὰ ἐγχειρήματα τῇ σφενδόνῃ τῆς ἀληθείας καὶ τοῖς ὅπλοις κραταιῶς ἐκπορθούμενα· ὄντως ἔδει τοιούτων διδασκάλων, τοιούτους εἶναι καὶ τοὺς νῦν ἀνακύψαντας φοιτητὰς, καὶ τοιούτων ἐξ ὧν ὅμοια τὰ γεώργια, κακῶν κάκιστα καὶ αἰσχρῶν αἴσχιστα.

ιζ. Ἔτι τῆς αὐτῆς ἐννοίας, ἢ ἀνοίας εἰπεῖν δικαιότερον, ἐχόμενος φησίν. ⸙ Ἵνα τὸ ὅλον σωθῇ ἐπεὶ οὐδὲ εἰκών. ⸙ Τῆς ἐκείνου ταῦτα παρανοίας καὶ τῆς παχύτητος· οἱ γὰρ ὑγιᾶ τὴν φρένα κεκτημένοι, καὶ ἄρτιον καὶ τὸ ἐν λόγοις καίριον διασώζοντες, ἐκ τοῦ ἐναντίου φήσουσι μᾶλλον, ὅτι εἰ τὸ ὅλον διασώζεται, οὐδὲ εἰκὼν, ἀλλ' αὐτὸ ἐκεῖνό ἐστι τὸ εἰκονιζόμενον, οἷς τὸ ταυτὸν εἴδει μόνον, ἀλλ' οὐ τῷ ὑποκειμένῳ ἐμφαίνεται· τῷ δὲ ὑπείληπται ὡς εἰ μὴ καὶ ἔμψυχον εἴη καὶ αὐτοκίνητον, καὶ ὅσα τοῦ ἀρχετύπου οὐδὲ εἰκών· εἰ δὲ ταῦτα οὐκ εἰκόνος, ἀνῄρηται αὐτῷ ὁ τῆς εἰκόνος λόγος παντάπασι· τί οὖν ἐντεῦθεν; τὸ ἓν καὶ ταυτὸν, κατὰ ταυτὸν καὶ ἓν εἶναι καὶ δύο συμβήσεται· ἀλλὰ καὶ ἀλλήλων εἰκόνας γνωρίζεσθαι καὶ ἀρχέτυπα, καὶ ὅμοιον ἐκεῖνο τούτῳ, καὶ ἔμπαλιν τοῦτο ἐκείνῳ· οὐχ' ὥσπερ ἐπί τινος ἀνθρώπου φέρε εἰπεῖν, ὁμοία μὲν αὐτῷ λέγεται ἡ ἐκείνου εἰκὼν, ἀλλ' οὐκ ἐκεῖνος ὅμοιος αὐτῇ· καὶ δὴ καὶ ἀντιστρέφουσαν τὴν ἐνυπάρχουσαν αὐτοῖς σχέσιν, ἐπίσης καὶ ἀπαραλλάκτως ἔχειν, καὶ ἄνθρωπον εἰκόνος, μὴ ὅτι μόνον ἀνθρώπου εἰκόνα εἰρῆσθαι· ἐπὶ τούτοις ἤδη καὶ διαπορεῖσθαι, ὁπότερον θατέρου αἴτιον εἶναι καὶ πρότερον· ταῦτα δὲ τὴν ἐκείνου σαφῶς παρίστησι σύνεσιν· ἆρα γὰρ οὐ κιβδήλου καὶ παρενηνεγμένης φρενὸς, τὰ τοιαῦτα εὑρήματα; τοσοῦτον ἀνεπίσκεπτος τῆς τῶν ὄντων φύσεως, καὶ τῶν ἀληθῶν μακρὰν διῳκισμένος κινδυνεύσειε, ταῦτα οὐδὲν ἄμεινον εἶναι τῶν ἐν τοῖς γυναικωνίτισι παρὰ τοῖς κωθωνιζομένοις γραϊδίοις κατὰ τὰς μακρὰς ὁμιλίας ᾀδομένων μυθολογήματα.

ιη. Ὡς οὖν ἥκιστα αὐτῷ εὐσεβείας προσῆν ἔναυσμα πώποτε, οὐδὲ λογικῆς ἐπιστήμης κἂν βραχὺ γοῦν τι περιγέγονε· πόθεν γὰρ αὐτῷ αἰτίου καὶ αἰτιατοῦ ἢ τῆς τοῦ ὁμοίου παραθέσεως ὁ λόγος διασωθήσεται, ἢ τὸ μετέχον καὶ

μετεχόμενον, ἑτερότης τὲ καὶ διαφορὰ ἐπικριθήσεται; ἅπερ ἐπί τε τοῦ ἀρχετύπου καὶ τῆς εἰκόνος φυσικῶς ἐνθεωρεῖται, τὰ μὲν τὴν σχέσιν καὶ τὴν ποιότητα τὴν ἐν αὐτοῖς, τὰ δὲ τὸ ἑτεροῖον τοῦ ὑποκειμένου ἡμῖν ὑπογράφοντα· οὗτος δὲ τὸ ταυτὸν καὶ ἀπαράλλακτον ἐπ' ἀμφοῖν τιθέμενος, ἀγνοίᾳ τῆς τῶν ὄντων ἐπισκέψεως, τὸν τῆς εἰκόνος λόγον ὁλοτρόπως ἀνεῖλεν, ὅπερ ἐστιν ἀδύνατον· οὕτω γὰρ καὶ τῶν πραγμάτων ἡ φύσις αὐτῷ παρακεχάρακται· ἀλλ' ἔοικα τῇ αὐτῇ ἐκείνῳ ἀπαιδευσίᾳ συμπεριηνεγμένος, τὸν εἰς μνήμην τούτων οὐκ ἀφιγμένον πώποτε καταιτιώμενος· δόξαιμι γὰρ ἂν ταυτόν τι ποιεῖν, ὡς εἴ τις τὸν γεωργὸν ἢ τὸν βάναυσον, τῷ θεωρητικῷ διευθύνειν ἐπιχειροίη· τί γὰρ δεῖ τὸν ἀνδροφόνον καὶ ἄμουσον, λογικαῖς ἐφόδοις μετέρχεσθαι, τὸν αἵμασιν ἀνθρωπείοις καὶ ταῦτα χριστιανῶν χαίροντα, κυσί τε καὶ συσὶν ἐπαγαλλόμενον, οἷς τὸ πλέον τῆς ζωῆς χαριζόμενος ἔνειμεν; ὅθεν αὐτῷ ἡ μελέτη τῶν δογμάτων ἐξήρτηται, καὶ τῆς πολλῆς ἐπιστήμης διὰ τῆς τῶν τοιούτων ἀσκήσεως, συναγήγερται ἡ κατάληψις· ἐῶμεν τἄλλα τοῦ βίου λέγειν τὰ νῦν, ἃ καὶ λέγειν αἰσχρὸν, καὶ ἀκούειν λεγόντων αἰσχρότερόν τε καὶ βλαβερώτερον· τίς γὰρ ἂν ἴδοι ἄνθρωπον κυνηλατοῦντα καὶ συῶν καὶ ἐλάφων ἴχνη κυσὶ καὶ θηρσὶν ὡσαύτως περιαθροῦντα, καὶ τῆς φίλης ἱππείας ὡς ἡδίστης περιαληλιμμένον καὶ δεδευμένον, καὶ ὡς εὐώδους μύρου ἀντειλημμένον, τοῖς ὑψηλοῖς τῆς εὐσεβείας ἀσφαλῶς καὶ ὑγιῶς προσβαίνοντα δόγμασι; ῥᾶον γὰρ ἄν τις ἀκούων οἴσειεν, ἐν κώπῃ τὴν κεραμείαν ἢ γεωργίαν, ἀλλὰ μὴ τὴν ναυτιλίαν τινὰ ἐκπαιδεύεσθαι, καὶ θωρακοφοροῦντα θαλαττεύειν μᾶλλον οὐχ' ὁπλιτεύειν, ἢ τὸν ἐν κοπρίᾳ καὶ αἰσχρότησιν ἀῤῥήτοις ἐμμολυνόμενον, καὶ χερσὶ καθῃμαγμέναις, καὶ ἀκολάστῳ γλώσσῃ, καὶ νοὸς σαθρότητι, θείων δογμάτων ἐφάπτεσθαι, καὶ λαλεῖν θεοῦ μυστήρια, ἃ τοῖς καθαροῖς τὴν καρδίαν, καὶ θεῷ πλησιάζειν ἠξιωμένοις, παρὰ τῆς ἄνωθεν ἀποκαλύπτεται χάριτος.

ιθ. Ἀλλὰ ταῦτα μὲν οὕτως οἰχέσθωσαν ἔχοντα· ἡμεῖς δέ τινα τῶν ἐν μέσῳ διὰ τὸ ἀηδὲς καὶ ὀχληρὸν τῆς λέσχης παραδραμόντες, ἐπὶ τὰ δοκοῦντα αὐτοῖς σπουδαιότερα, τῷ λόγῳ μέτιμεν. „ Ζητοῦμέν φησι παρ' ὑμῶν, πῶς δυν„ ατόν ἐστι τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν ἐκ δύο φύσεων ἀΰλου τὲ „ καὶ ἐνύλου ἑνώσει ἀσυγχύτῳ ἓν πρόσωπον ὄντα, γράφεσθαι, τουτέστιν εἰ„ κονίζεσθαι; „ Ὁ πάντα τὰ δεδογμένα προκατασκευάσας κατὰ ἰδίαν ἣν συνεχώρησε θεὸς ἐξουσίαν, ἐν προσχήματι ἐρωτήσεως τοῖς ἱερεῦσι προσάγεται, οὓς δεσμοῖς τε καὶ εἱρκταῖς, ἀπειλαῖς τε καὶ ἄλλοις δεινοῖς προεκδειματώσας ὡς πλείστοις, εἰς τὸ ἑαυτοῦ ὑπηγάγετο βούλημα· πυνθάνεται οὖν, εἰ τὸν Χριστὸν ἐκ δύο φύσεων ὄντα ἀΰλου καὶ ἐνύλου, δυνατὸν γράφεσθαι; δείκνυται δὲ καὶ ἐνταῦθα, τὸ ἐν τοῖς λόγοις αὐτοῦ σαθρὸν καὶ ἀνάρμοστον, καὶ ὡς ἐναντία ταῖς οἰκείαις συμπεραίνει θέσεσιν· ἐχρῆν γὰρ, εἴπερ αὐτῷ τῆς ἀληθότητος τῶν ἱερῶν ἡμῶν δογμάτων ἐμέλησε, κατευθὺ τῆς βασιλικῆς ἰέναι τρίβου, καὶ τοῦ καθ' ἡμᾶς μυστηρίου ἀκριβῆ ποιεῖσθαι τὴν ἔρευναν· ἐπεὶ οὖν περὶ ἀΰλου καὶ ἐνύλου φύσεως λέγειν ὥρμητο, πραγμάτων πάντη ἀλλήλοις ἀντικειμένων,

ἔδει τὰ ἑκατέρῳ μέρει τῆς ἀντιθέσεως τῶν ἐν ταῖς φύσεσι θεωρουμένων ἑπόμενα, ὑγιῶς καὶ οἰκείως ἀποδιδόναι· εἰ γὰρ τῷ ἀΰλῳ ἕπεται τὸ μὴ γράφεσθαι, ὡς καὶ αὐτὸς προϊὼν ἐρεῖ, καθάπερ ἤδη καὶ τὸ ἀνείδεον καὶ ἀσχημάτιστον, καὶ εἴ τι τούτοις παραπλήσιον καὶ ἀνάλογον, ἀνάγκη πᾶσα καὶ τῷ ἐνύλῳ ὡς πάντη ἀντικειμένῳ τῷ ἀΰλῳ, τὰ τούτοις ἀντιδιαστελλόμενα ἀκολουθεῖν, λέγω δὴ τὸ γράφεσθαι, τό τε εἰδοπεποιημένον, καὶ ἐσχηματισμένον, καὶ τὰ τούτοις ὅμοια, ἵνα ἡ τῆς ἀντιθέσεως ἀκολούθησις ἀμέμπτως καὶ ἀναλόγως παρίστηται· καὶ οὕτως ἂν ἐπέγνω ὅτι δυνατὸν τὸν Χριστὸν, μᾶλλον δὲ ἀληθὲς καὶ εὐσεβὲς, εἰκονίζεσθαι· ἀλλ' οὐδὲν αὐτῷ τούτων διὰ φροντίδος ἐγένετο· οὐδὲ λογισμῷ τῷ εἰκότι τὰ λεγόμενα ἔκρινεν, ἐξουσίᾳ δὲ μᾶλλον τῇ τῶν ἀγόντων ἐξαπάτῃ διαπραττόμενος· ἢ γὰρ ἂν τὸ ἔνυλον γραφόμενον καὶ εἰκονιζόμενον εἴρηκεν· ἀλλ' ὥσπερ τῷ κρατοῦντι ἀρότρου, παρὰ τῷ σοφῷ προσέρριπται τὸ ἀσόφιστον, οὐδὲν ἧττον καὶ τῷ αὐτουργοῦντι τὸ ἀρρητούργημα, τὸ ἀσύφηλον καὶ ἀσύνετον νεμηθήσεται· ἐναντίος οὖν ἑαυτῷ καὶ τῇ ἀληθείᾳ καθέστηκε, μήτε ἃ λέγει, μήτε περὶ τίνων διαβεβαιοῦται νοῶν, ἐξ ἀμαθίας τε ἅμα καὶ μοχθηρίας τὰ τοιαῦτα κατασκευάζων.

κ. Εἶτα τὴν ἕνωσιν τοῦ κατὰ Χριστὸν προσώπου δοκεῖ πρεσβεύειν ἀσύγχυτον, ὅπερ ἐξ ἐναντίων σύγκειται φύσεων, καθὰ καὶ τῶν πατέρων ἐκδιδάσκει τὰ δόγματα· " προελθὼν γὰρ θεὸς, φασὶν οἱ θεολόγοι, μετὰ τῆς προσλήψεως, ἓν ,, ἐκ δύο τῶν ἐναντίων. ,, Πῶς οὖν αὐτῷ σωθήσεται τὸ ἀσύγχυτον, ἐπείπερ τὰ τῇ ἑτέρᾳ τῶν φύσεων οὐσιωδῶς ἐφαρμόζοντα, ἀμφοτέραις δίδωσι; τοῦτο δὲ ἀδύνατον· οὐ γὰρ ἐγχωρεῖ τὰ τῇ θείᾳ καὶ ὑπερτάτῃ φύσει προσόντα, ἐπὶ τὴν καθ' ἡμᾶς γεώδη ταύτην οὐσίαν φυσικῶς μεταπεφοιτηκέναι· οὐδὲ ἡ ἄϋλος τῇ ἐνύλῳ ταῖς ἰδιότησι ταυτίζοιτο, πάντη ἀλλήλων ἀποτετειχισμέναις· ὁ δὲ τοῦτο ἐκκλίνων, οὐδὲν ἕτερον λέγει, ἢ τὰ ἀντικείμενα καὶ πολλῷ ἀλλήλων διεστηκότα, εἰς ταυτὸν τῇ φύσει συνέρχεσθαι καὶ συμφύρεσθαι, συγχεόμενα καὶ εἰς ἄλληλα περιτρεπόμενα· ὡς εἶναι τὰς φύσεις διὰ τὴν εἰς μίαν ὑπόστασιν ἕνωσιν, ἢ ἄμφω ἀγράπτους διὰ τὸν λόγον, ἢ ἄμφω γραπτὰς διὰ τὴν σάρκα, ἢ ὅπερ ἀληθέστερον εἰπεῖν, οὐδ' ὁπότερον τούτων, ἀλλ' ἑτερόν τι ἀποτελεσθῆναι οὐσίας εἶδος, ὅπερ ἡ σύγχυσις ἀπειργάσατο, καὶ ἡ ἐκείνου εὐχέρεια ἀνεπλάσατο· τοιοῦτον γὰρ ἡ σύγχυσις, τὰ συνερχόμενα ἐξαφανίζουσα, καὶ μηδὲν τούτων καθαρῶς διασώζουσα, ὡς μήτε θεότητα κατ' αὐτόν γε μεμενηκέναι, μήτε μὴν ἀνθρωπότητα· οὐκ ἔστιν οὖν ταῦτα τὸ ἀσύγχυτον εἰσφέροντος, εἰ μὴ ἑκατέρα τῶν φύσεων τὸ ἴδιον ὃ κέκτηται οὐσιωδῶς ἐκνεμηθείη ἀφοριζόμενον· πῶς δ' ἂν καὶ δοίημεν τὸ ἐκ διαφόρων τινῶν συγκείμενον, μιᾷ κλήσει τῇ ἐκ τῶν μερῶν ὀνομασίᾳ προσαγορεύεσθαι ἢ γνωρίζεσθαι; ἡνίκα δόγματος προκειμένου καὶ κυριολεκτεῖν ἀνάγκη, ἵνα ἢ ὅλον ἄγραπτον, ἢ ὅλον γραπτὸν ὀνομάσωμεν· ταύτῃ γοῦν οὐδὲ ψυχὴ μόνον ὁ ἄνθρωπος καλοῖτο ἂν ἢ φύσις ἀνθρώπου, οὐδὲ σῶμα μόνον, ἀλλὰ τὸ ὅλον τοῦτο ἐξ ἀμφοῖν ἄνθρωπος· οὕτω γοῦν οὐδὲ οἰκία, λίθος ἢ ξύλον ἢ τί ἄλλο τῶν ἐξ ὧν συνέστηκεν ἰδικῶς καθ' ἑαυτὸ κληθείη ἂν

παραιτητέον γὰρ νῦν τὰ κατὰ τὸν τῆς ἀντιδόσεως λόγον εἰρημένα, ἤτοι κατὰ συνεκδοχὴν, ἢ καθ᾽ ἕτερον τρόπον λεγόμενα, ὡς οὐ ταῖς κυρίαις τῶν λέξεων σημασίαις προαγόμενα· ταῦτ᾽ οὖν καὶ ἐπὶ τοῦ **Χριστοῦ** θεωρηθήσεται· ὡς γὰρ οὐ θεὸν μόνον λέγομεν, οὐδὲ ἄνθρωπον μόνον, διὰ τὸ συναμφότερον, οὕτως οὐδὲ ἄγραπτον μόνον διὰ τὸν λόγον· οὐδὲ γὰρ μόνον λόγος, οὐδὲ γραπτὸν μόνον διὰ τὸ ἀνθρώπινον· οὐδὲ γὰρ μόνον ἄνθρωπος ἀλλ᾽ ἀμφότερα κυρίως ἐπ᾽ αὐτοῦ λεχθήσεται· ὡς γὰρ ὁ αὐτὸς ὁμοῦ θεὸς καὶ ἄνθρωπος, οὕτως ὁ αὐτὸς γραπτὸς ὁμοῦ καὶ ἄγραπτος· τοῦτο δ᾽ οὖν ἀληθὲς δείκνυται κἀκ τοῦ ἐναντίου λαμβάνουσιν· οὐδὲ γὰρ τὰ αὐτὰ κατηγορήματα αἱ διάφοροι φύσεις δέξαιντ᾽ ἄν ποτε· τὸ γὰρ ἀθάνατον ἢ ἀόρατον οὐκ ἄν τις ἐπὶ ψυχῆς ὁμοῦ καὶ σώματος κατηγορήσειεν· οὕτω δ᾽ ἔσται ἐπὶ τῶν ἀντικειμένως ἐχόντων· τὸ θνητὸν γὰρ ἢ τὸ ὁρατὸν, οὐκ ἂν ἐπ᾽ ἀμφοῖν κατηγορηθήσεται τῷ αὐτῷ τρόπῳ οὐδὲ τὸ ἄγραπτον, ἐπὶ τῶν κατὰ Χριστὸν φύσεων ὁμοῦ λεχθείη ἂν εὐσεβῶς· διὸ ἐλέγχεται ἀσεβῶν ὁμοῦ καὶ ἀμαθαίνων, τοιαῦτα καὶ φρονῶν καὶ δοξάζων.

Εἶτα ἑξῆς φησίν. « Ἐπειδὴ καὶ ἑτέραν ἄϋλον φύσιν συνηνωμένην τῇ σαρκὶ « ἔχει, καὶ μετὰ τῶν δύο φύσεων ἐκείνων εἷς ὑπάρχει, καὶ τὸ πρόσωπον αὐ- « τοῦ ἤγουν ἡ ὑπόστασις αὐτοῦ, ἀχώριστον τῶν δύο φύσεων ἐστὶν, οὐχ᾽ ὑπο- « λαμβάνομεν ὅτι δυνατῶς ἔχει περιγράφεσθαι, ἐπειδὴ καὶ τὸ χαρακτηριζό- « μενον· ἓν πρόσωπον ἐστὶ, καὶ ὁ περιγράφων τὸ πρόσωπον ἐκεῖνο, δῆλον ὅτι « καὶ θείαν φύσιν περιέγραψεν, ἥ τις ἐστὶν ἀπερίγραπτος. « Ἧκεν ὁ γεννάδας ἐπὶ τὸ καιριώτατον τῶν λόγων· ἐφ᾽ οἷς ὡς τὸ ἀπαραίτητον καὶ ἀπρόσβλητον ἔχουσι, μέγα κατακομπεύεται καὶ βρενθύεται· καὶ αὐτὴ ἡ πρότασις παρὰ τοῖς ἀσόφοις καὶ ἀνοήτοις, τὸ ἰσχυρὸν καὶ ἀντίβλεπτον κέκτηται, καὶ πανταχοῦ διαθρυλεῖται· ὡς ῥᾷον δι᾽ ἀέρος ἐνεχθῆναι μετάρσιον, ἢ τὰς ἄρκυς τούτων διαδράναι τῶν λόγων· οἴονται γὰρ ἀπροσμάχητον αὐτῶν ἔχειν τὴν δείνωσιν καὶ ἀναντίῤῥητον, καὶ οἷον μορμολύκειον προϊσχόμενοι, καταπτοεῖν τοὺς ἀνεπισκέπτως καὶ ἐξετάσεως ἄνευ προσέχοντας, δεσμοῖς ἀφύκτοις αὐτοὺς περιβάλλοντες· ὡς δὴ καὶ εἰ μὴ βούλοιντο, τῇ δοκούσῃ ἐν αὐτοῖς πιθανότητι ὑποσυρόμενοι, συγκατάθοιντο· ὄντως θολερὰν ἀνατροπὴν τὸν πλησίον ποτίζουσι, τὰ ἀπὸ καρδίας λαλοῦντες καὶ οὐκ ἀπὸ στόματος κυρίου φθεγγόμενοι· ἁλώσονται δὲ κἀνταῦθα τοῖς ἑαυτῶν δικτύοις, ἐκ περιτροπῆς τοὺς ἐλέγχους ὑποδεχόμενοι· ὑπεράγασθαι δὲ αὐτῶν ἄξιον τῆς ἀπαιδευσίας καὶ ἀνοίας τὸ ἀδρανὲς καὶ κατεῤῥιμμένον, οἵοις ὡς ἰσχυροῖς καὶ εὐσθενέσιν ἐπιθρασύνονται· ἐπιτηρητέον δὲ αὐτῶν πρότερον τὸ ἀσύνετον, ὅπως παρασυγχέουσι τὰς φωνὰς, τοῦ γραπτοῦ λέγω καὶ περιγραπτοῦ· ὅπερ γὰρ ἐν τοῖς ἀνόπιν, γράφεσθαι ὁ ἄμαχος οὗτος καὶ δεινὸς λογογράφος εἴρηκεν, ἐνταῦθα περιγράφεσθαι ἔφησε· μὴ δὲ μίαν ἐν αὐτοῖς μήτε εἰδὼς μήτε διδοὺς διαφορὰν, καθὰ καὶ πρόσθεν εἴρηται· καὶ θαυμαστόν γε οὐδὲν, εἰ καὶ τοῦτο αὐτοῖς ἠγνόηται καὶ διαμαρτάνεται· τοῖς οὖν σοφῶς ἄγαν καὶ εὐτέχνως εἰρημένοις, οὕτως ἡμεῖς ἀπαντησόμεθα· ἀλλὰ περὶ μὲν τὸ πρόσωπον καὶ τὴν ὑπόστασιν, ἣν καὶ αὐτοὶ ὁμολογεῖν δοκοῦσιν, ὡς

οἷον ὑποβάθραν θέμενοι τοῦ δόγματος τοῦ ἑαυτῶν, καὶ ὥσπερ ἐπ' ἀκλονήτῳ ἑδράσματι ἐπιστηριζόμενοι, ἐφ' ᾗ τὸ θαρσαλέον ἐχόντες, ἐπὶ τὸ δογματίζειν ὡς προθυμότατα ἵενται, σύμφωνοι καὶ ὁμογνώμονες ἡμῖν εἰσί· περὶ δὲ τῶν φύσεων ἔστω ἡ διαμφισβήτησις, ἃς δὴ λόγῳ μὲν τίθενται, ἀναιροῦσι δὲ ταῖς ἀληθείαις σαφῶς καὶ τοῖς πράγμασι· τὰ γὰρ προσόντα αὐταῖς φυσικὰ ἰδιώματα, καὶ τὰς διαφορὰς καθ' ἃς αὗται χαρακτηρίζονται καὶ γνωρίζονται, εἴπερ τῆς ἀνθρώπου σαρκὸς καὶ φύσεως τὸ περιγραπτὸν τῶν ἄλλων ἁπάντων οἰκειότερον ἰδίωμα ἀφαιροῦντες, καὶ αὐτὰς ἤδη πως συνεξαφανίζουσιν.

Ὧν παρακεκινημένων, σκοπεῖν ἔξεστι λοιπὸν, εἰ καὶ ἡ ὑπόστασις αὐτὴ ὑγιῶς νοουμένη προεισενήνεκται· φαμὲν τοίνυν, ὅτι εἰ μὲν ἁπλοῦν τι χρῆμα ἦν καὶ ἀσύνθετον ἡ κατὰ Χριστὸν ὑπόστασις, ὡς παντάπασιν ἀπηρνῆσθαι τὴν σύνθεσιν, ἐξῆν ἂν ὑμῖν τὸ ἀπερίγραπτον ἐπιφημίζειν αὐτῷ, τοιαύτη γὰρ τῶν ἁπλῶν ἡ φύσις, συνῃνέσαμεν δ' ἂν καὶ ἡμεῖς, καὶ φροῦδον ἐδείκνυτο τὸ ἀμφήριστον· εἰ δὲ διπλοῦν καὶ σύνθετόν ἐστιν, ἐξ ἑτεροφυῶν τὴν συνδρομὴν κεκτημένον, ὡς καὶ αὐτῷ εἴρηται, τί ἐροῦμεν πρὸς τοὺς ἀντιδιατιθεμένους τῇ ἀληθείᾳ; ἔτι εἰ κατὰ τὸν ὑμέτερον λόγον, τῆς ἑτέρας τῶν κατὰ Χριστὸν φύσεων ἀπεριγράπτου ὁμολογουμένης, τῆς θείας φημὶ, ἀνάγκη διὰ τὸ ἓν πρόσωπον καὶ τὴν εἰς μίαν ὑπόστασιν τῶν φύσεων ἕνωσιν, καὶ τὴν ἑτέραν τούτων, ἤγουν τὴν καθ' ἡμᾶς, εἶναι ἀπερίγραπτον, οὐ γὰρ οὕτω μανείητε, δι' ἑαυτὴν ἔχειν τὸ ἀπερίγραπτον λέγειν, τί τὸ ἐμποδῶν στήσεται, ἵνα καὶ αὐτοὶ τῷ ὁμοίῳ τῶν λόγων ὑμῶν σχήματι προαγόμενοι, ὑγιῶς τῇ τούτων ἀντιστροφῇ χρησώμεθα, ἀνθυπενεγκεῖν τε καὶ φάναι, ὅτι ἐπειδὴ θατέρα τούτων δὴ τῶν φύσεων ἡ ἀνθρωπίνη περιγράφεται, ὃ παρὰ πᾶσι τοῖς νοῦν ἔχουσιν ὡμολόγηται, ἐπεὶ καὶ αὐτοὶ περιγραπτοὶ τυγχάνομεν, καὶ πάντα ὅσα ἡμεῖς πλὴν ἁμαρτίας ὁ Χριστὸς γέγονεν, ἀνάγκη καὶ θατέραν ἤγουν τὴν θείαν καὶ ἀπόῤῥητον φύσιν, διὰ τὸν αὐτὸν λόγον, ἤτοι τὴν καθ' ὑπόστασιν ἕνωσιν, συμπεριγράφεσθαι· ὡς εἶναι τὸ ὅλον τοῦτο τὸ ἐκ θεότητος καὶ ἀνθρωπότητος συντεθὲν, περιγραπτόν· ἐπίσης γὰρ θείας καὶ ἀνθρωπίνης ὁ Χριστὸς κεκοινώνηκε φύσεως, καὶ μεσίτης θεοῦ καὶ ἀνθρώπων ἐγένετο· τὸ δὲ ἔν τισι μεσιτεῦον, ἑκατέρου τῶν μεσιτευομένων ἄκρων ἐξ ἀνάγκης ὁμοίως μεθέξει, καὶ οὐδέν τι μᾶλλον τοῦδε ἢ τοῦδε, ἢ ἀπολείποιτο, ἢ τὸ πλέον σχοίη· καθὸ εἴρηται, " ὅτι ἐπεὶ τὰ παιδία κεκοι-
,, νώνηκεν αἵματος καὶ σαρκὸς, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν· ,,
ὥς τε περιγέγραπται ὑμῖν ἡ ἄϋλος καὶ ἄγραφος φύσις, ἐκδηλότερον· ὃ δὲ ἐπὶ τῆς ἐνύλου καὶ ἐνσάρκου δοῦναι οὐκ ἐβούλεσθε, τοῦτο γὰρ διὰ τῶν λόγων ὑμῶν κατασκευάζεται, ἵνα ὅπερ καθ' ἡμῶν προχειρίζεσθε, τοῦτο ἐφ' ὑμῖν αὐτοῖς ἀντιπεριϊστάμενον σχοίητε.

Πῶς οὖν ἐπὶ τοῦ θείου λόγου τὸ ἀναλλοίωτον διασέσωσται, ἢ ἐπὶ τῆς καθ' ἡμᾶς φύσεως τὸ ἄτρεπτον διατετήρηται, ἃ δὴ κηρύσσει τὰ εὐαγγέλια, οἵ τε ἱεροφάνται πατέρες διδάσκουσιν; ὧν τήν τε διδασκαλίαν καὶ ὁποῖον περί γε τούτου φρόνημα κέκτηνται, εἰς ὕστερον παραθέσθαι σπουδάσομεν· πῶς δὲ

καὶ τὸ ἀσύγχυτον, ὃ πρεσβεύειν ὑποκρίνεσθε, ἐν τῇ κατὰ Χριστὸν ὑποστάσει συμφυλαχθήσεται; σκοπῶμεν δὲ καὶ οὕτως, ὅτι ἐπειδὴ γεννητὴ ἡ φύσις, ἣν ὁ λόγος ἀνείληφε, καὶ μέν τοι φθαρτὴ καὶ παθητὴ, τέμνεταί τε καὶ ὀδυνᾶται, καὶ τἄλλα ὑπομένει ὅσα πάσχειν πέφυκε, τί δή ποτε διὰ τὴν πρὸς αὐτὴν ὑποστατικὴν ἕνωσιν; μὴ καὶ γεννητὸς ὁ λόγος εἴη παθητός τε αὖ καὶ φθαρτὸς, καὶ τὰ λοιπὰ ὅσα τῆς τοῦ δούλου μορφῆς καὶ τῆς δούλης φύσεως; καὶ ἵνα ἐν βραχεῖ τὸ πᾶν τῆς βλασφημίας αὐτῶν, ἡ τοῦ λόγου παραστήσῃ ἀκολουθία, διὰ τὸ πρόβλημα αὐτῶν, καὶ σῶμα τὸν λόγον σωματωθέντα, περὶ ὃ ταῦτα θεωρεῖται, οἰκειότερον ὁμολογῆσαι ἐκβιασθήσονται· ἀλλὰ φήσουσιν, ἡ σὰρξ τεθέωται ἑνωθεῖσα τῷ λόγῳ· ἀλλ' ἀκούσονται ὅτι καὶ ὁ λόγος σὰρξ ἐγένετο καὶ ἐπαχύνθη, καὶ ὁ ἀναφὴς ἐψηλαφήθη, ἀλλ' οὐ παρὰ τοῦτο οὔτε ὁ λόγος τῶν θείων ἐξέστηκε πλεονεκτημάτων, οὔτε ἡ σὰρξ τῶν ἐξ ἀρχῆς συνυφεστώτων μεταβέβληται ἰδιωμάτων, οὐδὲ τοῦ κατ' αὐτὴν οἰκείου λόγου ἐξῆκται· περὶ γὰρ τῶν μετὰ τὴν θείαν ἀνάστασιν καινοποιηθέντων, τοῦ ἀφθάρτου φημὶ καὶ ἀθανάτου, εἴ τις ἐνίσταται, ἐν τοῖς μετὰ ταῦτα εἰρήσεται· σῶμα γὰρ, ὃ καθ' ἡμᾶς ἀνέλαβεν ὁ κύριος, καθ' ὁμοιότητα τῶν ἡμετέρων σωμάτων, περιγραπτὸν πάντως ἐστί· ποῦ γὰρ ἤκουσται ἐκ τοῦ παντὸς αἰῶνος σῶμα ἀπερίγραπτον; ἄλλως τε καὶ τῶν ὧν οὐκ ἄνευ ἡ περιγραφή; ὡς γὰρ οὐκ ἔστι σῶμα ἄνευ τόπου ἢ χρόνου, οὕτως οὐδὲ περιγραφῆς δίχα· καὶ γὰρ ὁ τόπος περιγράφει καὶ περιέχει τὸ σῶμα, εἴπερ τόπος ἐστὶ πέρας τοῦ περιέχοντος ἐν ᾧ περιέχει τὸ περιεχόμενον· τὸ οὖν λέγειν μὴ περιγράφεσθαι τὸ σῶμα, ταὐτόν ἐστι λέγειν μὴ εἶναι ἐν τόπῳ· τὸ δὲ μὴ ὂν ἐν τόπῳ, οὐδὲ σῶμα· τί δ' οὖν ἐκ τούτων συνάγεται, ἢ τὸ σῶμα μὴ εἶναι σῶμα; τοῦτο δὲ τί ἄλλο, ἢ πάσης ἠλιθιότητος καὶ φρενοβλαβείας ἐπέκεινα τυγχάνει; ἑάλωκεν οὖν ὁ τῶν τοιούτων δογμάτων πατὴρ τοῖς οἰκείοις πτεροῖς, καὶ περιτέτραπται αὐτῷ εἰς τοὐναντίον τὰ τῆς ἐπιχειρήσεως, καὶ ἐκβέβηκε τὰ τῶν σοβαρῶν καὶ δεινῶν προβλημάτων, ἅπερ ᾤετο ἀδιεξίτητον καὶ ἀναπόδραστον ἔχειν τὴν ἔφοδον, παιδικῶν ψελλισμάτων εἰς μηδὲν διαφέροντα· νηπιώδους γὰρ ὄντως ταῦτα φρενὸς, καὶ βρεφοπρεποῦς διαθέσεως οὐδὲ βέλτιον διακείμενα.

Ὡς ἂν δὲ ἴδωμεν εἰς ὅ τι αὐτοῖς τὸ περιὸν τῆς σοφίας ἐκβήσεται, κἀκεῖνο τοῖς εἰρημένοις προσθείημεν· πρὸς πάντων τῶν νοῦν ἐχόντων ὡμολόγηται, ὅτι πᾶν πάθος προσομιλῆσαν ἡμῶν ἤδη τῷ σώματι, παρ' ὁτουοῦν τινὶ προσγινόμενον, οἷον τὸ μαστίζεσθαι, τὸ τιτρώσκεσθαι, τὸ τέμνεσθαι, τὸ καίεσθαι, καὶ εἴ τι τοιοῦτον ἕτερον, ἃ λυμαίνεται καὶ φθείρει τὸ σῶμα, ὥσπερ προσφυόμενον, ἐπ' αὐτὸν διαβαίνει τὸν πάσχοντα, καὶ ὡς ἄν τις εἴποι οἰκεῖον καὶ ἐντὸς αὐτοῦ γίνεται· ἡ δὲ ἣν φατὲ περιγραφὴν, ἤτοι τὸ εἰκονίζεσθαι, οὐδενὶ τούτων ὑποπέπτωκεν, ἅ τε περὶ τὰ ἐκτὸς οὖσα καὶ ἥκιστα ἁπτομένη τοῦ σώματος· ὅτι μὴ τῷ εἴδει μόνον κοινωνοῦσα τοῦ γραφομένου, καὶ τῷ σχήματι ὅσῳ οὖν ἐγγυτέρῳ τὸ πάσχειν, τοῦ εἰκονίζεσθαι καὶ περιγράφεσθαι, τῶν περὶ τὰ ἐκτὸς ὄντων καὶ οὐδέν τι πρὸς πάθους γινομένων τοῦ σώματος, ἔδει κατὰ τὸν ὑμέ-

τερον λόγον τὸν Χριστὸν σαρκὶ πάσχοντα καὶ πάθος ὑπὲρ ἡμῶν φέροντα, μὴ συμπεριγράφεσθαι μόνον τῇ σαρκὶ, ἀλλὰ δὴ καὶ συμπάσχειν αὐτῇ τῇ κατ' αὐτὸν θεότητι· τῷ γὰρ οἰκειοτέρῳ μᾶλλον καὶ ἐγγυτέρῳ δικαιότερον, ἢ τῷ μὴ οὕτως ἔχοντι, συμβαίνειν τὲ καὶ προστίθεσθαι· τί οὖν σάρκα ἀκούοντες τὸν κύριον, καὶ υἱὸν ἀνθρώπου, καὶ εἰδότα φέρειν μαλακίαν, καὶ εἴ τι τούτοις παραπλήσιον ἐν ταῖς θείαις γραφαῖς περὶ αὐτοῦ λέγεται, ἐπειδὴ ἀχώριστον τῶν δύο φύσεων τὸ ἓν πρόσωπόν ἐστι, μὴ συνταπεινοῦτε μᾶλλον τούτοις, ὅσον κατὰ τὰς ὑμετέρας ὑπολήψεις, καὶ τὴν κατ' αὐτὸν θεότητα; ἐπὶ πλεῖον γὰρ ὁ ταῦτα λέγων συγκατασμικρύνει τὴν πάντων βασιλίδα φύσιν, ἢ ὁ περιγράφων κατὰ τὴν σάρκα· καὶ εἰ βούλεσθέ γε οὕτως, καὶ συμπεριτμηθήσεται τῇ σαρκὶ, καὶ συλλιθασθήσεται, ὑπομεῖναι δ' ἂν καὶ σταυρὸν, καὶ συννεκρωθήσεται, καὶ τἄλλα πείσεται, ὅσα κἀκείνη ὑπὲρ ἡμῶν πεπονθέναι πιστεύεται· ἀλλὰ τίς οὕτως ἐξέστηκε; τίς οὕτως ἄφρων καὶ παραπληξίας εἰς ἄκρον ἐκβεβηκὼς, ὃς τῶν ταῖς ὑμετέραις ὑποθέσεσιν ἑπομένων ἀτόπων καὶ θεομάχων λόγων ἀνέξεται; τίς ἐνέγκοι τοσαύτην τοῦ λόγου ὕβριν, θνητὸν καθ' ὑμᾶς αὐτὸν ἀκούειν, καὶ περιγραπτὸν, καὶ χρονικαῖς ὑπαγόμενον, καὶ τῶν θείων ἰδιωμάτων ἀποστερούμενον, καὶ τῆς πατρικῆς οὐσίας καὶ δόξης ἀλλοτριούμενον, καὶ σχιζόμενον; καὶ τί γὰρ ἄλλο, ἢ ὀθνεῖον θεὸν ἡμῖν ἐπεισάγετε, οἱ καινὴν πίστιν νῦν αὐτοσχεδιάζοντες; τίς οἴσει τὴν ἑαυτοῦ σωτηρίαν ἐντεῦθεν προδιδοὺς, καὶ εἰς αὐτὸ τὸ κεφάλαιον, ὃ πάντων ἡμῖν ἔστι τὸ καιριώτατον, ζημιούμενος; εἴπερ οὖν οὕτως εἶχον φύσεως αἱ κατὰ Χριστὸν συνελθοῦσαι οὐσίαι, ἀλλήλαις τοῖς ἰδιώμασιν ἀντιπεριΐστασθαι συμφυρόμεναι, ἐπειδὴ ὁ λόγος ὁμοούσιος τῷ θεῷ καὶ πατρὶ καὶ τῷ πνεύματι, συμπάθοι ἂν καὶ ὁ πατὴρ καὶ τὸ πνεῦμα, καὶ συντεθήσεταί γε, καὶ συντμηθήσεται, καὶ τἄλλα ὅσα πέπονθεν ὁ λόγος, ἐπιγραφήσεται· καὶ τὸ βλάσφημον, ἀπεῤῥίφθω εἰς κεφαλὰς τῶν παρασχόντων τῆς ἀσεβείας τὰ σπέρματα.

Ἐροίμην δ' ἂν κἀκεῖνο αὐτοὺς καὶ μάλα προθύμως· πόθεν ὑμῖν, ὦ οὗτοι, ἡ ἐξουσία αὕτη, τὰ μὲν ἄλλα τοῦ σώματος παρορᾷν ἰδιώματα, τὸ περιγραπτὸν δὲ μόνον τυραννικῶς ὑποσπάσαντας, ἀποστερεῖν; οἷον τὸ ἐσχηματισμένον, τὸ τριχῆ διαστατὸν, τὸ ἁπτὸν, τὸ διωργανωμένον, τά τε ἄλλα ἐξ ὧν τὸ περιγραπτὸν εἶναι συνάγεται· ὡς εἴ τις τούτων τι τοῦ σώματος ὑποτέμνοιτο, ἀφῃρηκὼς ἂν εἴη καὶ τὸ εἶναι σῶμα· τὸ γὰρ ἐν τόπῳ τινὶ εἶναι καὶ περιεῖρχθαι, ἀνέλοιτο ἂν εἰς ταυτὸν ἐρχόμενον τῇ περιγραφῇ· ὃ καὶ λέγειν γελοῖον· πῶς οὖν τοῦτο μόνον παραπόλλυσθαι τοῦ σώματος φατὲ, τῶν δὲ λοιπῶν τέως ἕνεκεν ἰδιωμάτων σιωπᾶτε; ἀλλὰ δῆλοι ἐστὲ διὰ τῆς μιᾶς ταύτης φωνῆς, καὶ τἄλλα ἀπαναινόμενοι· κἂν γὰρ ἕν τι λίποι τῶν γνωρισμάτων τῆς φύσεως, ἀτελὴς ὀφθήσεται· καὶ γὰρ εἰ μὴ διασώζοιτο τῷ ἀνθρώπῳ τὸ λογικὸν, οὐδὲ ἄνθρωπος· ὡσαύτως δὲ τὸ θνητὸν, ἢ τὸ ὀρθοπεριπατητικὸν, ἢ τὸ κινεῖσθαι, ἢ τὸ ἔμψυχον εἶναι, ἤ τι ἄλλο τῶν συντρεχόντων εἰς τὴν ἀνθρώπου φύσιν καὶ τὸν κατ' αὐτὸν ὁρισμὸν, εἰ ἐπιλίποι, οὐκ ἂν εἴη ἄνθρωπος· καὶ τοῦ ἵππου εἰ

τις ἀφέλοιτο τὸ χρεμετιστικὸν, ἢ τοῦ κυνὸς τὸ ὑλακτικὸν, οὔτε ἵππος οὔτε κύων ἔσονται· οὐκοῦν καὶ ἡ κατὰ Χριστὸν ἀνθρωπότης, εἴ τινος τῶν ἰδιωμάτων ἀμοιρήσει, ἐλλιπὴς φύσις ἐστὶ καὶ οὐ τέλειος ἄνθρωπος ὁ Χριστὸς· μᾶλλον δὲ οὐδὲ Χριστὸς, ἀλλὰ τὸ πᾶν οἴχεται, εἰ μὴ περιγράφοιτο καὶ εἰκονίζοιτο· τοῦτο δὲ τί ἄλλο ἐστὶν, ἢ ὅπερ οἱ καθ' ὑμᾶς διδάσκαλοι Ἀρειανοὶ βούλονται, σάρκα μόνον ψυχῆς ἄνευ εἰληφέναι τὸν κύριον, καὶ ταύτῃ μὴ δὲ γεγράφθαι, συνουσιῶσθαι δοκοῦν αὐτοῖς; οὐκοῦν οὐδὲ σέσωσται τὸ καθ' ἡμᾶς ὅλον φύραμα· καὶ πῶς ἄρα ὑμῶν οἱ θεολόγοι ἀνέξονται τῶν ληρημάτων, μέγα διακεκραγότες; εἰ ἥμισυς ἔπταισεν ὁ Ἀδὰμ, ἥμισυ καὶ τὸ προσειλημμένον καὶ τὸ σωζόμενον· " εἰ δὲ ὅλος ἥνωται τῷ θεῷ, ὅλος καὶ σώζεται. „

Καὶ ὁρᾶτε οἷ πρόεισιν ὑμῖν ἀτοπίας ὁ λόγος· εἴπερ γὰρ ἔδει καθ' ὑμᾶς ἰδιωμάτων ἄνευ φύσιν ὑπάρξαι, τὸ παραδοξότατον, μὴ δ' ὁποτέρᾳ τῶν κατὰ Χριστὸν φύσεων ἰδίωμα διδόναι· τίνι γὰρ τρόπῳ τῇ σαρκὶ μόνῃ τῷ ἡδομένῳ τῆς ψυχῆς, τοῦτο φιλοτιμεῖσθε, ἀλλὰ μὴ καὶ τῇ ἑτέρᾳ φύσει ἐπιδαψιλεύεσθε; ἵνα πλέον ὑμῖν δεικνύηται ἡ πρὸς τὴν μίαν ὑπόστασιν εὐγνωμοσύνη, ὡς ἐπινοίᾳ μόνῃ ψιλῇ κατὰ πολλὴν ἐξουσίαν καὶ εὐκολίαν τὰ ἐξ ὧν αἱ φύσεις γνωρίζονται καὶ συνίστανται νομοθετοῦσι, καὶ σύγχυσιν καὶ φυρμὸν κατὰ τοὺς διδασκάλους ὑμῶν τῆς παλαιότητος ἐπινοοῦσι τῶν φύσεων, καὶ σκιαγραφοῦσι τὸ Χριστοῦ μυστήριον, ὡς ἂν καταφανέστερον καὶ σαφέστερον ἡ ἀναπλασθεῖσα ὑμῖν τραγέλαφος ὑπόστασις συσταίη· οὐχ' ὁρῶ δὲ τίς ἡ ἀποκλήρωσις, τὸ ἀπερίγραπτον τοῦ λόγου μόνον, ὡς σεμνόν τι καὶ εὔσημον, τῇ σαρκὶ χαρίζεσθαι· καὶ τούτῳ τιμᾶν οἴεσθαι ᾧ μὴ δὲ τετιμῆσθαι ἀνετὸν, τῶν δ' ἄλλων θείων πλεονεκτημάτων φθονήσαντας ζημιοῦν, καὶ οἷον περ ἡμίτμητον καὶ ἀτελῆ καταλιμπάνειν· ὡς μὴ δὲ τὸ τῆς τιμῆς ἀκέραιον διασώζεσθαι, ἐπεὶ οὐ τοσοῦτον τιμᾶται τῷ κεχαρισμένῳ, ὅσον ἀτιμάζεται τοῖς ἀπεστερημένοις· οὐ γὰρ ὁ περὶ τὸ ἓν φιλότιμος, οὗτος εὔνους, ἀλλ' ὁ περὶ τὰ πολλὰ μικρολογούμενος, οὗτος δυσγνώμων.

Τάχα δ' ἂν ἀπέχρησέ πως καὶ τοῦτο προσριφὲν αὐτῇ μόνον πρὸς τὴν τοῦ ζητουμένου παράστασιν συναιρόμενον, ἵνα τέλεον καὶ τοῦ εἶναι σὰρξ παρ' ὑμῖν ἐκσταίη· συναναιρεῖν γὰρ διὰ τούτου ᾠήθητε καὶ τῆς ὅλης οἰκονομίας τὸν τρόπον, ὥσπερ ὅλον ἐκπεπωκότες τῆς φαντασίας τὸν χείμαρον· τίνος γὰρ χάριν διὰ τὴν πρὸς τὸν λόγον ἕνωσιν, μὴ καὶ τὸ ἀπαθὲς ἐξ ἀρχῆς καὶ ἄφθαρτον ἐνείματε τῇ σαρκὶ, ἔτι καὶ τὸ ἄχρονον καὶ ἄναρχον καὶ ἀόρατον, ἀναφές τε καὶ ἀσχημάτιστον, καὶ ὅσα περὶ τὸν λόγον ἐστὶ θεωρούμενα; ἐπεὶ καὶ ἕπεται ὡς τὰ πολλὰ ἀλλήλοις· τὸ γὰρ ἀπερίγραπτον, καὶ ἀόρατον· τὸ δὲ ἀόρατον, καὶ ἀόριστον· τοῦτο δὲ, ἄληπτον· τὸ δὲ, καὶ ἀπαθὲς καὶ ἄφθαρτον· τὸ δὲ ἄφθαρτον, καὶ ἀθάνατον, τὸ δὲ ἀθάνατον, καὶ ἀΐδιον· ταύτῃ τοι καὶ ἀτελεύτητον· ἔσται δὲ ταῦτα καὶ ἡ σὰρξ, ἵνα καθάπερ συμφυεῖσα τῷ λόγῳ καὶ συνουσιωθεῖσα, καὶ πάντα τὰ ἰδιώματα φυσικῶς κατακληρωσαμένη, ἐξ ὧν αὐτοῦ ἡ οὐσία χαρακτηρίζεται, καὶ ὁμοούσιος αὐτῷ εἴη· καὶ εἰ χρὴ λογικώτερον ὑμῖν

συμπλακέντας εἰπεῖν, ὅτι ἐπειδὴ ὁμοούσιος ἡ σὰρξ καθ' ὑμᾶς τῷ λόγῳ δέδοται, ὁ δὲ λόγος τῷ πατρὶ ὁμοούσιος, ἔστω διὰ τὸν ὑμέτερον λόγον καὶ ἡ σὰρξ τῷ πατρὶ ὁμοούσιος, ὡσαύτως δὲ καὶ τῷ πνεύματι· εἰς τοῦτο ὑμᾶς τῆς ἀσεβείας, τὸ κεκομψευμένον καὶ ἐκπρεπὲς τοῦ ἀπεριγράπτου, ἐξηκόντισε βάραθρον· ὁποῖον δὲ δή τι κἀκεῖνο φημὶ, ὡς καὶ ἄλλως εἰς τὴν πασῶν ἐσχάτην ὁ λόγος αὐτῷ δυσσέβειαν ἐξοίχοιτο, καὶ ὅποί ποτε ἀθεΐας ἀπάγει, ἐντεῦθεν εἰσόμεθα· καθάπερ γὰρ ἐπὶ τῆς οἰκονομίας εἰς αὐτὰ ἀποσφάλλονται τὰ συνεκτικώτατα, τῷ αὐτῷ δὴ τούτῳ τρόπῳ καὶ ἐπὶ τῆς θεολογίας προσπταίοντες, εἰς τὰ καίρια φωραθήσονται τοῖς ἑαυτῶν βρόχοις ἁλισκόμενοι ἀβουλότατα· ἐπειδὴ ἀντιπεπονθότως τὰ τῶν σχέσεων διὰ τὴν ἐπαλλαγὴν ἐν ἑκατέρᾳ θεωρεῖται.

κα. Ἧι μὲν γὰρ ἑνοῦνται ἐπὶ τῆς οἰκονομίας αἱ φύσεις πρὸς τὴν ὑπόστασιν, ταύτῃ διακέκεινται ἐπὶ τῆς θεολογίας αἱ ὑποστάσεις, διὰ τὰς προσωπικὰς ἰδιότητας· ᾗ δὲ ἥνωνται ἐπὶ τῆς θεολογίας αἱ ὑποστάσεις διὰ τὴν φυσικὴν ταυτότητα, ταύτῃ διακέκρινται ἐπὶ τῆς οἰκονομίας, κατὰ τὰς φύσεις διὰ τὰς οὐσιώδεις διαφορὰς ἰδιούμεναι· ὥσπερ οὖν οὐ διδόασιν ἐκεῖσε τὰ χαρακτηριστικὰ τῶν φύσεων ἰδιώματα, ἅπερ αὐτὰς τῶν ἑτεροφυῶν διΐστησιν, οὐδὲ ἐνταῦθα πάντως τὰ ἀφοριστικὰ τῶν ὑποστάσεων παρέξουσι γνωρίσματα, ἅπερ αὐτὰς περὶ τὴν αὐτὴν καὶ μίαν θεωρουμένας, ἀπ' ἀλλήλων διακρίνουσι· καὶ ὅσα λοιπὸν περὶ τὴν ὑπόστασιν ἐκεῖ, τοσαῦτα καὶ διὰ τὴν φύσιν ἐνταῦθα ζυγομαχήσουσιν, εἴπερ ἰδιότητος παρ' αὐτοῖς οὐχ' ὁρᾶται διαστολή· πρὸς οὖν τί ταῦτα φημὶ; ὅτι εἰ κατὰ τὰς ὑποθέσεις αὐτῶν, διὰ τὴν πρὸς τὸν λόγον ἕνωσιν, ἀπερίγραπτον εἶναι τὴν σάρκα δεῖ, ἀνάγκη ἐκ τοῦ ἐναντίου, ἐπειδὴ ἔμπαλιν ἐνταῦθα ἢ ἐπὶ τῆς οἰκονομίας ἔχει, τὰ αὐτὰ περαίνεσθαι ἄθεσμα, ὡς ὁ λόγος ἐφοδεύων παραστήσειεν· εἰ γὰρ ὁ πατὴρ ἀγέννητος, ὁ δὲ υἱὸς γεννητὸς, ἔστω διὰ τὴν μίαν καὶ ταυτὴν φύσιν καθ' ἣν τὸ ταυτὸν καὶ ἀπαράλλακτον ἐπ' ἀμφοῖν θεωρεῖται, καὶ ὁ πατὴρ γεννητὸς· ἢ ὁ υἱὸς ἀγέννητος, ὁ αὐτὸς δὲ λόγος κρατήσει καὶ περὶ τοῦ ἁγίου πνεύματος· τούτων δὲ τί ἂν γένοιτο ἀσεβέστερον ἢ ἀθεώτερον; ἀλλὰ τῶν οὕτως ἀτόπων ἀφέμενοι, ἐπὶ τὰ ἑξῆς τοῦ λόγου ἴωμεν.

κβ. Ἐπάγει γοῦν. ꙮ Ἐπειδὴ μετὰ τὴν ἕνωσιν ἐκείνην, ἀχώριστος ἡ πραγματεία, ὡς ὁμολογοῦμεν ἐν τῷ δόγματι· εἰ δὲ καὶ τῆς σαρκὸς μόνης εἰκόνα ποιεῖ, λοιπὸν καὶ πρόσωπον ἐπὶ τῇ σαρκὶ ἴδιον δίδωσι· καὶ γίνεται τοῦτο τῇ ὅλῃ θεότητι τέρας, τουτέστι τρία πρόσωπα ἐπὶ τῆς θεότητος, καὶ ἓν τὸ τῆς ἀνθρωπότητος, καὶ ἔστι κακῶς τοῦτο. ꙮ Ἄνω καὶ κάτω τὴν ἕνωσιν διαθρυλεῖ, ἣν ἀχώριστόν φησιν ὁ σοφὸς· ἵνα δι' αὐτῆς δόξῃ κρατύνειν τὸ δόγμα τὸ ἑαυτοῦ, καὶ τὴν κατὰ Χριστὸν ἀνθρωπότητα συσκιάσῃ· διὰ τοῦτο φησὶν, ὅτι εἰ τῆς σαρκὸς μόνον εἰκόνα ποιεῖ· καὶ ἐνταῦθα τὸ σοφὸν ἐκεῖνο ὑπειπεῖν λόγιον " ὅτι σοφία ἀνεξέλεγκτος πλανᾶται, καὶ σοφία μωροῦ ἀδιεξίτητοι „ λόγοι· καὶ οὐαὶ οἱ σοφοὶ παρ' ἑαυτοῖς, καὶ ἐνώπιον ἑαυτῶν ἐπιστήμονες· ὅτι „ ἐμωράνθη ἡ ἀσύνετος αὐτῶν ψυχὴ, καὶ ἐμωρώθη αὐτῶν τὰ διανοήματα· „

πρὸς γὰρ τὴν ἀληθότητα τῶν ὀρθῶν τῆς ἐκκλησίας δογμάτων, τέλεον ἀποσφάλλονται· οὔτε τὰς ἐκ τῶν ὑποθέσεων αὐτῶν ἀναφαινομένας ἀτοπίας προειδόμενοι, εἰς οἷον αὐτοὺς ἀπάγουσι κρημνόν· καὶ οὐδὲν αὐτοῖς οὕτως εἰς περιουσίαν φιλοτιμίας, ὡς τῆς ἀμαθίας ἡ μάθησις· τῇ γὰρ ἰδίᾳ αἰσχύνῃ ἐγκαλλωπίζονται· ὧν ὡς ἀληθῶς ἡ δόξα ἐν τῇ ἑαυτῶν αἰσχύνῃ· ἀλλὰ φαίην ἂν ἔγωγε πρὸς τὸν ὧδε διειληφότα, καὶ ὅς τις ταῦτα φρονεῖν προήρηται· σὺ οὖν δύο φύσεις ἐν τοῖς σοῖς λόγοις ὑποτιθέμενος, ποίαν τούτων ὁμολογεῖς ἐπὶ τῆς κατὰ Χριστὸν μορφῆς, καὶ τοῦ προσώπου τοῦ ὁραθέντος καὶ φανέντος; εἰ μὲν τὴν θείαν εἴποις, ἐνταῦθα ὁρατὴν ἀπέφηνας τὴν ἄληπτον καὶ ἀόρατον τοῦ λόγου θεότητα· οὐδὲν δὲ διοίσει εἰπεῖν, καὶ περιγραπτήν· πᾶν γὰρ τὸ ὁρώμενον, περιγραπτὸν καὶ ὁριστὸν, ὡς τῇ αἰσθήσει ὑποπεπτωκός· καὶ ὅπερ δοῦναι τῇ σαρκὶ οὐκ ἠνέσχου, τοῦτο τῇ θείᾳ φύσει προσέρριψας· καὶ οὐκ ἐκφεύξῃ τὸ βλάσφημον, οὐδὲ παρανοίας ἐγκλημάτων ἀπέλθοις ἀνεύθυνος· ὅτι δὴ διὰ πλείστης ὅσης σπουδῆς, τὸ ὁρατὸν ἀόρατον, καὶ τὸ περιγραπτὸν ἀπερίγραπτον παραστῆσαι βουληθεὶς, τῇ ματαιότητι τῶν σῶν ἐννοιῶν ἀποβουκολούμενος, εἰς τὸ ἔμπαλίν σοι τὰ τοῦ λόγου περιήγαγες· τὸ γὰρ ἀόρατον, ἐκ τοῦ ἐναντίου ὁρατὸν, καὶ τὸ ἀπερίγρπατον περιγραπτὸν οὕτως ἂν εἰσήγαγες.

Ἀλλ' εἰ μὴ τοῦτο εἰπεῖν κατατολμήσειας, τὴν ἀνθρωπίνην ἄρα μόνην τὴν ὁρωμένην ἐξ ἀνάγκης δώσεις· καὶ ἵνα τὴν ὁμοίαν τῷ σῷ λόγῳ ἀπάντησιν ποιησώμεθα, μεμέρισταί σοι ἡ ὑπόστασις, καὶ ψιλὸν ἄνθρωπον τὸν Χριστὸν ἐδογμάτισας, καὶ ἀπήρτισταί σοι τρανέστερον καὶ περιφανέστερον ἡ τετράς· ἴδιον γὰρ πρόσωπον τῇ σαρκὶ ἔνειμας, καὶ πεποίηκας τὸν Χριστὸν κτίσμα μόνον, ὡς τὴν θεότητα μὴ εἶναι εἰς αὐτόν· καὶ περιέγραψας τελεώτερον καὶ ἀσφαλέστερον, καὶ τοῦτο λίαν κακῶς καὶ ἐπισφαλῶς· ἑάλως οὖν τοῖς οἰκείοις κἀνταῦθα περιπεσὼν μηχανήμασι· πῶς γὰρ λοιπὸν τῆς Νεστορίου φρενοβλαβείας καὶ διαιρέσεως τὴν ἀτοπίαν διαφεύξῃ; καὶ γὰρ ταύτῃ σαφῶς περιπέπτωκας· ἐπεὶ οἱ περὶ Νεστόριον τούτου γε εἵνεκεν τὴν καθ' ὑπόστασιν ἕνωσιν ὁμολογεῖν ἐπὶ Χριστοῦ παρῄτηνται, εὐδοκίᾳ δὲ μαλλον καὶ σχέσει ταύτην ὑπάρξαι κενοφωνοῦσιν, ὡς δὴ τῆς θείας φύσεως μὴ ἐπιδεχομένης ἕτερον πρόσωπον ἑνώσεως, διὰ τὸ ἀπερίγραπτον· ἐξ οὗ μὴ δὲ κυρίως θεοτόκον τὴν ἁγίαν παρθένον, ἀλλ' ἀνθρωποτόκον γεγενῆσθαι εἰκαιολογοῦσιν· εἶτα θαυμάτων ὁμοῦ καὶ παθημάτων περὶ τὸν Χριστόν σοι προκειμένων, καὶ τούτων παραπολὺ διεστηκότων ἀλλήλων καὶ διαφερόντων, τί φής; ἐπειδὴ ἀπερίγραπτος ὁ λόγος, ὡσαύτως δὲ καὶ ἡ σὰρξ, ἑκατέρῳ ἀμφότερα πάντως τῷ τε λόγῳ καὶ τῇ σαρκὶ ἀναθήσεις· οὐ γὰρ ἰδίᾳ καὶ ἀνὰ μέρος, τῷ μὴ παραλλάσσειν κατὰ σὲ τὴν ἰδιότητα, τόν τε λόγον καὶ τὴν σάρκα, κατὰ τὸ ἀπερίγραπτον· ταῦτα δὲ, πρὸς τῷ ἀσεβεῖ, καὶ τὸ ἀνόητον ἕξει· οὐδεὶς γὰρ τῶν νοῦν ἐχόντων ἀποφανεῖται, οὔτε τὸν λόγον παθήματα φέρειν, οὔτε τῆς σαρκὸς τὰ θαύματα ὑπολήψεται· οὐ γὰρ τῇ δυνάμει τῆς σαρκὸς ταῦτα δείκνυται, ἀλλ' ἡ τοῦ συνημμένου λόγου πανσθενὴς καὶ δραστήριος ἀποτελεῖ δι' αὐτῆς ἐνέργεια· ἢ οἰχήσεταί σοι μετὰ

τῶν θαυμάτων καὶ τὰ πάθη· ἀπερίγραπτος γὰρ εἰ δοθείη ἡ σὰρξ, οὐκ ἔστιν ὃ τοῖς πάθεσιν ὑποκείσεται· πόθεν οὖν σοι διαδράναι τὸ βλάσφημον περιγενήσεται; ὡς πανταχόθεν γε μέγα περικέχηνεν ὁ τῆς ἀσεβείας περὶ σὲ βόθρος· καὶ δίκαιον γὰρ καὶ πρέπον, τὰ θαύματα τῷ λόγῳ ἀνάπτοντα, καὶ ἀπερίγραπτον ὁμολογοῦντα ἀναλόγως καὶ ἁρμοδίως, καὶ τὰ παθήματα τῇ σαρκὶ διδόντα, περιγραπτὴν εἶναι δοξάζειν· οὕτω γὰρ ἀποδιδόναι χρὴ ἑκατέρᾳ τῶν φύσεων τὰ οἰκεῖα καὶ ἴδια.

κγ. Εἶτα φησίν. „ Ὅτι ἐπὶ τῆς σαρκὸς καὶ μόνης ἴδιον πρόσωπον περι„ γράφει ψιλοῦ ἀνθρώπου. „ Εἰ δὲ οὐ περιγράφει, τί σοι συμβήσεται; ἵνα τῷ αὐτῷ σοι κανόνι τοῦ λόγου χρήσωμαι, καὶ οὕτως ἴδιον πρόσωπον δώσει ἰδικῶς γυμνοῦ μόνου τοῦ λόγου κεχωρισμένον, καὶ διῃρημένον τῆς κατ' αὐτὸν ἀνθρωπότητος, ἥ τις ἐστὶ περιγραπτὴ, ὡς τῇ ἀληθείᾳ καὶ πᾶσι τοῖς ὀρθὰ φρονεῖν εἰδόσι δοκεῖ, καὶ διὰ πλειόνων προαποδέδεικται· καὶ ἤδη σοι καὶ πάλιν ἐντεῦθεν ἡ τετρὰς περιΐσταται· ἐπειδὴ κεχώρισται τοῦ λόγου κατὰ τὸν σὸν λόγον τὸ ἀνθρώπινον, καὶ μεμέρισταί σοι οὐδὲν ἧττον ὁ Χριστὸς, καὶ προστέθειταί σοι πρόσωπον ἐπὶ τῆς ζωαρχικῆς καὶ σεβασμίας τριάδος· ἀλλ' οὕτως ἀχάλινον ἐπὶ κατὰ τῆς Χριστοῦ οἰκονομίας ὁ χριστομάχος διαφεὶς τὴν γλῶσσαν, παλιμφήμους ἀποῤῥίπτει τοὺς λόγους, καινοῖς ἐγχειρήμασιν ἑαυτὸν ὡς πλείστοις παρακρουόμενος, ὅλην τοῦ ψεύδους τὴν ἐξαπάτην εἰσδεδεγμένος, ἐντεῦθεν λοιπὸν τῆς μυθοπλαστίας κατάρχεται, καὶ συμπλάσσει τὴν τερατείαν, βαττολογίαις ταύτην ἐξυφαίνων, καὶ φασμάτων πλήρη τὴν ἑαυτοῦ ψυχὴν ἀπεργαζόμενος· ἵνα ἡ μὲν βλασφημία τὴν ἀσέβειαν, ἡ τερατολογία δὲ τὴν παράνοιαν τοῦ τε λογογραφοῦντος, τῶν τε τὸν λόγον ἐκείνου παραδεδεγμένων, σαφῶς ἅπασιν ἐμφανίζοιεν.

Τί γάρ, φησιν, ἐν τοῖς ἑξῆς κατὰ τὸ συνεχὲς τοῦ λόγου; „ Τουτέστι „ χαρακτηρίζων πρόσωπον, καὶ ποιῶν τὸν Χριστὸν κτίσμα καὶ μόνον, καὶ τὴν „ θείαν φύσιν μὴ εἶναι εἰς αὐτόν. „ Ταῦτα τῆς ἐξουσίας καὶ τῆς παχύτητος, ἐξ ὧν ἀμφοτέρων φυεῖσα καὶ συγκροτηθεῖσα ἡ ἀσέβεια, κατὰ τῆς ἀμωμήτου ἡμῶν νεανιεύεται πίστεως, καὶ τῶν ὀρθῶν δογμάτων καταγωνίζεται· ἀλλὰ πρὸς τοὺς τοιούτους ἐμέτους, ἵνα πατρικοῖς λόγοις ἐγκαλλωπίσωμαι στηλιεύουσι τοῦ σοφοῦ τὴν απόνοιαν, πῶς οὐκ ἄμεινον ἡ σιωπή; “ μὴ ἀποκρίνου γὰρ „ ἄφρονι κατὰ τὴν ἀφροσύνην αὐτοῦ „ γέγραπται· ἀλλ' ἵνα μὴ δοκοῖεν οἱ δοκησίσοφοι καὶ τῆς ἀποστασίας ὑπασπισταὶ, ἐρήμην τῶν εὐσεβούντων καταθεῖν ὥσπερ τοῦ λόγου, ἀκαταγώνιστον τὸν ἐκ ψευδομυθίας καὶ εἰκαιότητος αὐτοῖς ἐπικουρούμενον λόγον εἶναι οἰόμενοι, ταύτῃ τοι, εἰ καὶ αἰσχρὸν καὶ ἀκαλλὲς τοῖς οὕτω σαθροῖς καὶ εὐχειρώτοις ἀντιφέρεσθαι, ὅμως ταῖς κοιναῖς ἁπάντων ὑπολήψεσι χρώμενοι, τὰς κατὰ τῆς ἀληθείας αὐτοῖς ἐξευρημένας μηχανὰς καὶ δόλους, οἷς ἀνοήτως καὶ ἀβούλως αὐτῇ ἀντιπαρατάττονται, μάλα εὐσθενῶς ἐκπολιορκήσωμεν· ἐπ' ἀλογίστους γὰρ καὶ ἀτόπους ἐννοίας ἵενται, ἐφ' ἃ μὴ προσῆκε περιελκόμενοι, καὶ εἰκῇ φυσιούμενοι ὑπὸ τοῦ νοὸς τῆς σαρκὸς αὐτῶν,

καὶ ἃ μηδεὶς οἶδε τῶν εὖ φρονούντων, μὴ δὲ ἡ φύσις αὐτὴ τῶν πραγμάτων ἐπίσταται, διοριζόμενοι· πρὸς γὰρ τῷ ἀσεβεῖ, καὶ τὸ ἀπίθανον κέκτηνται· πρὸς ἓν δὲ καὶ μόνον βλέποντες, πᾶσαν τε σπουδὴν τιθέμενοι, καὶ πάντα κάλων τὸ δὴ λεγόμενον σείοντες, ἀνατρέπειν ὡς οἴονται τὸ τῆς Χριστοῦ οἰκονομίας μυστήριον, ὡς ταύτῃ τῷ τοῦ ἀπεριγράπτου προβλήματι, τὸ ἀφομοίωμα τοῦ σεβασμίου χαρακτῆρος αὐτοῦ ἐξαφανίζοιτο· οὐδὲν δὲ ἄτοπον εἰπεῖν, καὶ ἡ αὐτοῦ Χριστοῦ μνήμη συνοιχήσοιτο· ἀλλ' εἰκότως φθέγξοιτο πρὸς αὐτοὺς ἡ σοφὴ παροιμία· " ὃς ἐρείδεται ψεύδεσιν, οὗτος ποιμανεῖ ἀνέμους· ὁ δὲ αὐτὸς διώ-,, ξεται ὄρνεα πετόμενα· συνάγει δὲ χερσὶν ἀκαρπίαν· ,, συμπλάσσονται γὰρ ὀνειροπολοῦντες τὰ ψευδῆ, ἅπερ αὐτοῖς ἡ σκαιότης τῶν λογισμῶν, καὶ τὰ τῆς βεβήλου ψυχῆς ἕωλα καὶ ἀπατηλὰ ὑποτίθεται φάσματα· ὅτι μὲν γὰρ τὸν νοῦν περιαλώμενοι, ἀδόκιμον οἷα περ αὐτὸν ἔχοντες, πόῤῥω που τῆς ἀληθείας καὶ τῆς εὐθὺ ἀγούσης ὁδοῦ ἀπονοσφίζονται, οὐ γὰρ ἀπολήγουσι τερατευόμενοι καὶ τοὺς φληνάφους ἐκείνους μυθουργοῦντες, πᾶς τις οἶμαι τῶν εὐσεβούντων καὶ λογισμοῦ κύριος συνθήσεται.

Ἀλλὰ λεγόντων, πόθεν ὁ μέγας αὐτῶν διδάσκαλος ταῦτα λαβὼν ἔχει, εἰ μὲν παρὰ τῶν θεοπαραδότων λογίων τοῦ πνεύματος, ἢ τῆς τῶν θεοσόφων πατέρων ἡμῶν διδασκαλίας, δεικνύτωσαν ποῦ, καὶ ἡμεῖς γε σιγήσομεν· εἰ δὲ ἐκ τῶν ἰδίων λαλεῖ, ἀφ' ὧν καὶ τὸ ψεῦδος ἐξήρτηται, τίς αὐτῷ προσέξει ἀνόητα φράζοντι; τίς γὰρ οὕτω νοῦ καὶ φρενῶν ἐστέρηται, ὥστε συμφῆσαι ὅτι δὴ ὁ χαρακτηρίζων Χριστὸν, κτίσμα αὐτὸν μόνον ποιεῖ, ἢ τῆς θείας διαιρεῖ φύσεως; ποῦ γῆς ἢ θαλάσσης ἤκουσταί τις τῶν πάλαι ἢ τῶν καθ' ἡμᾶς, ὃς κἂν γοῦν εἰς νοῦν τὰ τοιαῦτα ἐβάλετο πώποτε, ἢ τὴν πεπλαστουργημένην αὐτῷ ταυτηνὶ τερατείαν, ἣν καινοῖς ἀναπλασμοῖς ματαιούμενος συντέθεικεν ὑποδέξαιτο; ποῖος γὰρ λόγος ταῦτα συναναγκάσειε; ποία συλλογισμῶν ἰσχὺς, καὶ λόγων ἀπατηλῶν πιθανότητες; εἰ γὰρ δεῖ τὴν ἐκείνων διωσαμένους πλάνην, τῆς ἀληθείας ἐφάψασθαι, φαμὲν ὅτι μᾶλλον ὁ χαρακτηρίζων ἑνοῖ, ὡς μὲν κτίσμα τὸ ὁρώμενον, καὶ κατὰ πάντα ὁμοιοπαθὲς ἡμῖν σῶμα ἐξεικονίζων· οὐ ψιλῶν οὐδὲ διϊστῶν ἐκ τούτου, συνάγων δὲ τῷ τε λόγῳ καὶ τῇ σχέσει, εἴτε φύσεις τις εἴποι εἴτε ἄλλο, καὶ ἐπισφίγγει τὴν ἕνωσιν· οὐ γὰρ δὴ μόνον τὸ κατὰ Χριστὸν ὁρώμενον ἀνθρώπειον εἶδος εἰσάγεται, διά τε τῆς μνήμης καὶ τῆς πρὸς τὸ ἀρχέτυπον ὁμοιώσεως· ἤδη δὲ καὶ ὁ λόγος, εἰ καὶ μὴ συμπεριγράφεται μὴ δὲ εἰκονίζεται, ὅσον ἐπὶ τῇ ἑαυτοῦ φύσει, ἀόρατός γε ὢν καὶ πάντη ἄληπτος, ἀλλ' οὖν γε ἐπειδὴ εἷς ἐστι τὴν ὑπόστασιν καὶ ἀμέριστος, διὰ τοῦτο καὶ ἡ μνήμη αὐτοῦ συνεισέρχεται· ἀλλὰ τοῦτο αὐτοῖς ἐστὶ τὸ φορτικὸν καὶ δυσαχθέστατον· ἐπειδὴ γὰρ βαρύς ἐστιν αὐτοῖς ὁ Χριστὸς καὶ ἐν εἰκόνι μόνον βλεπόμενος· οὕτω γὰρ κἀκεῖνος τὴν ψυχὴν ἐξοιδαίνων ἐπὶ τῇ μνήμῃ αὐτοῦ, τὸ πᾶν θράσος καὶ τὴν μῆνιν κατὰ τῆς ταύτην φερούσης εἰκόνος ἐξέχεεν· ἔξεστιν οὕτω περὶ τούτων διακειμένοις, καὶ αὐτὰ τὰ τῶν ἱερῶν εὐαγγελίων ἀκούουσι λόγια, ἀφ' ὧν δὴ καὶ ταῦτα ἤρτηνται, τὴν ἴσην ἐκείνοις

δύναμιν ἔχοντα· εἰς ταὐτὸν γὰρ ἐν ἀμφοτέροις τὰ τῆς ὑποθέσεως ἔρχεται, καὶ ἡ αὐτὴ ἱστορία ἀνέκαθεν ὁρᾶται· τοιούτου γὰρ λόγου ἔχονται, εἴ που ταπεινόν τι καὶ ἀνθρώπινον περὶ τῆς κατὰ τὸν σωτῆρα οἰκονομίας ἡμᾶς ἐκδιδάσκοιεν, τὰ ἴσα λογίζεσθαι, καὶ ὡς κτίσμα αὐτὸν εἰσφέροντα δέχεσθαι· ἢ τοῦ λόγου διαιροῦντα ὡσαύτως διαγράφεσθαι, καὶ δεῖ καθαιρήσειν τὰ εὐαγγέλια· αὐτοῦ μάλιστα τοῦ κυρίου πρὸς τὸν τῶν ἰουδαίων δῆμον λέγοντος· " τί με ζητεῖτε „ ἀποκτεῖναι, ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα· καὶ ὁ υἱὸς τοῦ ἀν- „ θρώπου παραδίδοται εἰς τὸ σταυρωθῆναι· „ διὰ τούτων γὰρ τὸ ταπεινὸν καὶ πτωχὸν αὐτοῦ καταφαίνεται παράστημα, καὶ ὅσα τὰ πάθη καὶ τὸν σταυρὸν αὐτοῦ ἡμῖν εἰσηγοῦνται, διαγελᾶν τε καὶ διαπτύειν· ἀλλὰ μὴν ταῦτά γε οὐδεὶς τῶν σωφρονούντων οὐδὲ ὑπολήψεται, οὐδὲ διαλέξεται, οὐδὲ ἐκεῖνο ἄρα τῆς ἴσης καὶ τῆς αὐτῆς ἀτοπίας ἐχόμενον.

Τί οὖν φαμέν; ὅτι ὡς πανταχοῦ τῶν ἀληθῶν ὁ κενὸς οὑτοσὶ θεολόγος ἀπονένευκεν, οὕτω δὴ κἀνταῦθα ἐμφανῶς ἀποπέπτωκε· προσεκτέον γὰρ ὅτι ὥσπερ ἐν τοῖς ἄνω τῷ ψεύδει συγκλωθόμενος, καὶ καθ' ἑαυτοῦ σοφιζόμενος ἔφασκεν, ὅτι εἰ καλῶς, ὁμοούσιον εἶναι δεῖ τοῦ εἰκαζομένου τὸ ἀπεικόνισμα· μὴ εἰδὼς τὴν ἐν αὐτοῖς ἢ διδοὺς διαφοράν, ὥσπερ οὐδὲ ἐμψύχου καὶ ἀψύχου, ἢ λογικοῦ καὶ ἀλόγου, ἢ τῶν οὕτως ἀντιδιαστελλομένων πρὸς ἄλληλα τὸ διάφορον ἐπιστάμενος, ἐξ οὗ δείκνυται τὸ κατὰ τὴν γνώμην ἀνίδρυτον καὶ ἀστεύθμητον· οὕτω δὴ κἀν τούτοις τῇ αὐτῇ διανοίᾳ χρώμενος, τῇ κατ' αὐτὸν θεολογίᾳ τὴν μυθολογίαν ἐκ πολλῆς ἄγαν ἀγχινοίας καὶ νοὸς νήψεως εἰς ἄκρον συντιθείς, εἰς ταυτὸν ἄγει πρωτότυπον καὶ παράγωγον· καὶ ὡς ἀνὰ μέσον ἁγίου καὶ βεβήλου διαστεῖλαι οὐ προείλετο, οὐδὲ τούτων ἀνὰ μέσον διακρίναι ἠνέσχετο, οὐδ' ὅσον ἐπ' ἄκρα γλώσσῃ τοῦ περὶ αὐτῶν λόγου ἐφάψασθαι· ὁ γὰρ διὰ τῆς εἰκόνος μερίζεσθαι τὸν Χριστὸν οἰόμενος, οὐδὲν ἕτερον δοξάζει ἢ ὅτι οὐδὲν διοίσει Χριστὸς τῆς ἑαυτοῦ εἰκόνος, ἀλλὰ ταυτὸν εἶναι ἀμφότερα· ὡς εἴ γε τὴν τούτων κρίσιν διέγνω, οὐκ ἂν τῶν ἱερῶν καὶ σεβασμοῦ ἀξίων κατέγνω· τῇ γὰρ κενῇ δόξῃ καὶ ματαιότητι τοῦ κόσμου ἡττώμενος, καὶ φιλαυτίᾳ καὶ ἐμπαθείᾳ καταβαπτιζόμενος, ἐσκοτίσθη τὴν ψυχήν, καὶ τοῦ τῆς ἀληθείας ἐστέρηται φωτός, οὐδὲν πλέον τῶν ὁρωμένων εἰδὼς ἢ φανταζόμενος· γεώδης γὰρ ὢν καὶ κάτω νενευκώς, τὴν ἐγκεκρυμμένην τοῖς ἱεροῖς χάριν καὶ ἐναποκειμένην οὐ κατενόησεν, οἷα περ μέχρι τῆς ὕλης καὶ τῶν κτισμάτων, τὸν νοῦν συνιστάμενος.

Ἀλλὰ δὴ ὅ γε ἑλόμενος, οἷα ὁ σοφώτατος καὶ θεωρητικώτατος οὗτος, φρονεῖν τε καὶ προχειρίζεσθαι, ἐρομένοις ἡμῖν ἀποκρινέσθω καὶ συνδιασκεπτέσθω, ὡς ἂν γνοίη ὅποι τὰ τῶν προβλημάτων αὐτῷ ἐξίοι· λεγέτω γὰρ ἡμῖν πρότερον· εἰ παρ' ὁτουοῦν χριστιανῶν οὕτω δόξης ἐπύθετο ἔχοντος; ἀλλ' οὐκ ἂν εἰπεῖν ἰσχύσειεν, οὐκ ἂν ἔχοι δεῖξαι· τέχνασμα γὰρ καὶ κακούργημα οἰκεῖον προφανῶς αὐτῷ ἤδη προβέβληται· ὅμως δ' οὖν ποίᾳ δυνάμει καὶ ὅτῳ τρόπῳ συμβαίνειν ταῦτα βούλεται ὁ τῶν καινῶν τούτων δογμάτων εὑρετής; εἰ

γὰρ κτίσμα μόνον ὁ Χριστὸς χαρακτηριζόμενος ἀπολείπεται, τῆς θείας ἀμοιροῦν φύσεως τῷ ταύτην ὑπάρχειν ἀπερίγραπτον, πολλῷ δή που σαρκούμενον, τοῦτο πρότερον πεπονθέναι ἔδει· καθόσον καὶ ἡ ἀνειλημμένη τῷ λόγῳ σὰρξ, οἰκειοτέρα αὐτῷ τῆς κατ' αὐτὴν εἰκόνος ὡς ἀρχέτυπον· ἐπειδὴ οὐδαμῶς γε ἡ διὰ τοῦ χαρακτηρίζεσθαι μίμησις καλῶς τηρηθήσεται, εἰ μὴ τοῖς προηγουμένοις ὡς οἷόν τε ἐξομοιωθείη· πῶς γὰρ τὸ ἐν μιμήσει τινὸς καὶ ὁμοιώσει γινόμενον, δρᾶσαι τὶ δυνήσεται ἢ πάθοι, εἰ μὴ πρότερον τὸ οὗ ἐστιν ὁμοίωμα, οὕτω πέφυκεν εἶναι; εἰ δὲ τὸ ταῦτα λέγειν, ἐσχάτης παραφροσύνης καὶ δυσσεβείας ἐστὶ, πῶς οὐχὶ κἀκεῖνα μανίας τῆς ἀνωτάτω; εἰ γάρ τις φαίη ἀληθῆ ἐκεῖνα εἶναι, πάντως που κατὰ τὸ ἀκόλουθον τοῦ λόγου, ἐπειδὴ ἀληθῶς ὡράθη ἀνθρώποις πεφηνὼς καθ' ἡμᾶς ὁ Χριστὸς, οὐ πέφυκε δὲ ἡ θεία φύσις ὁρᾶσθαι, πολὺ μᾶλλον παρὰ τὸ μὴ ὁρᾶσθαι αὐτὴν, κτίσμα μόνον τὸ θεαθὲν ὑπολελεῖφθαι συμβήσεται, τῆς θείας μὴ οὔσης ἐν αὐτῷ φύσεως, καὶ τοσοῦτον ὅσον καὶ πρώτως ἀνθρώποις ὡράθη, οὕτω τε χαρακτηρισθῆναι ἐδέησεν· εἰ μὴ γὰρ ἐθεάσατό τις, οὐδὲ ἐχαρακτήρισέ που πάντως· εἰ δὲ ἔγκλημα διὰ τὰς εἰρημένας αἰτίας τῷ γεγραφότι, πόσῳ μάλιστα τῷ θεαθέντι; ὅτι διὰ τοῦτο μάλιστα ἡ μία κατὰ Χριστὸν διέστηκεν ὑπόστασις, καὶ κτίσμα μόνον αὐτὴ καταλέλειπται.

κδ. Εἰ δὲ παρά τινι τῶν πιστῶν αἰτηθεὶς ὁ Χριστὸς, τὸν ἑαυτοῦ θεῖον χαρακτῆρα ὀθόνῃ ἐναπεμάξατο καὶ ἐξέπεμψε, τί μάτην ἄλλοι χαρακτηρίζοντες αὐτὸν ἐγκαλοῦνται; εἶτα ζητεῖν καὶ τοῦτο ἄξιον· πεφυκὼς ταῦτα πάσχειν ὁ Χριστὸς πέπονθεν, ἢ οὔ; εἰ μὲν γὰρ οὐ πέφυκε πάσχειν, πλάνης πλήρης καὶ ματαιότητος γέμων ὁ ταῦτα ἐγκαλῶν, καὶ εἰς ἄκρον σκαιότητος καὶ ἀπονοίας ἐκβέβηκεν ὁ πόνος αὐτῷ· καὶ γὰρ οὖν, καὶ τῇ τῶν πραγμάτων αὐτῇ φύσει ἀπεναντίας ἐρχόμενος γνωρισθήσεται, καὶ τοῖς τρόποις αὐτοῖς καθ' οὓς τοῖς οὖσιν ἐνυπάρχουσιν· ὅπερ γὰρ οὐκ ἐνδέχεται γενέσθαι, ἐξ ἀνάγκης αὐτὸς διορίζεται γίνεσθαι· καὶ ὃ οὐ πέφυκε γίνεσθαι, ἐξ ἀκολούθου τινὸς ὑπάρχειν τινὶ βούλεται· εἰ δὲ οὕτως εἶχε φύσεως ὁ Χριστὸς, μάτην ἐγκαλεῖται ὁ γράφων ἢ ὁ τεθεαμένος· οὐ γὰρ παρὰ τὸ γράφειν ἢ ὁρᾶν, τὸν γράφοντα ἢ τὸν ὁρῶντα, ἐκεῖνα συμβέβηκεν, ἀλλὰ παρὰ τὸν ὁρώμενον καὶ γραφόμενον, καὶ ᾧ ταῦτα πέφυκεν· οὐκοῦν αὐτὸς ἑαυτῷ μᾶλλον ὁ ὁραθεὶς καὶ γραφεὶς, ὃς περιουσίᾳ φιλανθρωπίας συγκαταβὰς, καὶ ὁρώμενον καὶ γραφόμενον ἡμῖν ἑαυτὸν κενώσας εἰσήγαγε· τῆς τε διαστάσεως καὶ τοῦ κτίσμα καταλελεῖφθαι, ὑπῆρξεν ὁ αἰτιώτατος· ἐξ οὗ δοκεῖ καὶ κατηγορία τις ξένη τῷ Χριστῷ ἐπιπλέκεσθαι· ἵνα ἀφ' ὧν εὐεργετῶν ἔδει τιμᾶσθαι καὶ προσκυνεῖσθαι, ἀπὸ τούτων μᾶλλον μῶμος αὐτῷ καὶ ὕβρις ἀντεισαχθείη· καὶ γίνεται ἡ τῆς οἰκονομίας χάρις, ἀδοξίας καὶ ἀτιμίας ὑπόθεσις· ὡς γὰρ ταῦτα, πλέον ἢ ἐπὶ τοῦ διὰ σταυροῦ πάθους συμβέβηκε κατὰ τὰς ἐναντίων ἐπιχειρήσεις, ἀτιμότερα καὶ ἀθεώτερα, ἤδη πρόσθεν ἀρκούντως εἴρηται.

Ἀλλὰ κἂν περὶ ταῦτα ἀποκάμοιεν, πρόχειρον αὐτοῖς εἰς βλασφημίαν τὸ ἕτερον, συμπεριγεγράφθαι τῇ σαρκὶ ἐξ ἀνάγκης τὸν λόγον· ὃ πανταχοῦ περι-

βομβοῦντες, ἑϖόμενον εἰς κακίαν τοῖς ϖροτέροις ἔχουσιν. Ἀλλὰ φατέον καὶ πρὸς ταῦτα, πότερον κατὰ τὴν οἰκείαν καὶ ἀπόῤῥητον φύσιν περιεγράφη σωματούμενος, ἢ οὔ· εἰ μὲν ϖεριεγράφη, δεδόσθω καὶ παρὰ τὸ χαρακτηρίζεσθαι· εἰ δὲ μὴ, τίς ὁ ἐκβιαζόμενος λόγος, χαρακτηριζόμενον αὐτὸν σαρκὶ συμπεριγεγράφθαι· ὃ γὰρ μὴ πέπονθε προσειληφὼς τὴν ϖεριγραφομένην σάρκα, πῶς τῆς σαρκὸς γραφομένης πείσεται; καί περ οὕτως στηλιτευόμενοι, ὡς ἀδιανόητα καὶ δύσφημα κατὰ τῆς εὐαγοῦς ἡμῶν ὁμολογίας μελετῶντες, ϖλὴν ἐκ μιᾶς τῶν ἀτόϖων ἐπιχειρήσεων, τὰ τοῦ εἰκαίου δόγματος κατηρτίσθαι ἔδοξαν· ἵνα ἅπαν σχοῖεν λοιϖὸν τὸ ζητούμενον, καὶ ψευδηγορίας ἐμϖλέους ἐκ τοῦ ἐμφανοῦς ἐξελέγξειαν τόν τε εἰρηκότα " ὅτι ὁ λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν „ ἐν ἡμῖν· „ τόν τε γεγραφότα· " ὅτι ἐϖεὶ τὰ ϖαιδία κεκοινώνηκεν αἵματος „ καὶ σαρκὸς, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν· „ καὶ τἄλλα ὅσα ἡμῖν παρὰ τοῦ εὐαγγελικοῦ κηρύγματος παραδέδοται· ἀλλὰ τὰ τοιαῦτα ἄτοπα καὶ παράλογα, ἐκ τῶν ἀτόπων τοῦ γεγραφότος ὑϖολήψεων περαινόμενα, τῆς ἐκείνου ὡς ἀληθῶς καὶ τῶν ἐκείνῳ πειθομένων παραπληξίας ἄξια.

Ῥητέον δὲ κἀκεῖνο, ὡς ὅτι ἡ ἱερὰ τοῦ σωτῆρος ἡμῶν εἰκὼν, κατὰ τὰ ἔναγχος εἰρημένα, τῶν τοῦ ἀρχετύπου μεταλαμβάνει, καὶ δι' ὧν αὐτοὶ δρῶσι, σαφῶς ἐκφαίνεται· ὥσϖερ γὰρ ἃ νῦν παρὰ τῶν χριστομαχούντων πάσχει ὑβριζομένη τὲ καὶ καταβαλλομένη, δι' αὐτό γε τὸ ἀρχέτυϖον πάσχει· διὰ γὰρ τὴν εἰς Χριστὸν ὕβριν καὶ οὗτοι ταῦτα ποιοῦσιν· οὕτως ἀναλόγως ἐκ τοῦ ἀκολούθου, ὡς ἔστι συλλογισάμενον ῥαδίως συνιδεῖν, παρὰ τοῦ ἀρχετύπου χάριτός τινος καὶ δυνάμεως κατὰ ἀντιπερίστασιν εἰκότως μεθέξει· οὕτως οὖν βαρύς ἐστιν αὐτοῖς ὁ Χριστὸς καὶ ἐν εἰκόνι βλεπόμενος· ὄν ϖερ γὰρ τρόϖον τοῖς πάλαι ἰουδαίοις βαρὺς ἦν ὁ Χριστὸς ἐν σαρκὶ ὁρώμενος, ὡς ἀχθομένους ἐπὶ τὸν δίκαιον, ποτὲ μὲν λέγειν αὐτῷ, ἕως πότε αἴρεις τὴν ψυχὴν ἡμῶν; ποτὲ δὲ μυρίαις ϖεριβάλλειν συκοφαντίαις, εἶτα τὸ τελευταῖον θανάτῳ αἰσχίστῳ παραδεδώκασι, τὸν αὐτὸν τρόπον καὶ τοῖς νῦν ἰουδαίοις, διὰ τοῦ σεβασμίου αὐτοῦ ἐκτυϖώματος, ὡς δυσφορώτατος δείκνυται· ὡς γὰρ τὴν ἰουδαίων εἰκόνα καὶ τὴν μίμησιν φέροντες, ἐπὶ τῇ εἰκόνι Χριστοῦ δυσχεραίνουσι· καὶ ὡσαύτως ἐκείνοις, μυρίαις ὕβρεσι καὶ λοιδορίαις βάλλουσι, καὶ τὸ τελευταῖον καθαιροῦσι πικρῶς οἱ ἰουδαιόφρονες καὶ παράνομοι.

κε. Ἐπειδὴ δὲ περὶ τῆς τοῦ κυρίου σαρκώσεως ἡμῖν ὁ λόγος, οὐκ ἄκαιρον ἡγησάμεθα καὶ τοῦτο τοῖς εἰρημένοις προσεπενεγκεῖν, πρῶτον μὲν τὸν δοκοῦντα ἡμῖν καὶ τῇ ἀληθείᾳ λόγον ἐκτιθέμενοι, ἔπειτα δὲ τὸν τῶν ἐναντίων ὡς ἔχει εὐθύτητος ἢ σκολιότητος ἐπισκεπτόμενοι· ἡμεῖς γὰρ καθὰ παρὰ τῶν θεηγόρων μεμυσταγωγήμεθα, διπλοῦν τὸν ἕνα καὶ τὸν αὐτὸν Χριστὸν καὶ θεὸν ὁμολογεῖν παρειλήφαμεν, τὸ μὲν ὡς θεὸν ἀνάρχως καὶ ἀχρόνως καὶ ἀσωμάτως ὑπάρχοντα διὰ τὴν πρὸς τὸν θεὸν καὶ ϖατέρα συμφυΐαν, τὸ δὲ ἐν χρόνῳ καὶ σωματικῶς ὡς ἄνθρωϖον τέλειον ϖεφηνότα διὰ τὴν ϖρὸς τὴν τεκοῦσαν σωματικῶς τε καὶ ὑπερφυῶς συγγένειαν· ἐπεὶ οὖν ἀπερίγραπτος ὁ θεὸς καὶ πατὴρ,

καὶ ὁ Χριστὸς καθὸ θεὸς καὶ ὁμοούσιος αὐτῷ, καὶ ἀπερίγραπτος ὁμολογεῖται· ἐπειδὴ δὲ ἡ μήτηρ περιγραπτὴ, ἄνθρωπος γὰρ καὶ αὐτὴ καθ' ἡμᾶς, καὶ ὁ Χριστὸς ἄρα καθὸ ἄνθρωπος καὶ ὁμοφυὴς αὐτῇ, περιγραπτὸς ὁμολογηθήσεται· οὕτω γὰρ τὸ διπλοῦν τῶν φύσεων τῶν ἐν τῇ κατ' αὐτὸν μιᾷ ὑποστάσει ἀληθῶς διαφαίνεται, καὶ ἡ τοῦ λόγου ἀκολουθία τῇ ἀληθείᾳ συναρτωμένη ἀναγκαίως καὶ ἀμέμπτως διασωθήσεται· " μεσίτης γὰρ θεοῦ καὶ ἀνθρώπων ὁ „ Χριστὸς γενόμενος· „ καὶ προελθὼν θεὸς μετὰ τῆς προσλήψεως, ἓν ἐκ δύο τῶν ἐναντίων, ὡς τὰ τῆς θεολογίας μυσταγωγεῖ, ἐπίσης καὶ ὁμοτίμως ἑκατέρας τῶν, ὧν συντέθειται, μετέσχηκε φύσεών τε καὶ ἰδιοτήτων· καὶ διὰ τὴν πρὸς ἑκατέραν κοινωνίαν τε καὶ σχέσιν, εἷς ἐξ ἀμφοῖν ἀποτελούμενος, καὶ πρὸς τὴν ἑαυτοῦ ὑπόστασιν ἑνιζόμενος· καὶ ἐν τούτοις μὲν ὁ τῆς εὐσεβείας ὅρος ἵσταται.

Εἰ δέ τις δοίη τὸν Χριστὸν, καὶ καθὸ ἄνθρωπος, ἀπερίγραπτον εἶναι. ἀποσχίσει τε τῆς κατὰ τὴν τεκοῦσαν φυσικῆς συγγενείας, εἰς ταὐτὸν δὲ φύσιν θείαν καὶ ἀνθρωπίνην συνενέγκοι, ἀδιάφορον δὲ τὴν πρὸς ἄλληλα τῶν ἄκρων ἐναντίωσιν ἀποφήγγειε, καὶ οὐδαμοῦ τὸ διηλλαγμένον θεοῦ καὶ ἀνθρώπων ἴδοι, ἀλλ' εἰσαγάγοι ταῦτα ὁμοούσια· καὶ τίς οἴσει τῆς τοσαύτης βλασφημίας τὸ ὑπέρογκον; Ζητοῦμεν λοιπὸν· εἰ κατὰ τὸ πρόβλημα αὐτῶν ἀπερίγραπτον ὑπάρξαι τὴν τοῦ κυρίου σάρκα ἡ καθ' ὑπόστασιν ἕνωσις παραίτιον γέγονε, πόθεν τοῦτο, καὶ πῶς ἡμῖν φανεῖται διάδηλον; πότερον γὰρ, ἐπείπερ τὴν καθ' ἡμᾶς ὁ λόγος ὑπέδυ φύσιν, ἀπεριγράπτῳ σώματι τῆς παρθένου προσομιλήσας, προῆλθεν ἐξ αὐτῆς καὶ κατὰ σάρκα ἀπερίγραπτος; καὶ τάχα οἰήσονται τοῦτο αὐτῇ τὴν τοῦ παναγίου πνεύματος δωρήσασθαι ἐπιφοίτησιν, καὶ μεταστοιχειῶσαι, ἵνα ἅπαξ ἐκστάσα τῆς φυσικῆς καὶ ἀνθρωπίνης ἰδιότητος, ἐπιτηδειότερόν πως καὶ οἰκειότερον ἀπεριγράπτως τὸν ἀπερίγραπτον ὑποδέξηται λόγον· ἢ τῆς παρθένου ἐν τοῖς ὅροις μεινάσης τῆς φύσεως, ἅμα δὲ τῶν παρθενικῶν ὁ λόγος ἐφῆπται σπλάγχνων, καὶ ὃ προσείληφεν εἰς τὸ ἀπερίγραπτον μετεσκευάσατο, τῶν πρώτων ἀρχῶν, τῶν παρθενικῶν αἱμάτων φημὶ, εὐθὺς τῇ παρουσίᾳ καὶ τῇ δυνάμει τοῦ λόγου ἐκ τὸ ἀπερίγραπτον μεταποιηθέντων; ὁποῖα δὴ καὶ τοῖς κατεφθαρμένοις τὴν γνώμην ἀφθαρτοδοκήταις, περὶ τοῦ ἄφθαρτον ἀνειληφέναι τὸν κύριον σάρκα δοκεῖ· τούτοις γὰρ τοῖς ἀγραπτοδοκήταις, περὶ τοῦ ἀγράπτου νῦν παραπλήσια δογματίζεται· οὕτω γὰρ ἄν τις καλέσας αὐτοὺς, οὐκ ἂν διαμάρτοι τοῦ πρέποντος.

κς. Εἰ μὲν οὖν τῇ προτέρᾳ συντίθοιντο δόξῃ, ἥκιστα ἂν ἡμεῖς ἐκ τῆς τοῦ λόγου σαρκώσεως ἀπωνάμεθα· οὐδαμῶς γὰρ τὰ τῆς ἡμετέρας προσείληφε φύσεως, ἐκστάσης τῆς γεννησαμένης τῆς φύσεως, καὶ οὐδενὶ τρόπῳ τοῖς περιγραπτοῖς ἡμῖν ἐπικοινωνούσης τὴν φύσιν· ἀλλὰ πρὸς τῷ ἀσεβεῖ, καὶ τὸ ἀπίθανον ὁ λόγος ἕξει· πῶς γὰρ ἐνὸν, ἀπερίγραπτον ἀπεριγράπτῳ αἰσθητῶς τε καὶ σωματικῶς ἐνοικῆσαι; οὐδὲ γὰρ τὸ σῶμα πέφυκεν ἀπερίγραπτον εἶναι, καὶ αἰσθήσεως ἄνευ· ἀποστερήσουσι δὲ, ὃ πάντων ἐστὶ δυσσεβέστερον, καὶ αὐτοῦ τοῦ

τίκτειν τὴν παναγίαν παρθένον· εἰ γὰρ ἀδύνατον, ἀπερίγραπτον εἶναι σῶμα, καὶ ἀπερίγραπτον τίκτειν κατά γε τὴν ἀνθρωπείαν φύσιν ἀδυνατώτερον· οὐ μὴν δὲ, ἀλλὰ καὶ γεραίρειν πλέον ἢ καλῶς ἔχει τὴν παρθένον ἀποσεμνύνοντας, οὐκ εὔλογον· ἀτιμίας γὰρ οὐδὲν ἀπέοικε τιμὴ ὑπερβάλλουσα· εἰ γὰρ τοῦτο, καὶ τὸ ἄφθαρτον καὶ ἀθάνατον καὶ ἀπαθὲς αὐτῇ δοθείη· ἵνα ὅπερ φύσει τῷ λόγῳ, τοῦτο θέσει τῇ τεκούσῃ ὑπάρξειεν· ὧν τί ἀτοπώτερον; τί γὰρ διοίσει θεὸς ἀνθρώπων; εἰ δὲ τῇ δευτέρᾳ πρόσθοιντο, ὅτου δὴ χάριν, μὴ πάλιν καὶ τὸ ἄφθαρτον καὶ ἀνώλεθρον καὶ ἀπαθὲς, εὐθὺς ἐκ πρώτης ἑνώσεως, καὶ ἅμα τῇ μητρῴα προσψαῦσαι νηδύϊ τὸν λόγον τῇ φύσει κεχάρισται; ὡς εἴ γε τοῦτο ὑπῆρξε, περιττὸς ἦν ὁ τῆς συμπολιτεύσεως ἡμῖν, καὶ τῆς μετὰ ἀνθρώπων ἀναστροφῆς τοῦ κυρίου τρόπος· οὐδ' ἂν ἐδέησεν αὐτῷ τοσούτων πραγμάτων, ὥστε καὶ πάθη ἐνέγκαι, καὶ τὸ πάντων ἔσχατον, τὸν διὰ σταυροῦ οἴκτιστον ὑπομεῖναι θάνατον, δι' ὧν ἡμῖν τὰ τῆς ἐλευθερίας καὶ σωτηρίας πέπρακται.

Ἀλλ' ἴσως φαῖεν ὡς δι' ἄγνοιαν ἢ τὸ ἀδύνατον· καὶ πῶς θεὸς, εἰ τοιαῦτα πέπονθεν; ἢ πῶς ὁ τὸ ἓν δράσας, μὴ καὶ τὰ ἄλλα εἰργάσατο; τίνος οὖν ἕνεκεν τῶν ἄλλων ἀνασχόμενος, ὅσα τῆς φύσεως καὶ τοῦ ἀνθρωπείου συγκρίματος, τὸ περιγραπτὸν μόνον ἀπήρνηται; ὃ μάλιστα οἰκεῖον καὶ πρώτως ὑπάρχει τῷ σώματι, καὶ τὸ ἰδιαίτατον, καὶ οὗ ἄνευ, σῶμα οὐκ ἂν ὑποσταίη· ὡς εἴ γέ τις τούτου ἀποστερήσει τὸ σῶμα, οὐδὲ εἶναι τὸ παράπαν σῶμα ὁμολογήσειεν· ἀνάγκη οὖν λέγειν αὐτοὺς, ὡς ἐφ' ἑτέραν δημιουργίαν ἐληλυθέναι, καὶ ἄλλην ἀρχὴν ὑποστήσασθαι φύσεως, καὶ σῶμα οὐδὲν ἡμῖν προσῆκον· ὃ δὴ καινὸν ὑπάρχον καὶ τῆς καθ' ἡμᾶς οὐσίας ἐξηλλαγμένον, ἀποτεμόμενος ἑαυτῷ περιέπλασας· ἐξ οὗ περιγραπτοῖς οὖσιν ἡμῖν, οὐδαμῶς τὰ τῆς σωτηρίας περιέσται, τὸ προσεοικὸς ἐκείνῳ οὐκ ἔχουσι· τίνι δὲ λόγῳ ὁ καινοποιήσας διὰ τῆς σαρκώσεως αὐτοῦ λόγος τὴν καθ' ἡμᾶς φύσιν, τὰ μέγιστα δεδωρημένος, τήν τε ἀθανασίαν καὶ ἀφθαρσίαν λέγω, καὶ τἄλλα ὅσα ἡ τῶν μελλόντων ἐλπὶς ἡμῖν ὑποτίθεται, τούτου μόνου φθονήσας ἡμᾶς ἀπεστέρησεν; οὐδαμοῦ γὰρ ἐν ταῖς ἐπαγγελίαις, τὸ ἀπερίγραπτον μεμυσταγωγηκὼς καθυπέσχετο· οὔτε παρ' ἄλλῃ γραφῇ, ἢ τὸ τῶν ἱερομυστῶν διδασκάλιον, εἰσηγούμενον φαίνεται· "δεῖ μὲν „ οὖν τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύ„ σασθαι ἀθανασίαν, φησί που ὁ θεῖος ἀπόστολος, καὶ ὅ τι σπείρεται ἐν ἀτι„ μίᾳ. ἐγείρεται ἐν δόξῃ· „ τὸ περιγραπτὸν δὲ τοῦτο ἐνδύσασθαι ἀπεριγραφίαν, οὐδέπω καὶ σήμερον, οὔτε παρὰ Παύλου, οὔτε παρ' ἑτέρου τῶν τῆς ἐκκλησίας μυσταγωγῶν τις ἀκήκοε· τὴν δὲ πολλὴν λέσχην περιϊστάμενοι, ἓν τοῦτο φήσομεν, αὐτὸ τὸ ἐνοικῖσαι ἐν τῇ παρθενικῇ μήτρᾳ τὸν Χριστὸν, εἰ μὴ περιγεγράφθαι σωματικῶς ἐν αὐτῇ δέξαιντο ὡς τὸ τῆς ἀληθείας ἐναστράπτει φῶς, τί ἂν ἕτερον εἴποιεν, ἢ τὸ ἐν περιγραφῇ τὸν ἀπερίγραπτον οἴεσθαι λόγον; τοῦτο δὲ ποίας δυσσεβείας καὶ ἀθεΐας ὑπερβολὴν καταλείπει; ἀνάγκη γὰρ δυοῖν θάτερον, ἢ μετεσχηκέναι παρὰ τῆς ἁγίας παρθένου περιγράπτου σώματος, ἢ πάντως γε κατὰ τοὺς πάντη διεστραμμένους ἀντιστραφείσης τῆς τῶν

πραγμάτων σχέσεως, ἀντιδιδόναι τὸ ἀπερίγραπτον αὐτῇ· ἓν γάρ τι τούτων ἡ ἕνωσις καὶ ἡ κατ᾽ αὐτὴν τοῦ λόγου ἐνοίκησις ἀπειργάσατο· ἀλλὰ μὴν περιγραπτὴ ἡ παρθένος, καὶ τὸ τοῦ κυρίου ἄρα σῶμα περιγραπτὸν, ὡς ἐκ περιγραπτοῦ προελθὸν σώματος.

Εἰ γὰρ οὐδὲν τούτων δοῖεν, ἐκφύγοιεν δὲ τὰ ἄτοπα, λελείψεται αὐτοὺς ἀτοπωτέρῳ περιπεσεῖν πτώματι· τοῖς διδασκάλοις γὰρ τῆς παλαιωθείσης φαντασίας κἀνταῦθα ἑπόμενοι, ὥσπερ διὰ σωλῆνος τῆς παρθένου ἄνωθεν σαρκοφοροῦντα διίχθαι τὸν λόγον, ἵνα μὴ δ᾽ ὁπότερον θατέρου μετάσχοι, δογματίσουσι· δικαιότερον δ᾽ ἂν τοῖς κατακρίτοις συναριθμηθεῖεν, τοῖς παρὰ τῶν ἁγίων φρικτοῖς ἀναθέμασι καθυποβαλλόμενοι· ταῦτα μὲν ἐκβασανίζων ὥσπερ ὁ λόγος οὕτω διέξεισιν· ὁ γάρ τοι θεολογικώτατος καὶ δογματικώτατος, οὐδαμῇ σαφῶς διευκρινήσατο· πηνίκα καὶ πότε χαρίζεται τῇ σαρκὶ τὸ ἀπερίγραπτον, πρὸ τῆς ἑνώσεως ἆρα τῆς πρὸς τὸν λόγον, ἢ μετὰ τὴν ἕνωσιν; ἀλλὰ πρὸ μὲν τῆς ἑνώσεως, οὐκ ἂν εἰς τοσοῦτον οἶμαι παρανοίας ἐξολισθήσας ἔφησεν· ἢ γὰρ ἂν, οὐδ᾽ ἀνειλῆφθαι τὸ παράπαν ὡμολόγησε· τὸ γὰρ ἀπερίγραπτον, οὐδὲ ἄνθρωπος, ἀλλὰ θεός· οὐδ᾽ ἄγγελος τάχα εἴποι τις τῷ γε κατειλῆφθαι· ἀλλ᾽ ὅτι μὲν ἀγγέλων οὐκ ἀνείληφε φύσιν, ὁ Παῦλος αὐτῷ ἐκβοάτω μεγαλοφώνως λέγων· " οὐ γὰρ δή που ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος „ Ἀβραὰμ ἐπιλαμβάνεται· „ ἀπερίγραπτον δὲ λέγειν τὸ σπέρμα τοῦ Ἀβραὰμ, τῆς ἐκείνου σοφίας εἰπεῖν· οὐδεὶς γὰρ οὕτω κτηνώδης καὶ ἀνούστατος, ὅστις αὐτῷ τῷ λόγῳ συνθήσοιτο· ἀνάγκη οὖν αὐτῷ, ὅτε ὁ λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν, ἤτοι μετὰ τὴν ἕνωσιν, τὸ ἀπερίγραπτον τῇ σαρκὶ ἐπιγράφειν· οὕτω δὲ καὶ τὸ ἀπαθὲς ἀναφές τε καὶ ἀόρατον, καὶ εἴ τι τοιοῦτον, διὰ τὴν ἕνωσιν καὶ τὸν αὐτὸν λόγον, προσένειμεν ἂν πάντως αὐτῇ ἠρνημένῃ εὐθὺς μετὰ τὴν ἕνωσιν τὸ παθητὸν καὶ ὁρατὸν καὶ ἁπτὸν καὶ τὰ λοιπὰ, οἷς τὸ εἶναι σὰρξ γνωρίζεται· καὶ ἔσται κατ᾽ αὐτὸν τὸ αὐτὸ, καὶ περιγραπτὸν καὶ ἀπερίγραπτον, καὶ παθητὸν καὶ ἀπαθὲς, ἁπτόν τε καὶ ἀναφὲς, καὶ τἆλλα ὁπόσα ἂν ᾖ ἀντικείμενα· καὶ τὰ μὲν δι᾽ ἑαυτὰ, καὶ πρὸ τῆς ἑνώσεως· τὰ δὲ δι᾽ ἕτερα, καὶ μετὰ τὴν ἕνωσιν· τὸ αὐτὸ δὲ εἶναι κατὰ ταυτὸν, καὶ ὑπάρχειν τὰ ἀντικείμενα· οὐδὲ μένειν ἔτι σῶμα ὁμολογηθήσεται, ἐκσταίη γὰρ ἂν ἑαυτοῦ, καὶ τὸν ἴδιον παραιτήσεται ὅρον τὲ καὶ λόγον· οὗ τί ἂν γένοιτο ἀλογώτερον ἢ ἀφρονέστερον;

Ἐν τίνι γὰρ τὰ τῆς οἰκονομίας καὶ τῆς πρὸς ἀνθρώπους ἐμπολιτεύσεως τοῦ Χριστοῦ φανήσεται; ἐν τίνι τὸ πεινῇν καὶ διψῇν θεωρηθήσεται; πόθεν ὁ τῆς ὁδοιπορίας κόπος, τὸ ἱδροῦν τε καὶ δειλιᾷν, καὶ τἆλλα πάσχειν ὅσα τοῦ ἡμετέρου ἐστὶ σώματος; ᾧ τό τε σχῆμα καὶ ἡ ἀντιτυπία καὶ ἡ τρισσὴ διάστασις, καὶ τὸ χρῶμα καὶ ἡ πηλικότης καὶ τὸ βάρος, πρὸς δὲ καὶ τὸ ἁπτὸν εἶναι, καὶ ὅσα ἄλλα ἴδια τοῦ σώματος ἐστί τε καὶ λέγεται· πῶς οὖν τὸ ἁπτὸν οὐ περιγραπτὸν; ἵνα ἐξ ἑνός γε καὶ τἆλλα συμπεριληφθείη, ὅσα διὰ τοῦ προσλήμματος ἐν Χριστῷ τεθεώρηται· ὡς εἰ μὴ τούτοις ἔθετο, καὶ τὸ σεσωματῶσθαι αὐτὸν τὸν κύριον ἀπηρνήθη ἂν τελεώτερον· οὐκοῦν οὐδὲ πεπονθέναι διω-

μολόγησε· καὶ οἰχήσεται τὰ τῆς ἐλευθερίας ἡμῖν, καὶ τὸ ἀπηλλάχθαι εἰδώλων, ὅπερ ἐκεῖνος ἐσπούδακε· κενὰ τὰ τῆς ἐλπίδος, καὶ ὅσα διὰ τοῦ σωτηρίου ἡμῖν προσγέγονε πάθους· τὰ γοῦν εὐαγγέλια, ἥκιστα δὴ τὸ ἀληθίζεσθαι διακεκτήσεται, καὶ δὴ καὶ ὀφθῇ αὐτῷ μάταιον τὸ κήρυγμα καὶ ἡ πίστις ἡμῶν.

Ταῦτα μὲν οὖν εἰρήσθω πρὸς αὐτὸν, τὸ ἀπερίγραπτον ἀλόγως κομπάζοντα· οὐχ' ὧδε δὲ ὁ τῆς ἀληθείας ἔχει λόγος, ἀλλὰ καθάπερ ὁ λόγος ἑνωθεὶς τῇ σαρκὶ τὰς φύσεις τελείας καὶ ἀνελλιπεῖς διετήρησε, καὶ τῶν φυσικῶν οὐκ ἐξέστηκεν ἰδιωμάτων, μεμένηκε δὲ κατά γε τὸν τοῦ εἶναι λόγον, ἑτεροίως ἔχων πρὸς τὸ σῶμα, οὕτω καὶ τὸ σῶμα ἐναντίως ἔχει πρὸς τὸν λόγον, κατά γε φημὶ τὴν ἰδιότητα· οὐδαμῶς γὰρ τῶν ἰδίων ἀποπεφοίτηκε γνωρισμάτων· καὶ ὡς γενόμενον θεοῦ σῶμα, οὐκ ἀφῄρηται τὸ εἶναι σῶμα, εἰ καὶ πρὸς τὸ βέλτιον ὅλον τῇ δυνάμει τοῦ λόγου μετεστοιχείωται, οὕτως οὐδὲ τῶν φυσικῶν ἰδιωμάτων ἐστέρηται· ἐπεὶ ποῦ σωθήσεται τὸ τέλειον, κατὰ τὴν ἐκκλησιαστικὴν διδασκαλίαν ἐπὶ Χριστοῦ, ὥσπερ ἐν θεότητι οὕτω δὴ καὶ ἐν ἀνθρωπότητι; εἰ γάρ τι τῶν εἰς τὴν τελειότητα ἡκόντων ἀφαιρεθείη, οὐ μόνον οὐ τέλειον, ἀλλ' οὐδὲ ὑπάρξειεν ὅλως· "πῶς οὖν σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται„ εἰ κατ' αὐτό γε τοῦτο οὐ περιγράφεται; πόθεν ὤφειλε "κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι ὁ ἐν πολλοῖς ἀδελφοῖς πρωτότοκος, ὁ πεπειραμένος κατὰ πάντα καθ' ὁμοιότητα τὴν ἡμετέραν;„ πῶς υἱὸς τοῦ Δαβὶδ χρηματίσειε, καὶ υἱὸς τῆς παναγίας παρθένου, ἢ τὰ τῆς γενεαλογίας ἐκ τοῦ δαυϊτικοῦ κάτεισι φύλου; εἰ μή που καὶ αὐτῇ τὸ ἀπερίγραπτον ἐπεφήμισε, ὥσπερ διὰ σωλῆνος διαδεδυκέναι τὸν λόγον δι' αὐτῆς· ἵνα ὅλον τὸν τῆς φαντασίας καὶ δοκήσεως ἄκρατον, κατὰ τοὺς ἑαυτοῦ διδασκάλους, ἐγχέηται.

Ποῦ τῶν εὐαγγελικῶν κηρυγμάτων σωθήσεται ἡ ἀλήθεια; τοῦ μὲν τῶν εὐαγγελισαμένων τὸ Χριστοῦ μυστήριον λέγοντος "βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ υἱοῦ Δαβὶδ υἱοῦ Ἀβραάμ· τοῦ δὲ, ὅτι ὁ λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν·„ οὐδὲ αὐτὸν Χριστὸν τοῖς λιθάζουσιν ὁ συλλιθάζων ἐδέξατο ἂν λέγοντα· "τί με ζητεῖτε ἀποκτεῖναι, ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα;„ ποῦ τῶν ἱεροφαντῶν καὶ θεολόγων πατέρων ἡμῶν, ἡ διδασκαλία; οἳ γεγόνασι τῶν Χριστοῦ μυστηρίων ταμίαι καὶ κάτοχοι τῷ ἁγίῳ πνεύματι, καὶ τέλειον ἡμῖν τὸν αὐτὸν ἐν θεότητι καὶ τέλειον ἐν ἀνθρωπότητι, διαῤῥήδην ἐκδιδάσκουσιν, ὁμοούσιον τῷ θεῷ καὶ πατρὶ κατὰ τὴν θεότητα, καὶ ἡμῖν κατὰ τὴν ἀνθρωπότητα, περιγραπτὸν τὸν αὐτὸν καὶ ἀπερίγραπτον· τί δὲ ὅλως ἡμᾶς ὤνησε Χριστὸς περιγραπτούς γε ὄντας, εἰ μὴ τῷ ὁμοίῳ τὸ ὅμοιον ἀνεκάθηρέ τε καὶ ἐξιάσατο; εἰ μὴ τὸ πᾶν ὅπερ ἐσμὲν πλὴν ἁμαρτίας προσείληφε; τὸ γὰρ ἀπρόσληπτον, φασὶν, ἀθεράπευτον· ἐν οἷς γὰρ ἡ φύσις ἐδεῖτο τῆς ἀναπλάσεως, ἀνάγκη κατὰ πάντα ὅμοιον τῇ φύσει γενέσθαι· ἀλλὰ μή ποτε, οἱ νῦν τῆς πλάνης καὶ τῶν ἐκείνου δογμάτων προασπίζοντες εἴποιεν, ὅτι οὐκ ἠκούσαμεν· "μὲν οὖν γε εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης, τὰ ῥήματα αὐτῶν·„ οὕτω δὲ ἀπετυφλώθη-

σαν τῇ ἑαυτῶν ἀπονοίᾳ, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμισαν, καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν, καὶ πρὸς πᾶν ὁτιοῦν εἰς εὐσέβειαν ἧκον, πεπηρωμένον τὸ ὀπτικὸν τῆς διανοίας κτησάμενοι· οὐκ ἐναυγάζονται τῷ τῆς εὐσεβείας φωτὶ, πρὸς τὰς εὐαγγελικὰς καὶ πατρικὰς φωνὰς ἀπαναισχυντήσαντες, καὶ ἀνερυθριάστως ἀντικαθιστάμενοι· διὸ οὐδὲ ἀπολογίας αὐτοῖς παρὰ τῷ δικαίῳ κριτῇ τρόπος ὑπολειφθήσεται.

κζ. Εἰ δὲ διαιρεῖσθαι ἐδόκει ἀπὸ τοῦ γεγράφθαι τὸν Χριστὸν, καὶ κτίσμα μόνον καταλιμπάνεσθαι, ὁρᾷν ἔξεστι μή ποτε οὐδὲ ἔμψυχον κτίσμα κατὰ τὸν ἑαυτοῦ λόγον τὸν Χριστὸν καταλέλοιπεν· εἰ γὰρ μὴ τέλεον ἐν αὐτῷ σωζομένας τὰς κατὰ τὸν ἄνθρωπον, ὃν ἀνέλαβε, φυσικὰς διαφορὰς ἐδόξαζεν, οὐδὲ τὸ εἶναι ἄνθρωπον συγκεχώρηκεν· ἐπεὶ πόθεν αἱ φύσεις συσταῖεν αὐτῷ; ὥσπερ γὰρ παροῦσαι αἱ φυσικαὶ σώζουσι διαφοραὶ, οὕτω καὶ ἀποῦσαι φθείρουσιν· ὡς εἴ τις τούτων ἀφέλοιτό τι τὸν κύριον, οὐ μόνον ψιλὸν ἄνθρωπον εἴποι, ἀλλ᾽ οὐδὲ ἔμψυχον, καὶ ἀνενέργητον αὐτὸν καὶ ἀνδριάντα μόνον ἀποσχεδιάσας λοιπὸν ἀπολίποι· ὄντως δυσσεβείας ταυτὶ τὰ διανοήματα, οὐ χριστιανῶν δόγματα, ἄπαγε, ἐκείνου δὲ φρονήματα καὶ κυήματα· τί δ᾽ ἂν εἴποι περὶ τοῦ κατὰ τὸν ἄνθρωπον συγκρίματος, μιᾶς ὑποστάσεως ὄντος τοῦ καθ᾽ ἕκαστον ἀνθρώπου, ἐκ φύσεων δὲ δύο συνεστηκότος, καὶ τῆς μὲν φαινομένης καὶ περιγραφομένης, προσέτι δὲ καὶ εἰκονιζομένης, τῆς δὲ νοουμένης καὶ οὐ γραφομένης; εἴ τις ἄνθρωπον εἰκονίσειεν, ἆρα ἐδόκει αὐτῷ συνεικονίζειν τῷ ὁρατῷ τὸ ἀόρατον; ἢ διαιρεῖν κατά τε ψυχὴν καὶ σῶμα, ὅπερ οὐδὲν ἕτερόν ἐστιν ἢ θάνατος; τί γὰρ ἄλλο θάνατος, ἢ χωρισμὸς ψυχῆς ἀπὸ σώματος;

Εἴπεν ἄν τις πρὸς αὐτὸν καὶ λίαν εἰκότως· σὺ οὖν τὴν πολύχρυσον ἐκπιὼν μέθην, καὶ τῷ χρυσῷ ἡττηθεὶς, καὶ ὑποκύψας κατὰ τὸν Μίδαν ἐκεῖνον τὸν πάλαι ἱστορούμενον, καὶ ἐν πλείοσι χρυσώμασιν ἔτι δὲ καὶ χρώμασι κατὰ διαφόρους τόπους τὴν σεαυτοῦ ἐγχαράξας εἰκόνα, ᾔσθου τῶν παρὰ σοῦ δογματιζομένων; συμπεριέγραψας τούτοις καὶ τὴν σὴν ψυχὴν, ἢ κεχώρισται τοῦ σοῦ σώματος; ταυτὸν δὲ εἰπεῖν τέθνηκας ταῦτα πράσσων, ἢ οὔ; ὡς ὄφελόν γε ἀπεῤῥάγης αὐτίκα, ὡς ἂν μὴ τοσαῦτα κατὰ χριστιανῶν δράσειας· ὁποίαν μὲν οὖν εἶχες ψυχὴν, εἴτε κυνείαν, εἴτε χοιρείαν, ἢ θηρίων τινῶν ἀγρίων, αὐτὸς ἂν εἰδείης· ὅτι δὲ ἐν ᾧ ταῦτα ἔλεγες, τῶν ἀλόγων ἦς ἀλογώτερος, καὶ τῶν θηρίων πικρότερος, τὸν θεῖον ὁλοτρόπως διωσάμενος φόβον, καὶ τὴν χριστιανῶν ἅπασαν ἐκπολιορκῶν θεοσέβειαν, καὶ σφόδρα ἂν ἰσχυρισαίμην· οὐκ ἔδει σε οἷς ἔπραττες ἀκόλουθα φρονεῖν τε καὶ λέγειν; καὶ μὴ σαυτῷ τε καὶ τῇ ἀληθείᾳ ἐναντιούμενον, ἕτερα μὲν δρᾷν, ἕτερα δὲ δογματίζειν· εἰ οὖν σαυτῷ οὐκ ἐπείθου, σχολῇ γε ἂν ἑτέροις ἐπέπεισο· ἀλλὰ καὶ θαυμάζεσθαι καὶ προσκυνεῖσθαι τεθέσπικας ἃ κατεσκεύασας, καὶ κίνδυνος ἦν οὐ μικρὸς ἡ ζημία, ᾧ τὸ θεσπισθὲν οὐκ ἐπράττετο· κατ᾽ ἐκεῖνον τὸν βαβυλώνιον, τὸν ἀλαζόνα καὶ βάρβαρον, οὗ καὶ τὸν τρόπον ὡς ἀληθῶς καὶ τὴν δυσμένειαν ἐζήλωσας, ὃς τὴν πολυθρύλητον εἰκόνα ἐκείνην τεκτηνάμενος καὶ ἀναστήσας, προσκυνεῖσθαι διεκελεύετο,

καὶ θάνατος ἦν πικρότατος τοῖς ἀπειθοῦσι τοῖς νενομισμένοις ἡ δίκη· διὸ δὴ καὶ εἰκότως ὁ τὴν Χριστοῦ εἰκόνα καταβαλὼν, τὴν δὲ οἰκείαν καὶ ἀντίθετον ἀντιπαρατιθεὶς, οὐκ ἄλλό τι ἢ ἀντίχριστος δικαίως ἂν νομισθείη· πόσους ἂν θανάτους ὑπέστης, ἐπὶ τοῦ σοῦ νομίσματος χαρακτηριζόμενος καὶ τυπούμενος; ἀλλ' ἅπαξ ὑπὸ τῆς ἀσεβείας καὶ παρανοίας ψυχῇ τεθνηκὼς, τῶν ἀπείρων ἐκείνων θανάτων οὐκ εἴληφας αἴσθησιν· τοιαῦτα μὲν οὖν τῷ οὕτω διανοησαμένῳ καὶ δράσαντι, εἰς δέον ἂν καὶ εὐστόχως ὡς οἶμαι λεχθείη· ἡμῖν δὲ καιρὸς ἐπὶ τὴν τῶν ζητουμένων διαφορὰν μεταβήσεσθαι, καὶ τὴν περὶ αὐτῶν διάσκεψιν ποιήσασθαι, ὡς μὴ ἐπὶ πλεῖον ὁ περὶ αὐτῶν παραδράμοι λόγος.

κη. Φανερὸν οὖν τοῖς νήφεσιν, ὡς ἐπὶ τοῖς νῦν προκεχειρισμένοις ἔστιν εἰπεῖν, ὅτι ἀρχέτυπόν ἐστιν ἀρχὴ καὶ παράδειγμα ὑφεστηκὸς τοῦ ἀπ' αὐτοῦ χαρακτηριζομένου εἴδους, καὶ τῆς παραγωγῆς τοῦ προσεοικότος αἴτιον· τῆς δ' αὖ εἰκόνος ὁρισμὸς τοιοῦτος, ὡς ἐπὶ τῶν τεχνητῶν τούτων τις εἴποι· εἰκών ἐστιν ὁμοίωμα ἀρχετύπου, ὅλον ἐν ἑαυτῇ τοῦ ἐντυπουμένου τὸ εἶδος διὰ τῆς ἐμφερείας ἐναποματτομένη, τῷ διαφόρῳ τῆς οὐσίας, κατὰ τὴν ὕλην καὶ μόνον παραλλάσσουσα· ἢ μίμησις ἀρχετύπου καὶ ἀπείκασμα, τῇ οὐσίᾳ καὶ τῷ ὑποκειμένῳ διαφέρουσα, ἢ τέχνης ἀποτέλεσμα κατὰ μίμησιν τοῦ ἀρχετύπου εἰδοποιουμένη, οὐσίᾳ δὲ καὶ τῷ ὑποκειμένῳ διαφέρουσα· εἰ γὰρ μὴ διαφέρει ἔν τινι, οὐκ εἰκὼν, οὐδὲ ἄλλό τι παρὰ τὸ ἀρχέτυπόν ἐστιν· οὕτω μὲν οὖν ἡ εἰκὼν, ὁμοίωμα καὶ ἐκτύπωμα ὄντων καὶ ὑφεστηκότων ἐστί.

κθ. Τὸ δὲ εἴδωλον ἀνυπάρκτων τινῶν καὶ ἀνυποστάτων ἀνάπλασμα, ὁποίας δή τινας ἕλληνες ὑπ' ἀσυνεσίας καὶ ἀθεΐας, τριτώνων τινῶν καὶ κενταύρων καὶ ἄλλων φασμάτων οὐχ' ὑφεστώτων, μορφὰς ἀναπλάττουσι· καὶ ταύτῃ ἀλλήλων εἰκών τε καὶ εἴδωλον ἀποδιαστέλλονται, ὥστε οἱ μὴ δεχόμενοι τούτων διαφορὰν, δικαίως ἂν εἰδωλολάτραι κληθεῖεν· καὶ αἱ μὲν εἰκόνες, καὶ ἀγαθῶν καὶ φαύλων εἰσὶν εἰκόνες, ὧν καὶ ἡ δόξα διάφορος· τῶν μὲν γὰρ ἀγαθῶν τιμητέαι, τῶν φαύλων δὲ ἀποπεμπτέαι, καὶ ἐν ἴσῳ εἰδώλοις φευκτέαι· κἀκεῖναι μάλιστα, ὅσαις καὶ εἰδώλων σέβας τῶν παλαιῶν τινὲς, κακῶς καὶ ἀθέως ἀνέθεσαν, τὸν τῶν ὅλων θεὸν καὶ τὴν πρώτην αἰτίαν ἀγνοήσαντες· ὅπερ ἥ τε πρὸς τοὺς οἰκείους τῶν ἐμπαθῶν καὶ ὑλικωτέρων ἀπειργάσατο περιπάθεια, ἥ τε τυραννὶς, τῆς προσηκούσης δόξης τοὺς θεσμοὺς καὶ ὅρους πλεονεκτήσασα· διὸ εἴδωλον ἐπί τινος τῶν ἀγαθῶν, οὐκ ἂν λέγοιτο, τῷ προειλῆφθαι μάλιστα τὴν φωνὴν ἐπὶ τῶν ἐθνικῶν σεβασμάτων, ἃ τοῖς δαίμοσι διὰ τῶν θυσιῶν προσφέρεται, κατὰ τὴν ἀποστολικὴν ῥῆσιν.

λ. Οὐκ ἄκαιρον δὲ οἶμαι ἐν τῷ παρόντι, καὶ τοῦτο προσθεῖναι τῷ λόγῳ, ὅτι ἡ εἰκὼν σχέσιν ἔχει πρὸς τὸ ἀρχέτυπον, καὶ αἰτίου ἐστὶν αἰτιατόν· ἀνάγκη οὖν διὰ τοῦτο καὶ τῶν πρός τι εἶναί τε ταύτην καὶ λέγεσθαι· τὰ δὲ πρός τι, αὐτὰ ἅπερ ἐστιν, ἑτέρων εἶναι λέγεται, καὶ ἀντιστρέφει τῇ σχέσει πρὸς ἄλληλα· ὥσπερ ὁ πατὴρ υἱοῦ πατὴρ, καὶ ἔμπαλιν ὁ υἱὸς πατρὸς λέγεται υἱὸς, ὡσαύτως καὶ φίλος φίλου, καὶ δεξιὸς ἀριστεροῦ, καὶ ἔμπαλιν ἀριστερὸς δε-

ξιοῦ· ὁμοίως καὶ δεσπότης δούλου δεσπότης, καὶ ἔμπαλιν, καὶ εἴ τι τούτοις προσόμοιον· οὕτως οὖν καὶ ἀρχέτυπον, εἰκόνος ἀρχέτυπον· καὶ εἰκὼν, ἀρχετύπου εἰκών· καὶ οὐκ ἄν τις ἄσχετον εἰκόνα τοῦ τινὸς εἰκόνα φαίη· ἅμα γὰρ συνεισάγεται καὶ συνεπιθεωρεῖται θατέρῳ τὸ ἕτερον· κἂν που οἴχοιτο τὸ ἀρχέτυπον, ἀλλ' ἥ γε σχέσις οὐ συναπολήγει· οὐ γὰρ ἐπὶ πάντων τῶν τοιούτων ὁ τοῦ συναναιρεῖσθαι διήκει λόγος· ἔσθ' ὅτε γὰρ καὶ αἱ σχέσεις καταλιμπανόμεναι διασώζονται, τῶν πραγμάτων ἀπορφανιζόμεναι καὶ στερόμεναι· ὡς ἐπί τε πατρὸς καὶ υἱοῦ καὶ τῶν ὁμοίων ἔχει· ὡς παρόντα γὰρ καὶ τὸν ἀποιχόμενον διά τε τῆς ἐμφερείας καὶ μνήμης ἢ μορφῆς ἐμφανίζουσα, συμπαρεκτεινομένην τῷ χρόνῳ διασώζει τὴν σχέσιν· ἤγουν ὁμοίωσις σχέσις τίς μέση τυγχάνουσα, μεσιτεύει τοῖς ἄκροις, τῷ ὁμοιουμένῳ φημὶ καὶ τῷ ὁμοιοῦντι, ἑνοῦσα τῷ εἴδει καὶ συνάπτουσα, κἂν τῇ φύσει διήνεγκεν· εἰ γὰρ ἄλλο καὶ ἄλλο τῇ φύσει ἑκάτερον, ἀλλ' οὐκ ἄλλος καὶ ἄλλος· ἄλλος δὲ αὐτὸς ἐκεῖνος· διὰ τοῦ τύπου γὰρ τοῦ ἐξ ἀρχῆς εἴδους ἡ γνῶσις ἐγγίνεται, καὶ ἐν αὐτῷ τοῦ γεγραμμένου ἡ ὑπόστασις καθορᾶται· ὅπερ οὐκ ἂν ἐπ' ἄλλου τῶν τοιούτων κατιδεῖν ἔνεστιν, οἷον ἐπὶ πατρὸς ἢ υἱοῦ ἢ φίλου· ἐναντίως γὰρ ἢ ταῦτα ἔχει· οὐκ ἄλλο γὰρ καὶ ἄλλο τούτων ἕκαστον, ἐπεὶ οὐσίας τῆς αὐτῆς κεκοινώνηκεν, ἄλλος δὲ καὶ ἄλλος, τῷ ἑτεροίῳ διενηνοχότες τῶν ὑποστάσεων· καὶ εἴπερ ἐπὶ τούτοις ἡ σχέσις καὶ μεριζομένοις οὐ διόλλυται, πολλῷ μᾶλλον ἐπ' ἐκείνοις συμφυλαχθήσεται· ἐκ περιουσίας δὲ καὶ τὴν ὁμωνυμίαν χαρίζεται ἡ ὁμοίωσις· μία γὰρ ἐπ' ἀμφοῖν ἡ προσηγορία· βασιλεὺς γὰρ, καὶ ἡ βασιλέως εἰκὼν λέγεται· εἴποι δ' ἂν, ἐγὼ καὶ ὁ βασιλεὺς ἕν ἐσμεν, δῆλον δὲ ὅτι παρὰ τὸ τῆς οὐσίας διάφορον.

Ταῦτα δὲ ἡμῖν εἴρηται, ὥστε παραδεῖξαι τὸν τῆς εἰκόνος τρόπον· καθ' ὃν πρὸς τὸ ἀρχέτυπον θεωρουμένη, τὴν σχέσιν ἔχει· οὐ κατ' οὐσίαν τὸ ταυτὸν κεκτημένη, οὐδὲ γὰρ ὅσα κατὰ τοῦ ἀρχετύπου ὡς ἀρχετύπου κατηγορεῖται, καὶ τῆς ἀπ' αὐτοῦ εἰκόνος κατηγορηθήσεται πάντως· τὸ μὲν γὰρ εἰ τύχοι, ἔμψυχον· ἡ δὲ, ἄψυχος· ἢ λογικὸν καὶ κινούμενον, ἡ δὲ ἄλογος καὶ ἀκίνητος· οὐκοῦν οὐ ταυτὸν ἀμφότερα, ἀλλὰ πῇ μὲν ἔοικεν ἀλλήλοις τῷ εἴδει, πῇ δὲ ἀπέοικε τῇ οὐσίᾳ· ἐπεὶ οὖν τῶν ἐν σχέσει ἡ εἰκὼν, διὰ τοῦτο καὶ συνδοξάζεται τῷ πρωτοτύπῳ δοξαζομένῳ, καὶ ἔμπαλιν ἠτιμωμένῳ συνατιμοῦται· τῆς διαφορᾶς οὖν ἐν τούτοις γνωριζομένης ἔκ τε τοῦ λόγου, καὶ τοῦ ὁρισμοῦ, τῆς δὲ γραφῆς τῶν ἔξωθεν οὔσης, καὶ οὐδὲν ἐπικοινωνούσης τῷ ὁρισμῷ τῆς οὐσίας, τί μάτην οἱ δι' ἐναντίας ταράττονται, διαιρεῖσθαι ἐντεῦθεν τὰ φυσικῶς ἡνωμένα δοξάζοντες; ἐμβρόντητοι οὖν καὶ παραπλῆγες εἰκότως νομισθήσονται.

λα. Εἰ δὲ χρὴ καὶ ὅθεν παρῆκται καὶ ἐσχημάτισται τοὔνομα εἰπεῖν, κατὰ τὸν τῆς ἐτυμολογίας τρόπον, φαμὲν ὅτι ἀπὸ τοῦ εἴκω ῥήματος, ὃ δὴ καὶ ἕτερα μέν τινα σημαίνει, ἰδιοτρόπως δὲ δηλοῖ τὸ ὁμοιῶ· ἐκ τούτου οὖν τοῦ εἴκω προσλήψει τοῦ ν' στοιχείου, γέγονεν ἡ εἰκὼν, ἢ σημαίνει τὸ ὁμοίωμα· διὸ καὶ ὑβρίζεται παρὰ τῶν ἐχθρῶν τῆς ἀληθείας, ἥ τις τῷ Χριστῷ ἐστὶν ἐμφερής· ἐκ δὴ τοῦ εἰρημένου ῥήματος, ὥσπέρ τινος ἀρχῆς καὶ ῥίζης, καὶ τὸ ἔοικε ῥῆμα

ἐσχημάτισται, ὃ δὴ καὶ αὐτὸ τὸ ὁμοιοῦν δηλοῖ· τούτων οὕτως ἐχόντων, τίνι τῶν εὖ εἰδότων οὐκ ἔγνωσται, ὅτι ἕτερον τί ἐστιν ἡ τοῦ Χριστοῦ εἰκὼν παρ' αὐτόν; μόνος δὲ ὁ σοφώτατος ἀγνοήσας τὰ πᾶσιν ἐγνωσμένα, ταῖς οἰκείαις ὁρμαῖς καὶ τοῖς ἄγουσιν ἕπεται, ὃν ἔδει, εἴ γε μικρὸν εἰς συναίσθησιν τοῦ συμφέροντος ἵκετο, κἂν γοῦν διὰ τὴν σχέσιν, εἰ μή τι ἄλλο, ἣν ἔχει πρὸς τὸ ἀρχέτυπον ἡ τοῦ Χριστοῦ εἰκὼν, σέβειν ταύτην καὶ κατασπάζεσθαι· δῆλον οὖν ὡς ἔοικεν ἡ ἀσέβεια καὶ ἀμαθία τὰ τοιαῦτα ἄτοπα καὶ πάσχειν καὶ ἀποφαίνεσθαι· δέον γὰρ τὴν τοῦ ὁμοίου καὶ ἀνομοίου μεταχειρίζεσθαι φωνὴν, ἃ τοῖς εἰρημένοις ἐνυπάρχει, καὶ πρὸς τὸ ποιὸν ἀνάγεται, ὡς ἂν οἱ περὶ ταῦτα ἐσχολακότες εἴποιεν, ὅθεν ἦν αὐτῷ ποσῶς καὶ κατὰ βραχὺ τοῦ περὶ τούτων ἐφικέσθαι λόγου, τὸ ταυτὸν ἐνταῦθα προάγει, ᾧ σύζυγον τὸ ἕτερον, καὶ περὶ τὴν οὐσίαν θεωρεῖται· ὧν οὐδὲ μία πρὸς τὰ προκείμενα χρεία· τὸν αὐτὸν δέ μοι δοκεῖ, μὴ δὲ τὸ ἄλλο καὶ ἄλλο, ὃ φύσεις ἀφορίζει, παρῃτῆσθαι λέγειν ἐπὶ τῶν τοιούτων, τὸ δὲ ἄλλος καὶ ἄλλος εἰσάγειν· ἐπεὶ τὰς ὑποστάσεις χαρακτηρίζει, αἵ περ ἄλλον ἐξ ἄλλου ποιοῦσι, καὶ πολλὰς ἐξ ἀνάγκης ὑποστάσεις διδόναι, καὶ τοσούτους Χριστοὺς, ὅσαι περ καὶ εἰκόνες γίγνοιντο· καὶ οὕτως ἔσονται υἱοὶ πλείους, ἵνα λοιπὸν καὶ τὸ μονογενὴς ὄνομα ἐκποδὼν γένοιτο· τούτους δὲ πότερον τῆς ἀσεβείας τις διαμωμήσαιτο, ἢ τῆς ἀνοίας διαγελάσειε, καὶ ὁπόσον οὐδὲ παραστῆσαι καὶ εἰπεῖν ἐστιν; ἀλλ' ὁ μὲν περὶ τούτων λόγος ἐνταῦθα ὁριζέσθω· ὅτι δὲ ὁ θεῖος καὶ ὑπερούσιος λόγος, οὐ πέφυκε γράφεσθαι ἢ περιγράφεσθαι, οὔτε μὴν καθ' ἡμᾶς γεγονὼς ταῦτα πέπονθε, (τίς γὰρ οὕτω κτηνώδης καὶ ἀνόητος καὶ τὴν ψυχὴν ἐσκοτισμένος, ὃς τὸ ἀμφίβολον σχοίη; οὐδὲ γὰρ τῆς φυσικῆς ἐξέστηκεν ἰδιότητος,) διὰ δὲ τὸν αὐτὸν λόγον, οὐδὲ ἡ σὰρξ ἑνωθεῖσα τῷ λόγῳ ἀπερίγραπτος γέγονεν, ἐδείχθη ὡς οἶμαι ἱκανῶς διὰ πλειόνων, καὶ ὡς τὰ ἀναφανέντα ἐκ τῶν λόγων τῶν δι' ἐναντίας, διὰ τῶν οἰκείων ἐγχειρημάτων τὴν περιτροπὴν καὶ τοὺς ἐλέγχους, τῆς ἀληθείας συναιρομένης, ἐδέξαντο.

λβ. Λείπεται λοιπὸν περὶ τῆς διαιρέσεως, ἧς ἀφρόνως καὶ ἀνοήτως παρεπλάσαντο, καὶ τοῦ ταύτης τρόπου διαλαβεῖν· ἀλλὰ πρότερον ἐκεῖνο διαπορεῖν ἄξιον, ποίῳ δὴ τρόπῳ ὁ τὴν σάρκα περιγράφων ἤτοι εἰκονίζων, συγκεχωρήσθω γὰρ τὰ νῦν τὸ ἀδιάφορον, ταυτὸν γὰρ παρ' ἐκείνῳ ἀμφότερα ἀλόγως λελόγισται, ἆρα τοῦ ἡνωμένου θείου λόγου διΐστησι, καὶ κτίσμα μόνον ποιεῖ ἆρα τὸν Χριστὸν, καὶ τὴν θείαν φύσιν μὴ εἶναι εἰς αὐτόν; ἆρα Ἐπινοίᾳ τοῦτο καὶ λόγῳ μόνον διαιρεῖ, ἢ αἰσθήσει καὶ ἐνεργείᾳ; ἐν οἷς πολὺ τὸ διάφορον δείκνυται· τὸν γὰρ τῆς διαιρέσεως λόγον εἰσαγαγὼν, τὸν τρόπον καθ' ὃν διαιρεῖσθαι ταῦτα διωρίζετο, ἥκιστα παρεστήσατο· εἰ μὲν οὖν ἐπινοίᾳ μόνον ἔλεγε, καὶ αὐτοὶ συμφήσομεν, τοῦτο γὰρ καὶ ὁ καθ' ἡμᾶς λόγος ἔχει, πλήν γε τοῦ περιγράφεσθαι· " ἡνίκα γὰρ αἱ φύσεις διΐστανται ταῖς ἐπινοίαις, ὁ θεολόγος „ φησὶ, συνδιαιρεῖται τὰ ὀνόματα· Παύλου λέγοντος ἄκουσον· ἵνα ὁ θεὸς τοῦ „ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ πατὴρ τῆς δόξης, Χριστοῦ μὲν θεὸς, τῆς δὲ

„ δόξης πατήρ· εἰ γὰρ καὶ τὸ συναμφότερον ἓν, ἀλλ᾽ οὐ τῇ φύσει, τῇ δὲ „ συνόδῳ· „ πολλοῦ γὰρ ἂν ἄξιος ἐφάνη, εἴπερ ἐπὶ τοῦδε τοῦ μέρους ἕστηκε, καὶ οὐδεὶς ἦν ἡμῖν ὁ περὶ τούτου λόγος· οὐδὲ αὐτὸς τὴν γλῶσσαν καθ᾽ ἡμῶν ἠφίει, ὁπότε ὁμοτίμως τῷ λόγῳ καὶ τὰ τῆς γραφῆς ἕξει· ἀλλὰ τοῦτο νῦν οὐκ ἔφη· οὐδαμοῦ γὰρ τοῖς τῶν θεολόγων δόγμασι τὸ οὖς παρατέθεικεν, ἐντραφῆναι τοῖς αὐτῶν διδάγμασιν οὐκ ἀνασχόμενος, τοῖς δὲ τῆς σαρκὸς μόνον ὁρμήμασι καὶ θελήμασιν ἐξανδραποδιζόμενος.

Ἐπὶ τὸ ἕτερον οὖν τοῦ λόγου σημαινόμενον ἀνάγκη ἀλόγως καὶ δυσσεβῶς αὐτὸν ἀποκομίζεσθαι, καὶ τοῦτο δογματίζειν, ὅτι δὴ ἐνεργείᾳ καὶ αἰσθήσει τὰ ἀχωρίστως ἡνωμένα διαιρεῖται· διασαφεῖν δὲ ἡμῖν ἔδει τὸν σοφώτατον, ποίᾳ δυνάμει καὶ ἐνεργείᾳ τὴν ὑπερφυᾶ καὶ θαυμασίαν ἐκείνην ἕνωσιν, καὶ λόγου παντὸς καὶ νοῦ ὑπερέκεινα, καθ᾽ ἣν ὁ λόγος οὐσιωδῶς ἐνοικήσας ἐν τῇ πανάγνῳ καὶ θεοτόκῳ παρθένῳ ὅλον ἄνθρωπον ὅλῳ ἑαυτῷ συνῆψεν ἑνώσει τῇ καθ᾽ ὑπόστασιν, ἣν θεοῦ μόνου ἦν ἐργάσασθαι, διαιρεῖ ὁ περιγράφων καὶ εἰκονίζων, καὶ διΐστησι θεὸν ἰδικῶς, καὶ ἄνθρωπον ἰδικῶς· ὡς πεφυκότος ἆρα τοῦ λόγου τοῦτο πάσχειν, καὶ διΐστασθαι τῆς ἅπαξ ἑνωθείσης αὐτῷ σαρκὸς, ἢ οὐδαμῶς πεφυκότος ταῦτα; εἰ μὲν γὰρ τὸ πρῶτον δοθείη, καὶ πάθος ἂν προσριφείη τῷ λόγῳ· εἰ δὲ πάθοι, καὶ περιγραφήσεται δήπου, πέπονθε δ᾽ ἂν τοῦτο καὶ πρὸ τῆς ἑνώσεως· ἀλλὰ μὴν τοῦτό γε ἀδύνατον· οὐ γὰρ ἂν πάθοι, ἀπαθής γε ὢν φύσει· οὐκοῦν οὐδὲ διαστήσεσθαι τῆς συνηνωμένης αὐτῷ σαρκὸς, φύσιν ἕξει· εἰ δὲ τὸ δεύτερον, καὶ οὐ πέφυκε τοῦτο; τίς ὁ λόγος ὁ τῶν ὑπὲρ λόγον ἁπτόμενος, καὶ ἃ μήτε νῷ ληπτὰ, μήτε λόγῳ ῥητὰ ἐπιὼν, ὃς τὴν ἀδιάσπαστον ἐκείνην καὶ ἄτρεπτον καὶ φυσικὴν συνάφειαν λυμήνασθαι δυνήσεται;

Ἀλλ᾽ εἰ οὐ χωρίζεται, συμπεριγραφήσεται πάντως. Καὶ διὰ τοῦτο δέδοικε περιγραπτὴν λέγειν τὴν σάρκα, ἀγνοῶν ὅτι τῷ ὄντι πάθος περιγραφῆς τῷ λόγῳ ἐπεισάγει· τί γὰρ ἄλλο τοῦτο ἢ πάθος; καὶ περιπέπτωκεν ἐξ οὗ φεύγειν ἔδοξεν, ὡς εἴ γε τοῦτο ἦν, περιεγέγραπτο ἂν ὁ λόγος, οὕτω πάσχειν πεφυκὼς καὶ πρὸ τῆς ἑνώσεως πρὸς τὸ σῶμα, οὐ δι᾽ αὐτήν γε τὴν ἕνωσιν· εἰ δὲ φύσει ἀπερίγραπτος, καὶ ἐν σώματι συναπτόμενος διατηροίη ἂν τὸν ἑαυτοῦ λόγον ὡς θεὸς τῆς φυσικῆς ἀοριστίας καὶ ἀπεριγραψίας πάμπαν ἀπαράτρωτον καὶ ἀμείωτον· οὐδὲ γὰρ τὰ οἰκεῖα τῷ σώματι πάσχοντι συμπάθοι ἂν ὁ λόγος οὐσιωδῶς πόθεν, ὡς οὐδὲ ἐκ τοῦ ἀπαθοῦς καὶ ἀναλλοιώτου εἰς τὸ παθητὸν καὶ ἀλλοιωτὸν περιτραπείη ποτ᾽ ἄν· οὐ τοίνυν οὐδὲ τοῦ κατ᾽ αὐτὸν σώματος περιγραφομένου συμπεριγραφήσεται· ἄτοπον οὖν καὶ ἀνόητόν ἐστι καὶ ἀσεβὲς, τὸ ἀποφαίνεσθαι διαιρεῖσθαι ἐκ τοῦ εἰκονίζεσθαι τὸν Χριστὸν, ἢ συμπεριγράφεσθαι· τῷ δὲ, οὐ περὶ τούτων προηγουμένως ὁ λόγος, ἀλλ᾽ ἐπινενόηται αὐτῷ τὸ ἀπερίγραπτον, οἷον ὄργανόν τι ἐπιτήδειον ὑπηρετοῦν τῷ δυσσεβεῖ θελήματι· ᾧ προσχρησάμενος, χρησιμεῦον πρὸς καθαίρεσιν τῆς τοῦ σωτῆρος ἡμῶν εὗρεν οἰκονομίας.

λγ. Θαυμάσαι δ' ἄν τις αὐτοῦ τῆς σοφίας τὸ μεγαλοφυὲς, πῶς ἐκεῖνο πέπονθε λαθὼν, ἡνίκα αὐτῷ λεπτῶς καὶ ἀπεξεσμένως τὰ τοῦ λόγου ἐξήτασται καὶ διηρεύνηται· τῷ γὰρ ἀπεριγράπτῳ τιμήσας Χριστὸν, καὶ τῷ κεχωρίσθαι τῆς σαρκὸς εἰ περιγράφοιτο, τὸν περὶ τῆς παναγίας αὐτοῦ ψυχῆς λόγον ὑπερθέμενος. ἀγέραστον ταύτην ἐν τοῖς ἑαυτοῦ δόγμασι καταλέλοιπε· τί οὖν ἐδόκει χωρίζειν τὴν ψυχὴν τὸν περιγράφοντα Χριστὸν ἐκ τοῦ σώματος, ἵνα μετὰ τοῦ λόγου, καὶ τὴν ψυχὴν προσαφῃρηκὼς εἴη; ὁπότε γραφομένου τοῦ σώματος ἀφίστασθαι ἔμελλε, καθάπερ ἀμέλει καὶ ὁ θεῖος λόγος· ἐπείπερ οὐδὲ αὐτὴ φύσιν ἔχει τοῦ γράφεσθαι· πάλιν γὰρ φιλοπευστοῦσι καὶ λίαν ἀποροῦσιν ἡμῖν, οἱ τοῦ σοφοῦ λόγοι καὶ οἱ ἐκεῖθεν νῦν σοφιστεύοντες, ἢ ἀληθέστερον εἰπεῖν ἀνοηταίνοντες διευκρινείτωσαν· ἔτι γὰρ καὶ τοῦτο τῶν ἀτόπων αὐτοῖς ὑπολέλειπται· ἔμψυχος ἄρα ἡ κατὰ Χριστὸν ἀνθρωπίνη μορφὴ χαρακτηριζομένη τοῦ προσειληφότος θείου λόγου, ἢ ἄψυχος ἀπονοσφίζεται; εἰ μὲν γὰρ οὐκ ἔμψυχος, νενέκρωται πάλιν τὸ κατὰ Χριστὸν ἀνθρώπειον, καὶ πάλιν ἐν νεκροῖς ὁ ἐν νεκροῖς ἐλεύθερος, καὶ πάλιν ἀνασταυροῦται καὶ παραδειγματίζεται, καὶ τοῦτο οὐχ' ἅπαξ, ἀλλὰ καὶ πολλάκις καὶ ἀεὶ, ὅσον καὶ εἰκονίζεσθαι συμβήσεται· τὸ δὲ ἄψυχον, φήσει τις, μὴ δὲ μετοίχεσθαί ποι, ἀκίνητόν γε ὂν, καὶ μεταβαίνειν οὐχ' οἷόν τε· πρὸς δὲ, καὶ ἄδηλον ὅπου ἡ ψυχὴ μεταστήσεται· εἰ γὰρ τὸν λόγον ἀναπληροῦν τὸν τῆς ψυχῆς τόπον δώσουσι, σαφῶς τῆς ἀρειανικῆς μανίας τὸ δόγμα ὑπολείπεται· εἰ δὲ ἔμψυχος ἀπορρήγνυται, ποῦ ποτε ἄρα ἀποιχομένη προσχωρήσειε, τῆς ἐκείνων μανίας εἰπεῖν ἀκόλουθον· ὡς ἄρα ἔνθα τὸ πάντων οἰκειότατον καὶ ἐγγύτατον ἐναύλισμα παρ' αὐτοῖς νομιζόμενον τυγχάνει.

Τί δὲ τοῦτό ἐστιν; ἐπειδὴ βούλονται τῷ ἀρχετύπῳ ταυτὸν εἶναι μάλιστα τὸ ἐξεικόνισμα, καὶ ἀμφότερα ὑπάρχειν ὁμοούσια, καὶ οὐδενὶ τὴν διαφορὰν κεκτῆσθαι δοξάζουσιν, ἢ αὐτὴ ἡ εἰκὼν ἡ ἀφομοιουμένη καὶ ἐναποματτομένη τὸν θεῖον ἐκεῖνον καὶ ἱερὸν χαρακτῆρα, ὡς τῷ ὁμοίῳ τὸ ὅμοιον προσδραμεῖσθαι, καὶ οἰκειωθήσεσθαι καὶ συμφυήσεσθαί γε ὡς ὁμοούσιον· εἰ δὲ ταῦτα οὕτως, ἔδει κινήσεως καὶ αἰσθήσεως μὴ ἀμοιρεῖν τὴν εἰκόνα, καὶ τὴν ἐκ τόπου εἰς τόπον μεταβατικὴν ἔχειν δύναμιν κατὰ τὴν ἐκείνων πλάνην, καὶ τὸ πᾶν εἰπεῖν ἐνεργεῖν τε καὶ πάσχειν, ὅσα τοῦ ἐμψύχου ἐστὶ καὶ γνωρίζεται, καὶ μηκέτι εἰκόνα, ἀλλ' ἔμψυχον ζῶον λογικὸν αὐτοῖς διομολογεῖσθαι· κατὰ δὲ τὸ ἐξ ἀνάγκης ἑπόμενον, καὶ τὸν θεῖον λόγον τοῦ ἑαυτοῦ ἐστερῆσθαι σώματος· πῶς δὲ Χριστῷ ταῦτα συνενεχθήσεται; ἢ διὰ τίνος ἐνεργήσει ὁ γράφων, καὶ ὅπως ἐξανύσει τὸ βεβουλευμένον; οὐκ ἄλλως, ἢ ἐκ τῆς τῶν ζωγράφων φιλοτεχνίας· εὔκαιρον δ' ἂν εἴη θειοτέραν τινὰ καὶ θαυμασιωτέραν τὴν ζωγραφικὴν εὐτεχνίαν ὑπολαμβάνειν, καὶ μαγνήτιδος πλέον τὸ ἑλκτικὸν καὶ δραστήριον πρὸς τὸ γραφόμενον ἔχουσαν· καὶ δὴ δογματισθήσεται τῶν ζωγράφων ἡ τέχνη, τῆς τοῦ λόγου ἀλκιμωτέρα δυνάμεως· καθὸ ἡ μὲν ἀφείλετο τὴν σάρκα ἡνωμένην αὐτῷ, ὁ δὲ ἀφῃρέθη· καὶ λέλυται ὑπόστασις τοῦ Χριστοῦ· οὐ δοκεῖ ἐντεῦθεν τῷ λόγῳ πάθος προστρίβεσθαι πάντων παθῶν ἐμπαθέστερον:

[illegible] Χρι-στολυτῶν τῶν λεγόντων τὸν Χριστὸν μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν, τὸ ἔμψυχον σῶμα αὐτοῦ κα- [illegible]

λδ. Τί τοῦτο τῶν λεγομένων χριστολυτῶν καὶ τῆς ἐκείνων βδελυρᾶς αἱρέσεως, πρὸς ἀτοπίαν καταδεέστερον; πόθεν οὖν ὁ δυσάντητος καὶ δυσμενὴς ἐχθρὸς καὶ Χριστοῦ πολέμιος, ὁ μικρὸς οὗτος καὶ βίαιος τύραννος, ἡ τέχνη; ποία ἄρα ἡ ἐν αὐτῇ δύναμις καὶ ἐνέργεια; ὥστε κατισχύσαι θεὸν τῶν οἰκείων ἀποστερεῖν καὶ διαρπάζειν; καὶ ταῦτα οὐ τῶν περὶ αὐτὸν, ἀλλὰ τῶν κατ' αὐτῶν, καὶ τῶν καθ' ὑπόστασιν ἡνωμένων, οὐ τῶν ἔξωθέν τινων, καὶ αὐτὴν μᾶλλον λελύσθαι τὴν ὑπόστασιν· καὶ ὃ ἑκὼν ὁ λόγος προσέλαβεν, ἄκων ἀπέβαλε; ταῦτα δὲ ποῖαν ἀσεβείας ὑπερβολὴν οὐχ' ὑπεραίρει; εὑρεθήσεται δὲ οὕτω γε ἡ τέχνη, καὶ θανάτου ἐπικρατεστέρα· ὅπερ γὰρ τῷ θανάτῳ, ἡνίκα τὸν σταυρὸν πηξάμενοι τὸν Χριστὸν ἀπεκτόνασιν οὐκ ἐξεγένετο, τοῦτο τῇ τέχνῃ εὐπρεπῶς μάλα κατώρθωται· κατ' οὐδένα γὰρ τρόπον ὁ λόγος τῆς παναγίας καὶ ζωοποιοῦ αὐτοῦ σαρκὸς καὶ ψυχῆς κεχώρισται, οὐδὲ κατ' αὐτὸ τὸ ἀκαριαῖον τοῦ χρόνου καὶ βραχύτατον, κἂν τὸν ὑπὲρ ἡμῶν εἵλετο θάνατον· ὡς φύσει ὑπεράγαθος καὶ φιλάνθρωπος, καὶ εἰς ᾅδου πορευθεὶς, τοῖς ἐν φυλακῇ πνεύμασι τὴν ἐλευθερίαν κηρύξας ἐχαρίσατο, καὶ τῶν δεσμῶν ἀνῆκεν οἷς ἐκεκράτηντο· πῶς οὖν ἃ τῷ θανάτῳ κατ' ἰσχὺν οὐ περιγέγονε, τῷ ζωγράφῳ διήνυσται; καὶ ὁ δήσας τὸν ἰσχυρὸν, ὑπὸ τῆς τέχνης ἀσθενοῦς οὕτω καὶ εὐτελοῦς ἀντιδέδεται; δέδοκτο ἂν αὐτὸ τομώτερόν τε καὶ διαιρετικώτερον τοῦ θανάτου, τὸ εἰκονίζειν καὶ γράφειν, ἵνα μηδὲν εἰς ἀσεβείας ἀφορμὴν ἀπολίποιτο.

Ἀλλὰ τί δεῖ πλειόνων τῶν οὕτω φευκτῶν καὶ ἀπηχθημένων; παρὸν πρὸς τὸν γεννήτορα τούτων εἰπεῖν ὅτι σε τοιαύταις χάρισι τὰ σὰ στεφανοῖ νοήματα· τοιαύταις ἀμοιβαῖς σε κατακροτοῦσι τὰ τῶν σῶν λόγων τῶν σοφῶν καὶ ἐντέχνων προβλήματα· οὕτως σοι τῶν σῶν δογμάτων τὸ ἐν θεωρίᾳ ἐπηρμένον καὶ ὑψηλὸν, εἰς φιλοτιμίαν μέγιστον· ἆρα οὐ μεθυόντων ἐκφρονέστερα ταυτὶ τὰ ληρήματα; ἆρα τῶν μελαγχολούντων ἢ βακχευόντων οὐκ ἀλογώτερα; τοιαῦτα τῶν κατὰ τὸν λαιμὸν καὶ τὴν γαστέρα μαργαινόντων τὰ ἀπηχήματα· τοιαῦτα τῆς φίλης καὶ ἡδίστης κοπρίας αὐτῷ τὰ γεώργια· τοιαῦτα τῶν ἀμέτρων ἐμέτων καὶ τῆς κυνώδους ἐκείνης καὶ χοιρείας ζωῆς καὶ τοῦ θηριώδους τρόπου, τὰ δόγματα· τοιαῦτα τῶν ἀλόγων ζώων ἰχνηλατούντων τὰς διεξόδους· τοιαῦτα τῶν τοῖς αἵμασι τῶν χριστιανῶν βαπτιζόντων τὰς χεῖρας, καὶ τῶν κατὰ Χριστοῦ δεξιὰν ὁπλισάντων· τοιαῦτα τῶν καταξαινόντων τὰς ἀνθρωπείας σάρκας τὰ εὑρήματα· ἀλλ' ἁρμόσει γε τοῖς οὕτω φρονεῖν ἑλομένοις τὸ ἱερὸν ἐκεῖνο λόγιον· " ὅτι ὁ μωρὸς μωρὰ λαλήσει, καὶ ἡ καρδία αὐτοῦ μάταια νοήσει, τοῦ „ λαλεῖν πρὸς κύριον πλάνησιν· „ τὸ γὰρ οὕτω νοεῖν, ποίας νοὸς ἀκεραιότητος; οὐδ' ἂν οἱ τὸν νοῦν παρενηνεγμένοι, οὕτω ποτὲ ἐννοήσειαν ἢ λέξειαν.

λε. Ὁ σωτὴρ ὑπερβλύσει φιλανθρωπίας φέρων, ὑβριζόμενος, λιθαζόμενος, τῶν κακῶν τὴν κορωνίδα τὸν θάνατον ἀνατλὰς, οὐ πέπονθε ταῦτα· εἰκονιζόμενος πάθοι ἄν ποτε; ὡς γὰρ ἐκεῖ οὐδὲν πέπονθεν, ὅσον ἐπὶ τὴν οἰκείαν φύσιν ὁ λόγος οὐ κεχωρισμένος τῆς σαρκὸς, ἡνωμένως δὲ καὶ ἀδιαστάτως συνυπάρχων αὐτῇ καὶ πασχούσῃ, οὐδὲ ἐνταῦθα δή που τούτων πάθοι τι εἰκονιζόμενος·

πανταχοῦ γὰρ ἐπίσης ἡμῖν ὁ αὐτὸς λόγος τὸ ἀληθὲς ἔχων συμφυλαχθήσεται· εἴποι δ' ἂν πρὸς αὐτὸν καὶ ὁ φορέσας τὴν εἰκόνα τοῦ χοϊκοῦ, καὶ χοϊκὸν φύραμα, ὡς οὐκ εἰμὶ κατ' αὐτὸ τοῦτο ἀπερίγραπτος, ἀλλὰ περιγραπτός· ὡς οὖν ἐδέξατο τὸ κτίσμα τὰς ὕβρεις καὶ τὰς αἰκίας, οὕτως δέξαιτ' ἂν καὶ τὴν ἐν τόπῳ περιγραφὴν, καὶ τὴν γραφὴν, καὶ τὸ εἰκονίζεσθαι, μηδαμῶς τοῦ συνηνωμένου καὶ συνυπάρχοντος λόγου χωριζόμενον.

λϛ. Ἀλλ' εἰ τούτων ὁ τρόπος καὶ ὁ τοῦ μυστηρίου σκοπὸς οὐκ ἔγνωσται αὐτῷ, ἐξὸν ἦν πυθέσθαι τοῦ γράφοντος, καὶ ἤκουσεν ἂν παρ' αὐτοῦ, ἄν περ τὸν νοῦν ἐῤῥωμένον ἔσχε καὶ τὰ αἰσθητήρια τῆς ψυχῆς μὴ παρενήνεκτο, καὶ ἔμαθε λέγοντος· ὅτι ἅπερ παρὰ τῶν ἱερῶν παρειλήφαμεν εὐαγγελίων, τῇ ἀρχαίᾳ καὶ πατρικῇ παραδόσει ἑπόμενοι, παῖδες παρὰ πατέρων διαδεξάμενοι. ταῦτα καὶ γράφομεν καὶ ἱστοροῦμεν, καὶ οὐδὲν πλέον τῶν θεολέκτων λογίων ἔχομεν· καὶ εἰ ἐκεῖνα τίμια, καὶ αὐτὰ ἤτω ἢ συμφυλαττόμενα, ἢ συγκαθαιρούμενα, ὡς ἑνὸς καὶ τοῦ αὐτοῦ λόγου ἐχόμενα· ἐπείπερ παρ' αὐτῶν ἐμυήθημεν, ὅτι ἄνθρωπος καθ' ἡμᾶς γέγονεν ὁ τοῦ θεοῦ ἐνυπόστατος λόγος, καὶ τοῖς ἀνθρώποις συνανεστράφη, καὶ μετέσχεν ἡμῖν παραπλησίως αἵματος καὶ σαρκός. καὶ κτίσμα γέγονεν ὁ ἄκτιστος, καὶ ὁ λόγος ἐπαχύνθη καὶ σὰρξ ἐγένετο, καὶ ὡράθη ὁ ἀόρατος, καὶ πάθη δι' ἡμᾶς ὁ ἀπαθὴς κατεδέξατο ὡς φιλάνθρωπος· ταῦτα πιστεύομεν ὥσπερ ἑωρακότες οἱ ἀκούσαντες· " ἵνα καὶ ,, τοῦ μακαρισμοῦ τύχωμεν· μακάριοι γάρ, φησιν, οἱ μὴ ἰδόντες καὶ πιστεύ- ,, σαντες· ,, ὃ οὖν ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν διὰ πίστεως, καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν, τοῦτο καὶ γράφομεν καὶ εἰκονίζομεν· οὐ διαιροῦντες οὐδὲ ἀποδιϊστάντες ἰδικῶς καὶ ἀναμέρος τὴν ἅπαξ ἑνωθεῖσαν σάρκα τῇ θεότητι· τοῦτο γὰρ καὶ λέγειν ἄτοπον, καὶ ἐννοεῖν τῆς ἀνωτάτω παραπληξίας· ἀλλὰ κἀκεῖνα πράσσομεν, καὶ ταῦτα ὁμολογοῦμεν φυλάττεσθαι, κατὰ τὴν ἄνωθεν κεκρατηκυῖαν ἔνθεον καὶ ἔνθεσμον συνήθειαν.

λζ. Εἰ δέ σοι τὰ τῶν εὐαγγελίων ἄπιστα, πεπαύμεθα τῆς συνηγορίας καὶ ἀποδείξεως· ἢ κἀκεῖνα γοῦν δέξαι, ἢ καὶ ταῦτα διάγραψον· ἡμῖν μὲν οὖν τῶν ἐν χερσὶ καὶ ὑπ' ὄψιν ἡγμένων, οὐδὲν ἧττον βέβαια τὰ κατὰ πίστιν παραδεδομένα ἐγκαθίδρυται· σὺ δὲ οὐδὲ τούτων ἐπαισθήσῃ, ἵνα σοι τὴν περὶ ἐκείνων πιστώσηται ἀλήθειαν, ὅλῳ σαρκικῷ γε ὄντι καὶ κάτω βρίθοντι καὶ οὐδὲν ὑψηλὸν περὶ τῶν καθ' ἡμᾶς μυστηρίων ὑπολαμβάνοντι· ἢ γὰρ ἰδὼν ἡλιακὴν ἀκτῖνα δένδρῳ τυχὸν ἢ ἑτέρᾳ ὕλῃ προσβαλοῦσαν, εἶτα τμηθέντι τῷ δένδρῳ, δόξεις πάντως συναποτετμῆσθαι καὶ τὴν ἀκτῖνα, ὅπερ πάσχειν ἡ ἀκτὶς οὐ πέφυκεν, οἰήσῃ; τάχα δὲ, καὶ εἴ τις τὸ τοῦ ἡλίου σῶμα διαγράφοι, ἀποσχίζειν καὶ διαιρεῖν τοῦ φωτὸς τὸν ἥλιον; ἢ πεπυρακτωμένον σίδηρον ὁρῶν, ἄν πέρ τις καταχέοι ὕδατι, ὑπολήψῃ συναπεσβέσθαι καὶ συνεφθάρθαι τῷ πυρὶ καὶ τὸν σίδηρον, ὃς οὐδαμῶς φύσιν ἔλαχεν ὑπὸ τοῦ ψυχροῦ καὶ ὑγροῦ παραβλάπτεσθαι, τοὐναντίον δὲ μᾶλλον στομοῦσθαι καὶ ῥώννυσθαι; ἀλλ' ἐχρῆν σε, καὶ τούτοις ἐπιστημονικῶς καὶ ἐμφρόνως ἐπιβάλλειν, καὶ ὡς ἔχουσι φύσεως ταῖς

ἀληθείαις ἑπόμενον δοξάζειν, εἶτα ὡς ἐξ ἀμυδρῶν ἐμφάσεων τῶν παραδειγμάτων τούτων, καὶ περὶ τῶν προκειμένων ἐννοεῖν, ὅτι οὔτε συμπεριγραφήσεται ὁ λόγος τῇ σαρκὶ, οὔτε γραφομένης ὁ πάντα πληρῶν διαιρεθήσεται· φανερὸν οὖν ἐκ πλείστων, ὡς τὰ παρ' αὐτῷ δογματιζόμενα, ληρήματα μᾶλλον ἢ δόγματα φαίνεται· κολοιῶν γὰρ καὶ βατράχων ἀσημότερα φθέγγεται, καὶ ἰχθύων ἀφωνίᾳ καὶ δρυῶν ἀναισθησίᾳ παραπλήσια τοιαῦτα καὶ τοσαῦτα δεδυσφημηκὼς κατὰ Χριστοῦ τε καὶ τῆς καθ' ἡμᾶς πίστεως ἐπιφέρει.

λη. „ Ἀδύνατον γάρ ἐστιν εἰκόνα εἶναι τὴν μὴ δηλοῦσαν τὴν μορφὴν χα-
„ ρακτῆρος τοῦ πρωτοτύπου αὐτῆς προσώπου ὁποῖόν ἐστιν. „ Οὐκοῦν εἰ μὲν ἔχοι μορφὴν ὁ Χριστὸς καὶ χαρακτῆρα, εὐλόγως δὴ μάλα καὶ εὐσεβῶς χαρακτηρίσει αὐτὸν ἡ ἰδία εἰκών· εἰ δὲ οὐ χαρακτηρίσει, ἄμορφος καὶ ἀχαρακτήριστος καὶ ἀπρόσωπος· ταυτὸν δὲ εἰπεῖν, καὶ ἀνυπόστατος ὁ Χριστός· τοῦτο γὰρ αὐτῷ ὁ λόγος συνάγειν βούλεται· ἐξ οὖν τῶν λόγων αὐτοῦ δικαιωθήσεται, καὶ ἐκ τῶν λόγων αὐτοῦ κατακριθήσεται· εἰ γὰρ ἀδύνατον καὶ εἰκόνα εἶναι τὴν μὴ δηλοῦσαν τὴν μορφὴν, καὶ χαρακτῆρα τοῦ πρωτοτύπου αὐτῆς προσώπου, ἡ τὸν Χριστὸν ἡμῖν ἐμφανίζουσα εἰκὼν καθ' ὁμοίωσιν αὐτοῦ καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ παρὰ χριστιανοῖς γεγενημένη, καὶ ἡ ἐπιγραφὴ κατασφραγίζει τὴν ἀλήθειαν ἐξ ἅπαντος, τὴν μορφὴν καὶ τὸ πρόσωπον αὐτοῦ ὡς πρωτοτύπου, πρὸς αὐτὸ γὰρ τετύπωται, ἡμῖν δηλοῦσα· ἤδη δὲ καὶ ἡ περὶ αὐτὰ θεωρουμένη σχέσις, κρατύνει τοῦ λόγου τὸ ἀληθές· καὶ εἰ μὴ τὸν Χριστὸν ἡ εἰκὼν αὐτοῦ χαρακτηρίσει, οὐδὲ ἄλλου μορφὴν δηλώσει, πολλοῦ γε δεῖ· πῶς γὰρ ἂν τὸν, οὗ περ οὐκ ἔστιν εἰκὼν, χαρακτηρίσειεν; οὐδὲ γὰρ ἄλλου εἰκὼν ἄλλῳ ἀφομοιωθήσεται· ὡς οὐδὲ ἡ ἐν τῷ κηρῷ σφραγὶς ἀλλοτρίᾳ γλυφῇ ἐναρμοσθήσεται· οὗτος τοίνυν, ἡνίκα περιεῖλε τὴν Χριστοῦ εἰκόνα, πάντως δή που ὡς οὐκ ἔχουσαν ὃ παραστήσει καὶ δηλώσει πρόσωπον, οὐδὲ πρωτότυπον ὃ χαρακτηρίσει, τοῦτ' ἔδρασεν· ἀνάγκη οὖν καὶ μὴ βουλόμενον ὁμολογεῖν ἐκ τῶν οἰκείων ὁρμώμενον λόγων, ἀπρόσωπον καὶ ἄμορφον καὶ ἀχαρακτήριστον εἶναι τὸν Χριστόν· οὕτω δὲ καὶ ἀνυπόστατον· διὸ καὶ τὸν γράφοντα ἐν αἰτίαις ποιῶν κατῃκίζετο, ὡς οὐ προκειμένην μορφὴν, οὐδὲ ὑποστὰν πρόσωπον εἰκονίζοντα· διὰ δὴ τοῦτο καὶ εἰδώλου προσηγορίαν τοῖς ἱεροῖς τοῦ Χριστοῦ ὁμοιώμασιν ἀπονεῖμαι τετόλμηκεν ἀνοσιώτατα, ταύτῃ τὸ ἀπρόσωπον, μᾶλλον δὲ τὸ ἀνυπόστατον αὐτοῦ καθοριζόμενος· εἴ γε εἴδωλον φασὶν εἶναι, τῶν μηδαμῶς προϋφεστώτων ἀνάπλασμα οὐχ' ὁμοίωμα, οὐ γὰρ ἔχει σχέσιν πρὸς ὃ ἀφομοιωθεῖν, πλάσμα δὲ φασματῶδες καθὰ δοκεῖ τῷ πλαστογραφοῦντι διαμορφούμενον ἀλογώτατα.

Ἀλλὰ τὰ μὲν τοιαῦτα δόγματα, τῆς ἐκείνου ἠρτήσθω φρενὸς ὃς οὐδ' ὁπωσοῦν ἐνταῦθα ἐπὶ Χριστοῦ διδόναι μορφὴν ἔδοξεν· ὁ δέ γε θεσπέσιος ἀπόστολος τὸ κατὰ Χριστὸν μυστήριον διασαφῶν, πρὸς τῇ μιᾷ τουτέστι τῇ θείᾳ
„ καὶ ἑτέραν μορφὴν τὴν τοῦ δούλου ἡμῖν εἰσκεκόμικε, καὶ ἐν ὁμοιώματι ἀν-
„ θρώπου τὸν Χριστὸν γενόμενον, καὶ σχήματι εὑρισκόμενον ὡς ἄνθρωπον· „

διόπερ οἱ πειθόμενοι Παύλῳ, καὶ ὁμολογοῦντες δύο μορφὰς ἐπὶ τοῦ Χριστοῦ, δι' ὧν αἱ κατ' αὐτὸν φύσεις δηλοῦνται, καὶ τὸν ὁμοιοπαθῆ ἡμῖν ἄνθρωπον καὶ ὡσαύτως ἐσχηματισμένον, περιγραπτὸν ἐπιστάμεθα· τὸν δὲ, οὐδὲ τὸ σχῆμα τὸ ἀνθρώπειον εἰς περιγραφῆς ἔννοιαν ἤγαγεν, οὐδὲ τῷ θείῳ Πέτρῳ προσέσχε λέγοντι " ὅτι ὁ θεὸς τὸν παῖδα αὐτοῦ Ἰησοῦν ἐδόξασε· ,, καὶ δεδογμάτισται αὐτῷ καὶ παῖς ἄμορφος καὶ ἀπρόσωπος· τί δὲ αὐτῷ ὁ νῶτος αἵ τε σιαγόνες ἐνομίσθησαν, ὁ μὲν εἰς μάστιγας, αἱ δὲ διδόμεναι εἰς ῥαπίσματα, ἥ τε διαιρεθεῖσα θεία πλευρὰ, καὶ τῶν ἥλων αἱ διατρήσεις; ἀλλὰ ταῦτα μὲν λῆρος αὐτῷ καὶ μάτην εἰρημένα· τάχα γὰρ κἀν τούτοις τὸν αὐτοῦ Εὐσέβιον ἔσχε διδάσκαλον, κενολογοῦντα ὅλην διόλου μεταβεβλῆσθαι τὴν κατὰ Χριστὸν ἀνθρωπείαν μορφὴν, καὶ μηδαμῶς ἐν τῇ καθ' ἑαυτὴν μένουσαν ἰδιότητι· ἐπεὶ δὲ ἔγνω ὡς οὐδεὶς τῶν εὐσεβούντων τῶν εἰκαίων αὐτοῦ ἀνέξεται ληρημάτων, τοῖς λόγοις χαίρειν φράσας, ἐπὶ τὸ ἔργον ἐχώρει, φανερὸν ἑαυτὸν καταστήσας τὴν πρὸς τὸν Χριστὸν ἀνελόμενον μάχην, ἐξ οὗ διὰ πάσης μηχανῆς καὶ πείρας ἤχθη, καὶ αὐτὸ τὸ ἀρχέτυπον τῇ εἰκόνι συνεξυβρίσειν τε ἅμα καὶ συγκαθαιρήσειν, καὶ τὴν μνήμην περιαιρήσειν· ἐπειδὴ βαρὺς αὐτῷ ἦν ὁ Χριστὸς καὶ ἐν εἰκόνι βλεπόμενος· εἶτα ὥσπερ συναισθόμενος ἑαυτοῦ, ὡς ἀπρόσωπον καὶ ἀνυπόστατον ἀποφαίνει τὸν Χριστὸν, οἷα οἱ ἐκ φρενίτιδος ἀνενέγκαντες, καὶ οἱ ἐκ μανίας καταστάντες, εἰς ἑαυτὸν ἐπάνεισι, καὶ ἐπὶ τὸν ἴδιον ἔμετον ἐπανέρχεται, καὶ πάλιν ἐπὶ τὸ πρόσωπον χωρεῖ καὶ φησίν.

λθ. Οὐ δυνατὸν γὰρ ἐπὶ τοῦ ἐκ δύο φύσεων ἐν ἑνὶ προσώπῳ ὄντος, ἐπὶ τῆς μιᾶς φύσεως πρόσωπον εἰκονίζειν, καὶ ἐπὶ τῆς μιᾶς ἀπρόσωπον τυγχάνειν. Ἔτι τοῖς ἑαυτοῦ συνίσταται δόγμασιν, οὐκέτι κατὰ τὸν προλαβόντα τρόπον· ἐντεῦθεν γὰρ ἀποδύεται τὸ τῆς ψεύσεως σχῆμα, καὶ ὥσπερ ἐπιλαθόμενος ἑαυτοῦ, τῶν μὲν προτέρων ὑπερορᾷ πλασμάτων, ἀποφαίνεται δὲ λοιπὸν τὰ δοκοῦντα· οὐ κατὰ λογικὴν μέθοδον προερχόμενος, οὐ κατὰ γραφικὴν ἢ πατρικὴν ἀπόδειξιν τὸν λόγον ποιούμενος, ἀλλ' ἅπερ αὐτῷ ἡ ἐξουσία ἐπέτρεπε, καὶ ἡ τοῦ νοὸς σαθρότης, καὶ τῆς γαστρὸς ἡ παχύτης, καὶ τῶν ἐμέτων ἡ ἀκαθαρσία, καὶ τῆς κοπρίας ἡ ὑπάλειψις, ἔτι καὶ τῶν ἐγκοσμίων καὶ χαμαὶ ἐρχομένων ἡ ἄμετρος προσπάθεια, ἐφ' οἷς δοξάζεσθαι καὶ ἐντρυφᾶν ᾤετο, θαῤῥούντως δογματίζει· ὡς μὲν οὖν εἰκαίους καὶ λέσχης ἐμπλέους ἡμῖν ἐπαντλεῖ λόγους, παντί που δῆλον· ὅμως οὐκ ἀποκνητέον τῇ τούτων ἀπαιδευσίᾳ εὐκαίρως καὶ ἀκαίρως ἀντικαθίστασθαι· οὐδὲν γὰρ κωλύει καὶ νῦν ἐκ τῆς τῶν λόγων αὐτοῦ ὑποθέσεως ὡρμημένους, πάλιν εἰς ἀντίφασιν αὐτὸν περιάγειν, καὶ ἑαυτῷ προφανῶς ἀντικαθιστάμενον δεῖξαι· ῥητέον γὰρ, ὅτι ἐπειδὴ προσώπου ἑνὸς ὄντος, ἔφησεν ἀδύνατον εἶναι εἰκονίζεσθαι τὸν Χριστὸν, κατὰ τὴν ἑτέραν τῶν φύσεων, καὶ βεβαιοῖ τοῦτο φάσκων μετὰ βραχέα, ὅτι ἡ εἰκὼν, προσώπου ἐστὶν εἰκὼν, καὶ ταύτῃ τὴν θείαν φύσιν ἀπρόσωπον ὡς ἀπερίγραπτον τυγχάνειν, πάντως ἵνα ἡ ἀκόλουθος τῷ λόγῳ ἀντίθεσις φυλαχθῇ, καὶ ἐκ τοῦ ἀνεικόνιστον δοξάζειν τὸν Χριστὸν, ἀπρόσωπον ὡσαύτως

ἐπὶ τῆς ἑτέρας τῶν φύσεων αὐτὸν εἰσαγάγοι· καὶ τοῦτό ἐστι πάλιν ἀδύνατον· ἔλεξε γὰρ ἂν βιασθεὶς κἀνταῦθα, ὅτι οὐ δυνατὸν ἐπὶ τοῦ ἐκ δύο φύσεων ἐν ἑνὶ ϖροσώπῳ ὄντος, ἐϖὶ τῆς μιᾶς φύσεως ϖρόσωπον ἀνεικόνιστον εἶναι, καὶ ἐπὶ τῆς μιᾶς ἀπρόσωπον τυγχάνειν, καὶ ψιλὸν μόνον θεὸν νοεῖσθαι τὸν Χριστὸν, καὶ ἐπὶ τῆς θεότητος αὐτοῦ μόνης πρόσωπον διδόναι, καὶ μὴ εἰκονίζειν αὐτόν· καθὸ τὸ ἀνεικόνιστον, ϖροσώπου ἐστὶν ἀνεικόνιστον· καὶ ἡ σὰρξ ἐστὶ περιγραπτή· οὕτως οὖν ἐπὶ τοῖς ϖροειρημένοις αὐτῷ ἀτόϖοις, ὁμοίως καὶ τὰ νῦν ἀναφαινόμενα ἄτοπα· καὶ γὰρ τὸ ἀμφίκρημνον οὐκ ἐξέκλινε, ταῖς τῶν οἰκείων λόγων συνδούμενος ἄρκυσιν· ἐϖεὶ ἐδέησέ γε καὶ μὴ βουλομένῳ αὐτῷ, καίτοι ϖολλὰ ϖερὶ τοῦ ἀϖεριγράπτου καμόντι, καὶ κενολογήσαντι ϖλείονα, περιγραπτὸν ὁμολογῆσαι τὸν λόγον, ἵνα μὴ ϖρόσωπον ἰδικῶς ἐπὶ τῆς θεότητος αὐτοῦ εἰσάγοι μόνης, καὶ ἡ σὰρξ καταλειφθῇ ἀπρόσωϖος· ἢ ϖάντως γε λελείψεται ἀόρατον αὐτὸν οἴεσθαι καὶ ἀναφῆ καὶ ἀπαθῆ, καὶ τὸ ὅλον εἰπεῖν μὴ δὲ σάρκα ἀνειληφέναι· καὶ ϖῶς ἐκφεύξεται τὸ τῆς δοκήσεως καὶ φαντασίας βλάσφημον; τοῦτο δὴ τὸ ϖρόσωπον καὶ τὴν ὑϖόστασιν ἁϖλῆν μὲν τέως οὐ λέγει εἶναι· ἢ γὰρ ἂν τὸ ϖᾶν τῆς οἰκονομίας ἀνεῖλεν, ὅϖερ νῦν ἄντικρυς εἰπεῖν δέδοικεν, ὡς ἂν ἐκφανείη πάντα κυκῶν καὶ κατασείων τὰ καθ' ἡμᾶς μυστήρια· τὸ γὰρ φύσει ἁϖλοῦν, οὔτε ὁρᾶσθαι, οὔτε εἰδοϖοιεῖσθαι, οὔτε ϖάσχειν τί καθ' ὀντιναοῦν τρόπον πέφυκεν· ἀπαθὲς γὰρ καὶ ἄφθαρτον καὶ πάντη ἄληπτον καὶ ἀπερινόητον· τοῦτο δὲ τί ἂν εἴη ἄλλο ἢ θεός; τοῦτο οὖν οὐ λέγει, σύνθετον δὲ καὶ αὐτὸς αὐτῆς ὡμολόγησεν, εἰπὼν ἐκ δύο φύσεων γεγενῆσθαι, κἂν ταμιεύηται νῦν ὃν δοκεῖ τρόπον συνθέσεως· τεχνάζεται γὰρ διὰ τῆς μιᾶς τοῦ ἀπεριγράπτου φωνῆς, καὶ τἄλλα πάντα ἀνελεῖν ἰδιώματα.

Σύνθετον δὲ ἐκ τῶν ἐναντίων αὐτὴν φαμὲν ἡμεῖς, καθὰ δὴ οἱ θεηγόροι διδάσκουσι φάσκοντες " προελθὼν δὲ θεὸς μετὰ τῆς ϖροσλήψεως, ἓν ἐκ δύο „ τῶν ἐναντίων, σαρκός τε φημὶ καὶ ϖνεύματος· „ ἀδύνατον γὰρ δύο φύσεις εἰς ἑνός τινος ὕπαρξιν συνερχομένας, μὴ εἶναι ἐναντίας καὶ διαφόρους, ὧν τὸ διάφορον, καὶ ὁ ἀριθμὸς ϖαρίστησιν· οἷς γὰρ συντεθεῖσιν ὁ ἀριθμὸς ἐπιφημισθείη, τὸ ἑτεροφυὲς τῶν ἠριθμημένων εἰσήγαγεν· εἰ γὰρ ταυτὸν εἶεν, οὐ δύο ἂν εἶεν, ἀλλὰ μία· ϖῶς γὰρ ἐϖὶ τῆς μιᾶς καὶ τῆς αὐτῆς σύνθεσιν γενέσθαι δυνατόν; ἡ γὰρ σύνθεσις, τὸ διάφορον τῶν συντρεχόντων, ἃ δὴ καὶ ἑτεροούσια εἶναι δηλοῖ· καὶ ϖειθέτω ταῦτα ὁ λέγων· " οὔϖω ἦν κρᾶμα ἐξ ἀμφοτέρων, „ οὐδέ τις μίξις τῶν ἐναντίων· „ περὶ τοῦ ἀνθρωπείου φιλοσοφῶν συγκρίματος, καὶ τῆς κατὰ τὸν ἄνθρωπον δημιουργίας, ἐξ ἀοράτου καὶ ὁρατῆς φύσεως διαπλασθέντα, τῶν ἐναντίων ἀλλήλοις κειμένων προδήλως· τί δὴ οὖν σύνθετον λέγων τὴν ὑπόστασιν, μὴ καὶ τὰ πρόσφορα τῶν ἐν αὐτῇ θεωρουμένων, εὐγνωμόνως καὶ οἰκείως ἀποδέδωκεν; εἰ γὰρ ἐναντίον τὸ ὁρατὸν τῷ ἀοράτῳ, καὶ τὸ ἁπτὸν τῷ ἀναφεῖ, καὶ τὸ φθαρτὸν τῷ ἀφθάρτῳ, καὶ τὸ παθητὸν τῷ ἀπαθεῖ, καὶ εἴ τι τούτοις ὁμοίως ἀλλήλοις ἀντίκειται, καὶ περὶ ἓν καὶ τὸ αὐτὸ πρόσωπον τοῦ Χριστοῦ θεωροῦνται, ὅτου δὴ χάριν μὴ καὶ ἡ ἑτέρα ἀντίθεσις ἐϖ'

αὐτῷ θεωρηθήσεται· τὸ περιγραπτὸν λέγω καὶ ἀπερίγραπτον; ἀπερίγραπτον γὰρ εἰσφέρων τὴν σάρκα, οὐδὲν ἕτερον λέγει ἢ ὅτι οὐδὲν διοίσει ἡ θεία φύσις τῆς ἀνθρωπίνης, ἢ τὸ ἄκτιστον τοῦ κτιστοῦ· εἰς ταὐτὸν γὰρ φέρει ἀμφότερα, καὶ περισσὸν αὐτῷ καὶ ἄκαιρον τῶν δύο φύσεων τὸν λόγον προχειρίζεσθαι· εἰ μὴ γὰρ ἑκατέρα τῶν φύσεων τὰ οἰκεῖα καὶ ὃ πέφυκεν αὐτὴ, ἀποδοθείη γνωριζομένη ταῖς ἰδιότησι, ποῦ ἡμῖν φανήσονται αἱ ἐναντίαι καὶ φυσικαὶ διαφοραὶ καὶ οὐσιώδεις ποιότητες; καὶ εὑρεθήσεται ἓν καὶ ταὐτὸν τὰ ἐναντία, ὅπερ ἀδύνατον.

μ. Ἀρειανῶν ταῦτα καὶ Ἀπολιναρίου καὶ Εὐτυχοῦς, καὶ τῆς συγχυτικῆς καὶ ἀκεφάλου μοίρας τὰ φάσματα καὶ σοφίσματα, ὧν τινὰ παρατεθέντα, ὅσον διοίσει τῶν ἐκείνου, ἐμφανιεῖ· ὧδε γὰρ ἔχει. ⸖ Ὥστε σάρκα λέγοντες, οὐ τὸ ⸖ οἰκεῖον ἔχουσαν πρόσωπον ἀλλὰ τὸ τοῦ θεοῦ, θεὸν ἐν τῇ θεϊκῇ δόξῃ κη- ⸖ ρύσσομεν. Καὶ αὖθις· εἰ γὰρ ὁ ἐκ τῆς παρθένου εἷς κύριος ὠνόμασται, ⸖ καὶ αὐτός ἐστι δι' οὗ τὰ πάντα γέγονε, μία φύσις ἐστὶν, ἐπειδὴ πρόσωπον ⸖ ἓν οὐκ ἔχον εἰς δύο διαίρεσιν· ἐπεὶ μὴ δὲ ἰδία φύσις σώματος, καὶ ἰδία ⸖ φύσις ἡ θεότης κατὰ τὴν σάρκα· ἀλλ' ὡς ἄνθρωπος μία φύσις, οὕτως καὶ ⸖ ὁ ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος Χριστός. ⸖ Ἐπεὶ οὖν τούτοις συμφθέγγεται, ἀκόλουθον ἦν αὐτῷ καὶ μίαν φύσιν λέγειν συγκειμένην ἐξ ἀμφοῖν ἐπὶ τοῦ Χριστοῦ, ἵνα συνεξαμαρτάνων αὐτοῖς τῇ ἀσεβείᾳ μὴ καθυφῇ· τούτων γὰρ τὸ ἄθεον ὄντως καὶ βλάσφημον νοσῶν, τὴν μεγάλην ἐκείνην καὶ πολυάνθρωπον ἱερὰν σύνοδον ἀθετῆσαι ἐσπούδασεν, ἥ τις τὸν περὶ τῆς κατὰ Χριστὸν ὑποστάσεως καὶ τῶν κατ' αὐτὸν φύσεων λόγον, θείῳ πνεύματι κεκινημένη διετράνωσε, σαφέστερον καὶ ἐκδηλότερον τὸ τῆς θείας οἰκονομίας μυστήριον ἡμῖν διακηρύξασα.

Προσεκτέον γὰρ πρότερον, ὅτι ἐκ δύο μὲν φύσεων ἐνταῦθα δογματίζει τὸν Χριστόν· οὐκ οἶδ' ὅπως, ὁ μὴ δὲ μίαν αὐτῷ μορφὴν πρὸ μικροῦ συγχωρῶν· ἐν δυσὶ δὲ αὐτὸν φύσεσιν, οὐδαμῶς τέως εἰπὼν φαίνεται· μή ποτ' οὖν κἀνταῦθα κατὰ τοὺς διδασκάλους αὐτοῦ, διὰ τὴν μίαν ὑπόστασιν, καὶ τὰς φύσεις συγχεῖ; τὸ γὰρ περιγραπτὸν περιελὼν, δηλοῦται καὶ τὰς λοιπὰς τῆς σαρκὸς ἀπαναινόμενος διαφοράς· ὁ δὲ τοῦτο λέγων, οὐδὲ τὰς τῆς θείας φύσεως φυλάξει ἰδιότητας, καὶ οὔτε περιγραπτὴν οὔτε ἀπερίγραπτον τὴν τοῦ κυρίου ὑπόστασιν δέξεται· τοιοῦτος γὰρ ὁ τῆς συγχύσεως τρόπος· οὐδ' ὁπότερόν τι τῶν ἡνωμένων δείκνυσιν εἰλικρινῶς ὂν, ἕτερον δέ τι ἀποτελῶν ὡς τὰ συνεφθαρμένα· καθὰ τοῦτο ἴδοι τις καὶ ἐπὶ τῆς τῶν τηκτῶν λεγομένων συγχύσεως, καὶ τῆς τῶν μεταλλικῶν ἑνώσεως· οὐχ' ἧττον δὲ καὶ ἐπὶ τῶν κατὰ τὴν ἰατρικὴν συντιθεμένων φαρμάκων, ἔτι καὶ ἐπὶ τῆς τῶν στοιχείων κατὰ τὰ σώματα συνδρομῆς· ὡς οὐδὲν καθαρῶς ἐστιν, οὔτε γὰρ μόνον πῦρ ἐστιν, οὔτε γῆ, οὔτέ τι τῶν ἄλλων· τὰ παραπλησία δὲ καὶ περὶ τῶν διπλῶν ἐνεργειῶν τῶν κατὰ Χριστὸν θεωρουμένων πεφρόνηκέ που πάντως· διὰ τὴν μίαν γὰρ ὑπόστασιν, καὶ μίαν ἐνέργειαν ἐδίδου ἄν· δειχθείη δὲ καὶ οὕτως τοῖς τῆς συγχύσεως καὶ δοκήσεως καθηγησαμένοις ἑπόμενος διδασκάλοις· καθάπερ γὰρ ἐκεῖνοι τῆς τοῦ

ἀριθμοῦ δυάδος δυσσεβῶς καὶ κακοήθως ἐπιδραξάμενοι, ὃν οἱ τῆς εὐσεβείας καὶ τοῦ ὀρθοῦ προεστηκότες λόγου, ἐπὶ τῶν δύο φύσεων εὐσεβῶς ἐπρέσβευον, καὶ εἶτα ὡς αἴτιον διαιρέσεως τῆς κατὰ Χριστὸν ὑποστάσεως προάγοντες, ὡς ἢ δύο πρόσωπα διὰ τὰς φύσεις εἰσάγεσθαι, ἢ διὰ τὸ ἓν πρόσωπον, μίαν ἐξ ἀνάγκης φύσιν δίδοσθαι, οὕτω καὶ οὗτος τῇ τοῦ ἀπεριγράπτου προσπλεκόμενος λέξει, δοκεῖ βαθέως καὶ ἄγαν κατασκευάζειν. ὡς ἢ διαιρεῖσθαι διὰ ταύτην καὶ τὴν τοῦ Χριστοῦ ὑπόστασιν, ἢ καὶ τὸν λόγον τῇ σαρκὶ συμπεριγράφεσθαι· ἔχει γὰρ τὰ ἐπαγόμενα οὕτως.

μα. 'Αλλ' ἢ καὶ τὸ θεῖον συμπεριγράφεσθαι ἔχει ἐν τῇ εἰκόνι ἐκείνῃ, καθὼς ἔστιν ὁ Χριστὸς ἐκ διπλότητος, ἢ ψιλὸν μόνον ἄνθρωπον νοεῖσθαι τὸν Χριστὸν, καὶ εἰκονίζειν αὐτὸν οὕτως, καθὸ ἡ εἰκὼν προσώπου ἐστὶν εἰκὼν, καὶ τὸ θεῖον ἐστὶν ἀπερίγραφον. Πῶς τοῦτο λέγει, κἂν ἔχῃ φύσεως οὕτω τὸ πρᾶγμα κἂν μή; ἀλλὰ ταῦτα μὲν, ὡς δοκεῖ τῇ ματαιότητι, τυραννικῶς ἀποφαίνεται, οὐδενὶ λόγῳ τῆς ἀληθείας συνηγόρῳ χρώμενος· ἡμῖν δὲ καὶ μικρῷ πρόσθεν περὶ τούτου σὺν ἀληθείᾳ εἴρηται ἤδη, ὡς ὁ θεῖος λόγος μηδὲν πεφυκὼς πάσχειν, καὶ ἐν σώματι γενόμενος, ἀπαθής γε οὐδὲν ἧττον μεμένηκε, καὶ τῶν εἰκῇ πεφλυαρημένων ὁλοτρόπως ἀπείρατος· καὶ νῦν δὲ, διὰ βραχέων εἰρήσεται· λεκτέον γὰρ, ὅτι οὐ μόνον περιγραφομένῳ τῷ σώματι ὁ λόγος οὐ συμπεριγραφήσεται, ἀλλ' οὐδὲ ἐν αὐτῷ τῷ σώματι γεγονὼς περιγέγραπται, καίτοι οὐσιωδῶς, καὶ ἀδιαστάτως αὐτῷ συνημμένῳ· καὶ τοῦτο οἶμαι μηδενὶ ἠγνοῆσθαι, εἴ τι πιστέον τοῖς εὐαγγελισαμένοις ἡμῖν τὰ ἐπὶ τῇ θείᾳ πεπραγμένα συγκαταβάσει· πῶς γὰρ ἀληθεύσει ὁ μέγας Ἰωάννης τῇ ἀληθείᾳ μαρτυρῶν καὶ λέγων " μέσος ὑμῶν ἕστηκεν ὃν ὑμεῖς οὐκ οἴδατε ,, τὸν οὔπω παρόντα σωματικῶς αἰνιττόμενος; αὐτός τε ὁ σωτὴρ ἡ ἀλήθεια· " πρὸ τοῦ σε ,, Φίλιππον φωνῆσαι ὄντα ὑπὸ τὴν συκῆν εἶδόν σε ,, τῷ Ναθαναὴλ προσφθεγγόμενος, καὶ τοῖς μαθηταῖς πόῤῥω τῆς Βηθανίας σωματικῶς συναυλιζόμενος· τόν γε Λαζάρου θάνατον ἀνακοινούμενος, συνεῖναί τε αὐτοῖς μετὰ τὴν ἀνάστασιν ἕως τῆς συντελείας τοῦ αἰῶνος ἐπαγγελλόμενος.

Τί χρὴ ἀπαριθμεῖσθαι τὰ πλείονα; ὅπου εἰσὶ δύο ἢ τρεῖς συνηγμένοι ἐν τῷ ὀνόματι αὐτοῦ, ἐκεῖ εἶναι ἐν μέσῳ αὐτῶν καθυπισχνεῖται· πανταχοῦ δὲ οἱ συνηγμένοι, πανταχοῦ ἄρα καὶ αὐτὸς ἔσται· καὶ ὅπως εἰς προὖπτον ἅπασι πρόκειται, ὡς κατὰ τὴν ἀνέκφραστον καὶ ἀπόῤῥητον θείαν φύσιν, καθ' ἣ πανταχοῦ καὶ ὑπὲρ ταῦτα νοεῖται· καὶ γάρ που διαγορεύει τὰ λόγια· " μὴ οὐχὶ τὸν ,, οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ, λέγει κύριος; καὶ αὖθις· θεὸς ἐγγίζων ,, ἐγώ εἰμι, λέγει κύριος, καὶ οὐχὶ θεὸς πόῤῥωθεν· καὶ πνεῦμα κυρίου πεπλή- ,, ρωκε τὴν οἰκουμένην· καὶ ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου καὶ ἀπὸ τοῦ ,, προσώπου σου ποῦ φύγω; καὶ αὐτὸς μὲν πᾶσι πάρεστιν, οὐ πάντα δὲ αὐτῷ ,, πάρεστιν, οἱ θεολόγοι φασίν· ,, ἐξ ὧν ἁπάντων δηλοῦται τὸ θεϊκῶς πᾶσι παρεῖναι, οὐ γὰρ δὴ σωματικῶς πανταχοῦ παρῆν συνηγμένοις αὐτοῖς· οὐδὲ ἐν ᾧ ἔφασκον οἱ μαθηταὶ " ἐν τῷ ὀνόματί σου τὰ δαιμόνια ἡμῖν ὑποτάσσεται ,,

ἑτέρωθι γὰρ ἔν τινι τόπῳ τὸ σῶμα ἐφαίνετο· σαφὲς οὖν ὅτι οὐ περιγέγραπτο ἐν τῷ σώματι, ἡ δὲ τοῦ ὀνόματος παναλκὴς καὶ ἀκατάληπτος δύναμις ἐνήργει πανταχοῦ τὰ τεράστια· οὐ προφητικῇ δὲ προγνώσει καὶ χάριτι ἅπαξ, τοιαῦτα τὲ ἔπραττε καὶ τοῖς μαθηταῖς προὔλεγεν· ὥσπερ βλέπων τὰ ἔμπροσθεν, ὡς θεὸς δὲ παρὼν ἅπασιν, οὐδὲ ἐνεργείᾳ ψιλῇ, κατά τινας τῶν πάλαι τὰ τοιαῦτα ληρωδησάντων, κενῶσαι μὲν τοὺς οὐρανοὺς τῆς ἑαυτοῦ ὑποστάσεως κατὰ τοὺς καιροὺς τῆς θείας σαρκώσεως, εἶναί τε οὐσιωδῶς σὺν ἡμῖν, ἐνεργείᾳ δὲ καὶ ἀξίᾳ μόνῃ πρὸς τὸν θεὸν καὶ πατέρα· ἐπεὶ ἕτερον οὐσίαν καὶ ἄλλο ἐνέργειαν ὥσπερ ἐπὶ τῶν σωματικῶς θεωρουμένων, οὕτω δὴ καὶ ἐπὶ τοῦ θείου λόγου ἐτίθεντο· ὅπερ τοῖς εὐσεβέσιν ἀπείρηται· ἐπὶ γὰρ τῶν ἁπλῶν καὶ ἀσωμάτων ἐν οὐδενὶ διαφέρειν ἴσασιν· οὐ γὰρ διοριστέον ταῦτα ἀλλήλων, ἵνα μὴ σύνθετον τὸ ὑπὲρ πᾶσαν ἁπλότητα νοοῖτο· οὔτε γὰρ ἡ θεία οὐσία ἀνενέργητος εἴη ἄν ποτε, οὔτε ἀνούσιος ἡ ἐνέργεια· " ὁ πατήρ μου γάρ, φησιν, ἕως ἄρτι ἐρ„ γάζεται, καὶ ἐγὼ ἐργάζομαι· „ ἡ μὲν γάρ, τὸ ὑπερουσίως εἶναι αὐτὸν καὶ ἀεὶ ὡσαύτως εἶναι, καὶ ἀπαρεγκλίτως ἐπὶ τῆς ἑαυτοῦ μονιμότητος καὶ ἱδρύσεως ἵστασθαι, δηλοῖ· ἡ δέ, τὰς ἐν τοῖς οὖσι προνοητικὰς προόδους καὶ ἀρρήτους οἰκονομίας παρίστησι, καθ' ἃς ἀνεκφοιτήτως τῆς οἰκείας ἁπλότητος προϊών, πραγματεύεται, τὴν τῶν ὅλων ἐργαζόμενος πρόνοιαν· ἀλλ' εἰ καὶ μετὰ ἀνθρώπων κεχρημάτικεν ὡς ἀληθῶς ἄνθρωπος, τῶν πατρικῶν οὐκ ἀπελείπετο κόλπων, καὶ ὁ πατὴρ ἦν ἐν αὐτῷ, καὶ αὐτὸς ἐν τῷ πατρί.

Εἰ τοίνυν, καθάπερ ὁ τῆς ἀληθείας ἐφοδεύων συμπεραίνει λόγος, ἐν τῷ ἰδίῳ οὐ περιγέγραπται σώματι, ποίας ἀνοίας καὶ ἀλογίας ἔτι καὶ δυσσεβείας οὐχ' ὑπεροίσει μέτρον, τὸ λέγειν συμπεριγράφεσθαι περιγραφομένῳ τὸν λόγον τῷ σώματι, ἀπεριγράπτου δὲ τοῦ θείου ὄντος λόγου; συμπαραληφθῆναι γὰρ δεῖ καὶ τῶν ζητουμένων τὸ σύστοιχον· καὶ ἐν ἅπασι παρόντος, τῆς μείζονος ἂν εἴη μανίας καὶ τῆς ἐσχάτης παραφροσύνης τὸ φράζειν, χωρίζεσθαι τὸν λόγον τοῦ σώματος, ἡνίκα περιγραπτὸν ὡμολόγηται· εἰ γὰρ οὐδενὸς ἄπεστι, καὶ οὐδαμόθεν ἀπολιμπάνεται, πόσῳ λέγειν ἀληθέστερον, ὅτι ἐν τῷ σώματι τῷ οἰκείῳ καὶ καθ' ὑπόστασιν αὐτῷ ἡνωμένῳ, καὶ περιγραπτῷ γε ὄντι, ἀεὶ πάρεστιν, ἵν' ἅμα καὶ κατὰ ταὐτὸν ἡ ἐπ' ἀμφοῖν τῶν ἀσεβῶν ἄτοπος καὶ παράλογος διελέγχηται φιλονεικία; εἰ μὲν γὰρ ἡ κτίσις ἡ σύμπασα ᾗ πάρεστιν ὡς θεὸς ἀπεριγράπτως, ἦν ἀπερίγραπτος, ἐξήνυεν ἄν τι ἴσως ὁ λόγος αὐτῷ· εἰ δὲ πάντα περιγραπτά ἐστι, τίνος ἕνεκεν ἡ ἀνούστατος αὕτη καὶ ψυχρὰ ἔνστασις, τοῦ οἰκείου μόνον ὑπερορίσθαι τὸν λόγον σώματος; ὄντως ἱστὸν ἀράχνης ὑφαίνουσιν οἱ ταῦτα φρονοῦντες καὶ λέγοντες.

μβ. Τούτων δὲ οὕτως εἰρημένων, ἐπὶ τὰ λοιπὰ τοῦ λόγου τρεψώμεθα· εἰ ἐκ διπλότητος πρεσβεύει εἶναι τὸν Χριστόν, εἰ ἐβούλετο σεσῶσθαι αὐτῷ ὃ περιθρυλεῖ εὔφημον καὶ κομψὸν τῆς διπλότητος ὄνομα, περιγραπτὸν κατὰ τὴν ἑτέραν τῶν φύσεων ὁμολογεῖν τὸν Χριστὸν ἔδει· ἐπειδὴ δὲ τοῦτο οὐ δίδωσιν, ἐξήπλωται αὐτῷ τὸ συνεπτυγμένον καὶ θαυμαστὸν τῆς διπλότητος· καὶ γε-

γύμνωται τῆς διπλότητος τοῦ τρόπου καὶ τῶν πανούργων αὐτοῦ σοφισμάτων· τοιαύτη δὲ ἡ ἀλαζονεία καὶ φιλαυτία, τὰ πέρα τοῦ μέτρου κενεμβατοῦσα περιαθρεῖν· ὧν δὲ ἐφεῖται διατεκμαίρεσθαι καὶ διασκοπεῖσθαι, διαμαρτάνειν περιφανῶς· ἐχρῆν γὰρ ἐξ ὧν αὐτὸς προῆγε λόγων, προαισθέσθαί γε καὶ συνιέναι, ὅτι αὐτῷ ἐκεῖθεν ἐκβήσεται· ἐκ διπλότητος δοξάζει τὸν Χριστόν· ταύτῃ γοῦν καὶ σύνθετος ἔσται πάντως· εἰ γὰρ τὸ ἁπλοῦν ἀσύνθετον, τὸ ἐκ διπλότητος σύνθετον· τί οὖν τὸ περιϊστάμενον; εἰ ἀπερίγραπτον τὸ θεῖον, διότι ἁπλοῦν καὶ ἀσύνθετον, τὸ ἐκ διπλότητος καὶ σύνθετον, τί ἐστι; ἔφησεν ἂν πάντως καὶ μὴ βουλόμενος περιγραπτόν· ἄλλως τε δὲ αὐτὴ ἡ τῆς συνθέσεως ἔννοια, τὴν περιγραφὴν ἡμῖν ἐκ παντὸς ὑποτίθεται· οὕτως πανταχοῦ καὶ τῷ ὀρθῷ λόγῳ καὶ ἑαυτῷ ἀπομαχόμενος δείκνυται· καὶ ταῦτα μὲν πρὸς τοὺς ἐκείνου λόγους λελέχθω· δοκεῖ γὰρ κατειληφέναι τὸ Χριστοῦ μυστήριον, μὴ δὲ τὰ ἐν ποσὶν εἰδὼς ἢ βλέπων· καθάπαξ γὰρ τῆς εὐθείας καὶ βασιλικῆς ἀπονενευκὼς τρίβου, ἐπὶ τοὺς ἐφ' ἑκάτερά πως ἀποκεκλικότας κρημνοὺς ἵεται.

Βούλεται οὖν τοὺς ἀκροωμένους ὑπὸ τῆς ἀνάγκης τῶν λόγων ἠγμένους, δυοῖν ἑλέσθαι τὸ ἕτερον· ἢ γὰρ γράφοντας τὸν Χριστὸν, ἀναγκασθῆναι διπλῷ τῷ δοκοῦντι περιπεσεῖν ἁμαρτήματι· ἤτοι συμπεριγράφειν τὸ θεῖον τῇ εἰκόνι, διὰ τὸ ἓν πρόσωπον, ὅπερ ἐκ διπλότητος, ὥς φησίν, ἐστιν· ἤτοι ψιλὸν μόνον ἄνθρωπον νοεῖσθαι τὸν Χριστὸν, καὶ τῇ Νεστορίου συμφέρεσθαι φρενοβλαβείᾳ· ἢ ταῦτα διαφυγεῖν αἱρουμένους, μὴ γράφειν αὐτὸν, ἵνα τῇ ἐκείνου κακοδοξίᾳ περιπέσοιεν· ταὐτὸν δὲ εἰπεῖν, τῇ φαντασιώδει καὶ ἀντιπάλῳ μοίρᾳ, τῶν ἐκ διαμέτρου λέγω τῆς ἀληθείας ἀποσφαλέντων, ἧς ὅλος θερμῶς περιεχόμενος γίνεται, τὸ μὲν ἐκ διπλότητος λέγων· τὸ δὲ ἐν διπλότητι, ἤγουν ἐν δυσὶ φύσεσι τὸν Χριστὸν εἶναι, πανταχοῦ παραιτούμενος· καὶ οὕτως ἐξ ἑνός γέ του τρόπου ὁ τῆς θείας σαρκώσεως παραβλάπτοιτο λόγος· ὧν περ ἡ ἐκκλησία διαφυγοῦσα τὰ ἄτοπα, καὶ τὴν ἐπὶ θάτερα θεοπρεπῶς παρατροπὴν ἐκκλίνασα, καὶ τὴν μέσην ὥσπερ καὶ κατ' εὐθὺ ἰοῦσα ὁδὸν, μόνης ἔχεται τῆς ἀληθείας, ὀρθοδόξως καὶ εὐσεβῶς τὴν κατὰ Χριστὸν οἰκονομίαν ὁμολογοῦσά τε καὶ περιέπουσα· ἀλλὰ ταῦτα δογματίζων δῆλός ἐστιν ὅμοιόν τι ποιῶν, ὡς εἴ τις ἰδὼν δακτυλίῳ χρυσῷ, φέρε εἰπεῖν, ἐκσφραγίσματα πλείονα ἐν κηρῷ ἀποτυπούμενα, ἐνίστατο λέγων, ἢ τὸν χρυσὸν τῷ κηρῷ συνανακεκρᾶσθαι καὶ συναναμεμίχθαι ἐναποματτόμενον τὰ χαράγματα, ἢ πάντως γε τὴν ἐγκεχαραγμένην ἐν τῷ δακτυλίῳ γραφὴν, διΐστασθαι ἀπ' αὐτοῦ καὶ μερίζεσθαι· ἢ ὡς ἄν τις τὸ πῦρ εἰκονιζόμενον θεάσοιτο, καθὰ πολλάκις ὁρῶμεν τροχούς τινας πυρώδεις, καὶ φλόγας πυρὸς ἀναπτομένας, καὶ τοῖς χερουβὶμ συνδιαγραφομένας· καθ' ἃς οἱ θεολόγοι ἀγγελοφανείας εἶδον, πάντως καὶ τὴν ἐμπύριον συμπεριγεγράφθαι τῇ ὕλῃ δόξει θερμότητα, ἢ κεχωρίσθαι τὸ πῦρ τῆς οἰκείας καὶ οὐσιώδους ποιότητος εἰκονιζόμενον· ὡς οὖν ταῦτα φρονεῖν καὶ λέγειν ἀνόητον καὶ ἀδύνατον, ἀνοητότερον ἐκεῖνο καὶ ἀδυνατώτερον· ἀσυνέτου γὰρ ταυτὶ καὶ ἐξεστηκυίας φρενὸς ἀποβράσματα· εἰ γὰρ οὐδὲν τὰ εἰρημένα εἰς τὴν ἑαυτῶν φύσιν

πάθοιεν, πῶς ὅ γε ὑπερφυὴς καὶ ἀπαθὴς λόγος, ἢ συμπεριγραφήσεται τῇ ἰδίᾳ σαρκὶ, ἢ γραφομένης διαστήσεται, ἢ ἕτερόν τι τοιοῦτον πείσεται, εἴπερ οὐδὲ ἐν τῇ παναγίᾳ αὐτοῦ σαρκὶ ᾗ οὐσιωδῶς ἥνωται, περιγέγραπται; ἐχρῆν δὲ συνιδεῖν καὶ πεπεῖσθαι τὸν σοφὸν τοῖς χριστιανῶν ἑπόμενον δόγμασιν, ὅτι περ ὁ θεῖος λόγος σῶσαι τὸ καθ' ἡμᾶς γένος διὰ τῆς σωτηρίου αὐτοῦ ἐπιφανείας βουλόμενος, ἐν τῇ ἑαυτοῦ ὑποστάσει ἀῤῥήτως καὶ ὑπὲρ λόγον, ὅλη ὅλῳ ἑαυτῷ τὴν περιγραπτὴν δὴ ταύτην καὶ γραπτὴν ἡμῶν φύσιν καὶ εἰκονιζομένην προσειληφὼς ἥνωσεν, ἥ τις καὶ μετὰ τὴν πρόσληψιν περιγραφομένη καὶ γραφομένη εἰς ἀεὶ διασώζεται· εἰ γὰρ τὸ περιγραπτὸν τοῦτο σῶμα οὐ προσείληπται, οὐδὲ σέσωσται· τὸ γὰρ ἀπρόσληπτον, ἀθεράπευτον, φασὶν οἱ θεολόγοι. Εἶτα ἐπιφέρει τοιαῦτα.

μγ. « Λέγει δὲ ὁ ποιήσας τὴν εἰκόνα ἐκείνην, ὅτι εἰκὼν τοῦ Χριστοῦ « ἐστι· καὶ τὸ Χριστὸς ὄνομα γινώσκεται, ὅτι οὐ μόνον ἄνθρωπον δηλοῖ, « ἀλλὰ καὶ θεόν. » Ἔδει αὐτὸν κἂν γοῦν τοὺς οἰκείους δυσωπηθέντα λόγους, συναισθέσθαι τῆς ἀτοπίας τῶν παρ' αὐτοῦ προαγομένων· ἀλλ' ἔοικεν ἡ πλάνη καὶ τὸ ψεῦδος, καὶ ἑαυτῷ καὶ τῇ ἀληθείᾳ ἀνθίστασθαι· εἰ μὲν γὰρ ἓν ἦν τὸ ἐκ τοῦ ὀνόματος δηλούμενον, τὰς περὶ τὸ ἓν ζυγομαχούσας τῶν ἐναντίων δόξας, ὁ βραβεύων τὸ ἀσφαλὲς ἐπιὼν λόγος, καὶ γνωμῶν ταλαντεύων τὸ ἀμφίῤῥοπον, δέδωκεν ἂν τὴν νικῶσαν τῷ κρείττονι· ἢ τέλεον περιγραπτὸν ἀποφαίνων τὸ ἕν, ἢ τέλεον ἀπερίγραπτον· ἐπεὶ δὲ τῶν δύο φύσεων ὑπάρχει παραστατικὸν, καθὰ καὶ αὐτὸς ἔφησε, τίς ὁ κωλύσων λόγος, μὴ ἑκατέρᾳ τούτων τὰ οἰκεῖα καὶ προσήκοντα ἀποδίδοσθαι; ὥστε καὶ ἡνῶσθαι ἀλλήλαις, καὶ μηδετέραν ἐξεστηκέναι τῶν οὐσιωδῶς ἐν αὐταῖς θεωρουμένων, καὶ ἀτρέπτως ἐνυπαρχουσῶν φυσικῶν ἰδιοτήτων, μὴ δ' αὖ διαιρεῖσθαι τῷ εἰς ἀλλήλας ἀσυγχύτως περιχωρεῖν· εἰ γὰρ περὶ ταὐτὸν ἄμφω, ἀλλ' οὐκ ἄμφω ταῦτα, ὥσπερ οὐδὲ ψυχὴ καὶ σῶμα· οὐ γὰρ εἴ τις δοίη τὸν αὐτὸν χρυσοχόον εἶναι καὶ λιθοξόον, ἤδη τὴν χρυσοχοϊκὴν εἰς τὴν λιθοξοϊκὴν περιαγάγοι· ἀλλὰ τὸν ἀριθμὸν τῆς δυάδος, εἰς μέθοδον τῆς ἑαυτοῦ δυστροπίας προχειρίζεται, καὶ κακουργεῖ περὶ τὰς φύσεις· ἵνα καὶ τὸ ἀπ' αὐτῶν συντεθὲν πρόσωπον, τέλεον παραγράψηται, καὶ ἣν περὶ αὐτὸ δόξαν ἔσχεν ἀποπλήσῃ ῥαδίως· ὁ οὖν ποιῶν τὴν εἰκόνα ἐκείνην, καὶ λέγων ὅτι Χριστοῦ ἐστιν, οἶδε μὲν καὶ τὰ ἀπὸ τοῦ ὀνόματος δηλούμενα· οἶδε δὲ καὶ τὰ ἀπὸ τοῦ προσώπου γνωριζόμενα· οὐκ ἀγνοεῖ δὲ, ὅτι καὶ ἐναντία ἀλλήλοις τὰ συνελθόντα, ὧν μία ἡ ἐπιστήμη, καθὰ λέγεται· εἰδὼς τοίνυν ὅτι τὸ μὲν τούτων ἀόρατον καὶ πάντη ἄληπτον, καὶ διὰ τοῦτο ἄγραπτον καὶ ἀπερίγραπτον, εἴσεται καὶ θάτερον ὅτι ὁρατὸν καὶ καταληπτόν· ὥστε καὶ περιγραπτὸν ἐξ ἀνάγκης καὶ γραπτὸν, διὰ τὴν τῶν ἐναντίων ἀντίθεσιν· οὐ πρὸς τὸ ὅλον οὖν ἓν ὡς ὅλον ἀποβλέπων, τὸ ἐξ ἀμφοῖν τοῖν μεροῖν συγκείμενον· ἢ γὰρ ἂν ἴσως καί τινα ἀφορμὴν εἶχεν ὁ λόγος; ἀλλὰ τὸ ὁρώμενον μόνον ἀναθεωρῶν, ταύτῃ ποιεῖ· ἐπίσταται δὲ ὅτι ἐκ τοῦ γράφειν, οὔτε συμπεριγραφήσεται καὶ θάτερον ἐξ ἀνάγκης, οὔτε αὖ τὸ ἓν ὅλον μερι-

σθήσεται· οὐδεὶς γὰρ λόγος ὁ δρᾶσαι τοῦτο δυνάμενος· ὡς γὰρ οὐ παρὰ τὸ εἰδέναι τὸν γράφοντα, τὰ δηλούμενα διαστήσεται, οὕτως οὐδὲ παρὰ τὸ γράφειν τὸ ἕτερον, καὶ θάτερον συγγεγράψεται· ἤδη τοῦτο καὶ ἐπὶ τοῦ κατὰ τὸν ἄνθρωπον παραδείγματος εἴρηται· τὸ τοιοῦτο δ' ἂν καὶ ἐν ἄλλοις ῥᾳδίως εὕροι τις ἄν· εἰ γάρ τις οἶδε πράγματός τινος διάφορα τὰ δηλούμενα, ἕλοιτο δὲ τούτων τὸ ἕτερον, ἆρα καὶ τῷ λοιπῷ συγχρήσοιτο; οἷον τί λέγω· ἴσμεν ὡς τὸ πῦρ διττὴν ἔχει τὴν ἀπ' αὐτοῦ προϊοῦσαν ἐνέργειαν, τὴν μὲν φωτιστικὴν, τὴν δὲ καυστικήν· εἴπερ οὖν τις τοῦ φωτισμοῦ τοῦ ἀπὸ τοῦ πυρὸς προσδέοιτο. διασθήσεται ἄρα, καὶ οὐχ' ἑκὼν, καὶ τῆς ἐκεῖθεν φλογώσεως εἰς πεῖραν ἰέναι· ἢ ἐάν τις πρὸς κάθαρσιν ῥύπου, ὕδατι θερμῷ προσχρήσοιτο, καὶ ψυχθήσεται πάντως ἀπ' αὐτοῦ, διότι ῥυπτικὴν καὶ ψυκτικὴν κέκτηται τὴν ἐνέργειαν· ἀλλ' οὐδεὶς ἂν τῶν νοῦν ἐχόντων ταῦτα συμφήσειεν· ἐπεὶ οὖν πρὸς ἓν ἐκεῖνος τὸ ὅλον τοῦτο τὸν Χριστὸν διασκοπῶν, ἐβούλετο καὶ τὰ ἐξ ὧν αὐτὸς, ὡς ἐν τῇ τοῦ ὅλου μνήμῃ, συνεισάγεσθαι ὁμοῦ, καὶ μηδὲν τούτων καθ' ἑαυτὸ θεωρεῖσθαι· ὡς τὰ ἑτέρῳ συμβαίνοντα, πάντως καὶ θατέρῳ ἐξ ἀνάγκης ὑπάρξαι.

μδ. Εἴ ποτε Παύλου ἀκήκοεν "ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν ἐσταυρωμένον„ τί αὐτῷ ἐντεῦθεν ἀπήντα; ἐπειδὴ κοινὸν ἀμφοῖν τῶν συνδραμουσῶν φύσεων ὄνομα Χριστὸς, ἐβιάσθη ἂν καὶ οὐκ ἐθέλων κατὰ τὰ ἴδια προβλήματα, ἐπειδὴ καὶ θεὸς δηλοῦται διὰ τοῦ ὀνόματος, ὡς ἂν μὴ διέλοιτο ἓν, καὶ τὸν λόγον αὐτὸν φύσει συνεσταυρῶσθαι ταῖς ἀληθείαις λέγειν, καὶ τὴν θείαν καὶ ἀπόρρητον οὐσίαν τῇ ἀνθρωπίνῃ συμπεπονθέναι· καὶ εἴ τις αὐτῷ καὶ τὸν θεῖον καὶ ζωοποιὸν τάφον ὑπέδειξεν, ἵνα τὴν περιτομὴν καὶ τὰ ἄλλα πάθη νῦν παρήσωμεν, εἶπεν ἂν τεθνηκέναι τὸν λόγον, καὶ τὴν θείαν καὶ ἀθάνατον φύσιν τῇ ἀνθρωπίνῃ καὶ θνητῇ πάντως συγκατορωρύχθαι· ταῦτα γὰρ αὐτῷ βούλεται, ὡς ἂν μὴ διαιρεθεῖεν αἱ φύσεις, τῷ τὴν μίαν τούτων, εἰς τὰ ἐν οἷς πάθοι, καὶ τὴν ἑτέραν δηλαδὴ συνεπάγεσθαι πάσχουσαν· τί δὲ αὐτῷ ἐδήλου τὸ " ἡμῖν δὲ εἷς „ θεὸς, ὁ πατὴρ, ἐξ οὗ τὰ πάντα, καὶ ἡμεῖς εἰς αὐτόν· καὶ ὁ κύριος Ἰησοῦς „ Χριστὸς δι' οὗ τὰ πάντα, καὶ ἡμεῖς δι' αὐτοῦ; „ ἐκ γὰρ τοῦ ἐναντίου τὰ ὅμοια αὐτῷ ἀπαντήσεται ἄτοπα· ἐπειδὴ πρὸς τῷ ἑνὶ ἐστὶ τὰ δηλούμενα. ἐφαίνετο αὐτῷ ἄρα συνδημιουργὸς τῷ λόγῳ, καὶ ἡ καθ' ἡμᾶς φύσις ἐπὶ τῇ τῶν ὅλων παραγωγῇ, καὶ ἔσται ὁ ἄνθρωπος αὐτὸς ἑαυτοῦ δημιουργός. Καὶ πάλιν τοῦ θείου Πέτρου λέγοντος " σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ „ διὰ τὸ αὐτὸ πρόβλημα εὑρεθήσεται καὶ ἡ σὰρξ τὸ τῆς θεότητος διὰ τῆς υἱϊκῆς σχέσεως, φύσει φερομένη ἀξίωμα· οἷς παραπλήσια καὶ ἕτερα πλείονα ἀναλεγόμενός τις παρὰ τῶν θείων γραφῶν εὕροι ἂν, ἃ τὴν βλασφημίαν τὴν ἐκείνου ἐξελέγξει καὶ ἀτοπίαν· τοιαῦτα δὲ καὶ νοεῖν αὐτὸν καὶ φρονεῖν, αἱ τῶν οἰκείων λόγων ἀρχαὶ, καὶ περίεργοι καὶ σφαλεραὶ ζητήσεις. ἡμῖν ὑποτίθενται· καὶ ταῦτα ἀτέχνως καὶ ἁπλῶς, οὐ τρόπῳ τινὶ οἰκειώσεως ἢ ἀντιδόσεως δογματίζοντα, κατὰ τὸν διδασκαλικὸν τῆς καθολικῆς ἐκκλησίας λόγον.

με. Ἐπεὶ δὲ ἀδολεσχοῦντι καὶ ταυτοεποῦντι, συναδολεσχεῖν προὐθέμεθα τοῖς ἐπιφερομένοις αὐτῷ, καὶ τὰ αὐτὰ περὶ τῶν αὐτῶν διεξιόντι, οὕτω πάλιν προσαπαντήσωμεν· ἔχει γὰρ ὧδε. ⸗ Καὶ πῶς τοῦ θεοῦ καὶ ἀνθρώπου ὄνομα, ⸗ τὴν θείαν φύσιν σημαῖνον καὶ ἀνθρωπίνην, ἐπὶ τῇ εἰκόνι ἐκείνῃ ἔχομεν κα- ⸗ λέσαι, τῇ δυνατῶς ἐχούσῃ ἀνθρώπου μόνου φύσιν χαρακτηρίζειν, καὶ τὴν ⸗ θείαν καὶ ἀκατάληπτον φύσιν μή; ⸗ Τὸ πῶς, ἵνα ὡς παρόντι διαλεχθῶ, εἴ σοι τὰ τῆς ψυχῆς ὦτα μὴ κεκώφωτο, εἴ σοι τὰ νοητὰ ὄμματα μὴ ἐπεπήρωτο, εἴ σοι τὰ τῶν φρενῶν μὴ ἠλλοίωτο, καὶ τὰ τῶν λογισμῶν μὴ παρετέτραπτο, εἴ σοι τῆς θεοσεβείας οἱ ὅροι ἄτρωτοι διεφυλάσσοντο, καὶ τῆς καθολικῆς ἐκκλησίας ἡ παράδοσις συνετετήρητο ἀλώβητος, εἰ σπινθῆρα γοῦν τινα πίστεως ἐν τῇ σεαυτοῦ συνέσχες καρδίᾳ, ἀλλὰ μὴ ἐλύττας κατὰ τῆς ἀμωμήτου καὶ ἀπλανοῦς ἡμῶν ὁμολογίας, τοῖς ἄγουσί σε ἐπὶ τὸν κρημνὸν τῆς ἀπιστίας καὶ ἀπωλείας πειθόμενος, ἐδείχθη ἄν σοι καὶ ἐκδηλότατα τὸ ζητούμενον, εἴπερ ζητούμενον ἦν, ἀλλὰ μὴ ὥσπερ ἐνέδρα τις ἢ πανουργία, ταμιευόμενον.

Καὶ ἵνα τὰ αὐτὰ περὶ τῶν αὐτῶν ἀναλαβόντες εἴπωμεν, ὥσπερ ἡ σταύρωσις καὶ τὰ πάθη, Χριστοῦ λέγεται, ὡς ὁ τάφος, καὶ τὰ λοιπὰ, ἵνα μὴ ἐπὶ πλεῖον ἀεὶ λέγωμεν, τὸ μέτριον ὑπερτρέχοντες, καὶ τῶν προσεχόντων τὰς ἀκοὰς ἀποκναίωμεν, καὶ οὐ δή που φαμὲν κατὰ σὲ, διὰ τὴν ἐκ τοῦ ὀνόματος τοῦ Χριστοῦ τῆς δυάδος τῶν φύσεων δήλωσιν, τὰ τῇ μίᾳ προσνεμόμενα, καὶ τῇ ἑτέρᾳ πάντως ἀπαντήσεσθαι· ὁ σταυρὸς γὰρ δυνατῶς ἔχει τὴν ἀνθρώπου φύσιν μόνην κολάζειν, ἀλλὰ Χριστοῦ σταυρὸς λέγεται· καὶ πειθέτω σε ὁ λέγων " ἐμοὶ „ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ κυρίου ἡμῶν Ἰησοῦ „ Χριστοῦ· „ ἡ περιτομὴ τὴν ἀνθρώπου σάρκα διαιρεῖν δύναται· καὶ ὁ τάφος ταύτην ἐμπεριγράφειν καὶ περικλείειν καὶ ἀποκρύπτειν οἶδεν· ἀλλὰ ταῦτα πάντα, Χριστοῦ μὲν λέγεται· οὐ μὴν δὲ τούτων τι καὶ κατὰ τῆς θείας καὶ ἀνεκφράστου φύσεως, κυρίως καὶ οὐσιωδῶς εἰρήσεται, ἀκηράτου γε οὔσης καὶ ἀπαθοῦς, καὶ τῆς κατά τι γοῦν τοιαύτης ἐννοίας, ἀπηλλαγμένης παντάπασιν· εἰ γάρ που τοιοῦτόν τι ὀφθείη λεγόμενον, τῷ τῆς ἀντιδόσεως ἢ οἰκειώσεως τρόπῳ λέγεται, ὅπερ σοὶ νῦν οὐ δέδοται, ὁλοτρόπως ἠγνοημένον· πεπονθέναι δὲ Χριστὸς λέγεται, οὐχ' ᾗ θεὸς, ἀλλ' ᾗ ἄνθρωπος· καίτοι εἷς καὶ ὁ αὐτὸς ὑπάρχων, ἡνωμένος καθ' ὑπόστασιν· ἐπεὶ οὖν καὶ τὸ σῶμα, ὅπερ ἐξ ἡμῶν ἀνείληφε, Χριστοῦ σῶμα λέγεται, ἐν ᾧ καὶ πάντα πεπονθέναι πιστεύεται, τοῦτο δὲ τὸ σῶμα πάντῃ καὶ πάντως χαρακτῆρα εἶχεν, οὐ γὰρ ἦν ἀχαρακτήριστον, ἐπεὶ οὐδὲ σῶμα, ἀνάγκη καὶ τὸν τοῦ σώματος χαρακτῆρα καὶ τὴν ὁμοίωσιν, Χριστοῦ λέγεσθαι· ὡς γὰρ ἐκεῖνο οἰκεῖον Χριστοῦ, οὕτως καὶ τοῦτο οὐ πρὸς τὴν τοῦ λόγου φύσιν τὴν σχέσιν ἔχον, ἴσμεν γὰρ αὐτὸν ἀνείδεον καὶ ἄσχετον καὶ ἀσχημάτιστον, ἀλλὰ πρὸς τὸ τοῦ λόγου σῶμα καὶ τὴν ἀνθρωπείαν φύσιν καὶ τὸ εἶδος αὐτὸ, ἐξ ὧν ὁ Χριστός· διὸ καὶ ὁμωνύμως αὐτῷ προσαγορεύεται, κατὰ τὴν ὁμοίωσιν αὐτοῦ ἐμφαινόμενον.

Ἀλλὰ σὲ μὲν τὸ παραληφθὲν ὄνομα, δύο ὑπάρχον δηλωτικὸν φύσεων, ἐπὶ τοῖς σοῖς παρώτρυνε δόγμασι μέγα φρονεῖν καὶ βρενθύεσθαι, οἴεσθαί τε μηδ' ἕτερον τῶν κατὰ τοὔνομα θεωρουμένων, θατέρου ἄνευ προσαγορεύεσθαι, ἔν τινι πράγματι ἢ δόγματι, ἢ ὁπωσοῦν παραλαμβάνεσθαι, ἢ πάντως γε μονούμενον τοῦ ἑτέρου, διαστήσεσθαι μακρῷ· ἡμεῖς δὲ τί πρὸς ταῦτα φαμέν; ὁπηνίκα ἂν σοι προταθείη, ἄνθρωπον μόνον τὸν Χριστὸν, ἢ υἱὸν ἀνρθώπου λέγεσθαι, καὶ τοῦτο ψιλῇ τῇ κλήσει προσαγορευόμενον· καὶ εἰ μή τινι ἄλλῳ, αὐτῷ γε τῷ Χριστῷ εἴπερ βούλοιο πεισθήσῃ, πρὸς τὸν δῆμον τῶν ἰουδαίων λέγοντι· “ τί ,, με ζητεῖτε ἀποκτεῖναι ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα; καὶ ἐὰν ,, μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου· καὶ νῦν ἐδοξάσθη ὁ υἱὸς ,, τοῦ ἀνθρώπου· καὶ μέλλει ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοσθαι· καὶ ἦλθεν ,, ὁ υἱὸς τοῦ ἀνθρώπου σῶσαι τὸ ἀπολωλός· καὶ υἱὸν Δαβὶδ ὠνόμαζον ,, καὶ πολλὰ τούτοις εὑρεθήσεται ἐν τοῖς εὐαγγελίοις τὰ παραπλήσια, εἴπερ σοι μὴ παιδιὰ καὶ λῆρος τὰ εὐαγγελικὰ νενόμισται λόγια· ἐπεὶ οὖν τὸ δηλούμενον ἐκ τῆς ψιλῆς τοῦ ἀνθρώπου προσηγορίας, ἕν ἐστιν οὐ δύο, καθάπερ ἐπὶ τοῦ Χριστοῦ ὀνόματος, μίαν γὰρ ἡμῖν φύσιν ἡ φωνὴ τὴν ἀνθρωπίνην χαρακτηρίζει, τί σοι συμβήσεται καὶ τί προστεθήσεται, ὡς καινόν τι καὶ μέγα καὶ θαυμάσιον οἷον, ἔξεστι γάρ σοι χριστομαχοῦντι μᾶλλον ἢ ὀνοματομαχοῦντι, ψιλὸν ἄνθρωπον καὶ τῶν καθ' ἡμᾶς ἕνα κηρύσσειν τὸν κύριον, ὅ σοι καὶ πάλαι καὶ νῦν κακῶς διεσπούδασται, καὶ τοῦτον κατάκριτον, καὶ ὑπὸ δίκην ἀγόμενον, καὶ τὰ τῶν κακούργων οἴσοντα, καὶ βιαίῳ θανάτῳ καταδικαζόμενον; καὶ τἄλλα ἑκὼν παραλείψαι με δέει τῆς βλασφημίας· ἴσως εἴποις ὅτι ὁ ἄνθρωπος οὗτος καὶ θεός ἐστιν· ἔλυσας τὸ ζητούμενον, καὶ ὁ θεὸς γὰρ οὗτος ἄνθρωπός ἐστιν· εἰ δὲ ἐκ τοῦ ἐναντίου, ὅταν θεὸν μόνον ἀκούοις· “ ἐν ἀρχῇ ἦν ὁ λόγος, ,, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν, καὶ θεὸς ἦν ὁ λόγος· καὶ, ἐθεασάμεθα τὴν ,, δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρός· καὶ, ὥσπερ ὁ πατὴρ ἐγείρει ,, τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτως καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ· καὶ, πάτερ ,, δόξασόν σου τὸν υἱὸν, ἵνα καὶ ὁ υἱός σου δοξάσῃ σε· καὶ, ἐγὼ καὶ ὁ πατὴρ ,, ἕν ἐσμεν· καὶ πρὸς τὸν ἐκ γενητῆς τυφλὸν λέγεται· σὺ πιστεύεις εἰς τὸν υἱὸν ,, τοῦ θεοῦ; ,, καὶ ὅσα τούτοις ὅμοια, θεὸν μόνον ὑπολαμβάνεις καὶ τῆς καθ' ἡμᾶς γεγυμνωμένον οὐσίας; πάντως που καὶ σώματος αὐτὸν ἀπαλλάξειας, καὶ πάντα ἀφέλοιο τὰ ἀνθρώπου· ὡς ἐξεῖναι σοι λοιπὸν καὶ πᾶσαν τὴν οἰκονομίαν σαφῶς ἀποσκευάζεσθαι.

μϛ. Τί λέγεις; προσέχεις ταῖς ἰδιαζούσαις τῶν φύσεων φωναῖς, καὶ ταῖς μὲν ταπειναῖς συνταπεινοῖς Χριστὸν, ἀποστερῶν τῶν θείων καὶ ὑψηλῶν, καὶ συμφθέγγῃ τοῖς σοῖς διδασκάλοις, τὴν ἀρειανικὴν μανίαν νοσήσας· ταῖς ὑψηλαῖς δὴ ἐξαίρεις τῶν ταπεινῶν, καὶ νέμεις μόνα τὰ ὑψηλὰ, καὶ συνᾴδεις τοῖς σοῖς ὑποφήταις, τὴν τῶν βδελυρῶν Εὐτυχιστῶν, ἢ οἰκειότερον εἰπεῖν, Μανιχαίων ληρώδη καὶ φασματώδη μυθοπλαστίαν ζηλώσας· ἀλλὰ σοὶ μὲν ῥάδιον, ἅπαξ πρὸς ὕβριν καὶ καθαίρεσιν τῆς σωτηρίου οἰκονομίας καταντήσαντι, τοῖς τοιού-

τοις ἐντρυφᾷν ἀτοπήμασιν· ἐπειδὰν δὲ ἀντιπεπονθότως ἐν τούτοις θεωρεῖται, οἷον ἡ μὲν προσηγορία, οἰκεία καὶ ἰδικὴ τῇ καθ' ἡμᾶς οὐσίᾳ· τὰ δὲ περὶ αὐτὴν ἐκφαινόμενα, τῇ ὑπὲρ ἡμᾶς ἁρμόδια, τί ὑπολήψοιο; οὐ γὰρ δὴ ὥσπερ τὸ Χριστὸς ὄνομα κοινὸν καὶ δηλωτικὸν τῶν δύο φύσεων ἐστὶν, οὕτω καὶ ἐνταῦθα· ἀλλὰ διὰ τῆς ἰδιαζούσης καὶ φυσικῆς ὀνομασίας, καὶ τὰ τῆς συνυφεστώσης συνεισφέρεται οὐσίας πλεονεκτήματα, διὰ τὴν περὶ ταὐτὸν ἐπαλλαγὴν τῶν ἰδιωμάτων κιρναμένων ἀλλήλοις, ὥσπερ δὴ καὶ τῶν φύσεων, κατὰ τὸ ἐκκλησιαστικὸν φρόνημα· τί γὰρ φήσεις πρὸς τὸ " ἐὰν ἴδητε τὸν υἱὸν τοῦ ἀνθρώ-
„ που ἀναβαίνοντα ὅπου ἦν τὸ πρότερον· καὶ, οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐ-
„ ρανὸν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, ὁ υἱὸς τοῦ ἀνθρώπου· καὶ, εἰσὶ
„ τινὲς τῶν ὧδε ἑστηκότων οἵ τινες οὐ μὴ γεύσωνται θανάτου, ἕως ἂν ἴδωσι
„ τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν τῇ βασιλείᾳ αὐτοῦ· καὶ, μέλλει ὁ υἱὸς
„ τοῦ ἀνθρώπου ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ μετὰ τῶν ἀγγέλων
„ τῶν ἁγίων. „

Ἆρα οὖν προσέχεις ψιλοῖς τοῖς ὀνόμασι, καὶ νοεῖς βασιλείαν ἀνθρώπου αἰώνιον καὶ ἀκατάλυτον; καὶ ἄνθρωπον εἰς τὸν οὐρανὸν προϋπάρχοντα; καὶ ἐξ οὐρανοῦ κατιόντα καὶ πάλιν εἰς οὐρανὸν ἀνιόντα; καὶ ἀνθρώπου ὀνομαζομένου πατέρα εἶναι τὸν θεὸν καὶ πατέρα; ἢ ἀποσκοπεῖς πρὸς τὴν τῶν πραγμάτων φύσιν καὶ αὐτὴν τὴν ἀλήθειαν, καὶ ἀποσεμνύνεις ἐκπληττόμενος τὸ μέγα τῆς οἰκονομίας μυστήριον, καὶ τὰ περὶ αὐτῆς λεγόμενά τε καὶ νοούμενα κατὰ τὴν διδασκαλίαν ἐκδέχῃ τῆς καθολικῆς ἐκκλησίας, οὐ προσέχων ψιλαῖς ταῖς φωναῖς καὶ τοῖς ὀνόμασιν, ἵνα μὴ καὶ τῆς σωτηρίας αὐτῆς ἀποτεύξοιο, ἀλλὰ τούτοις ἐῤῥῶσθαι φράσας, τοῖς χρησμῳδοῦσι δὲ καὶ ἄγουσιν ὑπείκων, ἐπὶ τὸ καταγορεύειν τῆς ἀληθείας καὶ τῆς τοῦ Χριστοῦ οἰκονομίας ἀνοήτως καὶ δυσσεβῶς προελήλυθας; ἡμεῖς δὲ τοὺς ὀνοματομάχους ἐπὶ τῆς τῶν ὀνομάτων ψιλῆς ἵστασθαι ἀπαγγελίας καταλιπόντες, καὶ προσπαλαίειν ταῖς συλλαβαῖς καὶ τῷ γράμματι ὑπενδόντες, ἐπὶ τὴν τῆς ἀληθείας καὶ τῶν πραγμάτων αὐτῶν δύναμιν ἀπευθυνόμεθα καὶ ἀνανεύομεν, ὡς ἐν βραχεῖ τὰ τοιαῦτα διεξερχόμενοι.

μζ. Λεκτέον τοίνυν ὡς τὸ Χριστὸς ὄνομα, ὁμολογουμένως μὲν τὴν δυάδα τῶν φύσεων ἡμῖν παρίστησιν ἐν τῇ μιᾷ ὑποστάσει, ὡς πολλάκις ἐν τοῖς προλαβοῦσι πλατύτερον εἴρηται· ἡ δὲ θεόπνευστος γραφὴ, καὶ τῶν πατέρων οἱ ἔκκριτοι, τὰ ἐπὶ τῷ ὀνόματι μεγαλοφυῶς θεωροῦντες, διαφόρως τὰ δηλούμενα ἐξειλήφασι, τῷ τε τῆς ἀντιδόσεως τρόπῳ καὶ οἰκειώσεως, εἰς τὰ περὶ αὐτοῦ συγχρησάμενοι· ὅτε μὲν γὰρ τὰς κατὰ Χριστὸν φύσεις καθ' ἑαυτὰς θεωροῦσιν, ἤτοι θεότητα καὶ ἀνθρωπότητα, ταῦτα γὰρ τῶν οὐσιῶν ἐστι δηλωτικὰ, τὰ οἰκεῖα καὶ προσόντα φυσικῶς ἑκατέρᾳ, κυριολεκτοῦντες ἐκνέμουσιν· οὐ μὴν ἅπερ καθ' ἑτέρας λέγεται φύσεως, καὶ θατέρας ἀντικατηγοῦσιν· οὔτε γὰρ θεότητα κτιστὴν ἢ παθητὴν εἴποιεν· οὐδ' αὖ πάλιν ἀνθρωπότητα ἄκτιστον, ἢ ἄφθαρτον, ἢ ἀπαθῆ φήσαιεν, συμπάσχειν τε ἀλλήλαις ὡς ἥκιστα, ὥσπερ τοῖς νῦν δογματισταῖς ὑπείληπται· ὅταν δὲ τὴν ἐκ τούτων συντεθειμένην ὑπόστασιν

ὡς ἕν τι λαμβάνωσι, Χριστὸν μὲν ἐκ τοῦ συναμφοτέρου προσαγορεύουσι· τὰ παρ' αὐτῶν δὲ τῶν συνδραμόντων ἰδιώματα, ἅμα αὐτῆς κατηγοροῦσιν· ἐπειδὴ καὶ Θεὸς ὁμοῦ καὶ ἄνθρωπος ὁ Χριστὸς, καὶ Θεὸς σεσαρκωμένος, κτιστός τε ὡσαύτως καὶ ἄκτιστος, καὶ ἀπαθὴς καὶ παθητὸς ὁ αὐτός· ὁπόταν δὲ ἐκ τῶν συνελθόντων αὐτῇ μερῶν ἐπισκέπτωνται, ἔσθ' ὅτε μὲν ἐκ μόνων τῶν θείων καὶ ὑψηλῶν, Θεὸν καὶ Θεοῦ υἱὸν ὀνομάζουσιν· ἔστι δ' ὅτε ἐκ τῶν ἀνθρωπίνων μόνων καὶ ταπεινῶν, ἄνθρωπον καὶ υἱὸν ἀνθρώπου καλοῦσι.

Τηνικαῦτα δὲ καὶ τὰ ἐφ' ἑκατέρου τῶν μερῶν λεγόμενα ἰδιώματα, καὶ θατέρου τοῦ συνυφεστῶτος καὶ συνυπάρχοντος ἀντικατηγοροῦσι, διὰ τὴν εἰς ἄλληλα τῶν μερῶν περιχώρησιν· οὕτω γὰρ Θεὸς παθητὸς λέγεται, καὶ κύριος τῆς δόξης ἐσταυρωμένος, οὐχ' ᾗ Θεὸς ἀλλ' ᾗ ἄνθρωπος· καὶ ἐκ τοῦ ἐναντίου, ἄνθρωπος ἄναρχος καὶ ἀπαθὴς καὶ ἄκτιστος καὶ οὐράνιος καὶ παιδίον προαιώνιον, οὐχ' ᾗ ἄνθρωπος, ἀλλ' ᾗ Θεός· διὰ γὰρ τὴν ἄκραν τῶν φύσεων ἕνωσιν, καὶ τὸ ἑνιαῖον τῆς ὑποστάσεως, καὶ τοῦ προσώπου τὴν ταυτότητα, εἷς ὑπάρχει, καὶ ὁ αὐτὸς ὁμοίως ἐστὶν ἀμφότερα, τὸ μὲν, ὢν ἀναιτίως ἐκ τοῦ πατρὸς· τὸ δὲ, ὕστερον διὰ φιλανθρωπίαν γενόμενος· καὶ τούτῳ τῷ λόγῳ ἑκατέρα τῶν φύσεων, τὰ παρ' ἑαυτῆς ἰδιώματα τῇ ἑτέρᾳ ἀντιδίδωσι, διὰ τὸ μοναδικὸν καὶ ταὐτὸν τῆς ὑποστάσεως, οὐκ ἐξισταμένου τοῦ οἰκείου λόγου τῆς περὶ ταὐτὸν θατέρας ἰδιότητος· καθὸ καὶ οἰκειοῦσθαι λέγεται τὸν λόγον τὰ τῆς ἰδίας σαρκὸς οἰκονομικῶς πάθη· καίτοι γὰρ οὐδὲν πάσχων ὅσον ἧκεν εἰς ἰδίαν φύσιν, ὅμως αὐτὸς πεπονθέναι λέγεται, ἵνα καὶ σωτὴρ πάντων μόνος πιστεύηται· καὶ ὥσπερ τοῦ εἶναι καὶ ὑπάρξαι ἡμᾶς αἴτιος ὡμολόγηται, οὕτω καὶ τὸ εὖ εἶναι ἡμᾶς, ἐπ' αὐτὸν ἀναφέρηται.

Καὶ τοῦτο ἡμᾶς ἐκπαιδεύει τῶν θεολόγων ἡ ἀκρώρεια, ὁ θεῖος Πέτρος λέγων· «ὅτι Χριστὸς ἅπαξ περὶ τῶν ἁμαρτιῶν ἡμῶν ἀπέθανε, δίκαιος ὑπὲρ ἀδίκων· ἵνα ἡμᾶς προσαγάγῃ τῷ Θεῷ, θανατωθεὶς μὲν σαρκὶ, ζωοποιηθεὶς δὲ πνεύματι·» Καὶ πάλιν· «Χριστοῦ οὖν παθόντος ὑπὲρ ἡμῶν σαρκὶ, καὶ ὑμεῖς τὴν αὐτὴν ἔννοιαν ὁπλίσασθε·» Συνυπηχήσει τούτοις καὶ ὁ τῶν ἀποῤῥήτων μυσταγωγὸς Χριστὸν ἐσταυρωμένον κηρύσσων· «καὶ τὸν κύριον τῆς δόξης ἐσταυρῶσθαι.» Ταύτῃ θεοκτόνους καὶ κυριοκτόνους ἀποκαλοῦσι τοὺς Ἰουδαίους αὐτοί τε καὶ οἱ θεσπέσιοι πατέρες ἡμῶν, οἱ περὶ τοῦ τρόπου τῆς οἰκειώσεως, τοιάδε διεξίασιν· ὁ μὲν θεῖος Κύριλλος ἐν τῇ πρὸς Νεστόριον τρίτῃ ἐπιστολῇ· «καὶ ἦν ἐν τῷ σταυρωθέντι σώματι, τὰ τῆς ἰδίας σαρκὸς οἰκειούμενος πάθη.» Ἐν δὲ τῇ πρὸς τοὺς ἀνατολικοὺς οὕτως· «ἀπαθῆ δὲ πρὸς ταῦτα τὸν τοῦ Θεοῦ λόγον ὁμολογοῦμεν ἅπαντες, κἂν εἰ πανσόφως αὐτὸς οἰκονομῶν τὸ μυστήριον, ἑαυτῷ προσνέμων ὁρῷτο, τὰ τῇ ἰδίᾳ σαρκὶ συμβεβηκότα πάθη·» Ταύτῃ τοι καὶ ὁ πάνσοφος Πέτρος· «Χριστοῦ οὖν παθόντος ὑπὲρ ἡμῶν σαρκί·» καὶ οὐχὶ τῇ φύσει τῆς ἀῤῥήτου θεότητος· ἵνα γὰρ αὐτὸς τῶν ὅλων σωτὴρ εἶναι πιστεύηται, κατ' οἰκείωσιν οἰκονομικὴν εἰς ἑαυτὸν, ὡς ἔφην, τὰ τῆς ἰδίας σαρκὸς ἀναφέρει πάθη· Ὁ δέ γε ἱερὸς Ἀμφιλόχιος πρὸς

Σέλευκον γράφων, οὕτω φησίν· " ἡ ληφθεῖσα πάσχει φύσις, ἡ δὲ λαβοῦσα „ ἀπαθὴς μένει· οἰκειοῦται δὲ ὁ Θεὸς τὰ τοῦ ἰδίου ναοῦ ἀνθρώπινα πάθη, „ σταυρόν φημι καὶ θάνατον, καὶ τἄλλα ὅσα περὶ αὐτὸν οἰκονομικῶς θεω- „ ρεῖται· οἰκειοῦται δὲ αὐτὸς πάσχων οὐδέν. „ Οὕτω καὶ ὁ θεῖος Γρηγόριος ὁ νυσαεὺς κατὰ Ἀπολιναρίου γράφων· " ἐπειδὴ τοίνυν ἄλλο τὸ ἀνθρώπινον „ θέλημα, καὶ ἄλλο τὸ θεῖον, φθέγγεται μὲν ὡς ἐκ τοῦ ἀνθρώπου, τὸ τῇ „ ἀσθενείᾳ τῆς φύσεως πρόσφορον, ὁ τὰ ἡμέτερα πάθη οἰκειωσάμενος· ἤδη „ δὲ ὃ καὶ παράδοξον, οὐ μόνον τὰ τῇ καθ' ἡμᾶς φύσει οὐσιωδῶς τε καὶ „ ἐξ ἀρχῆς ἐνυπάρχοντα πάθη, ἀλλὰ καὶ τὰ τούτων ἀπηχέστερα· κατὰ τοῦ „ πάντων ἡμῶν σωτῆρος Χριστοῦ κατηγορούμενα ταῖς ἱεραῖς γραφαῖς εὑρί- „ σκεται· καὶ οἰκειοῦσθαι ταῦτα λέγεται, ὁποῖόν τι ἐστὶ τὸ κατάραν ὑπὲρ „ ἡμῶν καὶ μέν τοι καὶ ἁμαρτίαν αὐτὸν γεγονέναι· κατὰ τὸ, ἐπικατάρατος πᾶς „ ὁ κρεμάμενος ἐπὶ ξύλου· καὶ τὸ, οὐκ εἰδότα ἁμαρτίαν, ἁμαρτίαν ἐποίησε· „ τό τε ἡμέτερον στασιῶδες ἀνειληφέναι καὶ ἀνυπότακτον· οὕτω γὰρ οἰκειοῦ- „ ται τὰ τοῦ προσλήμματος, ἵνα ἐν ἑαυτῷ δαπανήσῃ τὸ χεῖρον, ὡς κηρὸν „ πῦρ, καὶ ὡς ἀτμίδα γῆς ἥλιος, καὶ ἡμεῖς μεταλάβωμεν τῶν ἐκείνου διὰ „ τὴν συγκρασιν· „ ὁ μέγας, φησὶ, Γρηγόριος.

Ἀλλ' οὐ τούτοις ἕπονται οἱ τῆς ἀληθείας ἀντίπαλοι· ἀσεβοῦντες γὰρ ὁμοῦ καὶ ἀνοηταίνοντες, καὶ τοῖς τῆς σαρκὸς αἰχμαλωτιζόμενοι θελήμασι, τἀναντία σαφῶς δογματίζουσιν· ἡμεῖς δὲ τὰ παρὰ τῶν διδασκάλων τῆς ἐκκλησίας παιδευόμενοι, ἐντὸς τῶν ὅρων τῆς εὐσεβείας ἱστάμεθα, οὐ τὴν τοῦ λόγου φύσιν εἰς τὰ τῆς σαρκὸς συγκαθέλκοντες πάθη. οἰκειούμενον δὲ ταῦτα οἰκονομικῶς αὐτὸν πεπονθέναι λέγομεν· κατὰ μηδὲν ἐν τούτοις τοῦ ὀρθοῦ λογισμοῦ παρεκπίπτοντες, ἐπείπερ εἷς ἐστι καὶ ὁ αὐτὸς ὁ καὶ δόξης κεκοινωνηκώς, καὶ τῶν ὕβρεων· ὡς οὖν τὰ τοῦ σώματος πάθη οἰκονομικῶς ᾠκειώσατο, καὶ ὥσπερ τὸ σῶμα τοῦ θεοῦ λόγου λέγεται, οὕτω δὴ καὶ ἡ εἰκὼν τοῦ παναγίου σώματος αὐτοῦ καὶ τὸ ἀφομοίωμα, ὡς οἰκεῖον ἐπ' αὐτὸν ἀναφέρεται· καὶ οὕτως οἰκειωθεῖσα καὶ τῷ κοινῷ τῶν φύσεων ὀνόματι προσχρωμένη, ὁμωνύμως τῷ ἀρχετύπῳ προσαγορεύεται· οἱ δὲ τῇ τοῦ μονογενοῦς οἰκονομίᾳ μεμαχημένοι, εἴποιμι ἂν πρὸς ὑμᾶς, τί πρὸς ταῦτα φατέ; τί πρὸς ὕβριν ὑμῖν τοῦ Χριστοῦ πεπρᾶχθαι δοκεῖ ἡ περὶ τὸ θεῖον μυστήριον, τῶν ὀρθοδοξούντων ἀκλινὴς πίστις καὶ ὁ διάπυρος πόθος; οἱ τὴν ἐντεῦθεν προσγινομένην εὐεργεσίαν ὁμολογοῦντες, τὰ ὑπὲρ τῆς ἐλευθερίας ἡμῶν τελεσιουργηθέντα μεγαλουργήματα ἀνιστοροῦσι καὶ ἀναγράφουσιν· ἵνα ὡς ὑπ' ὄψιν ἔχοντες, ἀεὶ νεάζουσαν καὶ ἀκμάζουσαν καὶ διηνεκῆ τὴν τούτων μνήμην. καθὰ τῇ ἐκκλησίᾳ Χριστοῦ τὸ ἀνέκαθεν παραδέδοται, ἐν ταῖς ἑαυτῶν ψυχαῖς φέρωσι· δεῖται γὰρ τὸ βραδὺ καὶ νωθρὸν τῆς φύσεως, ὥσπερ κέντρου τινὸς ὑπονύσσοντος καὶ διεγείροντος πρὸς τὴν τῶν λυσιτελούντων σπουδήν· ἢ τὸ κατάραν γεγενῆσθαι καὶ ἁμαρτίαν αὐτὸν, καὶ ἐσταυρῶσθαι καὶ τεθνάναι, καὶ τὰ τῶν κακούργων ὑπομεῖναι. καὶ ὅσα παθεῖν ἑκὼν ὑπὲρ τῆς σωτηρίας κατεδέξατο τῆς ἡμετέρας, οὐ πιστευτέα ὑμῖν; εἰ δὲ ταῦτα

ἤνεγκεν ὑπὲρ ἡμῶν ὡς φιλάνθρωπος, πόσῳ μᾶλλον ἐκεῖνα δέξεται παρ' ἡμῶν, ὡς ὑπεράγαθος, τὴν πίστιν καὶ εὐγνωμοσύνην τῶν σπουδαζόντων μετρῶν;

μη. Ἀλλ' ὑμεῖς γε προφάσεις ἐν ἁμαρτίαις προφασίζεσθε, περιγραπτὰ καὶ ἀπερίγραπτα δυσσεβῶς ἅμα καὶ ἀμαθῶς οἱ τῇ γλώσσῃ ἀκολασταίνοντες προϊσχόμενοι, καὶ τὴν ἰδίαν αἰσχύνην· οὐ γὰρ τὴν δόξαν συνιστάνειν βουλόμενοι, κατεξανίστασθε τῆς τοῦ θεοῦ μακροθυμίας καὶ ἀνοχῆς, καὶ ἀθετοῦντες τὴν σωτήριον οἰκονομίαν συκοφαντεῖτε, τέλεον αὐτὴν ἀποσβέσαι πειρώμενοι· εἰ μὴ γὰρ οὕτως ἦτε παρασκευῆς τε καὶ σκέψεως, παρῆν δὲ σκιὰ γοῦν φιλοθεΐας ὑμῖν, οὐδὲν ἂν νῦν ἐδέησε τῶν κενῶν τούτων καὶ νεωτέρων δογμάτων, τῆς Χριστοῦ ἐκκλησίας ἀπεναντίας ἰοῦσιν· εἴπερ γὰρ μετῆν ὑμῖν εὐσεβείας φροντὶς, ὀρθήν τε καὶ ἀδιάβλητον τὴν ἐπὶ τῇ οἰκονομίᾳ Χριστοῦ διεσώζετε δόξαν, μὴ κατεσχηματισμένην ἡμῖν καὶ πεπλασμένην τὴν κατὰ Χριστὸν δυάδα τῶν φύσεων προχειριζόμενοι, δικαίως ἂν μάλα καὶ τὰ ἐπί γε ταύτης οἰκεῖα καὶ ἁρμόδια ἀπεδίδοτε· καὶ διπλᾶς τὰς ἐπὶ Χριστοῦ γεννήσεις ὁμολογοῦντες, τήν τε προαιώνιον καὶ ἄναρχον ἀσώματόν τε καὶ ἀΐδιον, ἐκ τοῦ ἀνάρχου καὶ ἀϊδίου πατρὸς, καὶ τὴν πρὸς ταῖς δυσμαῖς τῶν καιρῶν ἐκ τῆς παναχράντου θεοτόκου, τῆς σωτηρίας τοῦ γένους ἕνεκα τοῦ ἡμετέρου ὑπὸ χρόνον γεγεννημένην, ἐνείματε ἂν ἑκατέρᾳ τὰ δι' ὧν τὸ ἑτεροφυὲς αὐτῶν χαρακτηρίζεται, καὶ τὸ ἀσύγχυτον καὶ ἀσύμφυρτον αὐτῶν γνωρίζεται, καὶ τὰς προσφυεῖς ἐνεργείας τε καὶ θελήματα, τὰ θεῖα φημὶ καὶ ἀνθρώπινα· ὧν γὰρ αἱ φύσεις διάφοροι, τούτων δή που καὶ αἱ ἐνέργειαι· ὥσπερ καὶ ὧν αἱ ἐνέργειαι αἱ αὐταὶ, τούτων ἤδη καὶ αἱ φύσεις ὁμότιμοι, διὰ τὴν τῶν συνελθόντων ἐναντίωσιν κατὰ τὸ ἐκκλησιαστικὸν δόγμα καὶ φρόνημα· οὕτως γὰρ εὐσεβῶς νοηθείη ἡ μὲν θεία ἐνέργεια ἀΐδιος, μᾶλλον δὲ αὐτενέργεια, τῷ μὴ διωρίσθαι τῆς οὐσίας τὴν ἐνέργειαν, ἀλλὰ τὸν αὐτὸν λόγον ἐπιδέχεσθαι, διὰ τὴν τῆς ἁπλῆς καὶ ἀσωμάτου φύσεως ἰδιότητα, καὶ ταὐτὸν δὲ ἐν παντὶ διαφόρως προϊοῦσα, καὶ ὡς ἂν εἴποι τις ἀπεριγράπτως· οὐ γὰρ δυνάμει πρότερον οὖσα, ὕστερον εἰς τὸ ἐνεργείᾳ ἐκ τοῦ δυνάμει καθέστη.

μθ. Οἷόν τι εἴρηται ὑπὸ τοῦ κυρίου· “ ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται ,, καὶ ἐγὼ ἐργάζομαι· ,, οὐ τὴν ἐξ ἀρχῆς ἐκ μὴ ὄντων εἰς τὸ εἶναι τῶν ὄντων πάροδον μόνον, ἤδη δὲ καὶ τὴν περὶ αὐτὰ συντήρησίν τε καὶ πρόνοιαν, ὡς τὸ “ ποιεῖν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα· καὶ, ἐκτείνειν τὸν οὐρανὸν ὡσεὶ δέρ- ,, ριν· καὶ, στεγάζειν ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ· καὶ, θεμελιοῦν τὴν γῆν ἐπὶ ,, τὴν ἀσφάλειαν αὐτῆς· ,, ἅπερ ἅπαξ ὑποστάντα, καὶ τὸ συνεχὲς τῆς διαμονῆς ἐνεργούμενον κέκτηται· ἡ δὲ ἀνθρώπειος οὐκ ἀΐδιος ἀλλὰ πεπερασμένη, καὶ οἰκειότερον εἰπεῖν περιγεγραμμένη· διέκοψε γὰρ ἡ σιωπὴ τὸν διαλεγόμενον καὶ ὁ ὑπνώσας, οὐχὶ καὶ ἐγρήγορε· καὶ ἠρεμία τὴν κίνησιν περιέγραψε· καὶ ἁπλῶς ὅ τί ποτε δρῶν οὐ δή που καὶ ἕτερον ἐν ταὐτῷ δράσειεν· ὡσαύτως καὶ ἡ δύναμις διττή· ἡ μὲν γὰρ θεία, ἀΐδιος καὶ αὐτοδύναμις καὶ ἀπειροδύναμις κατὰ τὸ ὑπεραῖρον τῆς μεγαλειότητος καὶ δυνάμεως· “ ἥ τε γὰρ ἀΐδιος αὐτοῦ δύναμίς, φησι, καὶ θειότης· ,, ἡ δὲ ἀνθρώπειος, εὐόριστος καὶ ἀσθενής·

“ ἡ γὰρ σὰρξ ἀσθενὴς, κἂν τὸ πνεῦμα, φησὶ, πρόθυμον· καὶ, ἄνθρωπος ἐν πλη- „ γῇ ὢν καὶ εἰδὼς φέρειν μαλακίαν· „ καὶ, εἰ ἐσταυρώθη ἐξ ἀσθενείας, ἀλλὰ „ ζῇ ἐκ δυνάμεως· „ οὕτω καὶ τὰ θελήματα, τὸ μὲν θεῖον, καὶ ἀγαθόν· ἀεὶ γὰρ ὁ θεὸς θέλει ἡμᾶς καὶ εὖ εἶναι καὶ σώζεσθαι, καὶ τοῦ ἁμαρτωλοῦ τὴν ἐπιστροφὴν ἐκδέχεται καὶ τὴν μετάνοιαν· τὸ δὲ καθ’ ἡμᾶς, τρεπτὸν καὶ πεπερασμένον· οὐ γὰρ ἀεὶ ταὐτὸν θέλομεν, ἀλλὰ νῦν μὲν οὕτως, νῦν δὲ ἑτέρως· ποτὲ μὲν βαδίζειν, ποτὲ δὲ ἠρεμεῖν· καὶ ποτὲ μὲν θεωρεῖν καὶ σκέπτεσθαι, ποτὲ δὲ οὔ· καὶ ποτὲ μὲν ἐνεργεῖν, ποτὲ δὲ σχολάζειν· καὶ τοῦ κατὰ τὸν σωτῆρα νοουμένου ἀνθρώπου τὸ θέλημα οὐκ ἦν τῷ θείῳ ὑπεναντίον θελήματι, θεωθὲν ὅλον· οἷα δὴ τὰ τῆς τρεπτῆς καὶ ἀλλοιωτῆς καὶ ῥευστῆς φύσεως, ἄλλοτε ἄλλως μεταβαλλόμενα καὶ μεταπίπτοντα, καὶ τὸ σταθερὸν καὶ ἑδραῖον οὐκ ἔχοντα.

ν. Τί δέ; οὐχὶ καὶ ἡ γνῶσις διττὴ ἐπὶ Χριστῷ; ὡς μὲν γὰρ θεὸς πάντα οἶδε καὶ πρὸ γενέσεως, οὕτω πόῤῥω που διεσκηνωμένος τὴν τοῦ φίλου τοῖς μαθηταῖς ὡς θεὸς προεδήλου κοίμησιν· παρὼν δὲ καὶ πελάζων τῷ τάφῳ πυνθάνεται “ ποῦ τεθείκατε αὐτόν; „ τὰ τῆς φύσεως ἡμῶν ἐνδεικνύμενος μέτρα· “ καὶ, ὁ Ἰησοῦς ᾔδει τὰς διανοίας αὐτῶν ὅτι ἔμελλον αὐτὸν ἐρωτᾷν· „ ἐπεὶ καθὸ ἄνθρωπος, πάντων εἶχε τὴν γνῶσιν, τῷ ἡνῶσθαι τῷ λόγῳ καθ’ ὑπόστασιν, ὥσπερ καὶ τῶν λοιπῶν πεπλουτηκὼς καλῶν· καὶ πάλιν προσεποιεῖτο ἀγνοεῖν τὴν ἡμέραν καὶ ὥραν, καθ’ ἣν τοῦδε τοῦ παντὸς ἥξει τὸ πέρας, τὸ οἰκεῖον τῷ προσλήμματι νέμων· ἅπερ ἅπαντα διὰ τὴν οἰκονομίαν εἰς ἑαυτὸν ἀναλαβὼν, τέλειος ἄνθρωπος κατὰ πάντα ὥσπερ καὶ θεὸς τέλειος χρηματίζων παρ’ ἡμῶν δοξάζεται καὶ κηρύσσεται· κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ κτιστὸς καὶ ἄκτιστος ὁ αὐτὸς ὁμολογεῖται, καὶ θνητὸς καὶ ἀθάνατος, καὶ τἄλλα ὅσα περὶ τὸν ἕνα καὶ τὸν αὐτὸν ἀντικειμένως θεωρεῖται διὰ τὴν διπλόην τῶν φύσεων. Ἀλλὰ τούτων οὕτως κηρυσσομένων, τίς ὁ κωλύσων λόγος εὐσεβῶς δογματίζοντας, μὴ καὶ τὴν λοιπὴν συζυγίαν ὁμοιοτρόπως τῷ αὐτῷ νέμειν προσώπῳ, ὃ δὴ τοῖς χριστομάχοις ἀπείρηται δυσσεβῶς; καὶ ὅσον μὲν εἰς τὴν τοῦ λόγου φύσιν ἀνῆκεν, ἀποδιδόναι τὸ ἀπερίγραπτον· ὅσον δὲ εἰς τὴν τοῦ δούλου μορφὴν, τὸ περιγραπτὸν ἀνατίθεσθαι; τίς οὕτως κτηνώδης καὶ ἄλογος τὴν ψυχὴν, καὶ φρενῶν ἔξω καθεστὼς, τὰ μὲν ἄλλα πάντα, διττὰ ἐπὶ διτταῖς ταῖς γεννήσεσιν ὁμολογεῖν ἢ φύσεσιν, περὶ δὲ τὸ ἓν μόνον ζυγομαχεῖν; εἰ γάρ τις τὰ οἰκειότατα καὶ ἀκριβῆ τῶν φύσεων ἀφέλοι γνωρίσματα, μὴ δὲ φύσιν εἶναι ἀπολίποιτο ἄν· τί γὰρ ἐντεῦθεν τὸ ὕποπτον ἢ βλαβερώτατον; ὡς γὰρ τὸ ἐνεργεῖν καὶ θέλειν, καὶ ἀγνοεῖν ἔτι καὶ πάσχειν ἀνθρωπίνως τὸν κύριον, κατ’ οὐδένα τρόπον τὸν τῆς κατ’ αὐτὸν θεότητος ἐλωβήσαντο λόγον, οὐδὲ διαίρεσιν κατὰ τὴν αὐτὴν καὶ μίαν ὑπόστασιν συνεισηνέγκαντο, οὕτως οὐδὲ τὸ σαρκὶ αὐτὸν γράφεσθαι, καθὸ τοῖς ἀνθρώποις ὤφθη καὶ συνανεστράφη, καθ’ ὁντιναοῦν τρόπον ὕβριν προστρίψαιτο, ἢ περὶ τὴν μίαν ὑπόστασιν κατά τι γοῦν διάστασις ὀφθήσεται· ἐῤῥέτωσαν οὖν εἰκῆ φλυαροῦντες οἱ τῷ λόγῳ τῆς θείας οἰκονομίας βασκαίνοντες, καὶ τῆς καθ’ ἡμᾶς [illegible]γοῦς ἀλλοτριούμενοι πίστεως

ΑΝΤΙΡΡΗΣΙΣ ΔΕΥΤΕΡΑ

ΑΡΧΗ ΤΗΣ ΔΕΥΤΕΡΑΣ ΕΡΩΤΗΣΕΩΣ ΤΟΥ ΜΑΜΩΝΑ.

α. Ἀπαρτίσας ὁ Μαμῶνας ὅπως αὐτῷ ἐδόκει τὰ τῆς προτέρας πεύσεως, μᾶλλον δὲ προστάξεως, καθ' ἣν τὰ ἐπ' ἐξουσίας ὄντως ἀπεφαίνετο, ἐφ' ἑτέραν πεῦσιν μετάγει τὸν λόγον· ὡσαύτως δὲ τοῖς προλαβοῦσι βατταρίζων καὶ παρατρύζων καὶ περὶ τῶν αὐτῶν ἀδολεσχῶν ματαιοπονεῖ, ὧν τινὰ εἰς μέσους ἀγαγεῖν δίκαιον εἶναι ᾠήθημεν, ὥστε ἐμφανῆ καὶ ἐν τούτοις γενέσθαι τὴν ἀλαζόνα καὶ ὑπερήφανον αὐτοῦ διάνοιαν· φάσκει δὲ ὧδε. « Ὑπελάβομεν δὲ, καὶ ἕτερον κεφάλαιον ἐρωτῆσαι ὑμᾶς, ἐννοησάμενοι ὅτι ὁ ποιήσας τὴν εἰκόνα τοῦ Χριστοῦ ταύτην, περὶ ἧς τὸν λόγον ἐκινήσαμεν, μὴ εἰσελθὼν εἰς τὸ βάθος τοῦ δόγματος τῆς ἀσυγχύτου ἑνώσεως τῶν δύο φύσεων τοῦ Χριστοῦ. »

Ταῦτα ποίας ἀλαζονείας καὶ φυσιώσεως, μᾶλλον δὲ ποίας ἀνοίας καὶ ἐμπληξίας ὑπερβολὴν καταλείπει; ἐκ πολλῆς γὰρ απονοίας οἴεται αὐτός γε μόνος, μὴ ὅτι εἰς τρίτον οὐρανὸν, ἀλλ' ἤδη καὶ εἰς τέταρτον ἀνηρπάσθαι, καὶ ἀποῤῥητοτέρων ἢ Παῦλος ἀκηκοέναι ῥημάτων, καὶ ἐν περινοίᾳ θεοῦ γενέσθαι, καὶ πᾶσαν τὴν κτίσιν κατόπιν διαφεὶς, μυηθῆναι ἃ μηδεὶς μεμάθηκε πώποτε· τίς οὐ θαυμάσεται τῆς τοσαύτης ἀναισχυντίας τὸ ὑπέρογκον; ἀποστόλων νῦν καὶ τῶν ἄλλων τῆς ἐκκλησίας διδασκάλων οὐ λέγω, οὓς πολλαῖς ὕβρεσι βάλλων, καὶ τὰ τούτων δόγματα πλύνων καὶ διαγραφόμενος διετέλει, οὓς μὲν ἐκ τῶν περὶ τὸ σῶμα συμβεβηκότων, οὓς δὲ ἐκ τῶν νοσερῶν διαθέσεων, ἀποσκώπτων καὶ διαλοιδορούμενος· τῶν εἰς τῶν βασίλειον θρόνον ἐμπρεψάντων, καὶ ἐπ' εὐσεβείᾳ καὶ δικαιοσύνῃ κεκοσμημένων πῶς οὐ δεδυσώπηται τὸν τρόπον, καὶ τὴν περὶ τὰ θεῖα σπουδήν; καὶ γὰρ ἀναθήμασι καὶ ἱεροῖς περιβόλοις γεραίροντες τὸ θεῖον ἐθεράπευον, οἱ μόνον οὐ καθεῖλον τῆς ἱερογραφίας τὸν κόσμον, ἀλλὰ καὶ ᾠκοδόμησαν καὶ ἐφιλοτεχνήσαντο τὰ ἱερὰ ταῦτα ἀναθήματα φιλοτίμως, ἔν τε ναοῖς θείοις, ἔν τε ἱεροῖς σκεύεσι καὶ ὑφάσμασι, κατ' ἴχνος βαίνοντες τῆς ἀποστολικῆς καὶ πατρικῆς παραδόσεως, ὧν ἡ ἄπειρος πληθὺς μέχρι καὶ σήμερον ἐν ταῖς ἁπάντων ὄψεσι πρόκειται, ἐκείνοις μὲν εὐσεβείας μαρτύριον, ἔλεγχος δὲ καὶ θρίαμβος τούτῳ τῆς ἀβουλίας καὶ δυσσεβείας· ὧν γὰρ ἔδει ζηλῶσαι τὸν τρόπον καὶ τὴν εὐαγῆ πίστιν τε καὶ εὐλάβειαν, πάντων σοφώτερον καὶ συνετώτερον ἑαυτὸν ἀνεκήρυξε, τοῖς ἑαυτοῦ πανταχοῦ ἐξακολουθῶν πάθεσιν· ἐκεῖνοι οὐκ εἰσῆλθον εἰς τὸ βάθος τοῦ δόγματος, οἱ κατὰ πάντα τοῖς διδασκάλοις τῆς ἐκκλησίας ἑπόμενοι, τοῖς τε πρὸ αὐτῶν, τοῖς τε κατὰ τοὺς χρόνους τοὺς περὶ αὐτοὺς συνακμάσασι, τοῦτον δὲ μόνον ὁ καθαρώτατος

καὶ ἡγνισμένος βίος εἰς τὰ βάθη τῶν ἀνεξιχνιάστων τοῦ Θεοῦ μυστηρίων ἐξικέσθαι παρεσκεύασεν; ἀλλὰ φανερὸν ἑαυτὸν καὶ ἐνταῦθα κατέστησεν, ὡς διὰ πάντων καὶ αὐτοῖς καὶ τῇ ἀληθείᾳ σαφῶς ἀντικαθίσταται.

β. Ἀλλ' ὁ ἐγκαυχώμενος εἰς τὰ ἄμετρα, καὶ τῶν ἀνθρωπίνων ὑπερπτὰς τὸ μέτρον καὶ λόγων καὶ γνώσεων, περὶ τὰ πᾶσιν ἔνδηλα διαπορεῖ, λέγων· Ὅτι ὁ εἷς ἐκεῖνος ὁ ἐξ ἀμφοῖν εἰς ἓν πρόσωπον λήξας, πῶς ἔχει εἰκονισθῆναι, τῆς μιᾶς φύσεως μὴ περιγραφομένης; Οὐκοῦν ἡ ἑτέρα περιγράφεται· εἰς τοῦτο γὰρ αὐτὸν ἡ πολυπραγμοσύνη τοῦ λόγου περιαγαγοῦσα, καὶ μὴ βουλόμενον τὰ παρὰ γνώμην φθέγξασθαι κατηνάγκασεν· οὕτως ὑπὸ τῆς ἀληθείας αὐτῆς ἀγχόμενος, μικρόν τι τῶν δεόντων γρύξαι καὶ ἀπηχῆσαι κατεβιάσθη, ὅπερ ἕως τοῦ νῦν, οὐδαμοῦ φθεγξάμενος ὤφθη· ἀποσφάλλεται γοῦν εἰς τὰ καίρια, καὶ διαπέπτωκεν αὐτοῦ τὸ δόγμα· δύο γὰρ αὐτῷ φύσεων προκειμένων τῷ λόγῳ, τούτων δὲ τὴν μίαν ἀπεφήνατο σαφῶς μὴ περιγραφομένην· λείπεται ἄρα τὴν ἑτέραν περιγραφομένην καὶ οὐκ ἐθέλων διακηρύξαι· τίς γὰρ τῶν σωφρονούντων δυοῖν ἀνθρώποιν τὸν ἕτερον ἀγνῶτα εἰπὼν, μὴ θάτερον εὐθὺς ἐγνωσμένον ἐκ παντὸς ὀνομάσειε; γελᾶται οὖν αὐτοῦ τὰ μειρακιώδη νοήματα καὶ κομπάσματα· ἀλλὰ τοῦτο μὲν ἀπεσιώπησεν· ἔδει γὰρ αὐτὸν προσθεῖναι καὶ τὸ λειπόμενον· ἀλλ' οὐ τολμᾷ, ἵνα μὴ ἐλεγχθῇ αὐτοῦ ἡ ἐπίνοια, μᾶλλον δὲ ἡ παράνοια· δέδωκε καὶ τοῖς μὴ εἰδόσι τὴν διαφορὰν τῶν φύσεων, πάροδον ὥστε τὴν ἑτέραν περιγραφομένην εἰσάγεσθαι· καὶ ὃ πολλάκις διέφυγεν, ἀκούσιον ἐνταῦθα τούτου τὴν ὁμολογίαν ὑπηνίξατο· ὢ τῆς ματαιοφροσύνης καὶ παρανοίας· πῶς περιτέτραπται τὰ τῆς πολλῆς σοφίας εἰς τὸ ἠλίθιον, καὶ ἐν τῇ πανουργίᾳ τῶν οἰκείων λόγων συμπεριελήφθη παραδειγματιζόμενος; ἵνα τὸ ψεῦδος εὐφώρατον γένηται τῆς ἐκείνου κακοδοξίας, καὶ τὸ φῶς τῆς ἀληθείας ἐκκαλυφθείη; τί δή ποτε δὲ μὴ προστέθεικε διαπορῶν, ὅτι πῶς παθεῖν ἅπερ ἔπαθεν ἤμελλε, τῆς φύσεως μὴ οὔσης παθητῆς; ἢ ὅτι πῶς τέθνηκε, πῶς ἐν μνημείῳ περιεῖρκται, τῆς μιᾶς φύσεως μήτε θνησκούσης μήτε περιειργομένης;

Πλὴν ταῦτα λιπὼν ἐντεῦθεν, ἐφ' ἕτερον μετέρχεται λόγον, καὶ ἄγει εἰς μέσον τὸν ἄρτον καὶ τὸν οἶνον, ἅπερ εἰς τὰ θεῖα παραλαμβάνεται μυστήρια, καὶ φησίν. Ὅτι κατὰ τὴν θεότητα αὐτοῦ, προγνοὺς τὸν θάνατον καὶ τὴν ἀνάστασιν αὐτοῦ, καὶ τὴν εἰς οὐρανοὺς ἄνοδον, καὶ ἵνα τὸ μνημόσυνον τῆς ἐνανθρωπήσεως αὐτοῦ διηνεκῶς ἔχωμεν οἱ πιστεύσαντες εἰς αὐτὸν, νύκτα καὶ ἡμέραν. Ἆρα ταῦτα οὐχὶ τῶν πρώην ἀσυνετώτερα; οὐ γὰρ δὴ τοσοῦτον τὴν ἀσέβειαν στηλιτεύει τὴν ἐκείνου, ὅσον τὴν παραπληξίαν καὶ ἄνοιαν· οὔτε γὰρ ἃ λέγει, οὔτε περὶ ὧν διαβεβαιοῦται ἐπίσταται· τί οὖν εἰπεῖν ἐστιν; ἡ τοῦ Χριστοῦ εἰκὼν, τίνος μνημόσυνον φέρει, ἢ οὐχί; σαφῶς εἰδὼς ὅτι τοῦτον ἡμῖν ἐμφανίζει, μέμηνε κατ' αὐτῆς, καὶ κατὰ Χριστοῦ καὶ τῆς Χριστοῦ κληρονομίας ἐπιλελύττηκεν· ἐπειδὴ γὰρ βαρὺς αὐτῷ ἦν καὶ ἐν εἰκόνι βλεπόμενος, οὐκ ἐνῆγεν αὐτὸν εἰς ὑπόμνησιν τοῦ Χριστοῦ ἡ τοῦ ὀνόματος ἐπιγραφή· τίνι γὰρ τρόπῳ ὠργίζετο καὶ ἠμύνετο; ἢ ὅτι Χριστὸς ὄνομα ταύτῃ ἐπιτέθειται;

οὐχὶ τὴν σάρκωσιν αὐτοῦ καὶ τὰ πάθη, ἅπερ ὡς ἄνθρωπος ὑπὲρ ἡμῶν καταδέξατο, αἱ ἱερογραφίαι αὗται ὑπαγορεύουσιν; οὐ τὸν σταυρὸν καὶ τὸν θάνατον καὶ τὴν ἀνάστασιν; οὐ τὰ θαύματα καὶ τὰ τεράστια, ἅπερ ὡς Θεὸς ἔδρασεν, ἡμῖν διασημαίνουσιν; ἀλλὰ πρὸς ταῦτα καὶ ἀντιλέγειν εἰκαῖον, καὶ σιωπᾷν διὰ τοὺς ἀνοήτους οὐκ εὐκαταφρόνητον. Ἐφεξῆς δὲ ἐπάγει.

„ Ἐκέλευσε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις παραδοῦναι δι' „ οὗ ἠράσθη πράγματος, τύπον εἰς σῶμα αὐτοῦ· ἵνα διὰ τῆς ἱερατικῆς ἀνα- „ γωγῆς, κἂν εἰ ἐκ μετοχῆς καὶ θέσει γίνηται, λάβωμεν αὐτὸ ὡς κυρίως καὶ „ ἀληθῶς σῶμα αὐτοῦ. „ Ὅπως μὲν περὶ τοῦ κυριακοῦ ἐδόξαζε σώματος, αὐτὸς τ' ἂν εἰδείη καὶ οἱ ἐκείνῳ μαθητευθέντες· ὅμως δ' οὖν πρὸς τὰ λεγόμενα, οὕτω ἡμεῖς ἀπαντησόμεθα· ἐπειδὴ τοῦτο ὃ ἔφη ἐκ μετοχῆς καὶ θέσει τελούμενον, διὰ τῆς ἱερατικῆς ἀναγωγῆς κυρίως καὶ ἀληθῶς τοῦ Χριστοῦ σῶμα γίνεται, αὐτῷ τῷ λόγῳ οἰκειούμενον, πάντως που διωμολόγει ταὐτὸν ἐκείνῳ ἀποτελεῖσθαι τῷ σώματι, ὅπερ ἐκ τῆς ἁγίας παρθένου πεφόρεκε· τί ποτ' οὖν ἐστι τοῦτο τὸ σῶμα μετὰ τὴν τελείωσιν καὶ τὸν ἁγιασμὸν γινόμενον, ζητεῖν ἐπάναγκες· περιγραπτὸν ἆρα ἐστὶν, ἢ ἀπερίγραπτον; ἀπερίγραπτον μὲν οὖν οὐδεὶς οὕτω φρενῶν ἔξω καὶ ἀνούστατος, ὃς ὀνομάσαι θαῤῥήσειεν· οἶμαι δὲ μὴ δ' αὐτὸν ἐκεῖνόν ποτε φάναι· πῶς γὰρ τό γε κατ' ὀφθαλμοὺς ἀνθρώπων αἰσθητῶς προτιθέμενον, καὶ χερσὶν ἀνθρωπίναις περιϊσχόμενον, καὶ ὀδόντων εἴσω κατακλειόμενον, ἐδεστόν τε γινόμενον; ταῦτα γὰρ τί ἄλλο, ἢ περιγραπτὸν αὐτὸ ἐκ παντὸς εἶναι βεβαιοῖ καὶ παρίστησιν; εἰ τοίνυν περιγραπτὸν τοῦτό ἐστι, ταὐτὸν δὲ ἐκείνῳ τῷ σώματι γίνεται, ὃ παρὰ τὴν ἀρχὴν σαρκούμενος ὁ λόγος προσείληφεν, ἐπεὶ καὶ ἐπ' αὐτὸ τὴν ἀναφορὰν ἔχει, περιγραπτὸν ἄρα κἀκεῖνο· καὶ ἁλίσκεται κατὰ πάντα ἑαυτῷ ἐναντιούμενος· ἢ γὰρ καὶ τοῦτο ἀπερίγραπτον δοξάζειν ἔδει, ἵνα μὴ μόνον τὰ τῆς ἀπιστίας καὶ ἀθεΐας αὐτοῦ τέλεον δεικνύηται, ἀλλὰ καὶ γέλως καὶ λῆρος τὰ ἐκείνου πᾶσι νομισθείη φρονήματα, ἢ κἀκεῖνο πάντως περιγραπτόν.

γ. Καὶ ταῦτα μὲν οὕτω δεδείχθω· τί δὲ αὐτῷ καὶ ἕτερον τῶν ἀτόπων ἐντεῦθεν ὑπήντα· βεβίασται ὅσον ἐκ τῶν οἰκείων λόγων, ἢ συμπεριγράφεσθαι τὸν θεῖον λόγον τούτῳ τῷ ἐκ μετοχῆς γινομένῳ σώματι λέγειν, ἢ διῃρῆσθαι ἀπ' αὐτοῦ διὰ τὴν μίαν ὑπόστασιν· ὥστε ταῖς ἀληθείαις μὴ δ' ὁπωσοῦν αὐτῷ ἐκεῖθεν ἁγιασμοῦ μετεῖναι καὶ χάριτος· τί δὲ αὐτῷ συμβαίνειν; ἢ μόνον ἄρτου κοινοῦ καὶ οἴνου μετέχειν, ἐν μηδενὶ τῶν τοῖς ἀνθρώποις ἐσθιομένων διαφερόντων. „ Καὶ κἂν ὡς εἰκόνα τοῦ σώματος αὐτοῦ θελήσομεν λογίσασθαι ὡς „ ἐξ ἐκείνου παραχθὲν, ἔχομεν αὐτὸ εἰς μόρφωσιν τοῦ σώματος αὐτοῦ. „ Ὥσπερ ἀνωτέρω ἔλεγεν ἀπατώμενος ὁ σοφὸς, εἰκόνα καὶ πρωτότυπον εἰς μηδὲν ἀλλήλων διαφέρειν, οὕτω δὴ κἀνταῦθα περὶ αὐτῶν ἀποφαίνεται· καταπλαγείη δ' ἄν τις αὐτοῦ καὶ ἐν τούτοις τὸ ἀπαγὲς τοῦ νοὸς καὶ ἀστάθερον· ὅτι γε ὅπερ πρὸ μικροῦ κυρίως καὶ ἀληθῶς σῶμα Χριστοῦ διϊσχυρίζετο λαμβάνειν, τὸ αὐτὸ νῦν εἰκόνα τοῦ σώματος αὐτοῦ καταγράφει· τοῦ δὲ λέγειν τὸ αὐτὸ

κυρίως καὶ ἀληθῶς σῶμα εἶναι, καὶ εἰκόνα αὐτοῦ εἶναι, τί ἂν εἴη καταγελαστότερον καὶ ἀνοητότερον; καὶ τοῦτο πῶς; ὅτι ἂν θελήσωμεν· πάντα τῇ θελήσει καὶ τῇ ῥοπῇ τῆς ματαιότητος παραχωρῶν· ἔνθα γὰρ πίστις ἢ θεῖος φόβος οὐκ ἐνίδρυται, ἐκεῖ τὸ ἐμπαθὲς πρυτανεύει τοῦ θελήματος· καὶ τοῦτο μὲν ἔχομέν, φησιν, εἰς μόρφωσιν αὐτοῦ, οὐ διὰ τὴν ἀλήθειαν, ἀλλ' ὡς ἂν ἐθέλοι νομοθετῶν καὶ δογματίζων, κἂν ἔχῃ φύσεως οὕτω τὸ πρᾶγμα, κἂν μή· ΗΜΕΙΣ ΓΑΡ ΟΥΤΕ ΕΙΚΟΝΑ ΟΥΤΕ ΤΥΠΟΝ ΤΟΥ ΣΩΜΑΤΟΣ ΕΚΕΙΝΟΥ ΤΑΥΤΑ ΛΕΓΟΜΕΝ, ΕΙ ΚΑΙ ΣΥΜΒΟΛΙΚΩΣ ΕΠΙΤΕΛΕΙΤΑΙ, ΑΛΛ' ΑΥΤΟ ΤΟ ΣΩΜΑ ΤΟΥ ΧΡΙΣΤΟΥ ΤΕΘΕΩΜΕΝΟΝ· αὐτοῦ γάρ ἐστιν ἡ φωνὴ λέγοντος· " ὅτι ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου ,, καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς· ,, τοῦτο καὶ τοῖς μαθηταῖς παρεδίδου· " λάβετε, φάγετε τὸ σῶμα μου ,, λέγων, οὐχὶ τὴν εἰκόνα τοῦ σώματός μου· ὡς γὰρ ἐκ τῆς ἁγίας παρθένου τὴν σάρκα διὰ τοῦ πνεύματος ἁγίου ἑαυτῷ ὑπεστήσατο, εἰ χρὴ δὲ καὶ ἐκ τῶν καθ' ἡμᾶς τοῦτο δηλῶσαι, ὥσπερ ὁ ἄρτος καὶ ὁ οἶνος καὶ τὸ ὕδωρ, φυσικῶς εἰς σῶμα καὶ αἷμα τοῦ ἐσθίοντος καὶ πίνοντος μεταβάλλεται, καὶ οὐκ ἂν εἴποιμεν ἕτερον σῶμα γίνεσθαι παρὰ τὸ πρότερον, ΟΥΤΩ ΔΗ ΚΑΙ ΤΑΥΤΑ ΥΠΕΡΦΥΩΣ ΕΠΙΚΛΗΣΕΙ ΤΟΥ ΙΕΡΕΥΟΝΤΟΣ, ΕΠΙΦΟΙΤΗΣΕΙ ΤΕ ΤΟΥ ΑΓΙΟΥ ΠΝΕΥΜΑΤΟΣ, ΕΙΣ ΣΩΜΑ ΚΑΙ ΑΙΜΑ ΤΟΥ ΧΡΙΣΤΟΥ ΜΕΤΑΒΑΛΛΕΤΑΙ· τοῦτο γὰρ καὶ ἡ τοῦ ἱερέως αἴτησις ἔχει· καὶ οὐ δύο ταῦτα νοοῦμεν, ἀλλ' ἓν καὶ τὸ αὐτὸ πιστεύομεν γίνεσθαι· ΑΝΤΙΤΥΠΑ ΔΕ ΕΙ ΠΟΥ ΛΕΧΘΕΙΗ, ΟΥ ΜΕΤΑ ΤΟΝ ΑΓΙΑΣΜΟΝ ΤΟΥΤΟ, ΑΛΛΑ ΠΡΟ ΤΟΥ ΑΓΙΑΣΘΗΝΑΙ ΕΚΛΗΘΗΣΑΝ· ἐπεὶ οὖν ἔλεγεν ὅτι ἐὰν περιγράφῃς, μερίζεις τὸν Χριστὸν, ἢ καὶ τὸν λόγον συμπεριγράφεις, ἀκόλουθον ἦν λέγειν αὐτῷ, ὅτι εἰ θύεις, μερίζεις τὸν Χριστόν· τὸ γὰρ σῶμα ἱερεύεις, οὐ φύσιν θεότητος· ἀρχιερεὺς γὰρ ἡμῶν ὁ μέγας, ἱερεῖόν τε καὶ ἀμνὸς καὶ θῦμα, καθὸ ἄνθρωπός ἐστι καὶ λέγεται· ἢ τοίνυν σὺ σφαγιάσεις καὶ τὸν λόγον κατὰ τὸν σὸν λόγον διὰ τὴν μίαν ὑπόστασιν, ἢ χωρίσεις θύων τὸ ἀνθρώπινον· εἰ δὲ πείθῃ τῷ σῷ διδασκάλῳ Εὐσεβίῳ λέγοντι ὅτι ὅλη διόλου μετεβλήθη ἡ σάρξ, μὴ μείνασα τοῦθ' ὅπερ ἦν σὰρξ εἰς τὴν τῆς θεότητος ἣν οἶδε φύσιν, μάτην θύων ἁλίσκῃ· τίνος δὲ ὅλως μεταλήψεται ἄνθρωπος; ἢ οὐχὶ σαρκὸς θεοῦ, ἀλλὰ φύσεως θεότητος δόξει μεταλαγχάνειν; μανιχαϊκῆς ταῦτα φαντασίας· τὸ πᾶν δὲ τῆς μήνιδος κατὰ τοῦ κυριακοῦ σώματος ἔχων, τέως περί γε τούτου τοῦ κατὰ μετοχὴν, οὐδὲν λέγειν βλάσφημον παρρησιάζεται· ἐπάγει δὲ τοιαῦτα.

Τί γάρ; καὶ εἰκών ἐστι τοῦ σώματος αὐτοῦ καὶ ὁ ἄρτος ὃν λαμβάνομεν, μορφάζων τὴν σάρκα αὐτοῦ, ὡς εἰς τύπον τοῦ σώματος ἐκείνου γινόμενος. Παραινίττεται ἡμῖν διὰ τοῦ ΚΑΙ συνδέσμου, ὡς καὶ ἄλλη εἰκών ἐστι τοῦ σώματος τοῦ Χριστοῦ, καὶ τοῦ ἄρτου δίχα· μετριάζει δὲ ἐνταῦθα τὴν ἀσέβειαν· εἰ πλείστοις γὰρ ἑτέροις θεομαχῶν, εἴδωλον ταύτην καλεῖν οὐ καταπέφρικεν, οὐ διατρανοῖ δὲ πότερον τούτων ἐκτυπωτερον, ἢ τὸ πλέον εἰς τὴν ὁμοίωσιν τοῦ πρωτοτύπου φέρει, δείκνυται δὲ αὐτῷ κἀνταῦθα τὸ ἀλλόκοτον· ποτὲ μὲν γὰρ σῶμα τοῦτο κυρίως καὶ ἀληθῶς καλεῖ, ποτὲ δὲ εἰκόνα σώματος,

ταύτην ὑπομένων τὴν πλάνησιν ἀπὸ τοῦ σπεύδειν αὐτὸν ἐκ μέσου ποιῆσαι τὴν εὐαγγελικὴν ἱστορίαν τὲ καὶ ὑφήγησιν· ἀλλ' εἴρηστο ἂν καὶ τοῦτο αὐτῷ, ὅτι κατὰ τὰς σὰς ὑπολήψεις, οὐδὲ σῶμα ἐστὶ Χριστοῦ, οὐδὲ εἰκὼν τοῦ σώματος αὐτοῦ· εἰ μὲν γὰρ περιγεγράφθαι εἴποις, ἐπειδὴ χείλεσι καὶ ὀδοῦσιν ἐμπεριείργεται, οὐ Χριστοῦ σῶμα οὐδὲ ἥνωται τῷ λόγῳ· προδιωρίσω γὰρ πολλάκις, ὅτι ἀπερίγραπτον τὸ σῶμα τοῦ Χριστοῦ διὰ τὴν πρὸς τὸν λόγον ἕνωσιν· εἰ δὲ εἰκόνα σώματος φήσεις, οὐ μόνον ὡς εἰκὼν ἀπελήλαται, ἀλλὰ καὶ ὡς διαιροῦσα τὸ φύσει σῶμα ἐκ τῆς κατὰ τὸν λόγον ἑνώσεως· οὕτως οὐχ' ἕστηκεν ἐφ' ἑαυτῆς ἡ πλάνη καὶ ἡ δυσσέβεια· ἢ τοίνυν καὶ τοῦτον τὸν ἄρτον ἀπερίγραπτον ἀπόφηναι, ἵνα σοι πλέον τὰ τῆς μυθοπλαστίας ἀπηρτισμένα ᾖ· οὐκ ἔστι γὰρ φύσιν ἔχον τοῦτό γε· ἢ εὑρεθήσεται μάτην σοι ὁ πᾶς τοῦ ἀπεριγράπτου ἐκπονηθεὶς λόγος.

Εἶτα μετὰ ταῦτα φησίν. "Οὐ πᾶς ἄρτος σῶμα αὐτοῦ, ὥσπερ οὐδὲ γὰρ "πᾶς οἶνος αἷμα αὐτοῦ, εἰ μὴ ὁ διὰ τῆς ἱερατικῆς τελετῆς ἀναφερόμενος "ἐκ τοῦ χειροποιήτου πρὸς τὸ ἀχειροποίητον." Τίνος διαποροῦντος ἢ ἀμφιβάλλοντος, οὕτω δριμέως καὶ θαῤῥαλέως ἀποφαίνεται, ὅτι οὐ πᾶς ἄρτος σῶμα αὐτοῦ, οὐδὲ πᾶς οἶνος αἷμα αὐτοῦ, μὴ δὲ ἀποδείξεως τῆς περὶ τούτων ὁπωσοῦν δεηθεὶς, τῆς ἐκείνου σοφίας ἄξιον λέγειν· ἅπερ ὡς λῆρον καὶ μάτην εἰς ἀέρα χεόμενα καταλιπόντες, ἐκεῖνα λέγομεν· εἰ περιγέγραπται τὰ ἱερευόμενα ταῦτα, ὁ ἄρτος φημὶ καὶ ὁ οἶνος, ἄρα ἐκεῖνο τὸ σῶμα ὅπερ πεφόρεκεν ὁ τοῦ θεοῦ λόγος, οὐδαμοῦ ἱερεύθη παρ' αὐτοῦ, καὶ διὰ τοῦτο ἀπερίγραπτον λέγει· καὶ πῶς καὶ πόθεν τὸ ἱερεῖον ἐκεῖνο, τὸ μέγα καὶ ἄμωμον καὶ σεβάσμιον, τὸ καθάρσιον θῦμα καὶ παντὸς τοῦ κόσμου σωτήριον ἐπιγνωσθήσεται; εἰ οὖν ἐπίστευεν ὑπὲρ τῆς πάντων αὐτὸ τυθῆναι σωτηρίας, κἂν γοῦν τοῦτο αὐτὸν κατῄδεσεν, εἰ μή τι ἄλλο, ὡς καὶ αὐτὸ περιγραπτόν ἐστι, καὶ εἰ μὴ φύσει, ὅπερ λέγειν ἀνόητον· τῇ γοῦν τελετῇ ὡς κατὰ τὴν ἐκείνου δόξαν εἰπεῖν, περιγεγράφθαι ἐχρῆν· περιγραπτὸν οὖν τὸ τοῦ Χριστοῦ σῶμα, κἂν μὴ λογίζεσθαι τοῦτο ἐθέλοι ὁ Μαμωνᾶς· ἔτι οὖν περὶ τῶν αὐτῶν πολλὰ βατταρίσας καὶ φλυαρήσας, ἅπερ ὡς λυσσώντων καὶ μαινομένων καὶ βακχευόντων, ἀσήμους καὶ ἀνάρθρους φωνὰς περιϊδόντες μυσαττόμεθα, ἐπεὶ τῶν εὐσεβούντων καὶ σωφρονούντων τὰς ἀκοὰς καταχραίνουσι, καὶ τῶν λεγόντων τὴν γλῶσσαν καταμολύνουσιν, αἰσχρότητος καὶ ὕθλου καταγέμουσαι, πρὸς τὸ τέλος τοῦ συντάγματος συμπεραίνων τὸν λόγον, τοιάδέ τινα διέξεισι· πρῶτον μὲν κατακρίσει περιδεσμῶν, μηδένα ὧν νῦν ὁ λόγος αὐτῷ γεγένηται, ὑπόληψιν ἐσχηκέναι ὡς ἠλλοτρίωται τοῦ Χριστοῦ· κἀκεῖθεν μαίνεσθαι κατὰ τῆς εἰκόνος αὐτοῦ, ἐν οἷς ἀπολογίαν προτείνει, ὅθεν αὐτῷ τοῦτο προστέτριπται· λέγει γὰρ ὅτι ἐξ οὗ αὐτῷ οἱ πρὸς γένους καὶ οἰκεῖοι ἐπαναστάντες ἐνεωτέρισαν, καὶ μὴν καὶ πρὸ τοῦδε, ὁ μῶμος οὗτος περὶ αὐτοῦ εἰς τοὺς πολλοὺς διαπεφοίτηκεν· ὃς ἐδήλου αὐτοῦ τὴν ἐκ θεοῦ ἀλλοτρίωσιν, καὶ οὕτως αὐτὸν παρὰ τοῖς πλείοσι κρίνεθαι· εἶτα ὅρκοις ὡς φοβεροῖς καὶ πλείστοις ὡς εἰώθει ἀπεναντίας τῶν εὐαγγελικῶν ἔρχεσθαι προσταγμάτων, πείθειν ἐσπούδαζεν, ἢ ἀληθέστερον εἰπεῖν, κατα-

χλευάζειν τῇ ὁρκαπάτῃ, μήτε ἐν λόγῳ μήτε ἐν πράξει γενέσθαι τοιοῦτον, καὶ τὴν περὶ τοῦ δόγματος αὐτοῦ ψῆφον καὶ κρίσιν τοῖς παροῦσιν ἐπισκόποις ἀναθεὶς, ὡς δέξεται τὰ παρ᾽ αὐτοῖς δεδογμένα, μικρὸν ὑποβὰς, καὶ πάλιν συνήθως ἐκ τῶν πεπλασμένων λόγων εἰς ἑαυτὸν ἐπανελθὼν, οἷα κριτὴς ὁ αὐτὸς καὶ διδάσκαλος ἀποφαίνεται.

δ. Ὡς ἐὰν εἰς τοῦτο τὸ ἓν εἰκόνισμα πληροφορήσωμεν ὑμᾶς ὅτι καλῶς λέγομεν, τότε καὶ περὶ τῶν ἄλλων εἰκόνων σκοποὺς προαγαγεῖν ἔχομεν ἐνώπιον ὑμῶν, καὶ ὡς κρίνετε καὶ περὶ ἐκείνων· τῇ γὰρ κρίσει ὑμῶν ἔχομεν ἀσμενίσαι, ὅτε μέλλετε καὶ μετὰ τῶν ἄλλων ἐπισκόπων συμφωνεῖν, καὶ ἐξ εὐλόγων προφάσεων μαρτυρίας παριστᾷν. Τοιαῦτα μὲν τὰ ἐκείνου, ὧν τινὰ καὶ αὐταῖς λέξεσι παρεθέμεθα, ἵνα καὶ ἡ ἐκ Θεοῦ ἀλλοτρίωσις αὐτοῦ δειχθῇ, καὶ τῶν ὀμωμοσμένων καὶ παραβεβασμένον, τὸ ψεῦδος ἐλεγχθῇ. ἥ τε ὑπόκρισις, καὶ ὁ δόλος, καὶ ὁ πρὸς τοὺς ἀγνοοῦντας φαινακισμὸς, κατάδηλος γένηται· τί δὲ δὴ τοῦτό ἐστιν; ὅτι καὶ λέγειν περί γε τῶν ἄλλων εἰκόνων βούλοιτο· καὶ ὁποῖοι δὴ, οὓς προάγειν ἐθέλοι σκοπούς; ὅτι μὲν εἶναι πολλὴν τερατολογίαν καὶ φλυαρίαν κατὰ τῆς τοῦ Θεοῦ λόγου ἐνανθρωπήσεως ἐξυφάνας, ἐπὶ τὴν παροινίαν τὴν εἰς τὰ τῶν ἁγίων ἱερὰ ὑπομνήματα παρώρμηται δυσσεβῶς, παντί τῳ σαφές· καὶ πρὸ τούτων γε, ἐπὶ τὰ τῆς πρωτίστης τῶν ἁγίων, καὶ πάντων τῶν ἐν τῇ κτίσει τελούντων ὑπερτάτης τῆς παναγίας δεσποίνης ἡμῶν Θεομήτορος, ἵνα καὶ αὐτὴν τῷ τεχθέντι συγκαθυβρίσῃ.

Τίνες δὲ οἱ σκοποὶ τῆς θεοστυγοῦς καὶ ἀθέου ψυχῆς ἐκείνης, εἰδέναι καλόν· μὴ γὰρ δὴ κἀνταῦθα τὸ ἄγραπτον καὶ ἀπερίγραπτον προάγεσθαι ἔδοξεν, ἢ τὸ διπλοῦν τοὺς ἁγίους, ἐκ θεότητος ὑποστὰν καὶ ἀνθρωπότητος; ἢ τάχα που ἐννενόηκεν, ὅπερ οἱ χρῶντες καὶ ἄγοντες ἐμπνεύσειαν, ὡς δὴ καὶ τῶν ἁγίων ἑκάστου διπλῆ τις ἡ ὑπόστασις, ἐκ ψυχῆς καὶ σώματος οὖσα ἐτύγχανε; καὶ εἴποτε γραφήσονται, καὶ ἡ ψυχὴ συγγραφήσεται καὶ συνεικονισθήσεται ἐξ ἀνάγκης· ἢ διεστήξει τοῦ σώματος ἡ πάλαι ἀπηλλαγμένη τοῦ σώματος· καὶ οἷς ληρωδήμασι καὶ πλάσμασι περὶ τῆς κατὰ Χριστὸν ὑποστάσεως ἐχρήσατο, καὶ ἐπὶ τῶν ἁγίων κενολογήσει· ἀλλ᾽ ὅσον ἐξ ὧν ἔλεξέ τε καὶ ἔδρασεν ἐπαισθέσθαι, τοὺς σκοποὺς ἐκείνους διαγινώσκεσθαι οὐ δυσχερές· ἐπειδὴ γὰρ οὐδέν ἐστι φαῦλον καὶ δυσσεβὲς ὃ μὴ κατὰ τῆς θείας δόξης καὶ τῶν ἁγίων μεμελέτηκε, καὶ οὐδὲν ἀνοσιουργὸν καὶ ἀτοπώτατον ὃ μὴ ἐν τούτοις κατεπράξατο, οὐδὲν ἀκαταιτίατον καὶ ἀδιάβλητον ἐπὶ τῶν τῆς πίστεως ἡμῶν τῆς ἀπλανοῦς καταλέλοιπε, διὰ τοῦτο πρῶτον μὲν ἀποκηρύξαι τολμᾷ τὴν ΘΕΟΤΟΚΟΣ φωνὴν καὶ πάμπαν ἐκ τῆς τῶν χριστιανῶν γλώσσης περιελεῖν· καὶ γὰρ ἤχθετο λίαν καὶ ἠγανάκτει ἐπὶ τῇ τοῦ ὀνόματος ἐπικλήσει, ὅπερ ἦν χριστιανοῖς σύνηθες, ἐφ᾽ ᾧ καὶ ἰουδαίους ὁρῶμεν ἀεὶ δυσχεραίνοντας· ἔπειτα παραχαράσσει καὶ παραποιεῖται ὅσα ἐπὶ τῷ ὀνόματι αὐτῆς ἐπεκέκλητο, καὶ ἐν λιταῖς ταῖς πρὸς τὸν τεχθέντα ἐξ αὐτῆς καὶ δεήσεσιν ἐν ᾄσμασιν ἀεὶ ἀνεφώνουν ὑπὲρ τῆς τοῦ κοινοῦ παντὸς σωτηρίας οἱ δεόμενοι· ἐπεὶ ὁμολογοῦμεν τὲ καὶ κηρύσσομεν, με-

σιτείαν αὐτὴν καὶ προστασίαν ἀσφαλῆ πρὸς αὐτὸν κεκτῆσθαι, δι' ἣν μητρικὴν παῤῥησίαν ἔχει· καὶ τέλεον τὰς πρεσβείας αὐτῆς ἀπαναίνεται, ἐξ ὧν τοῖς δεχομένοις αἰκία οὐ μικρὰ ἢ δίκη ἐπήρτητο· καὶ τί χρὴ τὰ καθέκαστον λέγειν, μὴ δὲ μνήμην ὁπωσοῦν τοῦ ὀνόματος ἐγγίνεσθαι πώποτε; περὶ γὰρ τῶν ἄλλων ἁγίων τί δεῖ μακρότερον διεξιέναι τὰ νῦν; οὐ γὰρ λόγοις ἀνιέροις ἐκφαυλίζειν καὶ ἀποσκώπτειν ὡς αἴσχιστα ἀποχρῆν ἡγήσατο μόνον, αὐτὰ δὲ τὰ ἱερὰ καὶ σεβάσμια τούτων λείψανα, πυρὸς δαπάνην πεποίηκε καὶ ἀνάλωμα.

ε. Ἐπεὶ δὲ ἅπαξ Χριστῷ καὶ χριστιανοῖς ἅπασι πολέμιος γέγονε, τῶν τε θείων νόμων ὑπερόπτης καὶ τῶν ἱερῶν κανόνων ἀντίθετος, ὅσοι τὲ ἀποστόλοις καὶ ὁσίοις πατράσιν ἐκτέθεινται, τεθέσπικε μὴ δεῖν κατὰ τὰς ἑδραιώσεις τῶν θείων τραπεζῶν τοῦ σεβασμίου θυσιαστηρίου, ταῦτα κατὰ τὸ νενομισμένον χριστιανοῖς ἐναποτίθεσθαι· καὶ γὰρ τοῖς σέβουσι καὶ περιέπουσιν ὡς ἐξῆν φιλοθέοις καὶ φιλομάρτυσι, περὶ τῶν ἐσχάτων ὑπῆρχεν ὁ κίνδυνος· ὥστε καὶ οἱ κατὰ τὸν χρόνον τὸν ἐκείνου δομούμενοι ναοὶ, λειψάνων ἄνευ ἁγίων καθιεροῦσθαι ἔδοξαν· ἀντετίθεσαν γὰρ τῶν παρ' αὐτῶν τελουμένων μυστηρίων λείψανα, ἄξια ὡς ἀληθῶς τῶν οἰκείων δογμάτων καὶ τελετῶν πράσσοντες· οὐ γὰρ θεμιτὸν τῇ ἀποστολικῇ παραδόσει τοῦτο· πῶς γὰρ τιμᾷν ἔμελλεν, ὅς γε καὶ τοὺς ἐπωνύμους αὐτῶν ἱεροὺς οἴκους, αὐθαδείᾳ καὶ θρασύτητι χρώμενος, ἀθεεὶ διώριξέ τε καὶ περιέτρεψεν, οὓς πίστει καὶ σεβάσματι, τὸ ἀνέκαθεν χριστιανοὶ ἀνεστήσαντο; καὶ τούτους μάλιστα ἔνθα τὰ ἱερὰ αὐτῶν ἐντετύπωτο ἀποσεβάσματα, καὶ τὰ σεβάσμια ἐναπέκειτο λείψανα· καὶ ἔργον ἦν αὐτῷ καὶ ἀγώνισμα, μὴ δὲ τῶν ὀνομάτων αὐτῶν μνήμην εἰς τὸ ἑξῆς τοῖς ἀνθρώποις ὑπολελεῖφθαι.

ς. Ἀλλ' ἄξιον καὶ πρόσφορον ἐν τῷ παρόντι εἰπεῖν, καὶ οἰκεῖον τῆς τῶν ἁγίων τελειότητος, ὅτι ὡς θεοῦ θεράποντες, καὶ κατὰ τὸν τῇδε βίον τὸν σταυρὸν ἀράμενοι, Χριστῷ ἠκολούθησαν καὶ συνεσταυρώθησαν, καὶ τοῦ ζωοποιοῦ αὐτοῦ πάθους καὶ τοῦ σωτηρίου θανάτου, μιμηταὶ καὶ ὀπαδοὶ γεγόνασι· διὸ καὶ εἰς τὸν αἰῶνα συμβασιλεύουσιν αὐτῷ· οὐδὲν δὲ ἧττον καὶ μετὰ τὴν ἐνθένδε ἀπαλλαγὴν, Χριστῷ συνδιώκονται καὶ συμπάσχουσιν· ὅπερ γὰρ πρότερον τοῖς ἀρχετύποις συνέβαινε, τοῦτο καὶ νῦν ὡσαύτως περὶ τὰ ἱερὰ ὁμοιώματα διαδείκνυται, καὶ διπλοῖς τοῖς ἄθλοις ἐπὶ διπλοῖς τοῖς διωγμοῖς καὶ ταῖς ὕβρεσι παρὰ τοῦ στεφοδότου Χριστοῦ καταστέφονται· καὶ ζῶσι τῷ θεῷ πάντοτε καὶ εἰσὶν ἐν εἰρήνῃ, κἂν ἔδοξαν ἐν ὀφθαλμοῖς τεθνάναι τοῦ ἄφρονος· ὅδε γὰρ ἀνομήσας ἀπῆλθε διὰ κενῆς, ἀξίους τῶν πόνων τρυγῶν τοὺς καρποὺς, γέενναν καὶ τὸ ἡτοιμασμένον αὐτῷ πῦρ, τοῖς ἄγουσιν ἅμα, κληρονομίαν ἀπενεγκάμενος· ὁ μετὰ τοὺς ἀποστάτας ἀποστάτης, καὶ μετὰ τοὺς διώκτας πικρὸς διώκτης καὶ χαλεπώτατος, ᾧ οὐκ ἐξήρκεσε κατὰ τῶν ἐν τῷ βίῳ ἔτι περιόντων καὶ κατὰ θεὸν ζῆν εὐσεβῶς αἱρουμένων ἐπαφεῖναι τοὺς θυμοὺς καὶ τὰς μήνιδας, καὶ τιμωρεῖσθαι ὡς ἀδικώτατα· ἀλλ' ἤδη καὶ τῶν προωδευκότων, καὶ πολλοῖς ἀνδραγαθήμασι καὶ ἀγωνίσμασιν ἐμπρεψάντων, καὶ τῷ μαρτυρικῷ τέλει τὴν ζωὴν παραμειψάντων, ὡς οἷόν γε ἦν αὐτῷ, τὸ δυσκλεὲς καταχέειν καὶ ἄδοξον·

τοιαῦτα ἦν αὐτῷ τὰ κατὰ τῶν ἁγίων νεανιεύματα, τοιαῦτα καὶ τὰ κατὰ τῶν ὁσίων ἀνοσιουργήματα, ταύτην τῆς εἰς τὸν βίον εὐημερίας τὴν εἰς Θεὸν καὶ τοὺς ἁγίους ὕβριν, ἀντίδοσιν ἡγησαμένῳ· παρίημι λέγειν τὰ νῦν ὅσα καὶ οἷα τοῦ εὐαγγελικοῦ κηρύγματος κατεφλυάρησε, καὶ πᾶσαν εὐαγγελικὴν πολιτείαν διέπτυσε, καὶ πρὸς τὸ οἰκεῖον ἐμπαθὲς καὶ μοχθηρὸν θέλημα τὸν τῶν ἀνθρώπων βίον μεταῤῥυθμίζειν ἐσπούδαζε· τοιοῦτοί εἰσιν οἱ σκοποὶ, ὡς ἐν βραχεῖ παραστῆσαι, οὓς προάγειν ὑπέσχετο, τά τε διανοήματα καὶ βουλεύματα, ἃ κατὰ τῆς ἀπλανοῦς ἡμῶν πίστεως καὶ ἀγγελομιμήτου τῶν χριστιανῶν πολιτείας χριστομαχῶν ἐτέκταινεν· ἀλλ' ὁ μὲν κατὰ τῶν ἁγίων πόλεμος τῶν ἐπὶ γῆς ἀπ' αἰῶνος δοξαζόντων τὸν κύριον, ἐνταῦθα καταλυέσθω, καὶ οἱ σκοποὶ οὓς προαγαγεῖν ἀσκόπως καὶ ἀθέως ἔδοξε, παρατηρήσεως τῆς ὁπωσοῦν ἄνευ, καὶ τοὺς θείους αὐτῶν οἴκους, καὶ τὰς ἱερὰς αὐτῶν μνήμας καθυβρίσας, τέλος ἐχέτωσαν· οὗτος δὲ ὡς μικρὰ κατορθωκὼς τῶν σκοπουμένων, καὶ μεγάλα ζημιωσόμενος εἰ μέχρι τούτου σταίη, ἐχαλέπαινεν εὖ οἶδα εἰ μὴ καὶ τοῖς λειπομένοις ἐπέλθοι.

ζ. Τί γὰρ ἔφησε περὶ τῶν κατ' οὐρανοὺς ἁγίων καὶ ὑπερκοσμίων δυνάμεων; τίνες καὶ ὁποῖοι αὐτῷ οἱ σκοποὶ οὓς προάγειν ἐβούλετο, δι' ὧν καὶ τὴν τούτοις ἐξεργάσαιτο παρανομίαν; ποίους φληνάφους καὶ τερατολογίας ἐξευρεῖν πρὸς δυσφημίαν αὐτῶν ἐκμηχανώμενος; ἐπεὶ αὐτῷ καιρὸς ἀνεῖτο διασκώπτειν καὶ περαίνειν, τὸ ἀπερίγραπτον ἐπιγράψαι τοῖς ἀγγέλοις προήγαγε· δῆλον παντὶ ὃ δὴ φίλον αὐτῷ καὶ σύνηθες, καὶ τῇ δόξῃ τῇ δυσσεβεῖ συναιρόμενον· ἀπεριγράπτους γὰρ ἄν τις αὐτοὺς φαίη, ἀλλ' οὐ πάντη· τῷ ἦρχθαι γὰρ περιγράφονται, ἐπείπερ καὶ αὐτοὶ τοῦ εἶναι ἤρξαντο· ὃ δὲ τοῦ εἶναι ὁπωσοῦν ἤρξατο, περιγραφῆς οὐ πάμπαν ἐλεύθερον· καὶ κτίσματά γε ὄντες, ὑπὸ τοῦ κτίσαντος ὁρίζονται· ἀλλὰ μὴν καὶ καταλήψει περιγράφονται· καθὸ γὰρ νόες εἰσὶ, κοινωνοῦσιν ἀλλήλοις περὶ τὰ νοήματα, καὶ τὴν φύσιν ἐπὶ ποσὸν ἀλλήλων ἴσασιν· ἓν γὰρ εἶδος περιγραφῆς καὶ ἡ κατάληψις· νόες δὲ ὄντες, καὶ ἐν τόποις νοητοῖς εἰσίν· οὐ μήν γε σωματικῶς ἢ αἰσθητῶς ὁρίζονται· σώματος γὰρ οὐκ ὄντος, καὶ διὰ τοῦτο οὐδὲ σχήματος οὐδὲ ὄγκου οὔτε τύπου σωματικοῦ, εἰκότως οὐδὲ ἐν τόπῳ αἰσθητῷ περισχεθήσονται· ἀλλ' οὐ περὶ τούτου νῦν ἡμῖν τὸ προκείμενον· οὐ γὰρ εἰ περιγράφονται, ἢ μὴ, τὸ σκοπούμενον, ἀλλ' εἰ γράφονται καὶ εἰκονίζονται· δέον γὰρ ἐνταῦθα τὰς κυρίας τουτωνὶ τῶν φωνῶν μεταχειρίσασθαι· ὅσως γὰρ διαφέρει τῆς ἑτέρας ἑκατέρα, βραχεῖ ὕστερον εἰρήσεται.

η. Καὶ τούτῳ μὲν ὁ λόγος ἐν σχήματι καὶ ὑποκρίσει προήγετο, πλαττομένῳ ὡς ἂν δόξειε τοῖς πολλοῖς ἀξιόλογόν τι περὶ τῶν προκειμένων αὐτῷ θεωρεῖν· ταῖς ἀληθείαις δὲ τῇ ἐξουσίᾳ καταχρώμενος ἐπέτρεπε, δι' ἧς τὸ πᾶν τῶν δοκούντων κατώρθωτο· ἡμῖν δὲ τοῖς τοῦ λόγου τῆς ἀληθείας προεστηκόσι, καὶ τὸν περὶ τούτων λόγον ποιουμένοις, ὅτι καὶ γράφονται καὶ εἰκονίζονται οἱ ἅγιοι ἄγγελοι, ὡς ἐν βραχεῖ τὸ πᾶν εἰσενεχθήσεται· πρῶτον μὲν γὰρ αὐτὰ μαρτυρεῖ τὰ πράγματα, ἅπερ διὰ τῶν ὁρωμένων ἡμῖν καὶ ὑπ' ὄψιν κειμένων ἀσφαλῶς βεβαιοῦται· πανταχοῦ γὰρ γῆς κατὰ τοὺς ἱεροὺς ναοὺς αἱ ἱστορίαι

πλήθουσι τὰ τῶν ἀσωμάτων δυνάμεων ἱερὰ ἀπεικάσματα, καὶ τῆς καθολικῆς ἐκκλησίας, δι' ἧς τὸ κράτος ἀρχῆθεν κέκτηται ἡ παράδοσις· ὧν ἀπόδειξιν ζητεῖν, πάσης ἐπέκεινα ἠλιθιότητος καὶ ματαιότητος· ἔπειτα δὲ καὶ ἡ τῶν θεοπαραδότων λογίων σαφῶς ἡμᾶς ἐκπαιδεύει διδασκαλία. Καὶ ἵνα ἀπ' αὐτῆς τῆς πρωτίστης καὶ ὡς ἐγγυτάτω θεοῦ καὶ τὰ πρῶτα ἐκεῖθεν ἐλλαμπομένης ἀρξώμεθα, ἴδωμεν τί τῶν περὶ τὴν κιβωτὸν ἕνεκεν τάξεως, τῆς ἐν νόμῳ σκηνῆς, φησὶ Παῦλος· " ὑπεράνω δὲ αὐτῆς χερουβὶμ δόξης κατασκιάζοντα τὸ ,, ἱλαστήριον· ,, χερουβὶμ δὲ δόξης, τὰ δεδοξασμένα, τὰ ἔνδοξα καὶ ὑποκάτω τοῦ θεοῦ, ὡς ἄριστα τοῖς μυσταγωγοῖς τῆς ἐκκλησίας δοκεῖ· σημαίνειν δὲ τοὔνομα, πλῆθος γνώσεως καὶ χύσιν σοφίας ἡ Ἑβραίων οἶδε φωνή· τίνα δὲ ταῦτα, εἰ ὦτα εἶχε τοῦ ἀκούειν, ἤκουσεν ἂν καὶ ἐπέγνω σαφῶς, ὅτι οὐκ αὐτοὺς τοὺς θειοτάτους καὶ ὑπερτάτους χερουβὶμ ὁ λόγος παρίστησιν, οἵ γε ἀσώματοί τε εἰσὶ καὶ ἀνείδεοι καὶ ἀσχημάτιστοι, νοεροί τε καὶ λογικοὶ τυγχάνουσιν· ἀλλὰ κατ' αὐτοὺς ἱερὰ ἀπεικονίσματα, ἅπερ ἐξ ὕλης τῆς καθαρωτάτης καὶ λαμπροτάτης διεσκεύαστο, τὰ χρυσήλατα, τὰ χρυσοτόρευτα, τὰ χερσὶν ἀνθρωπείαις θεοῦ προστάττοντος διησκημένα, τὰ ἄψυχα, τὰ ἀκίνητα, τὰ ἀναίσθητα, ὁμωνύμως ἐκείνοις προσαγορευόμενα, τῆς τε προσηγορίας μετασχόντα, καὶ δόξης ἠξιωμένα καὶ χάριτος.

Τί οὖν ἐχρῆν; πείθεσθαι τούτοις, ἢ διαγράφειν Παῦλον ταῦτα διαλεγόμενον; ἡδὺ τοῦτο αὐτῷ καὶ χαρίεν μακρὰν τῆς ἀποστολικῆς διδασκαλίας ἀποιχέσθαι, καὶ ταύτῃ γοῦν οὐκ ἂν χριστιανὸν χρηματίσαι· εἰ δὲ οὐδὲ Μωϋσῇ ἕπεσθαι τῷ ταῦτα κελευσθέντι τεκτήνασθαι, οὐδὲ ἑβραῖον ὑπάρξαι, καὶ εἰ δεῖ τὸ τούτων εἰπεῖν ἀπηχέστερον, οὐδὲ αὐτὸν δέξασθαι θεὸν ταῦτα προστάξαντα· τί γάρ, φησιν, ὁ χρηματίζων θεὸς τῷ οἰκείῳ θεράποντι· ὅρα ποιήσεις πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι· καὶ ἐκεῖθεν γνωσθήσομαί σοι, τῶν χερουβὶμ λέγων· ἆρα οὖν οὐ τίμια δοκεῖ καὶ σεβάσμια εἶναι, ὅθεν θεὸς ἀνθρώποις γινώσκεται; πᾶς τις τῶν τὰ θεῖα σεβόντων συμφήσειεν· ὁ τούτων δ' ὑβριστὴς ποῦ ποτε κληρωθήσεται, καὶ τίσι συντετάξεται, ῥᾴδιον συνιδεῖν τῷ βουλομένῳ παντὶ, μετὰ τῆς ἑλλήνων ἀθεότητος, μετὰ τῆς Μανιχαίων ἀνοσιότητος· ὧν τὴν δόξαν καὶ τὴν διδασκαλίαν ἐζηλωκώς, ἐπὶ τοσοῦτον μανίας καὶ ἀθεΐας ἐξώλισθεν, ὡς ἄρα ἐξεῖναι αὐτῷ καὶ ἕτερα πολλὰ τῆς θεοπνεύστου γραφῆς ὡσαύτως ἐκείνοις καὶ κακίζειν καὶ διαγράφειν, ἀλογώτατά τε καὶ δυσσεβέστατα· ἐπεὶ οὖν τὰς τοῦ πνεύματος φωνὰς ἐξομνύμενος, ὡς πορρωτάτω τῆς χριστιανῶν αὐλῆς διεσκήνωται, φέρε τὰς ἡμετέρας ὑπολήψεις, ἃς δὴ περὶ αὐτῶν οἱ περιβόλων εἴσω τῆς εὐσεβείας ἱστάμενοι ἔχομεν, καθὰ οἱ τοῦ πνεύματος ὑποφῆται πάντες ἐμυσταγώγησαν, καὶ ὁ τῆς καθολικῆς ἐκκλησίας οἶδε σκοπὸς, ὡς ἐν ὀλίγῳ εἰπεῖν παραστήσωμεν.

Θ. Φαμὲν τοίνυν, ὡς αἱ πανάγιαι αὗται δυνάμεις, ὅπως μὲν ἔχουσι φύσεως καὶ ὑπάρξεως, παρ' ἡμῖν ἠγνοημένον πῶς ἐστι καὶ δυσεπιχείρητον· καὶ εἴρηται γε ἡμῖν ἐν ἑτέροις πλατύτερον, τοῖς τῶν ἱερῶν διδασκάλων ἑπομένοις

διδάγμασιν· ἁπλαί τε γὰρ οὖσαι παντελῶς καὶ ἀσύνθετοι, καὶ ἀπερίγραπτοι τόπῳ διὰ τὸ ἀσώματον, ὅμως γράφονται καὶ εἰκονίζονται· καὶ προηγουμένως γε τοῦτο ἴσμεν, διὰ τῶν τοῦ πνεύματος λογίων, ἅπερ ὁ ἱεροφάντης ἡμῖν Μωϋσῆς τῆς τῶν χερουβὶμ ποιήσεως ἕνεκεν παραδέδωκεν· ἔπειτα ἐπειδὴ λειτουργικὰ πνεύματά εἰσιν, εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν, εὐδόκησεν ὁ πάντων κηδεμὼν καὶ δεσπότης θεὸς, ὁ πάντα φιλανθρώπως οἰακίζων καὶ πρυτανεύων τὰ ἡμέτερα, ἀναλόγως τῇ ἀνθρωπίνῃ ἀσθενείᾳ, διὰ τῆς συντρόφου καὶ συνήθους αἰσθήσεως, τὰς τῶν μακαρίων δυνάμεων ἐπιστασίας γίνεσθαι· ἐξ ὧν ἡμῖν τὸ κοινωνικὸν ἔχουσαι, τὰ θεῖα δῶρα καὶ τὰς εὐεργεσίας τῶν οἰκονομουμένων καὶ προμηθουμένων διαπορθμεύουσι· πολλαὶ γοῦν τοῖς τοῦ θεοῦ θεράπουσιν ἀγγελοφάνειαι γεγόνασιν· οὐ τῆς φύσεως αὐτῶν ἐμφανιζομένης, ἀλλ' εἰς ὅσον ἁγιστείας καὶ καθαρότητος ἧκεν ὁ πρὸς τὴν τοιαύτην θέαν κεκλημένος, ἥ τε τῶν διακονουμένων πραγμάτων ἐκάλει χρεία καὶ ὁ καιρὸς, οὕτως αἱ μορφαὶ καὶ τὰ σχήματα τῶν ἀμορφώτων καὶ ἀτυπώτων, τοῖς τῆς θέας ἠξιωμένοις καθαροῖς νοὸς ὄμμασι, διετυποῦτό τε διαφόρως καὶ διεφαίνετο· τὰ μὲν οὖν κατὰ τὸν πατριάρχην Ἀβραὰμ τελούμενα, κρείττω ἢ κατὰ ἀγγέλους ἦν· καὶ ὁ τῆς καινῆς ἐκείνης καὶ θαυμαστῆς δεξιώσεως τρόπος, καθ' ἣν τὸ φιλόθεον ὁμοῦ καὶ φιλόξενον τοῦ ἐξενικότος ἀνυμνεῖταί τε καὶ θαυμάζεται, θεοῦ μᾶλλον ἢ ἀγγέλων παρουσίαν διαδεικνύει. Τὸν δὲ τούτου ἔκγονον Ἰακὼβ, ἡνίκα τὴν τοῦ θεοῦ λόγου πρὸς ἀνθρώπους μυεῖσθαι συγκατάβασιν ἔμελλεν, ἀγγέλους ἑωρακέναι σαφῶς ἀναγέγραπται, καὶ κλίμακα δή τινα πρὸς οὐρανὸν αὐτὸν ἐκ γῆς ἀφικνουμένην καὶ ἀνατείνουσαν, καὶ τὸν ὕπερ αὐτῆς ἐστηριγμένον τῶν ὅλων κύριον, καὶ τὴν ἐκεῖθεν τῶν ἀνιόντων καὶ κατιόντων πάροδον, δι' ὧν ἡ καταφοίτησις τοῦ πάντων ἡμῶν σωτῆρος θεοῦ πρὸς ἡμᾶς, μυστικῶς προετετύπωτο· ὃ δὴ καὶ εἰκόνα Χριστοῦ οἱ τῆς ἐκκλησίας ἡγεμόνες προδιαγεγράφθαι κηρύσσουσι σαφέστατα.

ι. Ἐῶμεν λέγειν τὸν δι' ἀγγέλων λόγον μετ' ἐκεῖνα λαλούμενον, καὶ εἴ τι τούτοις ᾠκονόμηται παραπλήσιον· οὕτως τῷ τοῦ Ναυῆ παιδὶ, ἐπεὶ πολέμων ἔμελλεν αὐτῷ, καὶ πρὸς τοὺς ἀλλοτρίους ἦν ἡ κατὰ τὴν μάχην παράταξις, ὁ ὀφθεὶς θεῖος ἄγγελος, ἐν ἀνθρωπείῳ τῷ σχήματι ἐπεφαίνετο, ἐοικὼς ὁπλιτεύοντι, καὶ τὴν χεῖρα παραδεικνὺς καθωπλισμένην τὴν μάχαιραν· διὸ καὶ ὡς ὁπλίτην ὁρῶν, καὶ πρὸς τὸ τῆς θέας ἐξηλλαγμένον ἀμηχανῶν, ὅς τίς ποτε εἴη, πότερον τῶν φυλετῶν ἢ τῶν πολεμίων διεπυνθάνετο· ὁ δὲ εἶναι τῆς δυνάμεως κυρίου ἑαυτὸν στρατιάρχην ἀπεφαίνετο. Καὶ τῶν θείων προφητῶν ὁ μέν τις καὶ αὐτὸν τῆς δόξης τεθεᾶσθαι κύριον φησὶ, καὶ τὰ σεραφὶμ κύκλῳ περιϊστάμενα· ἐπειδὴ γὰρ ἔμελλε πρὸς τὸν ἀπειθῆ ἐκεῖνον λαὸν καὶ σκληροκάρδιον ἀποστέλλεσθαι, τὴν ἀπόῤῥητον ἐκείνην δόξαν περιαυγάζεται, καὶ τῷ ἄνθρακι τὰ χείλη καθαίρεται· ἵνα καθαρῶς τῷ καθαρῷ προσομιλήσῃ· καὶ θείων λόγων ὑπηρέτης γενόμενος, κἀκ τῆς τοιαύτης θέας καὶ δόξης ἐπιρωννύμενος, καὶ πρὸς οὐδὲν τῶν ἄλλων ταύτην παραμετρεῖν δυνάμενος, πάντων τῶν ἀνθρωπείων

καταγνοὺς, θαῤῥαλεώτερον πρὸς τὴν τῶν χρησμῳδουμένων διακονίαν προάγοιτο· ὁ δὲ τοὺς τῆς διανοίας κεκαθαρμένος ὀφθαλμοὺς, ἐπειδὴ τὴν κατὰ τῶν ἡμαρτηκότων θεόκριτον προεννενεγμένην ἑώρα τιμωρίαν, τοὺς ἐπὶ ταύτῃ τεταγμένους καὶ ὑπηρετουμένους, πελέκεις τεθέαται χερσὶ φέροντας, τὸ ἀναιρετικὸν καὶ ὀλοθρευτικὸν καὶ τομὸν τῆς τῶν ὑπευθύνων πληθύος διαγράφοντας· ὅσπερ δὴ καὶ ἑωράκει ποδήρη ἐνδεδυκότα, προσταττόμενόν τε διελθεῖν μέσην τὴν πόλιν, καὶ διδόναι τὸ σημεῖον ἐπὶ τὰ μέτωπα τῶν ἀνδρῶν τῶν καταστεναζόντων καὶ κατωδυνωμένων ἐπὶ πάσαις ταῖς ἀνομίαις ταῖς γινομέναις ἐν μέσῳ αὐτῶν, τῆς θείας δικαιοκρισίας διειργούσης τοὺς ἀνευθύνους τῶν ὑποδίκων. Καὶ ἄλλῳ ἱππεύς τις ἐμφανίζεται, ἵππῳ πυῤῥῷ ἐποχούμενος· τάχα τὸ ὀξύῤῥοπον καὶ ταχυπόρον τῶν ἐνεργουμένων ὡς ἱππότης παραδεικνύς· τὸ δὲ τοῦ χρωτὸς εἶδος, ᾧ τὸ θυμικὸν ὡς αἱμόχρουν καὶ ὑπέρυθρον καὶ πυρίπνουν τῶν μαχομένων τεκμηριοῦται, τὴν κατά τινων πολεμίων ἐθνῶν ὀργὴν ἀπαινίττεται· καὶ αὖθις ῥήματα καλὰ καὶ λόγους παρακλητικοὺς ἤκουε, τὴν θείαν εὐμένειαν καὶ φιλανθρωπίαν προαγορεύοντας, αἷς περὶ τὴν Ἱερουσαλὴμ χρήσεται ὁ τῶν ὅλων θεὸς, ἐπὶ τὴν προτέραν εὐδαιμονίαν τὲ καὶ εὐπάθειαν τοὺς ἠνδραποδισμένους καὶ δοριλήπτους ἐπανάγων, καὶ τὰ κατὰ τὴν πόλιν ὅπως ἕξει οἰκήσεώς τε καὶ εὐετηρίας, ὅτι κατακάρπως οἰκισθήσεται· καὶ τἄλλα ὅσα αἱ ὄψεις ἐκεῖναι διετύπουν τῷ βλέποντι· καὶ ἄλλος ἄλλως, καθὸ τὸ μέτρον τῆς ἀξίας ἐπέβαλλε, καὶ τῶν πραχθησομένων οἱ τύποι συμβολικῶς διεσκευάζοντο, καὶ ᾠκονόμει θεὸς καὶ ἔκρινε τὰ ἐν τούτοις ἐκκαλυπτόμενα. Τί δ' ἂν εἴποι τις περί γε τῶν σεμνῶν ἐκείνων γυναικῶν καὶ ἁγίων, τῶν μυροφόρων λέγω; οὐχὶ διπλασίαν ἀγγέλων ἑωράκεσαν, καὶ τούτους λευχειμονοῦντας καὶ τῇ στολῇ ἐναστράπτοντας, ἡνίκα κατὰ τὸν θεῖον τάφον προσήδρευον, ἐν ᾧ τὸ ζωαρχικὸν τῆς θεαρχίας σῶμα ἐτεθησαύριστο; ὧν τὸ φαιδρὸν τῆς στολῆς καὶ κατηγλαϊσμένον, ἐπείπερ σύμβολον ἦν τῆς κοινῆς τοῦ γένους εὐφροσύνης τὲ καὶ ἀπολυτρώσεως, πρὸ αὐτῶν μονονουχὶ φωνὴν ἠφίει· ὅτι περ ὁ ταφεὶς ἐξεγήγερται, συναναστῶν τοὺς πάλαι ταῖς τοῦ θανάτου σειραῖς ἐνισχημένους· θάνατος γὰρ καταλέλυται, καὶ τὰ δεσμὰ τοῦ ᾅδου διέῤῥηκται, καὶ νενέκρωται διάβολος, καὶ ἁμαρτία κατήργηται· τοῦτο γὰρ ἦν τὸ εὐαγγελιζόμενον τῶν κηρυσσομένων παραδόξων τὰ μεγαλεῖα.

ια. Ἐπεὶ οὖν ὀφθαλμοῖς σαρκίνοις ἀθέατοί εἰσιν οἱ ἅγιοι ἄγγελοι, ὤφθησαν δὲ διαφόρως κατὰ τὰ σύμβολα τῶν ἐγχειρισμένων αὐτοῖς διακονιῶν σχηματιζόμενοι, οὕτω καὶ εἰκονίσθησαν καὶ ἐγράφησαν, μέχρι γοῦν τῆς σήμερον παρὰ χριστιανοῖς· κατὰ ταῦτα καὶ πράσσεται καὶ κηρύσσεται· καὶ ἐπειδὴ ἅγιοι καὶ θεοειδεῖς εἰσὶ, καὶ λειτουργοὶ τῆς θείας μεγαλειότητος, καὶ φῶτα δεύτερα τοῦ πρώτου φωτὸς ἀπαυγάσματα, καὶ τῆς σωτηρίας τῆς ἡμετέρας διάκονοι, δι' ἃ δὴ καὶ τὰ τούτων ἀφομοιώματα τίμια καὶ ἅγιά ἐστι, τὴν προσήκουσαν τιμὴν προσφέρομεν αὐτοῖς, καὶ τὰς ἱερὰς πρεσβείας αὐτῶν ἐξαιτοῦμεν· διότι γινώσκομεν καὶ πιστεύομεν, τάς τε δοξολογίας ἡμῶν, καὶ τὰς πρὸς θεὸν

εὐχαριστίας τὲ καὶ δεήσεις καὶ παρακλήσεις δι᾽ αὐτῶν προσάγεσθαι· εἴπέρ ἐστιν ἀληθὲς τὸ ἐν εὐαγγελίοις παρὰ τοῦ σωτῆρος ἡμῶν εἰρημένον· “ ὅτι οἱ „ ἄγγελοι αὐτῶν ἐν οὐρανοῖς διὰ παντὸς ὁρῶσι τὸ πρόσωπον τοῦ πατρός μου „ τοῦ ἐν οὐρανοῖς· „ τί πράσσοντες ἢ τί ἐργαζόμενοι, ἢ πάντως γε τὰς αἰτήσεις ἡμῶν εἰς τὰ ὦτα κυρίου σαβαὼθ ἄγοντες, καὶ ἵλεων ἡμῖν αὐτὸν ἐπὶ τοῖς πεπραγμένοις παρασκευάζοντες, καὶ ἃ πρὸς σωτηρίαν ἡμῖν ἐστι μεσιτεύοντες; Ἐνταῦθα οὖν ὁ περὶ τούτων λόγος ὡρίσθω, καὶ ὁ τῆς τοῦ δυσσεβοῦς ματαιότητος λῆρος ἀνείσθω· ἐπὶ δὲ τὰ πρώην ὑπεσχημένα, τῆς τοῦ γραπτοῦ καὶ ἀπεριγράπτου φωνῆς ἕνεκεν, ὧν τὸ διάφορον ἐξ ἀπαιδευσίας καὶ ἀμαθίας ἠγνοηκότα κατίδοι ἄν τις, καθάπερ δὴ καὶ τοὺς ἐκείνου φοιτητὰς, καὶ τῆς πλάνης ἀκροατὰς, τοὺς νῦν ἀσεβεῖς καὶ ἀπαιδεύτους δογματιστὰς, ἤδη τῷ λόγῳ τρεψώμεθα, τὰ παρ᾽ αὐτῶν ἐπισκεπτόμενοι ληρωδήματα· ἀλλ᾽ ἐπειδὴ ὥσπερ φύσεων καὶ ἰδιωμάτων διαφορὰν οὐκ ἔγνωσαν, οὐδὲ ἀναμέσον ἁγίου καὶ βεβήλου διαστεῖλαι ἀνοηταίνοντες διέγνωσαν, οὕτως οὐδὲ ὅτί ποτέ ἐστι γραφὴ καὶ περιγραφὴ, ἢ γραπτὸν καὶ περιγραπτὸν ἐπέγνωσαν· πάντα γὰρ συγχέοντες καὶ συμφύροντες καὶ ἀδιάκριτα λογισάμενοι, εἰς ταὐτὸν ἄγουσιν, ἃ πολὺ ἀλλήλων διέστηκε, τὴν ὁπωσοῦν ἐν αὐτοῖς οὔτε εἰδότες οὔτε διδόντες διάκρισιν· ὧν τῇ ἀνοίᾳ συγκαταστάντες ἐν τοῖς ἀνόπιν εἰρημένοις, ὡς ἂν τοῦ λόγου τὸ συνεχὲς μὴ διακόπτοιτο, ὡς ἔτυχε ταῖς φωναῖς καὶ αὐτοὶ κατεχρησάμεθα· ἔνθα μὲν κυρίως, καὶ τὸ ἴδιον τῆς λέξεως τηρήσαντες σημαινόμενον, ἔνθα δὲ πρὸς τὸ ἀδιάφορον ἰδόντες, τὸν λόγον ποιησάμενοι· ἐπηγγέλμεθα δὲ τὴν τούτων παραστῆσαι καὶ διαρθρῶσαι γνῶσιν τὲ καὶ διάκρισιν, καὶ ὅτῳ πρὸς ἄλληλα διαφέρουσιν, ὡς ἂν εὐκάτοπτος αὐτῶν ἡ ἑρμηνεία καὶ διασάφησις οὐκ εἰδόσι γένηται, καταγέλαστος δὲ καὶ ἀπαιδευσίας πλήρης, τῶν ἀνοήτων ὁ λόγος ἐκδειχθῇ· ταύτῃ τοι ὡς ἐν βραχεῖ νῦν περὶ αὐτῶν διαλαβεῖν, εὔκαιρον ὑπειλήφαμεν.

ιβ. Τίς γὰρ τῶν κατὰ βραχὺ λόγου μετασχόντων οὐκ ἐννοήσειεν, ὅτι ἄλλο μέν ἐστι γραφὴ, ἕτερον δὲ περιγραφή; γραφὴ μὲν γὰρ, ἵνα ἐκ τῶν ἁπλουστέρων ἀρξώμεθα, διττῶς λέγεται· ἡ μὲν γὰρ τοῖς χαρακτῆρσιν τουτωνὶ τῶν στοιχείων ἐν εἱρμῷ καὶ τάξει χαρασσομένη, καὶ συλλαβικῶς προϊοῦσα διὰ τῶν λογογραφουμένων ἐκφέρεται, ἡ δὲ διὰ τῶν ὁμοιωμάτων μιμήσει τῇ πρὸς τὸ παράδειγμα εἰδοποιουμένη καὶ τυπουμένη, ὡς ἐπὶ τῆς ἡμῖν εἰς ζήτησιν προκειμένης δείκνυται· καὶ ἡ μὲν τῶν συνειρομένων λόγων τὸ ἀπαγγελτικὸν διὰ τῶν ἐκφωνουμένων παρίστησιν· ἡ δὲ τῶν παραδεδειγμένων προσώπων τὸ μιμητικὸν, διὰ τῶν ἐμφαινομένων ὑποδείκνυσιν· ἄλλως δὲ εἴπερ εἰδῶν τινῶν ἔσθ᾽ ὅτε καὶ πραγμάτων ἔμφασιν εἰσφέρει, οὐκ ἀναγκαῖον ἐν τῷ παρόντι διασκοπεῖσθαι· γραφεῖς δὲ καὶ ἀμφότεροι οἱ ταῦτα μετιόντες τὲ καὶ ἀποτελοῦντες, κατὰ τὴν ὧδε καλοῦνται συνήθειαν ὅ τε τὸν λόγον ὑπογράφων, καὶ ὁ τῆς ζωγραφικῆς ἐπιστήμης εἰδήμων· τὸ γὰρ ἐπὶ τοῦ ξύσαι παρὰ τοῖς παλαιοῖς λεγόμενον γράψαι, οὐ πόῤῥω τῆς τούτων ἐννοίας διῴκισται. Περιγραφὴ δέ, φασι, τούτοις ἀποτελεῖται· ἢ γὰρ τόπῳ περιγράφεται τὸ περιγραφόμενον, ἢ χρόνῳ καὶ τῷ ἦρχθαι, ἢ καταλήψει· τόπῳ

μὲν, ὡς τὰ σώματα· τόπῳ γὰρ περιείργεται, εἴ γε τόπος ἐστὶ πέρας τοῦ περιεχομένου, καθὸ περιέχει τὸ περιεχόμενον· χρόνῳ δὲ καὶ τῷ ἦρχθαι περιγραπτόν ἐστιν, ὃ μὴ πρότερον ὂν, ἀπὸ χρόνου καὶ τοῦ εἶναι ἤρξατο· καθ᾽ ἃ καὶ ἀγγέλους καὶ ψυχὰς περιγράφεσθαι λέγεται· σωματικῶς μὲν γὰρ ἄγγελοι ἐν τόπῳ οὐ περιέχονται, τῷ μὴ τυποῦσθαι καὶ σχηματίζεσθαι· ἐνεργοῦσι δὲ ἐν τόπῳ κατὰ τὴν οἰκείαν φύσιν, τῷ παρεῖναι νοητῶς νοεροί γε ὄντες, καὶ μὴ εἶναι ἑτέρωθι, ἀλλ᾽ ἐκεῖσε νοητῶς περιγράφεσθαι· εἴποι δ᾽ ἄν τις καὶ ὑπὸ τοῦ κτίσαντος αὐτοὺς περιορίζεσθαι· ἔτι δὲ καὶ τὰ χρόνῳ οὐκ ἠργμένα μόνον, ἀλλὰ καὶ περατούμενα καὶ ὁριζόμενα· ὧν ἐστὶν ἡ καθ᾽ ἡμᾶς παριοῦσα ζωὴ, μᾶλλον δὲ εὐπερίγραπτος καὶ πεπερασμένη· θανάτῳ γὰρ ἕκαστος ἡμῶν τὸ τέρμα τοῦ βίου δέχεται, καὶ τοῦδε τοῦ παντὸς τὸ πέρας καὶ ἡ συντέλεια, καθ᾽ ἣν μεταστοιχειούμενον διαμειφθήσεται· καὶ καταλήψει δὲ περιγραπτόν ἐστιν, ὃ διανοίᾳ καὶ γνώσει καταλαμβάνεται· ἓν γὰρ περιγραφῆς εἶδος λέγεται, καὶ ἡ κατάληψις, καθ᾽ ἣν καὶ ἄγγελοι ἀλλήλων ποσῶς τὴν φύσιν ἴσασιν· ὥστε εἶναι τὴν περιγραφὴν, περίσχεσιν καὶ ὅρον τοῦ ἐμπεριεχομένου καὶ ὁριζομένου, ἢ ἀποπεράτωσιν τοῦ ἠργμένου καὶ κινουμένου, ἢ κατάληψιν τοῦ νοουμένου καὶ γινωσκομένου· ὃ δὲ μηδενὶ τούτων περιέχεται, ἀπερίγραπτόν ἐστιν· ὁ Χριστὸς τοίνυν τοῖς εἰρημένοις τούτοις ἀνθρωπίνως περιγέγραπται τρόποις· ἐπειδὴ γὰρ σῶμα πεφόρεκεν ἀληθῶς τὸ καθ᾽ ἡμᾶς, οὐ κατὰ φαντασίαν, ὁ ἀσώματος ἐν τόπῳ περιγέγραπται· καὶ ἀρχὴν χρονικὴν εἰληφὼς ὁ ἄναρχος, χρόνῳ περιεγράφη· καὶ τοῖς ἀνθρώποις σωματικῶς προσομιλήσας, κατελήφθη ὁ ἀκατάληπτος.

ιγ. Τοσαυταχῶς οὖν λεγομένης τῆς περιγραφῆς, πολλήν ἐστιν εὑρεῖν ἐν τούτοις τὴν διαφοράν· οὐδὲ γὰρ ὁ γράφων ἤγουν εἰκονίζων ἄνθρωπον, ὡς ἐφ᾽ οὗ νῦν πρόκειται λέγειν, τὸν αὐτὸν ἅμα καὶ κατὰ ταὐτὸν περιγράψει· ὡς οὐδ᾽ εἴ τις περιορίζοι τινὰ, καθ᾽ ὃν ἂν περισχεθῇ τόπον ἐγκαθείργνυσι, καὶ τὸν μὴ παρόντα γε μάλιστα· καὶ γὰρ ἐν μὲν τῇ περιγραφῇ, ἐξ ἀνάγκης πάρεστιν· ἐν δὲ τῷ γράφεσθαι, οὐ πάντως πάρεστιν· ἀλλ᾽ οὐδὲ περιγράψει προηγουμένως, κἄν τις οἴηται τοῦτο δρᾷν· ὅλως γὰρ τὰ σωματικῶς περιγραφόμενα, τόπος ἐστὶν ὁ προσεχῶς περιγράφων· καὶ τί ποτέ ἐστι τόπος, εἴρηται· οὐδ᾽ αὖ πάλιν εἴ τις σωματικῶς περιγράφοι, ἵνα καὶ τούτῳ συγχρησώμεθα τῷ λόγῳ, τινὰ, τὸν αὐτὸν πάντως καὶ γράφει, ἤτοι εἰκονίζει· οὐδεὶς γὰρ ὁ συναναγκάζων λόγος, ἐπεὶ οὐδὲ ἀλλήλοις ταῦτα ἕπεται, ὡς εἰρήσεται καὶ αὖθις· ἐν τῷδε μὲν γὰρ τῷ τόπῳ, οἷον ἐν τοίχῳ τινὶ ἢ πίνακι, φαμὲν γράφεσθαι ἄνθρωπον· ἐν αὐτῷ δὲ τῷ τόπῳ οὐδεὶς τῶν νηφόντων καὶ λελογισμένων εἴποι ἂν αὐτὸν περιγράφεσθαι ἤτοι περιορίζεσθαι· ἄνθρωπος γὰρ ἐν τῇ ἰδίᾳ εἰκόνι γράφεται μὲν, οὐ περιγράφεται δὲ ἐν αὐτῇ, εἰ μὴ ἐν τῷ οἰκείῳ τῆς περιγραφῆς τόπῳ· καὶ ὁ τρόπος δὲ τούτων παρὰ πολὺ διήνεγκε· γράφεται μὲν γὰρ ἄνθρωπος διὰ χρωμάτων καὶ ψηφίδων, ἂν οὕτω συνενεχθείη, καὶ ταῦτα ποικίλως καὶ πολυειδῶς σχηματιζόμενος, καὶ διηλλαγμένοις τοῖς ἄνθεσιν· οὐδαμῶς δὲ ἔνεστι διὰ τούτων αὐτὸν περιγράφεσθαι, ἐπεὶ ἑτέρως ἔχειν τὸ περιγράφεσθαι εἴρηται.

Ἔτι ἡ γραφὴ τὸ σωματικὸν εἶδος τοῦ γραφομένου παρίστησι, σχῆμα τὲ καὶ μορφὴν αὐτοῦ ἐντυπουμένη καὶ τὴν ἐμφέρειαν· ἡ δὲ περιγραφὴ, ἐν οὐδενὶ τούτων ἐπικοινωνοῦσα τοῖς εἰρημένοις τρισὶ τρόποις, τὰ ἐμπεριειλημμένα ὁρίζει· καὶ ἡ μὲν ἐν τῷ ὁμοίῳ τὴν σχέσιν ἔχουσα πρὸς τῷ ἀρχετύπῳ ἐστὶ, καὶ ἀρχετύπου γραφὴ ἐστί τε καὶ λέγεται, κεχώρισταί τε αὐτοῦ, καὶ ἰδίᾳ ὑφέστηκε, καὶ ποτὲ ἐστίν· ἡ δὲ, οὔτε ὅμοιον, οὔτε ἀνόμοιον γίνεται, οὔτε εἰδοποιεῖται, οὐδὲ ἀρχετύπου περιγραφὴ λέγεται, οὐδὲ πρὸς τὸ ἀρχέτυπον φέρεται· ἀχωρίστως δὲ καὶ αὐτόθεν, οἷς συμπεριείληφε συνυφίσταται, καὶ ἀεὶ αὐτοῖς πρόσεστιν· ἀεὶ γὰρ ἐν τόπῳ ὁ ἄνθρωπος, καὶ ἐν χρόνῳ, καὶ ἐν καταλήψει ἐστὶ, καὶ περιγραπτῇ γε οὔσῃ τῇ φύσει, ἐξ ἀνάγκης ἕπεται, οὐδενὶ κενῷ διειργομένῃ· ὡς ἴδοι τις ἐπὶ τῆς τοπικῆς περιγραφῆς, τὸ συνάπτειν ἀμφοῖν πρὸς τῇ ἐπιφανείᾳ ἀλλήλων τὰ πέρατα· ἔνθα γὰρ ὄγκος καὶ μέγεθος, ἐξ ἀνάγκης καὶ τόπος συνεπινοηθήσεται. Ἡ γραφὴ δὲ ἐκκεχώρηκε πολλῷ· καὶ ἡ γραφὴ μὲν, εἰ καὶ διαφόροις τόποις, ὅμως ὡρισμένως τυποῦται· ἡ περιγραφὴ δὲ ὁρίζουσα, ἁπλῶς καὶ ἀορίστως πᾶσιν ἃ πέφυκε περιγράφεσθαι συμπερίηκται· οὐ γὰρ ἐν τῷδε μὲν περιγράφει, ἐν τῷδε δὲ οὔ· καὶ ἡ μὲν ἐν αἰσθήσει καὶ δείξει τὸ πᾶν ἔχει, ἡ δὲ τὸ πλέον ἐννοήσει· τάχα γὰρ τὸν περιγράφοντα τόπον τίς αἴσθοιτο μόνον· καὶ ἁπλῶς εἰπεῖν, οὔτε ἡ γραφὴ περιγράφει τὸν ἄνθρωπον κἂν περιγραπτός ἐστιν, οὔτε ἡ περιγραφὴ γράφει κἂν γραπτός ἐστιν· ἑκάτερον γὰρ τὸν ἑαυτοῦ λόγον ἕξει· καὶ ἔτι ἡ μὲν γραφὴ περιέχεται ὑπὸ τῆς περιγραφῆς, ἡ δὲ περιγραφὴ οὐ περιέχεται ὑπ᾽ αὐτῆς, ἀλλὰ περιέχει αὐτήν· διὸ οὐδὲ ἀντιστρέφει· ἐπὶ πλέον γὰρ ἡ περιγραφή· εἴ τι μὲν γὰρ γραπτὸν, ἤτοι τὸ εἰκονιζόμενον, ὁ ἄνθρωπος λέγω, καὶ αὐτὴ ἡ γραφὴ, ἤγουν ὁ τετυπωμένος χαρακτὴρ, φήσειεν ἄν τις τάχα που καὶ περιγραπτὸν, περὶ οὗ νῦν ἡμῖν λέγειν πάρεστιν, ὃ πανταχοῦ ἐπισημαίνεσθαι χρή· οὐ γὰρ περὶ τοῦ ἑτέρου τρόπου διέξιμεν· οὐ μὴν ἔμπαλιν εἴ τι περιγραπτὸν, τοῦτο καὶ γραπτόν.

Οἷον τί φημι· ὁ ἐνιαύσιος καλούμενος κύκλος, ἵνα καὶ οὕτως ὁ λόγος ἡμῖν ἴοι, μέτροις τισὶ καὶ διαστήμασι χρονικοῖς τέτρασι περιστρέφεται· διόπερ δὴ καὶ περιγράφεσθαι λέγεται, οὐ γράφεται δὲ ἤτοι εἰκονίζεται· πῶς γὰρ ἂν καὶ εἰκονισθείη ὅ γε μήτε εἰδοποιούμενος, μήτε σχηματιζόμενος, καὶ διὰ τοῦτο μὴ δὲ ὑπ᾽ ὄψιν ἐρχόμενος, ἀλλ᾽ οὐδὲ ὑπομένων; συνεχὴς γὰρ ὢν, τὰ οἰκεῖα πέρατα τοῖς τοῦ ἐφεξῆς ἀρχὰς ἀεὶ ποιούμενος ἐπισυνάπτει· ἁπλῶς γοῦν τῷ ἀπὸ τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ σημεῖον κυκλικῶς περιδινούμενον τὸν ἥλιον ἀποκαθίστασθαι, ὁπωσοῦν περιγράφεσθαι λέγεται· καὶ οὕτως ἀλλήλων τὰς διαδοχὰς, ὥσπερ ἐν ἀτόμῳ καὶ ἀκαρεῖ καὶ σχεδὸν ἀνεπαισθήτως διανύουσιν· ἵνα γὰρ μὴ ῥέων ὁ χρόνος ἐπ᾽ ἀδήλῳ τὰ τῆς ζωῆς τῆς ἀνθρωπίνης περιστήσειε, σύγχυσίς τε τῶν καθ᾽ ἡμᾶς πραγμάτων καὶ ἀταξία καὶ ἀνωμαλία ἐπικρατοίη, μηδενὸς χρονικοῦ σημείου τούτοις ἐμφαινομένου, ἡμέραις καὶ ὥραις καὶ ἑβδομάσι καὶ μησὶ καὶ ἐνιαυτοῖς μετρεῖται, ὀλυμπιάσι τὲ τὸ παλαιὸν καὶ ὑπατείαις, καὶ ἑτέροις μέτροις κοσμούμενος, ἵνα σαφὴς καὶ τετρανωμένη τῶν πραγ-

τομένων ἡ μνήμη διασώζηται, καὶ τὰ ἐν τῷ βίῳ διευθετῆται πράγματα· οὕτως οὖν καὶ ὁ κατὰ Μωσέα νόμος μέχρι τοῦ εὐαγγελικοῦ καὶ σωτηρίου κηρύγματος προϊὼν, χρόνῳ ἔστη καὶ περιεγράφη· καὶ ἡ εἰδωλολατρία, ἐπιφανέντος τοῦ σωτῆρος ἡμῶν θεοῦ, ὡσαύτως κατήργηται καὶ περιγέγραπται, εἰς τὸ λοιπὸν μήτε προϊοῦσα μήτε ἐνεργοῦσα πώποτε· ἀλλ' οὔτε ὁ νόμος καίτοι περιγραπτὸς ὢν, εἰκονίζεται, αὐτό γε καθ' αὑτὸ τοὔνομα ψιλὸν, εἰ καὶ τὰ νομιζόμενα συλλαβικῶς γράφεται, καὶ ἐν βίβλοις ἱεραῖς ἀεὶ διαφέρεται· οὔτε ἡ εἰδωλολατρία γράφεται, πρᾶγμα περὶ ἀνυπόστατα ματαιοπονούμενον, ἀνείδεόν τε ὂν καὶ ἀσχημάτιστον.

ιδ. Ὡσαύτως δὲ καὶ αἱ ἀρχαὶ καὶ ἐξουσίαι τῶν ἐθνῶν, περιγεγραμμέναι εἰσί τε καὶ λέγονται, ὅροις τισὶ καὶ πέρασι διειλημμέναι· ἐν τόποις γὰρ ἀφωρισμένοις ἑκάστῳ ἔθνει τὰ τῆς οἰκείας ἀρχῆς καὶ ἐξουσίας παρὰ θεοῦ ἐκνενέμηται, κατὰ τὸ εἰρημένον " ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων θεοῦ· " οὐ μὴν αὐτό γε τοὔνομα τῆς ἀρχῆς καὶ τῆς ἐξουσίας εἰκονισθήσεται· πρᾶγμα γὰρ καὶ σύμβολον ἀξιώματος ὂν τυγχάνει· ὁμοίως καὶ ἡ ἀνθρωπίνη ζωὴ, καίτοι περιγεγραμμένη οὖσα, καὶ ὑπὸ τοῦ δημιουργοῦ τῶν ὅλων θεοῦ καθοριζομένη, ὅμως οὐ γράφεται· καὶ τὰ συμπίπτοντα ἐν ἡμῖν νοσήματα περιγραπτά ἐστι, χρόνῳ γὰρ περιγράφεται· καὶ μάλιστα πυρετοὶ ἐφήμεροι, ἄχρι γὰρ μιᾶς ἡμέρας ὡς ἐπὶ τὸ πλεῖστον περιγράφονται, ἰατρῶν παῖδες φασὶν, ἀλλ' οὐδεὶς γέ ποτε πυρετὸν γραφόμενον ἢ εἰκονιζόμενον τεθέαται· ἤδη δὲ καὶ τῶν ἀνθῶν αἱ ποιότητες, αἳ τοῖς ὑποκειμένοις ἐνυπάρχουσι σώμασιν εὐωδιάζουσαι, ἐν τῷδε τῷ τόπῳ τυχὸν πεφυτευμένοις ἢ ἐναποτεθειμένοις, καὶ τὸ εὐῶδες ἀποπέμπουσαι, ἄχρι τοῦδε περιγραφήσονται· καθ' ἑαυτὰς δὲ ὅτι μὴ ὑφίστανται, οὐ γράφονται, ὅτι μὴ δὲ εἰδοποιοῦνται τὸ σύνολον. Τί δὲ ἡ ἐπ' Αἴγυπτον τοῦ Ἰακὼβ καὶ τῶν ἐξ Ἰακὼβ κάθοδος, ὑπὲρ τὰ τετρακόσια διαρκέσασα ἔτη; ἤτε εἰς Βαβυλῶνα τῶν ἐκεῖθεν Ἰουδαίων ὑπὸ Χαλδαίων αἰχμαλωσία, ἐν ἑβδομήκοντα ὅλοις ἔτεσι καθωρισμένη παρὰ τοῦ τῶν ὅλων θεοῦ, ἣν ἐπὶ τῆς ἀλλοδαπῆς οἱ δοριάλωτοι πρὸς παιδείαν τῶν πεπλημμελημένων, διατελέσαι κατεδικάσθησαν; οὐχὶ περιγραπταὶ ὑπῆρχον, καὶ πάλαι τῇ ἐπανόδῳ λέλυντο, φησὶν ὁ θεῖος Γρηγόριος; πρᾶγμα δέ ἐστιν ἡ μὲν κάθοδος τῶν μετῳκηκότων ἢ μετανάστασις· ἡ αἰχμαλωσία δὲ τῶν μὲν ἑλόντων, πλεονεξίας ἐπίδειξις καὶ γνώμη τυραννικὴ, τῶν δὲ ἁλόντων ἐλευθερίας ἀφαίρεσις, ἀνδραποδισμός τε καὶ ἀκούσιος ἀπαγωγή· ἀλλ' οὐκ ἄν τις κάθοδον ἢ αἰχμαλωσίαν αὐτὸ καθ' αὑτὸ τὸ πρᾶγμα γράψειεν· οὐ γὰρ τοὺς κατιόντας αὐτοὺς ἢ τοὺς ᾐχμαλωτισμένους εἰρῆσθαι νῦν οἰητέον· ἕτερον γὰρ ἐκείνων ταῦτα· ὥσπερ δὴ τῶν σωμάτων, τὰ πράγματα· φήσειε δ' ἄν τις περιγραφόμενον καὶ τὸ πνεῦμα αὐτὸ τὸ ἀέριον, ἅ τε δὴ ἐν τῷδε μὲν τῷ χωρίῳ πνέον, ἐν τῷδε δὲ ἀπολειπόμενον, οὐ γραφόμενον δὲ, ἐπεὶ οὐ διήρθρωται οὐδὲ εἰδοπεποίηται.

ιε. Καὶ ὁ λόγος δὲ εὐπερίγραπτος μὲν λέγεται, οὐδαμῶς δὲ εἰκονίζεται· οὐ γὰρ σῶμα οὐδὲ εἶδος αὐτῷ ἢ σχῆμα περίεστι· πῶς γὰρ ὅ γε κατὰ τὴν

προφορὰν χεόμενος καὶ λυόμενος; εἴρηται δὲ ἐφ' οὗ τὸ γράφεται ἐπὶ πάντων τούτων ἐκληπτέον· κατὰ γὰρ τὸν ἕτερον τῶν σημαινομένων τρόπον, ἤτουν συλλαβικῶς, πάντα γραφήσεται· καὶ πολλὰ ἄν τις ἀνερευνῶν εὕροι, ἐφ' ὧν ἡ διαφορὰ τουτωνὶ τῶν λέξεων διαφαίνεται· οὐδὲν οὖν τῶν εἰρημένων γράφεται, εἰ μὴ καθάπερ ἔνιοι τὰς ἀρετὰς σχηματίζοντες καὶ διαπλάσσοντες, οἷον δικαιοσύνην καὶ ἀνδρείαν καὶ τὰς λοιπὰς σωματοποιοῦσιν, ὡς ἔν τισιν εἴδομεν, ἃ οὐ κυρίως εἰκονίζεσθαι λέγεται οὐδὲ γράφεσθαι, ὡς ἀρχετύπων ἠμοιρηκότα, καὶ μηδαμῶς τισὶν ὑποστάσιν ὅμοια· αἱ γὰρ εἰκόνες πρὸς ἀρχέτυπα διαγράφονται καὶ χαράσσονται, καὶ τῶν ϖρός τι εἰσὶ, καθὰ δὴ καὶ ϖρώην ἡμῖν εἴρηται· ταῦτα δὲ πλάσματά ἐστιν, ἐξ ἐπινοίας καὶ κατ' ἐξουσίαν τοῦ τυποῦντος ἀναπλασσόμενα· οὐδενὸς οὖν προϋφεστῶτος ταῦτα φέροντα δείκνυται, οὔτε εἶδος, οὔτε σχῆμα, οὔτε μορφήν· οὐκοῦν οὐ κυρίως οὐδὲ ἀληθῶς εἰκονισθήσεται· καὶ ὅλως τὰ ἐν τόϖῳ περιειργόμενα, καὶ ϖρὸς τὴν αἴσθησιν τὴν ἡμετέραν ἐρχόμενα, οἷς σῶμα τὲ καὶ εἶδος καὶ σχῆμα περιτίθεται, ταῦτα ὡς ἐπὶ τὸ ϖλεῖστον εἰκονίζεται· τὰ δὲ καθ' ἕτερον τρόπον γινόμενα, ἢ οὐδ' ὅλως, ἢ ἐν καταχρήσει, ἢ ὅτῳ τρόπῳ ἑτέρῳ, σπανιάκις γραφήσεται. Τοσαύτης οὖν ἐμφαινομένης ἐν τούτοις τῆς διαφορᾶς, ἔκ τε τοῦ ὁρισμοῦ καὶ τοῦ λοιϖοῦ ϖερὶ αὐτῶν λόγου, πλὴν οἵ γε ἐμϖαθεῖς καὶ ἀνόητοι, μέχρι τῆς ζωῆς τῆς παρούσης τὴν ἐλπίδα περιγράφοντες, ἵνα καὶ τοῦτο αὐτοῖς ϖροστεθείη, καὶ οὐδαμῶς ϖρὸς τὸν μέλλοντα διὰ τὸ ἐμϖαθὲς τῆς ψυχῆς καὶ ϖρὸς τὴν ὕλην ἐπιῤῥεϖὲς βλέποντες, ὁρμαῖς δὲ ἀπαιδεύτοις καὶ αὐθαιρέτοις κινούμενοι, ὥσπερ ἐξ ἐπιτάγματος τὰ δεδογμένα νομοθετοῦσιν ἀπερισκέπτως καὶ λίαν ἀφρονέστατα, ἃ μὴ δὲ αὐτὴ τῶν πραγμάτων ἡ φύσις ἐπίσταται· δέον γὰρ λέγειν, γράφειν καὶ εἰκονίζειν, περιγράφειν φασὶ, μήτε τῇ ἐκκλησιαστικῇ διδασκαλίᾳ, μήτε μὴν τῇ τῶν πραγμάτων ἀκολουθίᾳ προσανέχοντες· οὐδὲ τὰ ἐν τῇ κοινῇ ταύτῃ δὴ καὶ δημώδει χρήσει, ἐπιγνῶναι αὐτοὺς τὴν τούτων διαφορὰν πέπεικεν, οἷα εἰσὶ τὰ λεγόμενα ἐν τοῖς συμβολαίοις γραμματεῖα ἐμπερίγραφα, ἀντιδιεσταλμένως τοῖς ἐπὶ τοῖς διηνεκέσι συναλλάγμασι νενομισμένοις ὀνομαζόμενα.

ι[illegible]. Ὁ δὲ ϖάντων αὐτῶν μάλιστα καταισχύνει τὴν ἄνοιαν, οὐ συνῆκαν οἱ δείλαιοι· πανταχοῦ γὰρ αὐτοὶ ἀνὰ στόμα: ἔχοντες, προσφέρουσι τὸν διδάσκαλον Ἀστέριον ϖροστάσσοντα· τί; μὴ γράφε τὸν Χριστόν· οὐ μὴν, μὴ ϖερίγραφε, διακελευόμενον· οὕτω δὲ καὶ ὁ καθ' ἡμᾶς Ἀστέριος ἐν τῇ κατὰ τὴν ἁγίαν μάρτυρα Εὐφημίαν ἐκφράσει (1)· εἶδον ἐκεῖ γραφήν τινα, τὴν ἱερὰν ἱστορίαν τῆς θεομάρτυρος ἡμῖν ὑϖοδεικνύς· οὐ περιγραφὴν εἴρηκε καὶ γραφικὴν, οὐ ϖεριγραφικὴν κατωνομασμένην· οἶδε τὴν τέχνην, καὶ τῶν ζωγράφων τοὺς ἀρίστους ὑϖεράγασθαι, καὶ εἰς μέγα ἦρθαι ϖαρ' αὐτοῖς, καὶ ἅμα θαυμάζεσθαι τῶν φιλοτεχνουμένων τοὺς πίνακας. Τί χρὴ λέγειν περί γε τῶν ἄλλων ἱερῶν πατέρων ἡμῶν; ὧν ὁ μὲν τοῖς πίναξιν ἐγχαράσσοντας τοὺς ζωγράφους παρατίθεται·

(1) Confer Combefisium Auctar. Bibl. PP. T. I. p. 207. et p. 267, qui utitur Nicephoro nostro ms. ubi S. Asterii fragmenta colligit.

ὁ δὲ, ὅτι ἆρα μετρίως ὑμῖν τὸν ἄνδρα ὁ λόγος ἔγραψε; φάσκων. Καὶ πάλιν· ἆρα οὐ σαφῶς ὑμῖν τὸν ὁμώνυμον ἐμοὶ καὶ ὁμόψυχον ὁ ζωγράφος λόγος ἀνετυπώσατο; οὐδεὶς δέπω, περιέγραψεν, εἴρηκεν· οἱ δὲ οὐδὲ τοὔνομα αὐτὸ, ὃ τοῖς πεπειραμένοις τὴν τέχνην ταύτην ἐπικέκληται, ἐπῄσθοντο· τοσοῦτον κατεφθαρμένοι τὸν λογισμὸν καὶ τὸ ἀσύνετον νενοσήκασι· ζωγράφοι γὰρ οὐ ζωοπεριγράφοι κικλήσκονται· καὶ ἵνα μὴ λόγων λαβύρινθον διεξίοιμεν, καὶ ἄλλως ῥημάτων ὄχλον ἀδιεξίτητον ἐπεισκρίνωμεν, εὐπερίγραπτον τὴν περὶ τοῦ γραπτοῦ καὶ περιγραπτοῦ γραφὴν ἐνταυθοῖ περιγράψωμεν.

ιζ. Πῶς οὖν οὐκ ἐγκαλύπτονται οἱ χριστομάχοι καὶ καταδύονται, τὰ ἀσώματα καὶ ἀσχημάτιστα οἷον ἄγγελον καὶ ψυχὴν, ὅσον κατὰ τὸν ἴδιον λόγον, ἀκούοντες περιγράφεσθαι, Χριστὸν δὲ σεσωματωμένον καὶ ἐν οὐσίᾳ τῇ καθ' ἡμᾶς πεφηνότα καὶ ἐνυπόστατον ὄντα, καὶ εἶδος καὶ σχῆμα καὶ μορφὴν ἀνθρωπείαν ἀνειληφότα, καὶ διασώζοντα ἐν πᾶσι τὸ ἐν ἀνθρώποις τέλειον, μὴ δοξάζειν περιγράφεσθαι καὶ γράφεσθαι ἤτοι εἰκονίζεσθαι; ἀμφότερα γὰρ ἐπ' αὐτοῦ δείκνυται· ἐπεὶ καὶ ἐφ' ἡμῶν ταῦτα καθ' οὓς γέγονεν, οὐδενὸς τῶν καθ' ἡμᾶς πλὴν ἁμαρτίας ἀπολειπόμενος· ὅλον γὰρ τὸν παλαιὸν Ἀδὰμ ὁ νέος Ἀδὰμ ἔφερεν, ἵνα πεσόντα ὑπὸ τὴν ἁμαρτίαν διὰ τὴν τῆς θείας ἐντολῆς παράβασιν, ἀναστήσῃ ἐν ἑαυτῷ ὡς ἀναμάρτητος χάριτι· ἢ καὶ ἑαυτοὺς τοῦ αὐτοῦ γε ὄντας φυράματος, περιγεγράφθαι ἀπιστήσουσιν, ἵνα καὶ τὸ εἶναι ἄνθρωποι προσαπολέσωσιν; Ἡμεῖς γὰρ πεπιστεύκαμεν καὶ διαγγέλλομεν ὡς διὰ περιουσίαν φιλανθρωπίας, τὸ ἴδιον πλάσμα ἐπὶ τὴν ἀρχαίαν εὐγένειαν ὁ θεῖος λόγος ἀνακαλούμενος, πρῶτον μὲν ἐν τῇ νηδύϊ τῆς παναγίας μητρὸς καὶ ἀληθῶς θεοτόκου οἰκήσας, σάρκα ἀψευδῶς τὴν ἡμετέραν ἐκ παρθενικῶν αἱμάτων προσείληφεν· ἐπεὶ καὶ αὐτὴ, ἄνθρωπος καὶ τῆς ἡμετέρας φύσεως ἀπαραλλάκτως οὖσα ἐτύγχανεν, ἁγιωσύνῃ δὲ καὶ καθαρότητι μόνον πάντων ὑπερέχουσα, καὶ ἄνθρωπος τέλειος, οὐ κατὰ φαντασίαν, οὐ κατὰ τὸ ἀνθρώπινον περιέγραψεν· ἐκ τοῦδε γὰρ ταῖς κυρίαις καὶ ἰδικαῖς σημασίαις τῶν φωνῶν τούτων χρηστέον· καίτοι ὡς λόγος μὲν ὢν ἀεὶ τοῦθ' ὅπέρ ἐστιν ἀπαθὴς, καὶ ἀπεριγραψίας καὶ ἀοριστίας ἁπάσης περιγραφὴ καὶ ὅρος ὢν, ἔπειτα δὲ προελθὼν ἐκεῖθεν ὡς εὐδόκησεν, ἐν σπηλαίῳ καὶ φάτνῃ κατακλιθεὶς, καὶ σπαργάνοις ἐνειληθεὶς, περιεγράφη καὶ περιωρίσθη σαρκί· ἐφ' οἷς καὶ τὰ ἑξῆς τοῦ περιγραπτοῦ σώματος, περιετμήθη, ἐβαπτίσθη, περιεγράφη σωματικῶς ἐν τοῖς ὕδασι, καὶ ὑπὸ δούλου χειροθετούμενος, ὑψώθη ἐν σταυρῷ, ἐτρήθη τὴν πλευρὰν, τὸν ὑπὲρ ἡμῶν ἀνέτλη θάνατον, τέθαπται ἐν μνημείῳ ἐν ᾧ περιεγράφη σωματικῶς· εἶτα ἀνεβίω τριήμερος ὡς θεὸς πατήσας τὸν θάνατον, καὶ νεκροῖς τὴν ἐλευθερίαν καὶ ζωὴν χαρισάμενος.

Τί οὖν φατὲ ὑμεῖς οἱ τὸ ἀπερίγραπτον πρεσβεύοντες, καὶ τῆς δοκήσεως δοξάζοντες τὸ ἀδόκιμον, ὁ ἐν σπαργάνοις ἐνειλούμενος, ἢ ἐν φάτνῃ κατακλινόμενος, καὶ εἴσω σπηλαίου γινόμενος περιγράφεται, ἢ οὔ; τί δὲ ὁ περιτεμνόμενος, καὶ βαπτιζόμενος, καὶ σταυρούμενος, καὶ τὸ πάντων ἔσχατον ἐν μνη-

μείῳ κατακλειόμενος, περιορίζεται ἐν τούτοις καὶ περιέχεται, ἢ οὔ; τὸ γὰρ μὴ περιγραφόμενον, οὐδὲ ἐν τόπῳ ἐστίν· εἰ δὲ οὐκ ἐν τόπῳ, οὐδὲ σῶμα· εἰ δὲ οὐ σῶμα, πολλῷ πρότερον οὐδὲ ἄνθρωπος· οὐκοῦν οὐδὲ ἐνηνθρώπησεν, οὐδὲ ἀνείληφε τὴν πεσοῦσαν φύσιν, καὶ οἷον τὸ καθ' ἡμᾶς σῶμα, ὃ ταῦτα πάσχειν πέφυκε, καὶ τοῖς τοιούτοις ὑποπέπτωκε πάθεσιν· εἰ δὲ χρὴ πρὸς τὴν ὑμῶν ἀπαιδευσίαν καὶ ἀναισχυντίαν μικρόν τι προσπαίξαντα εἰπεῖν, περιγράφεται ὁ περιγραφόμενος, ἢ οὔ; τοῦτο τῆς ὑμετέρας ἐμβροντησίας καὶ φρενοβλαβείας εἰπεῖν ἄξιον· ἴσως γὰρ οὐδὲ τούτῳ συνθήσεσθε· οὐ γὰρ παρὰ χριστιανοῖς ταῦτα ἀπιστηθήσεται ἢ παιχθήσεται· ὅπου γε καὶ μετὰ τὴν θείαν ἀνάστασιν, τῷ αὐτῷ σώματι, καίτοι τὴν ἀφθαρσίαν καταπεπλουτηκότι, θυρῶν κεκλεισμένων εἴσω γίνεται, καὶ τοῖς μαθηταῖς ἐμφανίζεται ψηλαφώμενος, καὶ τὰς ὠτειλὰς τῆς θείας πλευρᾶς καὶ τῶν ἥλων τῶν ἐν χερσὶν, οἷς διαπεπερόνηται, παραδείκνυσιν· οὐδὲ προσέξετε τοῖς λέγουσιν " οἵ τινες συνεφάγομεν καὶ συνεπίομεν „ αὐτῷ· „ καὶ τὸ ἔτι τούτων παραδοξότερον, καὶ εἰς οὐρανοὺς σεσωματωμένος ἄνεισι, καὶ ὡς σῶμα φέρων ὁρώμενος· καὶ δηλοῦσι τὰ τοῖς παραπέμπουσιν ἀγγέλοις λεγόμενα, καὶ παρὰ τοῖς μαθηταῖς ἀκουόμενα " ὅτι ὃν τρόπον „ ἐθεάσασθε αὐτὸν ἀνερχόμενον εἰς τὸν οὐρανὸν, οὕτως ἐλεύσεται· καὶ, ἐν δε- „ ξιᾷ τοῦ θεοῦ καθεζόμενον, καὶ πάλιν ἥξοντα μετὰ τῆς πατρικῆς δόξης δο- „ ρυφορούμενον „ τῷ αὐτῷ κεχρημένον σώματι, ἵνα καὶ ὀφθῇ ὑπὸ τῶν ἐκκεντησάντων· καὶ πιστευθῇ ὑπὸ τῶν ἀπειθησάντων· καὶ ὅλως ἵνα συνοπτικώτερον εἴπωμεν, τὸ ἀναβεβηκέναι αὐτὸν, τί ἄλλο ἢ σώματος ἴδιον, καὶ τόπου ἐξ οὗ καὶ εἰς ὃν μεταβέβηκε; σώματος οὖν ταῦτα περιγραπτοῦ, καὶ τοῦ καθ' ἡμᾶς, εἰ καὶ ὑπὲρ ἡμᾶς, κἂν μὴ βούλοιντο οἱ παράνομοι· εἰ καὶ μηκέτι Χριστὸν κατὰ σάρκα γινώσκομεν· ᾧ δηλοῦται κόπων αὐτὸν ἀπηλλάχθαι, καὶ πείνης καὶ δίψης, καὶ ὅσα σαρκὸς πάθη καὶ ἀσθενείας, καὶ πλὴν ἁμαρτίας, ἡμέτερα· οὐ γὰρ ἔτι τοῖς αὐτοῖς περιπεσεῖται πάθεσι, τὴν ἀφθαρσίαν ἅπαξ ἐνδεδυκώς.

ιη. Ἀμέλει ἐπὶ τῆς γῆς ὢν, καὶ τοῖς ἀνθρώποις ὀπτανόμενος καὶ συναναστρεφόμενος, ἡνίκα ἐντὸς τοῦ ἱεροῦ σωματικῶς ὑπάρχων ἐδίδασκε, περιεγέγραπτο· ἐνταῦθα δὲ παρὼν, οὐκ ἦν κατὰ ταὐτὸν καὶ ἐν τῇ Γαλιλαίᾳ σωματικῶς; καίτοι πάντα πληρῶν, καὶ πανταχοῦ, καὶ ὑπὲρ τὸ πᾶν ὡς θεὸς ὢν, καὶ ὡς ἐξὸν ὧδε εἰπεῖν ἀπερίγραπτος· ἐπεὶ πῶς καὶ πόθεν ἐπὶ τὴν Βηθανίαν μετάγεται, ὁ λέγων τοῖς μαθηταῖς " χαίρω δι' ὑμᾶς ἵνα πιστεύσητε ὅτι οὐκ ἤμην ἐκεῖ; „ τὸ μέγα ἐπιτελέσων ἐκεῖνο μυστήριον, τὰ τῆς κοινῆς καὶ καθολικῆς ἀναστάσεως προτέλεια, σαφῶς ὧδε πιστούμενος· ὀδωδότα τὸν τεταρταῖον ἐκ τῶν μυχαιτάτων καὶ ἀφανῶν τοῦ ᾅδου χωρίων ὡς ζῶντα προκαλούμενος, καὶ τοῖς ζῶσι τὸν ἤδη πρὸς φθορὰν ἐπειγόμενον καὶ λυόμενον ἐγκαταριθμῶν, ἐναργῶς τοῦ θαύματος τὴν δύναμιν τοῦ ζωοποιοῦντος τοὺς νεκροὺς διαδεικνύντος· ἀλλ' οὐδὲ ἐνταῦθα ὢν, ἤδη καὶ ἐν Καπερναοὺμ ἢ ἐν ἑτέρῳ τόπῳ κατὰ ταὐτὸν σωματικῶς ἐφαίνετο· καὶ ὅλως ἐν τῷδε ὢν τῷ χωρίῳ, οὐκ ἦν καὶ ἀλλαχόθι; τὸν γοῦν εἰς οὐρανοὺς ἀνιόντα οὐκ οἶδα εἴ τις φαίη, καὶ νῦν ἔτι σωματικῶς ἀν-

θρώποις προσομιλοῦντα συναναστρέφεσθαι, εἰ καὶ ἄλλως σὺν ἡμῖν ὡς πιστοῖς καὶ οἰκείοις διαιωνίζων ἐστὶ, κατὰ τὸ ἐπάγγελμα· εἰ μὴ μέλλοιεν καὶ πρὸς ταῦτα περιτραχύνεσθαι οἱ ἀλλότριοι· καὶ ἵνα μὴ τὰ πολλὰ διεξιόντες μακρὸν ἀποτείνωμεν λόγον, εἴπερ ἐνσώματος ἦν, ἐν τόπῳ ἦν καὶ περιεγέγραπτο· τόπος γὰρ πέρας ἐστὶ τοῦ περιεχόντος, καθὸ περιέχει τὸ περιεχόμενον, καὶ πέρασι διείληπται καθ' ἃς ὁρίζεσαι σχέσεις.

ιθ. Δῆλον οὖν, ὡς καὶ ὁ Χριστὸς σῶμα ἀληθῶς καὶ οὐ κατὰ δόκησιν, φορῶν τὸ ἡμέτερον, ἔν τινι τόπῳ ὤν, οὐκ ἦν σωματικῶς πανταχοῦ· ἐξ ὧν πάντων φανερὸν, ὅτι περιεγέγραπτο· καὶ εἰ μὴ τοῦτο ὁμολογήσαιεν, τὸν ἕτερον τρόπον δώσουσι, τῇ κακοδαίμονι τῶν Δοκητῶν πλάνῃ μαινόμενοι συμπεριενεχθέντες, ἐν φαντασίᾳ τὴν τοῦ κυρίου σάρκωσίν τε καὶ σταύρωσιν ὀνειρώσσοντες· μὴ δὲ γὰρ εἶναι Χριστὸν τὸν σταυρούμενον ἐφαντάζοντο, ἀλλ' αὐτὸν μὲν ἐπὶ τοῦ ὄρους καθέζεσθαι, διαγελᾷν δὲ ἰουδαίους ὡς Σίμωνα σταυροῦντας, δόξαι Χριστὸν ἐσταυρῶσθαι· οὐκ ἐξ ἡμῶν οὖν ἔσχε Χριστὸς τὸ περιγράφεσθαι, οὐδὲ παρὰ τὸ εἰκονίζειν ἡμᾶς αὐτὸν, περιγραπτός ἐστι· μακρὰ οὖν ληροῦσιν οἱ ἀνόητοι, καὶ ἀπαίδευτοι, καὶ πάσης ἠμοιρηκότες συνέσεως, καὶ οὐδὲν τῶν μεμηνότων βέλτιον ἔχοντες· οὔκουν οὐ περιγράφομεν αὐτὸν ἡμεῖς· πῶς γὰρ τόν γε σωματικῶς μὴ παρόντα; ἀλλὰ γράφομεν οὐ καθὸ περιγράφεται, ἀλλὰ καθὸ γράφεσθαι πέφυκε σωματικῶς, ἵν' ἐκδηλότερον φανῇ τὸ τῶν φωνῶν σημαινόμενον· οὕτως καὶ αἱ εἰκόνες οὐ καθὸ περιγραπτὸς, ἀλλὰ καθὸ γραπτὸς, γνωρίζουσι πᾶσιν αὐτόν· καί γε καὶ ἡμεῖς εἰκονίζομεν οὐχ' ᾗ λόγος καὶ θεὸς, ἀόρατος γὰρ καὶ ἀναφὴς καὶ ἀσχημάτιστος, ἄπαγε, παραφροσύνης γὰρ τοῦτό γε, καὶ τῆς ἁπασῶν ἐσχάτης ἀπονοίας ἀνάμεστον, ἀλλ' ᾗ ἄνθρωπος κατὰ πάντα πεφανέρωται· οὐχ' ὥσπερ τῷ Ἀβραὰμ ὤφθη καὶ τοῖς προφήταις ἐν εἴδει ἀνθρώπου " ἀλλ' ὅτι ὁ λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν· καὶ ὁ λό-,, γος παχύνεται, ὅ ἐστι, τὴν καθ' ἡμᾶς σάρκα πεφόρεκε· καὶ, ὁ ἄναρχος ἄρ-,, χεται· καὶ, ὁ ἀναφὴς ψηλαφᾶται· ,, καὶ ὅσα τοιαῦτα ἡμῖν παρὰ τοῦ πνεύματος παραδέδοται καὶ πιστεύεται· ὥστε τὸ μὲν περιγράφεσθαι, οὐχ' ἡμῶν ἕνεκεν, ἀλλὰ τοῦ συγκατελθόντος, καὶ διὰ τὴν οἰκονομίαν τὴν ἡμετέραν πτωχείαν ἐνδύντος· τὸ δὲ εἰκονίζεσθαι, ἐξ ἡμῶν τῶν ταύτῃ πεπιστευκότων, καὶ δεχομένων καὶ ἀσπασαμένων, καὶ τὴν ἐντεῦθεν ἡμῖν γεγενημένην εὐεργεσίαν καὶ σωτηρίαν διαῤῥήδην κηρυσσόντων, καὶ θείῳ πόθῳ καὶ πνεύματι ἀγομένων, καὶ εἰς τὴν τῶν οἰκονομηθέντων ὑπὲρ ἡμῶν μνήμην ἐρχομένων.

Ἀπόπληκτον οὖν κομιδῇ ἀληθῶς σῶμα μὲν λέγειν, οὐ περιγραφόμενον δὲ οὐδὲ εἰκονιζόμενον, οἷον τὸ Χριστοῦ σῶμα πλαστογραφοῦντες ταῖς σφῶν αὐτῶν ἀβουλίαις, ὡς ἂν τὸ πεπαχύνθαι καὶ σεσαρκῶσθαι τὸν λόγον ἀναιρεθείη· εὔκαιρον δὲ αὐτοῖς καὶ πλάνον ἀποκαλεῖν, κατὰ τοὺς ὁμόφρονας αὐτῶν ἰουδαίους, καὶ εἴ τι τούτου ἀνοσιώτερον, ὅτι ὅπερ οὐχ' ὑπῆρχεν αὐτῷ, ὡς ὑπάρχον παρεδείκνυ καὶ μετεδίδου· συκοφαντείτωσαν λοιπὸν καὶ τὴν ἀνάστασιν, καὶ τἄλλα ὅσα τῆς οἰκονομίας ὑπὲρ ἡμῶν ἐξειργάσθη μυστήρια, πάντα ἐν δοκήσει

πεπρᾶχθαι φανταστιούμενοι· ἐκ δὴ τούτων τί συμβαίνει; ὅτι ἔδει αὐτοὺς σεσαρκῶσθαι τὸν λόγον δοξάζειν, ἢ σαρκωθέντα μὴ περιγεγράφθαι· ἵνα ἐν ἐκείνῳ τὰ τῆς ἀπιστίας αὐτῶν δεικνύηται, ἀλλ᾽ οὐκ ἐν τούτῳ τὰ τῆς ἀνοίας μετὰ τῆς ἀπιστίας· τί γὰρ ἀνοητότερον ἢ κτηνοπρεπέστερον τοῦ λέγειν σεσαρκῶσθαι μὲν τὸν λόγον, μὴ περιγεγράφθαι δὲ ἢ εἰκονίζεσθαι; αὐτοὶ δὲ πρὸς ἔνδειξιν τῆς ἀσεβείας αὐτῶν, τὴν καθ᾽ ὑπόστασιν ἕνωσιν προχειρίζονται· πρὸς ἕτερον δὲ τὸ πᾶν τοῦ σκοπουμένου αὐτοῖς ἀφορᾷ· μίσει γὰρ τῷ εἰς τὸ ἀρχέτυπον τὰ τοιαῦτα δρῶσιν· ὡς ἂν ἀναιρουμένης τῆς εἰκόνος, συναπόλοιτο κἀκείνου ἡ μνήμη· ἐπειδὴ τῷ ὄντι βαρύς ἐστιν αὐτοῖς ὁ Χριστὸς καὶ ἐν εἰκόνι βλεπόμενος.

Δίκαιον δὲ, ὡς οἶμαι, κἀκεῖνο ἂν ἔρεσθαι τοὺς τὸ ἱερατικὸν κατεσχηματισμένους ἀξίωμα, ὅτι εἰ διὰ τὴν μίαν ὑπόστασιν ἀπερίγραπτον φατὲ ἣν προσέλαβεν ὁ Χριστὸς σάρκα, τὸ δὲ ἀπερίγραπτον, ὡς πάντες οἷς τὰ αἰσθητήρια τῆς ψυχῆς ἔρρωται συμφωνοῦσι, καὶ ἀόρατόν ἐστι· τὸ δὲ ἀόρατον, καὶ ἀναφὲς καὶ ἀπερίληπτον, καὶ τὸ πᾶν εἰπεῖν, ἀσώματον· τί δή ποτέ ἐστιν ὅπερ ἐπὶ τῶν τελετῶν τῶν παρ᾽ ἡμῖν μυστηρίων ἱερουργεῖτε, οἱ ποσὶν ἀνίπτοις, ὃ δὴ λέγεται, τοῖς ἱεροῖς ἐπιβαίνοντες; εἰ γὰρ οὐχ᾽ ἁπτὸν, πῶς σφαγιάζεται; καὶ τί θύεται; ὃ γὰρ μὴ ἔστιν ὁρατὸν, οὐδὲ πέφυκε θύεσθαι, οὐδὲ σφαγιάζεσθαι· καὶ τίνος ἅπτεσθε ἀναφοῦς, καὶ ὁποίου σώματος; ποῖ δὲ χωρήσει ὑμῖν τὸ μετὰ χεῖρας φερόμενον, καὶ χειλέων εἴσω κατακλειόμενον καὶ περιγραφόμενον; ὃ καὶ ὀδοῦσι λεπτύνεται, καὶ ἐδεστὸν γίνεται, εἴ γε ἄψαυστον ὂν οὐδὲ τέθυται· οὐ γὰρ τὸν λόγον αὐτὸν καθ᾽ αὑτὸν ἐδεστὸν εἶναι εἴποιτε.

Πῶς δὲ καὶ τὸν θάνατον Χριστοῦ καταγγέλλετε, ἢ τὴν ἀνάστασιν ὁμολογεῖτε, καὶ τὰ παραδεδομένα τοῖς μύσταις τοῦ λόγου κατὰ τὴν ἱερὰν ἐκείνην νύκτα, καθ᾽ ἣν κεκοινώνηκεν αὐτοῖς τῶν τοιούτων μυστηρίων; ἐξ ὧν δείκνυσθε ὡς παράφρονες, λέγοντες ὅτι οὐδὲ ὁ Χριστὸς ἀληθῶς ἑαυτὸν τέθυκε, σώματος περιγραπτοῦ μὴ ὑπάρχοντος· οὐκοῦν ἑαυτοὺς πλανῶντες παραλογίζεσθε, θύειν ὑπολαμβάνοντες ἃ μὴ λέγετε θύεσθαι· πῶς γὰρ ἂν τυθείη τὸ ἀπερίγραπτον, καὶ ἁπτὸν ἔσται ἢ ἐδεσθήσεται; ἐξ οὗ δῆλον ὅτι καὶ τὰ ἐπὶ τῶν μυστηρίων τούτων ἐν τοῖς ἱεροῖς εὐαγγελίοις παραδεδομένα, καὶ τἄλλα πάντα διαγράφετε καὶ ἀθετεῖτε, οἱ εἰς τὸ σῶμα Χριστοῦ ἀνέδην προσκόπτοντες· εἴ γε οὐδὲ σῶμα κυρίως, ἀλλ᾽ εἰκόνα σώματος κατὰ τὸν διδάσκαλον ὑμῶν δογματίζετε· διὸ κατὰ τὸν τῆς εἰκόνος λόγον ὃν αὐτοὶ εἰσηγήσασθε, ἐξ ἀνάγκης ἢ συγκαταθύεσθαι τὸν λόγον ὁμολογήσετε διὰ τὴν μίαν ὑπόστασιν, ἢ διὰ τὸ ἀπερίγραπτον εἶναι, κεχωρίσθαι τοῦ σώματος, καὶ οὐδὲν πλέον ἄρτου κοινοῦ καὶ οἴνου ἱερουργήσετε ἢ μεταλήψεσθε· σωτηρίας δὲ ἢ ἁγιασμοῦ μετέχειν, οὐδὲ ὑπονοεῖν ἄξιον· ὁ δὲ πιστὸς οὐκ ἀποπλανᾶται· ΠΙΣΤΕΥΕΙ ΓΑΡ ΟΤΙ ΣΩΜΑ ΧΡΙΣΤΟΥ ΕΣΤΙ ΤΟ ΠΑΡΑ ΤΟΙΣ ΑΞΙΟΙΣ ΙΕΡΟΥΡΓΟΥΜΕΝΟΝ· καὶ ἐν χερσὶ συνέχων περιγεγραμμένον οἶδεν, ἐνδοκῶς τε ἁγιάζεται, καὶ ἁμαρτιῶν καθαίρεται, καὶ βασιλείας οὐρανῶν ἐπιτεύξεσθαι διὰ τούτων ἀσφαλῆ τὴν ἐλπίδα κέκτηται.

ΑΝΤΙΡΡΗΣΙΣ ΤΡΙΤΗ.

Ἀλλ' οἱ τῆς ἀπιστίας προασπισταὶ, καὶ τῶν παρὰ πᾶσι κατειλημμένων καὶ δεδημοσιευμένων ἀκριβεῖς ἀπαιτοῦντες τὰς ἀποδείξεις, ἐπειδὴ μελέτην τῆς ἀσεβείας αὐτῶν ποιοῦνται, τὰ ὀρθὰ τῆς ἐκκλησίας παρευθύνειν δόγματα, τὴν ἐκ τοῦ δόξαι δεινούς τινας καὶ δριμεῖς εἶναι δογματιστὰς παρὰ τῶν ἐξαπατωμένων δόξαν θηρώμενοι, ὅταν ὑπ' αὐτῆς τῆς ἀληθείας ἐλέγχωνται καὶ πιέζωνται, πρὸς ἐρεύνας ἀτάκτους καὶ ἀποδείξεις ἀκαίρους περιτρέπονται, βεβήλους τὲ κενοφωνίας συντιθέασι, καὶ πρὸς ζητήσεις μωρὰς καὶ ἀπαιδεύτους τὴν χριστομάχον γλῶσσαν προΐενται, περὶ τὴν πίστιν ἀπωσμένην αὐτοῖς ναυαγήσαντες, μηδὲν ἐπιστάμενοι, νοσοῦντες δὲ, κατὰ τὸ γράμμα τὸ ἱερὸν, περιζητήσεις καὶ λογομαχίας· ἐξ ὧν διαπoροῦσιν ἡμῖν, πόθεν ὑμῖν ἀνιστορεῖσθαι τὰς εἰκόνας παρείληπται, καὶ ἡ τούτων προσκύνησις παραδέδοται, ἐλπίδι τοῦ πρὸς τὸ ἀμήχανον ἐντεῦθεν περιωσμένων ἡμῶν, τὴν παῤῥησίαν περιαιρήσειν.

α. Ἐξ οὖν τῆς ἐπαπορήσεως τοῦ λόγου τὸ ἀκόλουθον ἡμῖν ἐνδιδόντος ἀνθυποφέρομεν· πόθεν ὑμῖν τῶν εὐαγγελικῶν βίβλων ἡ ἐφεύρεσις, καὶ ἡ περὶ ταύτας ἣν ποιεῖσθε προσκύνησις παραδέδεικται, ὅ τε σταυρὸς, καὶ τἄλλα ὁπόσα ἐν τῇ τῶν χριστιανῶν ἐκκλησίᾳ τὸ σέβας καὶ τὴν προσκύνησιν ἀποφέρεται; ἐφ' οἷς ὡς πλεῖστα τραχυνόμενοί τε καὶ χαλεπαίνοντες νομοθετοῦσιν, ὡς οὐκ ἐξὸν τούτων πυνθάνεσθαι ἕνεκεν, μὴ τοῖς αὐτοῖς ἡμῖν περιπέσοιεν λόγοις εὐλαβούμενοι· εἶτα ὡς οὐκ ἐνὸν αὐτοῖς ἑτέρωσέ ποι προϊέναι· τί γὰρ ἂν καὶ εἴποιεν ἕτερον, ἐπὶ τὴν παράδοσιν αὐτομολοῦσι; καθάπερ οἱ τῶν δεσμῶν ἀφιέμενοι, ἐπὶ τὸ ἀνειμένον ἐπείγονται καὶ ἐλεύθερον, καὶ τὸ ἀπ' ἀρχῆς δεδέχθαι τὴν ἐκκλησίαν τὴν γεγραμμένην ἐν αὐτοῖς καὶ δηλουμένην χάριν, προΐσχονται· εἶπεν ἄν τις πρὸς τὸ ἄπιστον καὶ ἀσύνετον αὐτῶν ἰδὼν, ὡς ἄλλης αὐτοῖς δεήσει συγγραφῆς, ἢ ὁπωσοῦν ἑτέρας ἀποδείξεως, τὸ ἐν ἐκείνοις ἀληθὲς προσμαρτυρούσης καὶ βεβαιούσης, καὶ ταύτῃ ἑτέρας, καὶ ἰέναι ἐπὶ τὸ ἄπειρον.

Ἀλλὰ τοῦτο μὲν ταῖς ἐκείνων ἀβελτερίαις παρήσομεν· παράδοσιν προχειρίζονται, ἣν ἐφ' οἷς μὲν ἥδονται κρατύνειν ἐθέλουσιν· ἐφ' οἷς δὲ ἄχθονται, ἀπαγορεύειν σπουδάζουσι· καίτοι ἐν ἅπασιν ἡ ὑπόθεσις ἡ αὐτὴ, καὶ ὁ χρόνος σύνδρομος, καὶ τὸ γέρας ὁμότιμον· ἀλλὰ τί ἄν τις εἴποι πρὸς ἀνθρώπους μήτε ἔργῳ μήτε λόγῳ πειθομένους, μήτε ἃ λέγουσι μήτε ἃ ἀκούουσι συνιέντας, τῆς δὲ ἑαυτῶν ἀπεγνωκότας σωτηρίας; ὅμως δ' οὖν ὁ τῆς ἀληθείας παῤῥησιάσεται λόγος· πρῶτον δὲ ἐκεῖνο εἰπεῖν ἄξιον, ὅτι μάλιστα ἐν τοῖς περὶ θεοῦ λεγομένοις τὲ καὶ ἀκουομένοις, μετ' εὐλαβείας τῆς προσηκούσης προσιέναι χρὴ, φόβῳ θείῳ κατηρτισμένους· εἶτα πίστιν ἐν τούτοις ἡγεῖσθαι, καὶ πίστιν τιμᾶσθαι καὶ ταῖς ψυχαῖς προενιδρύσθαι, καὶ ἐν εὐθύτητι καρδίας τοὺς περὶ τη-

λικούτων λόγους ὑποδέχεσθαι, κενῶν δὲ καὶ ματαίων ἐρωτήσεων ἀπέχεσθαι, τούς τε γραώδεις μύθους καὶ τὰς βεβήλους κενοφωνίας, εἰς τὸ παντελὲς ἀποτρέπεσθαι, οὐ προσέχειν δὲ γενεαλογίαις ἀπεράντοις, καθὰ τὸ γράμμα τὸ ἱερὸν δεδίδαχεν, αἳ ζητήσεις παρέχουσι μᾶλλον, ἢ οἰκονομίαν θεοῦ τὴν ἐν πίστει, μὴ δὲ ζητεῖν τὴν διὰ τῶν σημείων καὶ παραδόξων ἔργων πίστωσιν καὶ ἀπόδειξιν, ἢ γοῦν ἀμφίβολον τὴν γνώμην ἔχειν περὶ τὰ καίρια· ἰουδαϊκὸν τοῦτο τὸ ἐπιχείρημα, ἀπίστων ἐστὶ τὸ κακούργημα· τίσιν ἔφη ὁ κύριος " ὦ γενεὰ „ ἄπιστος, σημεῖον ἐπιζητεῖ καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, ἀλλ' ἢ τὸ ση- „ μεῖον Ἰωνᾶ τοῦ προφήτου „ οὐχὶ τοῖς ἀπειθοῦσιν ἰουδαίοις, καὶ ἀεὶ τῷ ἁγίῳ διαμαχομένοις πνεύματι; μὴ δ' αὖ πρὸς περιέργους καὶ ἀπαιδεύτους ἐρεύνας ἀπάγεσθαι, αἳ λογομαχίας καὶ λέσχην γεννῶσι μᾶλλον, ἢ λόγον εὔχρηστον καὶ ὠφέλιμον· μήτε μὴν πρὸς ἀποδεικτικὰς ἀνάγκας λογικαῖς μεθόδοις προαγομένους διὰ τῶν εντέχνων καὶ σεσοφισμένων λόγων, ἐπὶ τὰς τούτων καταφεύγειν πιθανότητας, βιαίως πρὸς συγκατάθεσιν τοὺς ἀκροωμένους ἐπαγομένας· ἑλληνικὸν τοῦτο καὶ ἀπίστων παντάπασι τὸ ἐφεύρεμα· καὶ γὰρ ὥσπερ ἰουδαῖοι σημεῖον αἰτοῦσιν, οὕτω καὶ ἕλληνες σοφίαν ζητοῦσιν.

β. Ἀλλ' ἡμῖν γε, οἷς πίστις τὸ τιμώμενον, πίστις ἀρχὴ καὶ ὑποβάθρα τῆς σωτηρίας ἡμῶν τιθέσθω, ὅθεν ἐπὶ τὸν σκοπὸν καὶ τὸ τέλος τῶν ἐλπιζομένων ἐπειγόμεθα· ἐπεὶ δὲ ἡ πίστις ἐξ ἀκοῆς, πιστεῦσαι δεῖ πρῶτον τὸν προσερχόμενον ὅτι ἔστι θεὸς, καὶ τοῖς ἐκζητοῦσιν αὐτὸν μισθαποδότης γίνεται· πιστεῦσαι οὐ ζυγομαχῆσαι, ἀλλὰ πίστει προσιέναι, τὸν τῆς εὐπειθείας μισθὸν ἀπεκδεχόμενον· πίστις γάρ ἐστιν ἁπλῆ λογισμῶν καὶ ἀπερίεργος συγκατάθεσις· διὸ πίστει πρόσιμεν τῇ χάριτι, τῇ ἐκ τοῦ θείου πνεύματος ἐπιπνοίᾳ ἐντικτομένῃ ταῖς τῶν πιστῶν ψυχαῖς· πάσης ἀπιστίας ἐλευθέραν τὴν γνώμην κεκτημένοι, καὶ ἐν ἁπλότητι καρδίας ἁπλῶς καὶ ἀβασανίστως τὰ τῇ καθολικῇ ἐκκλησίᾳ παραδεδομένα ὡς ἐκ θείας ἐπιλάμποντα χάριτος δεχόμεθα, πάσης τῆς ἐξ ἀμφιβολίας κηλῖδος καὶ ῥύπου καθαρεύοντες· νόσημα γὰρ ψυχῆς κακῶν κάκιστον ἀπιστία, καὶ ἀσυνεσίας ἀρχὴ καὶ ἀπωλείας παραίτιον· ἐὰν γὰρ μὴ πιστεύσητε, φησὶν, οὐδὲ μὴ συνῆτε· ἥ τε γὰρ ἀπείθεια πρὸς ὁτιοῦν οὐ συγχωρεῖ καθαρῶς τὸν λόγον τῆς εὐσεβείας παραδέχεσθαι· ἥ τε ἀμφιβολία τὴν αἴγλην τῆς ἀληθείας ἐπισκιάζουσα, καθάπέρ τι νέφος ὑποτρέχον τὸν ἥλιον, οὐκ ἐφίησιν εἰλικρινῶς τὴν σύνεσιν τῶν δεόντων αὐγάζεσθαι· δῆλον οὖν ὡς οὐδὲν τῆς διὰ πίστεως ἀρχῆς βεβαιότερον ἢ ἀσφαλέστερον· τὸ δὲ ζητεῖν ἀρχῆς ἀρχὴν, καὶ ἀπόδειξιν ἀποδείξεως, τί ἕτερόν ἐστιν ἢ πίστιν ἐπιζητεῖν πίστεως; τούτου δὲ τί ἀνοητότερον ἢ καταγελαστότερον; οὐ γὰρ ἕξει ποτὲ οὗ στήσεται καὶ ἀπερείσει τὸν λογισμὸν, ἀεὶ τοῦ ἐφευρισκομένου ἐφ' ἑτέραν ζήτησιν ἐπειγομένου· ὥστε ὅσα ἂν κάμοι τις ζητῶν, ἐπὶ τὴν πίστιν ὡς εἰς ἀρχὴν ἀσφαλῆ καταφεύξεται· τοῖς γὰρ ἀπίστοις, εἰς ἀπέραντον ἥξει τὸ μάταιον, καὶ οὐδαμοῦ στήσονται, ἀλλ' εἰς ἑαυτοὺς συντριβήσονται καὶ ἀπολοῦνται, διὰ τὴν ἀπιστίαν αὐτῶν καὶ σκληροκαρδίαν.

γ. Ἑξῆς δὲ ταῦτα λέγομεν, ὅτι τὸ γράφειν ἤτοι εἰκονίζειν τὸν Χριστὸν, οὐκ ἐξ ἡμῶν τὴν ἀρχὴν εἴληφεν, οὐδὲ ἐν τῇ καθ' ἡμᾶς ἦρκται γενεᾷ, οὐδὲ νεαρὸν τὸ ἐφεύρημα· χρόνῳ τετίμηται ἡ γραφὴ, ἀρχαιότητι διαπρέπει, ἡλικιῶτις ἐστὶ τοῦ εὐαγγελικοῦ κηρύγματος· διὸ καὶ αἰδέσιμος καὶ σεβασμία· καὶ ἵνα συντομώτερον καὶ βεβαιότερον εἴπω, ἐπειδὴ σύμβολα τῆς πίστεως ἡμῶν τῆς ἀμωμήτου τὰ ἱερὰ ταῦτα θεάματα, πάλαι τῇ πίστει καὶ ἐξ ἀρχῆς συνυφέστηκε καὶ συνήκμασεν· ἀποστόλων ἐστὶ τὸ ἐγχείρημα, πατέρων τὸ ἐπισφράγισμα· ὡς γὰρ αὐτοὶ τὸν τῆς θεοσεβείας ἡμῖν εἰσηγήσαντο λόγον, οὕτω καὶ ἐν τῷ μέρει τούτῳ, τὸν τρόπον καθ' ὃν ὁ σωτὴρ ἐπὶ τῆς γῆς ἀνεστράφη πολιτευόμενος, καθὰ καὶ διὰ τῆς εὐαγγελικῆς συγγραφῆς ἐμφανῆ καὶ δῆλα καθίσταται, ταὐτὸν τάχα ποιοῦντες, ὅπερ πολλοὶ, τῶν πάλαι τὰς ἀριστείας ἀναγράπτους ἐποιήσαντο, οὐ μόνον ἐν βίβλοις ἀναταξάμενοι, ἤδη δὲ καὶ ἐν πίναξιν ἀνιστορήσαντες· οἷόν τι καὶ παρά τινι τῶν διδασκάλων τῆς ἐκκλησίας ἀκούομεν " ὅτι καὶ πολέμων ἀνδραγαθήματα καὶ λογογράφοι πολλάκις καὶ ζωγράφοι „ διασημαίνουσιν, οἱ μὲν τῷ λόγῳ κοσμοῦντες, οἱ δὲ τοῖς πίναξιν ἐγχαράττ„ οντες· „ ὥστε ὁ τὴν συγγραφὴν δεχόμενος, ἀναγκαίως δέξεται καὶ τὴν ἱστορίαν· εἰ γὰρ τὸ ἕτερον οὐ δέξεται, οὐδὲ θάτερον δή που· καὶ ἐπειδὴ τὸ πᾶν τῆς τοῦ λόγου κενώσεως οἰκονομία ἦν ἤδη πραττόμενον, εὐδόκησε κἂν τούτῳ δὴ τῷ τρόπῳ φιλανθρώπως τὰ τῆς οἰκονομίας ἐπιδείξασθαι· διὸ καὶ ἐδέησε ταύτης τῆς παχυτέρας γραφῆς, σαφεστέρας δὲ ὅμως, τῶν ἁπλουστέρων τὲ καὶ ἀγροικοτέρων ἕνεκεν· ἵνα καὶ οἱ μὴ εἰδότες γράμματα, ὅπερ διὰ τοῦ λόγου καθυστερίζονται, διὰ τῆς ὄψεως ἀντεισαγόμενον ἕλοιντο, συντομωτέραν τὲ καὶ ἐκδηλοτέραν τὴν τῶν πραγμάτων αὐτῶν ἀλήθειαν κατανοῶσιν· ὅπερ γὰρ πολλάκις ὁ νοῦς οὐχ' εἷλε διὰ τῆς τῶν λόγων ἀκοῆς, ἡ ὄψις ἀπλανῶς παραλαβοῦσα, σαφέστερον ἐφηρμήνευσεν· εἰς ἀνάμνησιν λοιπὸν ὧν δι' ἡμᾶς ὁ Χριστὸς ἔδρασέ τε καὶ ἔπαθε ῥαδίως προάγονται, καὶ θᾶττον ἢ διὰ τῆς τῶν λόγων ὑφηγήσεως, ὅσῳ καὶ ὄψις ἀκοῆς θᾶττον εἰς γνῶσιν καὶ πρὸς πίστιν ἑτοιμοτέρα· οὕτως οὖν κατήχθη ἄχρι καὶ ἡμῶν ἴσον τὸ σέβασμα, τῷ προδιηνυσμένῳ μὲν ἀπείρῳ χρόνῳ βεβαιούμενον, τῇ δὲ τῶν πιστῶν χριστιανῶν ἀξιοπιστίᾳ καὶ μαρτυρούμενον καὶ πραττόμενον.

δ. Τί δὴ οὖν τὸ λυποῦν ἐστὶ, τῆς μνήμης τοῦ Χριστοῦ συνεχέστερον ἐντεῦθεν προσγινομένης, καὶ τῶν εὐεργεσιῶν καὶ μεγαλουργιῶν τῶν εἰς ἡμᾶς πεπραγμένων ὁμολογουμένων; ἀλλ' οἱ τῶν κακῶν τέκτονες, βασκαίνουσιν ἀνθρώποις τῆς σωτηρίας, οὐχ' ἑαυτοῖς μόνον, ἀλλὰ καὶ τοῖς ἄλλοις τὴν βασιλείαν κατὰ τοὺς φαρισαίους ἐκείνους σαφῶς ἀποκλείοντες, ὧν καὶ τὸν τρόπον καὶ τὴν ἀλαζονείαν ἐζήλωσαν· ἅπαντα μὲν οὖν προσκυνητὰ καὶ σεβάσμια, ὅσα ἐν τῇ ἐκκλησίᾳ τοῦ θεοῦ παραδέδοται, ἐν γράμμασί τε καὶ ἀγράφως κείμενα, καὶ ἁγιάζει ψυχὰς καὶ σώματα, καὶ οὐδὲ μία τοῖς πιστοῖς περὶ ταῦτα ἀμφιβολία· εἰ δέ τις ἰσχνομυθῶν λεπτότερον περὶ αὐτῶν διεξίοι, τοιάδε φήσει· ὡς ἡ μὲν εὐαγγελικὴ συγγραφὴ, λόγῳ παραδέδοται παρὰ τοῖς ἐξ ἀρχῆς αὐτό-

πταις καὶ ὑπηρέταις τοῦ λόγου, τῶν θείων ἐκείνων καὶ ὑπερφυῶν λόγων τὲ καὶ ἐνεργειῶν καὶ δυνάμεων, ἃ μόνου ἦν καὶ δράσαι καὶ διδάξαι τοῦ ἐνανθρωπήσαντος λόγου, καὶ παρὰ τοῖς πιστοῖς πιστῶς δεχθῆναι, οὐ λόγῳ ψιλῷ καὶ εἰς ἀέρα προχεομένῳ, καὶ μικρὰ τὴν ἀκοὴν περιηχοῦντι· ὡς παροῦσι δὲ συγγίνεσθαι πράγμασιν, ἐξ οὗ τὸ μακάριον ἀποφέρονται· ἡ δὲ τῶν ἱεροτυπιῶν τούτων ἱστορία ἐκεῖθεν μὲν ἤρτηται, καὶ ἐκ μιᾶς καὶ τῆς αὐτῆς ἀρχῆς συνυφεστήκασι, πραγμάτων δὲ τῶν αὐτῶν μίμησις οὖσα τυγχάνει, ὑπ᾽ ὄψιν ἄγουσα τῶν πεπραγμένων τὴν δήλωσιν, καθὰ καὶ ἐν ἑτέροις διεξοδικώτερον ἡμῖν εἴρηται, καὶ τὸ ἀπαράγραπτον τῆς γραφῆς σαφῶς παρίστησιν.

ε. Ἀλλὰ καὶ οἱ λόγοι αὐτοὶ, εἰκόνες εἰσὶ τῶν πραγμάτων, καὶ ἕπονται αὐτοῖς ὡς αἰτίοις· καὶ πρώτως μὲν τὴν ἀκοὴν εἰσδύονται· πρότερον γὰρ τὰ ἀπηχήματα τῶν λεγομένων τοῖς ἐνηχουμένοις προσπίπτουσι· δευτέρως δὲ δι᾽ αναλογισμοῦ ἐπὶ τὴν τῶν δηλουμένων πραγμάτων κατανόησιν ὁ ἠκουτισμένος ἔρχεται· ἡ δὲ πρώτως καὶ ἀμέσως ἐπ᾽ αὐτὰ τὰ πράγματα, ὡς παρόντα ἤδη, τὸν νοῦν τῶν ἐνορώντων προσάγει, καὶ ἐκ πρώτης θέας καὶ ἐντεύξεως τρανὴν καὶ ἀπεξεσμένην τὴν γνῶσιν τούτων παρέχεται· καὶ ἵνα πατρικῇ φωνῇ προσχρήσωμαι, "ἅπερ ὁ λόγος τῆς ἱστορίας ὑπέγραφε, ταῦτα γραφὴ σιωπῶσα διὰ μιμή-,, σεως δείκνυσι",, καθόσον οὖν ἔργον λόγου διενήνοχε, κατὰ τοσοῦτον ἡ τοῦ ἔργου μίμησις καὶ ὁμοίωσις, τῆς τῶν λόγων ἀπηχήσεως πρὸς τὴν τῶν πραγμάτων διοίσει ἐμφάνειαν· ὥστε ἐμφαντικωτέρους τοὺς λόγους καὶ σαφεστέρους πολλάκις διὰ τῆς τοιαύτης ἱστορίας γίνεσθαι· πολλάκις γὰρ διὰ τῶν λόγων καὶ ἀπορίαι τινὲς καὶ διαμφισβητήσεις τίκτονται, καὶ φρονήματα διάφορα ταῖς ψυχαῖς ὡς τὸ εἰκὸς φύονται· πολλοὶ γοῦν καὶ πρὸς ἑαυτοὺς καὶ πρὸς ἑτέρους διαστασιάζουσι καὶ λογομαχοῦσι, περὶ τῶν λεγομένων ἀμφιγνοοῦντες· ἡ δὲ διὰ τῶν ὁρατῶν πίστωσις, ἀναμφίλεκτον πανταχόθεν κέκτηται· ἐπὶ τοσοῦτον δὲ ἐν ἀμφοτέροις ἡ κοινωνία, ὡς ἐν μιᾷ καὶ τῇ αὐτῇ βίβλῳ, καθὰ πολλαχοῦ ἐν ἀρχαιοτάταις ἰδεῖν ἐστι δέλτοις, παρὰ μέρος γεγράφθαι, ἐντεῦθεν μὲν τὸν διὰ τῶν συλλαβῶν λόγον· ἐντεῦθεν δὲ τὸν διὰ τῆς ἱστορίας ταύτης, καὶ τὴν αὐτὴν προδείκνυσθαι ὑφήγησιν τῇ ἐν γράμμασιν· ὡς οὖν τοῦ εὐαγγελίου ἡ συγγραφὴ, αὐτόθεν ἔχει παρὰ χριστιανοῖς τὸ ἀξιόπιστον, οὐ προσδεομένη ἑτέρας συγγραφῆς ἢ λόγου τοῦ συνηγορήσοντος ἢ προσμαρτυρήσοντος, πρὸς τὸ εἶναι αὐτὴν σεβασμίαν καὶ ἔνδοξον, οὕτω καὶ ἡ τῶν θείων ἀπεικασμάτων γραφὴ, ἡ αὐτὴ τῇ εὐαγγελικῇ τυγχάνουσα, οἴκοθεν τὸ πιστὸν ἐπάγεται, καὶ οὐκ ἂν δεηθείη τῆς τῶν ἔξωθεν ἀποδείξεως, σημάναι τὲ τὰ τοῦ εὐαγγελίου, καὶ τὴν αὐτὴν ἐκείνῳ τιμὴν ἀπενέγκασθαι· εἰ γοῦν ἐδεῖτο μαρτυρίας τῆς τῶν ἐκτὸς, τί ἂν ἄλλο τις προεστήσατο, ἢ πάντως τὸν τοῦ εὐαγγελίου λόγον βεβαιοῦντα εἰσήγαγεν; εἰ τοίνυν τὸ εὐαγγέλιον ταῖς ἀκοαῖς τῶν πιστῶν ἐνηχούμενον, τοσούτου τιμᾶσθαι ἄξιον, καὶ γὰρ ἡ πίστις ἡμῶν ἐξ ἀκοῆς, τὰ τῇ θέᾳ αὐτῇ προσπίπτοντα, καὶ δι᾽ αὐτῆς τῆς αἰσθήσεως, τὸ ταὐτὸν τῆς διδασκαλίας ἡμῖν παριστῶντα, ἢ παρευδοκιμήσει τῆς διδασκαλίας τῷ τάχει, διότι καὶ ὄψις ἀκοῆς

μᾶλλον τὸ ἐπαγωγὸν πρὸς πίστωσιν κέκτηται, ἢ πάντως οὐκ ἐν δευτέροις τετάξεται· καὶ οὕτως ἔσται εὐαγγέλιον.

Ἀστέριος δὲ, μνήμης γὰρ καὶ τοῦτον ἀξιοῦν τὰ νῦν δίκαιον (1), εἴτε ὃν αὐτοὶ διδάσκαλον ἐπάγονται, ἢ ἐστὶ σοῦν ἕτερος, Ἀστέριος δ' οὖν ὅμως, ἐν τῷ εἰς τὴν αἱμοῤῥοοῦν ἐγκωμίῳ, τήν τε σπουδὴν καὶ προαίρεσιν τοῦ γυναίου, ἣν περὶ τὴν πίστιν τὴν εἰς τὸν εὐεργέτην ἐπεδείξατο, ὑπεραγάμενος φησὶν, ὅτι γε δὴ ὁ παρ' αὐτῆς εἰς τύπον τοῦ Χριστοῦ χαλκουργηθεὶς ἀνδριὰς, εἰς συνηγορίαν τοῦ εὐαγγελικοῦ κηρύγματος ἔστηκεν, ὥστε τοὺς τοῦτο κωμῳδοῦντας καὶ καταχλευάζοντας ἰουδαίους τὲ καὶ ἕλληνας, δι' αὐτοῦ ἀληθῶς τῶν κηρυσσομένων ἐκδηλότερον ἐκφαινομένων, ἡττᾶσθαι καὶ καταισχύνεσθαι· οὗ τὸν ἔλεγχον οὐ φέροντες, τῶν κατὰ καιροὺς κρατούντων ἀσεβῶν τε καὶ θεομάχων τινὲς, πρὸς καθαίρεσιν τοῦ ἱεροῦ ἀγάλματος. οὕτω τηνικαῦτα θεοῦ συγχωρήσαντος, ἐπεχείρησαν ὅπερ ὂν καὶ ἐφ' ἡμῶν διὰ τὰς ἁμαρτίας ἡμῶν ὁρῶμεν γινόμενον· ἐπ' ἀμφοῖν οὖν τῶν γραφῶν μιᾶς καὶ τῆς αὐτῆς ὑπαρχούσης ὑποθέσεως, καὶ τῶν ἀπ' αὐτῶν σημαινομένων πραγμάτων ἑκατέρωθεν τὸ ἀπαράλλακτον κεκτημένων, τίς τῶν νοῦν ἐχόντων καὶ σωφρονούντων, ἐν οἷς τὸ ἀδιάφορον ἐνυπάρχει, τὸ μὲν προσκυνεῖσθαι ἂν ἀξιώσῃ, τὸ δὲ καταπίμπρασθαι; εἰ γὰρ τὸ ἕτερον τίμιον, καὶ θάτερον ἐξ ἀνάγκης· εἰ δὲ οὐ τοῦτο, οὐδὲ ἐκεῖνο τίμιον· καὶ ἐπειδὴ κατ' οὐδὲν διαφέρουσιν, ὁ τὸ ἕτερον καθαιρῶν, τὸ πᾶν εὐαγγελίου καθῃρηκὼς εἴη· ὢ τῆς μανίας, ὢ τῆς ἀπονοίας· Χριστοῦ μνήμη καὶ ὄνομα πρόκειται· τίνες οἱ καταστρέφοντες; ἆρα χριστιανοὺς ὀνομαστέον; οὗ μεν οὖν· ἰουδαῖοι τοῦτο τολμῶσι καὶ ἕλληνες καὶ βάρβαροι, ἐχθροί γε ὄντες, καὶ τῆς καθ' ἡμᾶς ἱερᾶς θρησκείας ἀλλότριοι, οἷς καὶ οὗτοι ἀτεχνῶς ὡς χριστομάχοι συντετάξονται· ὡς ἰουδαῖοι σκανδαλιζέσθωσαν, ὡς ἕλληνες μωραινέσθωσαν· ἐπειδήπερ ἐσταυρωμένος ὁ Χριστὸς κηρυσσόμενος, ταὐτὸν δὲ φάναι καὶ εἰκονιζόμενος, ἰουδαίοις μὲν ἐστὶ σκάνδαλον, ἕλλησι δὲ μωρία· ὥσπερ οὖν ὁ λόγος ὁ τοῦ σταυροῦ καὶ τῶν τοῦ σταυρωθέντος ὑπομνημάτων, τοῖς μὲν ἀπολλυμένοις μωρία ἐστὶ, τοῖς δὲ σωζομένοις ἡμῖν δύναμις θεοῦ ἐστι, καὶ ταῦτά γε ἄρα ὡσαύτως τὸν σταυρὸν τοῦ Χριστοῦ καὶ τὸ πάθος ἡμῖν διαγράφουσιν· εἰ δὲ τἀληθέστερον εἰπεῖν ἐκ περιουσίας, καὶ τὰς θεοσημίας καὶ θαυματουργίας, ἅς περ τερατουργῶν ἐδείκνυτο· καὶ ἓν ἐπ' ἀμφοτέροις ἐστὶ τὸ τῆς τιμῆς αἴτιον, ἡ τοῦ Χριστοῦ κένωσις.

ζ. Οἱ δέ γε φαῦλοι καὶ τῶν φαύλων ἐργάται, ὑπ' ἀναισχύντου γνώμης καταιτιῶνται ἡμᾶς, τῇ ἁπλῇ πίστει καὶ τῇ παραδόσει τῆς καθολικῆς ἐκκλησίας τῇ ἀγράφῳ ἐπιστηριζομένους· ἀλλὰ ῥητέον αὐτοῖς, ὅτι μάλιστα μὲν ἡ ἄγραφος παράδοσις τὸ ἰσχυρότατον πάντων κέκτηται, καὶ οἷον κρηπίς τις καὶ ἕδρα τῶν ἐν τῇ χρήσει τοῦ βίου ἐστὶν, ἥ τις ἐπὶ πλεῖστον διαρκέσασα πεποιωμένον ἔθος καθίσταται· τὸ δὲ ἔθος χρόνῳ μακρῷ βεβαιωθὲν, φύσεως ἰσχὺν λαμβάνει· φύσεως δὲ τί ἂν εἴη ἰσχυρότερον; εἰ δὲ δεῖ περιεργότερον τούτου

(1) Combefisius qui breve hinc excerptum, ex Photio sumptum, edidit, in Auct. Bibl. PP. T. I. p. 255, ponit: ἀξιοῦνται τὸν δίκαιον; ridicule, contra textus scripti veritatem; absurde autem, contra mentem auctoris, qui Asterium, nedum iustum, sed dubiae fidei existimat.

διαλαβεῖν εἵνεκεν, ὁρῶμεν ὅτι καὶ τὸ εὐαγγέλιον αὐτὸ ἀγράφως τὸ ἐξ ἀρχῆς παραδέδοται· ὁ γὰρ κύριος καὶ θεὸς ἡμῶν ἐπὶ τὸ σωτήριον προελθὼν κήρυγμα. οὐκ ἐν γράμμασι τοὺς θείους ἐκείνους καὶ θαυμαστοὺς νόμους ἐξέθετο, ὡς ἴσμεν ἅπαντες, οὐδὲ ἐν χάρτῃ καὶ μέλανι τὴν ὑψηλὴν οὕτω καὶ σωτήριον διδασκαλίαν ἐνέγραψεν, οὐ πλαξὶ λιθίναις ἐτύπωσε, καθάπερ τὸ παλαιὸν ὁ κατὰ Μωσέα νόμος διεκεχάρακτο, ἀλλὰ ψυχαῖς ταῦτα ἐναπέθετο, ἐν πνεύματι κεχαραγμένα καὶ σεσημασμένα οὐ γράμματι· τοῦτο καὶ διὰ προφητῶν ἁγίων πάλαι προαναπεφώνητο· “ διδοὺς γάρ, φησι, νόμους μου εἰς διάνοιαν αὐτῶν, „ καὶ ἐπὶ καρδίας αὐτῶν ἐπιγράψω αὐτούς· „ ἃ δὴ ὑπ' αὐτῆς τῆς ἀληθείας Χριστοῦ περαινόμενα ἔγνωμεν, χρόνοις δέ τισιν ὕστερον καὶ γραφῇ χαραττόμενα· μάρτυς ὁ θεῖος Λουκᾶς ἀπαράγραπτος, ἂν ἄρα δέχωνται, τὴν παράδοσιν οἷα θεμέλιον τοῦ κατ' αὐτὸν ἱεροῦ εὐαγγελίου προκαταβαλόμενος, δι' ὧν συγγράφων φάσκει· “ ἐπειδήπερ πολλοὶ ἐπεχείρησαν ἀνατάξασθαι διήγησιν „ περὶ τῶν πεπληροφορημένων ἐν ἡμῖν πραγμάτων, καθὼς παρέδοσαν ἡμῖν οἱ „ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου. „

Ταῦτα μὲν ὁ εὐαγγελιστής· ἔστι δὲ ἰδεῖν κἀν ταῖς ἱεραῖς συνάξεσι, κατὰ τὴν θείαν λειτουργίαν, ἢ καὶ ἐν ἄλλοις καιροῖς ἐπιτελούμενα, οὐκ ὀλίγα ἡμῖν ἀγράφως παραδεδομένα καὶ κρατούμενα, καὶ αὐτῶν τῶν θείων ᾀσμάτων τὰ πλεῖστα· ἐπεὶ πόθεν τῶν ἱερῶν ἡ προσκύνησις, αὐτῶν τε τῶν ζωοποιῶν ξύλων; τὸ σωτήριον πάσχα πόθεν συμφώνως κατὰ τὴν ἡμέραν τὴν αὐτὴν παρὰ πᾶσι χριστιανοῖς ἑορτάζεται, καίτοι ἐν τοῖς χρόνοις τῶν ἀρχαιοτέρων οὐχ' ὡσαύτως τελούμενον: τὸ ἱερὸν τῆς πίστεως σύμβολον ὁμοφώνως ὁμολογεῖσθαι ἑκάστοτε, ποία γραφὴ παραδέδωκεν, εἰ μὴ ἀγράφως προενήνεκται; τί δ' ἂν εἴποι τις, περὶ ἁγνισμῶν καὶ νηστειῶν, καὶ ὅσα προεόρτια καὶ μεθέορτα, καὶ ἐν αὐταῖς δεικνύμενα πανηγύρεσι, τοῦ τε τρόπου τῶν θείων μυστηρίων, καὶ τούτων τῆς μεταλήψεως, καὶ σωτηρίου βαπτίσματος, καί τινων ἄλλων ὅσα ὁ τῆς ἱερᾶς εὐταξίας ἐκδεικνύει διάκοσμος; ἐῶμεν λέγειν τὰ νῦν περί τε λιτῶν καὶ προόδων ἔν τε καθωρισμένοις τόποις, ἢ καὶ ἄλλως γινομένων, ἃ δὴ ἐκ τῆς ἀγράφου καὶ ἄνωθεν μέχρις ἡμῶν κατιόντα συνήθους παρειλήφαμεν παραδόσεως, καὶ πάντα τιμῶμεν καὶ περιέπομεν, καὶ ἀσπαζόμεθα καὶ κατέχομεν οὐδὲν ἔλαττον, ἢ τὰ ἐν γραφαῖς ἡμῖν νομοθετούμενα, ὧν ἀμφοτέρων τὸ ἀσφαλὲς παρὰ τῆς ἀποστολικῆς διδασκαλίας ἡμῖν περιγέγονεν.

η. Ὁρῶμεν δὲ καὶ ἐν γράμμασι νόμους κειμένους, παρορωμένους δὲ τῷ τὴν παράδοσιν καὶ τὰ ἔθη ἑτέρως ἔχοντα ἐπικρατεῖν· πάντα γὰρ ἔθος ἐστὶ τὸ βεβαιοῦν, ἐπεὶ καὶ τὸ ἔργον λόγου ἐπικρατέστερον· τί γάρ ἐστι νόμος, ἢ ἔγγραφον ἔθος; ὡς αὖ πάλιν ἔθος ἄγραφος νόμος (1)· τοῦτο δ' ἂν ῥᾳδίως τις καὶ ἐπὶ τῶν θύραθεν ἴδοι· καὶ γὰρ καὶ γραμματικῶν παῖδες, εἴ που συμβαίη τοῦ κατάρχοντος κανόνος λέξιν τινὰ κατὰ γραφὴν παρατραπῆναι, ἑτέρως δὲ τῷ

(1) Sententiae huic, quod consuetudines instar legum sint, disertis verbis adstipulatur Proclus lycius in suis ad Platonis remp. commentariis apud nos in Spicilegio romano T. VIII. p. 673.

ἔθει κατακρατήσασαν γράφεσθαι, τὴν παράδοσιν ἂν αἰτιάσοιντο, οἷα κανόνα κανόνος προάγοντες· τί οὖν ἀποφανοῦνται πρὸς τὸν εἰρηκότα ὅτι " ἐγὼ παρέλαβον ἀπὸ τοῦ κυρίου, ὃ καὶ παρέδωκα ὑμῖν; " πῶς δὲ οὐκ ἂν διαπτύσειαν, τῶν μαθητευομένων εἰς τὸ εὐαγγέλιον τοῖς μὲν γράφοντα, Κορίνθιοι δὲ οὗτοι, " ἐπαινῶ δὲ ὑμᾶς, ἀδελφοὶ, ὅτι πάντα μου μέμνησθε· καὶ καθὼς παρέδωκα ὑμῖν, τὰς παραδόσεις κατέχετε. " Θεσσαλονικεῦσι δὲ " ἄρα οὖν, ἀδελφοὶ, στήκετε καὶ κρατεῖτε τὰς παραδόσεις ἃς ἐδιδάχθητε, εἴτε διὰ λόγου, εἴτε δι' ἐπιστολῆς ἡμῶν· " ἀναπτύξειε δ' ἂν ταῦτα διαφανέστερον, ὁ τῆς βασιλίδος ἱερομύστης, καὶ τῆς οἰκουμένης φωστὴρ φαινότατος, Ἰωάννης δ' οὗτος ἐστὶν ὁ μέγας· τί λέγων; " ὅτι οὐ πάντα δι' ἐπιστολῆς παρεδίδοσαν οἱ ἀπόστολοι, ἀλλὰ καὶ ἀγράφως· ὁμοίως δὲ κἀκεῖνα καὶ ταῦτα ἐστὶν ἀξιόπιστα· ὥστε καὶ τὴν παράδοσιν, φησὶ, τῆς ἐκκλησίας ἀξιόπιστον ἡγούμεθα· παράδοσίς ἐστι; μηδὲν πλέον ζήτει· " τούτοις ὅμοια καὶ ὁ θεῖος Βασίλειος τῷ ἱερῷ Ἀμφιλοχίῳ ἐπιστέλλει, ἐν οἷς φησί· " τῶν ἐν τῇ ἐκκλησίᾳ πεφυλαγμένων δογμάτων καὶ κηρυγμάτων, τὰ μὲν ἐκ τῆς ἐγγράφου διδασκαλίας ἔχομεν, τὰ δὲ ἐκ τῆς τῶν ἀποστόλων παραδόσεως διαδοθέντα ἡμῖν ἐν μυστηρίῳ παρεδεξάμεθα· ἅπερ ἀμφότερα τὴν αὐτὴν ἰσχὺν ἔχει πρὸς τὴν εὐσέβειαν· καὶ τούτοις οὐδεὶς ἀντερεῖ, οὔκουν ὅς τις κἂν γοῦν μικρὸν θεσμῶν ἐκκλησίας πεπείραται· εἰ γὰρ ἐπιχειρήσαιμεν τὰ ἄγραφα τῶν ἐθῶν, ὡς μὴ μεγάλην ἔχοντα τὴν δύναμιν παραιτεῖσθαι, λάθοιμεν ἂν εἰς αὐτὰ τὰ καίρια ζημιοῦντες τὸ εὐαγγέλιον· μᾶλλον δὲ εἰς ὄνομα ψιλὸν περιϊστάντες τὸ κήρυγμα, καὶ ὁποῖα ταῦτα ὁ ἐντυγχάνων σαφῶς εἴσεται· " ὡσαύτως καὶ ὁ θεῖος Ἐπιφάνιος, ἐν οἷς περὶ τῶν προσφερομένων ὑπὲρ τῶν κεκοιμημένων διαλέγεται, φησίν· " ὅτι ἀναγκαίως ἡ ἐκκλησία τοῦτο ἐπιτελεῖ, παράδοσιν λαβοῦσα παρὰ πατέρων· τίς δὲ δυνήσεται θεσμὸν μητρὸς καταλύειν, ἢ νόμον πατρός; ὡς τὰ παρὰ τῷ Σολομῶντι εἰρημένα· ἄκουε υἱὲ λόγους πατρός σου, καὶ μὴ ἀπώσῃ θεσμοὺς μητρός σου· δείξας ὅτι ἐγγράφως τὲ καὶ ἀγράφως ἐδίδασκεν, ὁ πατὴρ τουτέστιν ὁ θεὸς, ὁ μονογενὴς, καὶ τὸ ἅγιον πνεῦμα· ἡ δὲ μήτηρ ἡμῶν ἡ ἐκκλησία εἶχε θεσμοὺς ἐν ἑαυτῇ κειμένους μὴ δυναμένους καταλυθῆναι. "

θ. Ταῦτα δὴ τῶν ἱερῶν διδασκάλων τὰ λόγια· ὧν τί ἂν εἴη σαφέστερον, ἢ πρὸς εὐσέβειαν εὐπειθέστερόν τε καὶ ἀσφαλέστερον; ἆρ' οὖν οὐκ ἔδει τοῖς ἀποστολικοῖς καὶ πατρικοῖς εἶξαι προστάγμασιν; οὐκ ἔδει ταῦτα εἰ μή τι ἄλλο ἐπαισχυνθῆναι, ὡς ἐκ πνευματικῆς προερχόμενα χάριτος; οὐκ ἔδει τὴν λιθίνην αὐτῶν καταμαλάξαι καρδίαν, καὶ πᾶσαν ἀπιστίας ἀφορμὴν καὶ κακοήθειαν ψυχῆς ἀπελάσαι; ἀλλ' οἵ γε ἀλαζονείᾳ καὶ ἀπειθείᾳ συζῶντες, τοὺς τοῦ δικαίου ὅρους παραχαράττουσι, καὶ τοὺς θεσμοὺς τῆς ἐκκλησίας παραβραβεύουσι, καὶ ἐν ὀφθαλμοῖς αὐτῶν ἠτιμωμένα τὰ ἅγια· πόθεν οὖν, φασι, καὶ ποῖος νόμος ἡμῖν εἰκόνι Χριστοῦ προσκυνεῖν ἐγκελεύεται; ὅτι μὲν οὖν παρώσαντο ἠρνημένοι τὰ χριστιανῶν, τοιαῦτα ἐξερευνῶντες, ἐμφανές· διὸ οὐδὲ ἔδει τοῦ πρὸς αὐτοὺς λόγου· τῆς δὲ τῶν εὐγνωμονεστέρων καὶ εὐπειθείας ἐγγὺς ἡκόν-

των ὠφελείας τε καὶ οἰκοδομῆς ἕνεκεν, τοιαῦτα πρὸς αὐτοὺς πάλιν λέγομεν· ὅτι γε πρῶτον μὲν ὁ νόμος ὁ κελεύων τά τε θεῖα εὐαγγέλια καὶ τὸν σταυρὸν, καὶ τἄλλα ὁπόσα ἐν τῇ καθ' ἡμᾶς ἐκκλησίᾳ τιμᾶται καὶ δοξάζεται, ὁ αὐτὸς οὗτος καὶ ταύτην προσκυνεῖν παρεγγυᾷ.

ι. Τί δὲ τοῦτό ἐστιν: ἡ πίστις, καὶ τῶν πιστῶν ἡ οἴκοθεν καὶ αὐτεπάγγελτος περὶ τὰ θεῖα ὁρμὴ, καὶ ἡ περὶ αὐτὰ εὐλαβὴς καὶ εὐθυτάτη προαίρεσις καὶ σπουδὴ, καὶ ἡ παραδεδομένη τῇ ἐκκλησίᾳ καὶ τῷ μακρῷ χρόνῳ βεβαιωθεῖσα καὶ κρατοῦσα συνήθεια, καθὰ δὴ καὶ μικρῷ πρόσθεν εἴρηται· ἔπειτα δὲ ὅτι καὶ φυσικὸς νόμος ἡμῖν ἐνυπάρχει, καὶ μὲν δὴ καὶ ὁ ἐν Γράμμασι κείμενος ἐγκελεύεται, τοῖς τὸ κρεῖττον ἐνεγκαμένοις τὴν πρέπουσαν νέμειν τιμὴν καὶ προσκύνησιν· καὶ τοῦτο μάθοι τις ἂν ἐκ τῆς τῶν προσκυνήσεων διαφορᾶς· ἡ μὲν γὰρ ἐξῃρημένη καὶ πάντων ἐπέκεινα προσκύνησις, μόνῳ τῷ τῶν ὅλων θεῷ καὶ πάντων κατεξουσιάζοντι ἐποφείλεται καὶ προσάγεται, οἵα ἡ ἐν λατρείᾳ θεωρουμένη καὶ πνεύματι· τῶν δ' ἄλλων ἡ μὲν καθ' ὑπεροχὴν καὶ τὸ ἀξίωμα, ὡς ἡ τοῖς βασιλεῦσι καὶ τοῖς ἄλλοις ἄρχουσι παρὰ τῶν ὑπηκόων προσφερομένη· οὕτω γὰρ νόμος κεκράτηκεν ἄνωθεν· ἡ δὲ τυραννικὴ καὶ βίαιος, ἡ τοῖς δυσμενέσι καὶ τυραννοῦσι δέει καὶ ἀγωνίᾳ παρὰ τῶν κατηναγκασμένων ἀκουσίως προσαγομένη· ἡ δὲ κατὰ τιμὴν καὶ προαίρεσιν ἐκ πόθου καὶ πίστεως παρὰ τῶν πιστῶν τοῖς ἁγίοις διὰ τὸν τῶν ἁγίων θεὸν νενεμημένη, ὡς δι' ἐκείνων ἐπ' αὐτὸν ἀναγομένη, ἀγγέλοις τε θείοις, καὶ ἀνδράσιν ἱεροῖς, καὶ ναοῖς τιμίοις καὶ σκεύεσιν· ἡ δὲ σχετικὴ καὶ ἀσπαστικὴ, ἐκ φιλικῆς διαθέσεως καὶ εὐγνώμονος, οἰκείωσιν καὶ εὔνοιαν τοῖς ἠγαπημένοις ἐπαγγελλομένη· καὶ ὅπως ἂν ὁ τῆς προσκυνήσεως ἔχοι λόγος, καὶ ὡς ἄν τις γενικώτερον εἴποι, τρισὶ τούτοις ἡ προσκύνησις χαρακτηρίζεσθαι πέφυκεν· ἢ γὰρ πόθῳ, ἢ φόβῳ, ἢ νόμῳ γινομένη ὁρᾶται· διὸ καὶ τοῖς προκειμένοις ἡμῖν τῷ λόγῳ εἰς ἐπίσκεψιν, οἵα δόξης λαχοῦσι τῆς κρείττονος, καὶ τὸ σεβάσμιον ὧν εἵνεκεν μνήμην φέρουσι κεκτημένοις, εἰκότως ἐκ πόθου τὴν κατὰ τιμὴν προσκύνησιν νέμομεν, οὐ τὴν κατὰ λατρείαν ἄπαγε, ὡς οἱ χριστιανῶν οὐ κατὰ χριστιανοὺς κατεφλυάρησαν.

ια. Εἰ δὲ δεῖ καὶ τοὺς νόμους εἰπεῖν, νομοθετείτω Παῦλος· " ἀπόδοτε " πᾶσι, λέγων, τὰς ὀφειλὰς, τῷ μὲν τὸν φόβον, τῷ δὲ τὴν τιμήν· " καὶ ὅσα τούτοις συγκατηρίθμηται· εἰ δὲ Παύλῳ οὐ πείθονται, τάχα οὐδὲ Χριστῷ πεισθήσονται, τὴν καίσαρος εἰκόνα τιμᾷν παρεγγυήσαντι· τοῦ γὰρ νομίσματος παρὰ τῶν πειραζόντων ὑποδειχθέντος, οὐκ εἶπε καταπτύσατε, ἢ καταπατήσατε, ἢ ἄτιμόν τι καὶ αἰσχρὸν εἰργάσασθε, καίτοι θεὸς ὢν καὶ κατὰ πάντων ἀνημμένος τὸ κράτος, ἀλλ' " ἀπόδοτε τὰ καίσαρος καίσαρι, καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ· " τοῦτο δὲ τί ἄλλο ἐστὶν, ἢ τιμῆς ὑπερβαλλούσης ἔνδειξις: ἐπίσης γὰρ ἐφ' ἑκατέρου τὸν λόγον ὥσπερ τινὰ νόμον προαγαγὼν, ἀναλόγως τὰ τῷ θεῷ πρέποντα καὶ τὰ καίσαρι, ἀποδιδόναι προστέταχε, καὶ ταῦτα εἰδωλολάτρῃ καὶ ἕλληνι· ἀλλ' ὢ τῆς δυσσεβείας καὶ ἀπονοίας τῶν χριστομάχων· ὁ Χριστὸς τὴν εἰκόνα καίσαρος οὐκ ἠτίμωσεν, οἱ δὲ λεγόμενοι χριστιανοὶ τὴν εἰκόνα τοῦ Χριστοῦ,

μᾶλλον δὲ αὐτὸν Χριστὸν, μυρίαις ὕβρεσι βάλλουσι· καὶ ἅπαν πονηρὸν καὶ ἄτοπον καταπράττονται, καὶ οὔτε εὐαγγελικὸς, οὔτε ἀποστολικὸς λόγος, ἢ πρᾶξις καὶ παραίνεσις, εὖ ποιεῖν αὐτοὺς πέπεικεν.

ιβ. Αὔξεται δὲ αὐτῶν καὶ ἐντεῦθεν τὸ δυσσεβὲς μάλιστα· εἴ που γάρ τις τῶν εὐσεβούντων, ὡς ἐν τύπῳ προάγοι παραδείγματος, ὅτι καθάπερ ἔθος κεκράτηκεν ἄνωθεν, τὰς βασιλέων εἰκόνας προσκυνεῖσθαι παρὰ τῶν ὑπηκόων, ᾧ δὴ καὶ οἱ καθ' ἡμᾶς ἱερομύσται καὶ διδάσκαλοι, πολλάκις ἐν τοῖς ἑαυτῶν λόγοις συνεχρήσαντο, ἤδη δὲ καὶ ἡ κοινὴ ταύτη καὶ δημώδης οἶδε συνήθεια. οὕτω δὴ καὶ τὴν τοῦ βασιλέως τῶν βασιλευόντων καὶ θεοῦ τῶν ὅλων εἰκόνα τιμᾶσθαι χρὴ, καὶ πολλῷ πλέον εὐγνωμονέστερόν τε καὶ σπουδαιότερον, οὐκ ἀνέχονται ἀκούειν οἱ δείλαιοι, ἀλλὰ περιτραχύνονται πρὸς ταῦτα καὶ ἀντεπεξάγουσιν. ⁓ Ὅτι βασιλεῦσι μὲν ἀνθρώποις τοῖς καθ' ἡμᾶς καὶ τῶν ἐπὶ γῆς ⁓ ἄρχειν λαχοῦσι, τοῦτο προσήκει, Χριστῷ δὲ ὅλως οὐκ ἐφαρμοστέον. ⁓ Ἀξιοῦμεν δὲ τίνι τρόπῳ, εἰπεῖν· εἰ μὲν ὡς τυραννικὸν ἀπαναίνονται, παυέσθωσαν τῆς τυραννίδος οἱ βασιλεῖς, καὶ ἡμεῖς γε στέρξομεν, τὴν τιμὴν τῷ Χριστῷ καὶ διὰ τῶν ἱεροτυπιῶν προσφέροντες ἑκούσιον καὶ εὐγνώμονα, ἀτυράννητόν τε καὶ ἀνεπηρέαστον, τὴν πίστιν τὴν εἰς αὐτὸν ἐπιδεικνύμενοι· εἰ δὲ δὴ, ὡς οὐδὲν αὐτῷ τῶν ἐνταῦθα καὶ ἐπὶ γῆς μετεῖναι δεδογμένον, αὐτὸν, ὃ καὶ μᾶλλον τῆς σφῶν αὐτῶν ἀποπληξίας ἴδιον, ἀποπέμποιντο, τί φαμὲν ἡμεῖς; ἀπελάκτισαν τῆς Χριστοῦ βασιλείας καθάπερ πάλαι ὁ ἠγαπημένος Ἰσραὴλ, διέῤῥηξαν τὸν δεσμὸν, ἀπέῤῥιψαν τὸν ζυγὸν, τὴν ὑποταγὴν ἀπεσείσαντο, τῆς κατὰ Χριστὸν πίστεως ἀνέδην ἐξάλλονται, ἀπήρνηνται τὴν Χριστοῦ βασιλείαν ὁμοῦ καὶ τὸ τῆς οἰκονομίας μυστήριον, ταῖς Ἰουδαίων ἀθυροστομίαις κατὰ τοῦ σωτῆρος μαινομένων, ἐφάμιλλον καὶ φίλην τὴν γλῶσσαν διαγυμνάσαντες, οἷς περ ὡς ὁμογνώμοσι μονονουχὶ συνῳδὰ φθέγγονται· " οὐκ ἔχομεν βασιλέα εἰ " μὴ καίσαρα· " ἐπὶ τούτοις καὶ οὗτοι ἐπιτραχύνονται, ἐφ' οἷς κἀκεῖνοι τὸ πρὶν ἐχαλέπαινον· οὕτω γὰρ Χριστῷ βασκαίνοντες, ἐπειδὴ ἑώρων τὰ τελεσιουργούμενα μεγάλα καὶ ὑπερφυῆ καὶ θεῖα τεράστια, καὶ βασιλέα καὶ θεὸν ὁμοῦ τῶν ὅλων αὐτὸν ἀποφαίνοντα καὶ κηρύσσοντα, τί ἔλεγον; " πᾶς ὁ ποιῶν ἑαυ- " τὸν βασιλέα, ἀντιλέγει τῷ καίσαρι. "

ιγ. Τολμήσειαν ἴσως οἱ πάντα τολμηροὶ καὶ ἀναίσχυντοι φθέγξασθαι, ὡς αὐτὸς εἴρηκεν " ἡ ἐμὴ βασιλεία οὐκ ἔστιν ἐντεῦθεν· " τοῦτο αὐτοῖς τὸ τερπνὸν καὶ χαρίεν, τὸ τῶν ἐπὶ γῆς βασιλεύειν αὐτὸν οὐκ ἀνέχεσθαι, ἵνα κἂν τούτῳ τοῖς διδασκάλοις αὐτῶν, τοῖς ἀπὸ τοῦ Μάνεντος, ὁμογνώμονες φαίνοιντο· ἀρχῇ ἑτέρᾳ τὰ τῆδε προσνέμουσι, τάχα οὐ συνιέντες οἱ ἀνόητοι, τῶν εἰρημένων καὶ οἰκονομουμένων τὴν δύναμιν· τί γὰρ αὐτῷ τὸ βραχὺ τοῦτο ῥησείδιον βούλεται; ὅτι τοι, φησὶν, οὐ κατὰ τοὺς γηΐνους δὴ τούτους καὶ θνητοὺς βασιλέας, πρόσκαιρον καὶ σμικρὸν κεκτημένους τὸ κλέος, οὕτω καὶ τὰ τῆς ἐμῆς διήρτισται βασιλείας, οὓς μικρᾷ τῇ περικοσμίῳ ταύτῃ καὶ ἄνθεσι χόρτου ἴσα μαραινομένῃ συνησθέντας δόξῃ, φθορὰ τὸ λοιπὸν καὶ θάνατος διεδέξατο· ἔτι δὲ οὓς

καὶ φρονήματα πλήθους, καὶ γνῶμαι διαστασιάζουσαι, τῆς τε ἀξίας ἀφείλοντο, καὶ ἀδοξίᾳ καὶ συμφοραῖς ὡς πλείσταις καὶ χαλεπαῖς ὑπηγάγοντο· οὐ γάρ τι τῶν γηΐνων καὶ χαμαὶ ἐρχομένων, ἐπ' ἐμοὶ τεθεώρηται, ὅσα κατὰ τὴν ἐκείνων διαδείκνυται πρόοδον· οὐ δήμων ψηφίσματα καὶ χειροτονίαι, καὶ γνῶμαι ἀνθρώπειοι προερχόμεναι πολλάκις, καὶ ὃ μὴ συνήνεγκε δοκιμάζουσαι, ἀλλὰ τὰ πρὸς ἡδονὴν καὶ τὸ φιλότιμον σπεύδοντες, ἔσθ' ὅτε καὶ τὸν οὐκ ἄξιον εἰς τήνδε τὴν ἀρχὴν ἐγκαθίδρυσαν· οὐδέ τι τῶν ἐπὶ τῷ ἀξιώματι τῷ τοιούτῳ συμβόλων, ἃ δὴ φθαρτά τε ἐστὶ καὶ ἐπίκηρα παρ' ἐμοὶ φέρεται, οὐχ' ἁλουργόν τι χρῶμα καὶ περιβόλαιον, οὐ στέφανοι λιθοκόλλητοι, καὶ σκῆπτρα καὶ θρόνων ὕψη καὶ λαμπραὶ περιφάνειαι· οὐκ ὀχήματα χρυσοτόρευτα, καὶ τιμαὶ προπόμπιοι καὶ δημόσιαι, καὶ πλῆθος ἀσπιδηφόρων καὶ δορυφόρων, καὶ εὐφημούντων κρότοι, καὶ τῶν μὲν προπεμπόντων, τῶν δὲ παρεπομένων, οὐδ' ὅσα τῶν ῥευστῶν τούτων καὶ ἀνθρωπίνων, οἷα ἐπὶ τῇ περιγείῳ ταύτῃ ἐξουσίᾳ εἰώθει γίνεσθαι· οὐκ ἔστιν οὖν ἐντεῦθεν ἡ ἐμὴ βασιλεία· εὐτελὴς τὸ φαινόμενον, ταπεινὸς τὸ βλεπόμενον, εὐαρίθμητον πλῆθος μαθητῶν ἐπάγομαι, καὶ ταῦτα πενήτων καὶ ἁλιέων τὸ ἀδοξότατον· ὑπερτελὴς δὲ καὶ πάντων ὑπερανεστηκὼς τὸ νοούμενον· τοῦ παμβασιλέως καὶ τῶν ὅλων θεοῦ υἱὸς ὑπάρχω, καὶ γνησιώτατον γέννημα καὶ ἀπαύγασμα, τὴν αὐτὴν ἐκείνῳ καὶ δόξαν καὶ τιμὴν ἀποφέρομαι· δόξης γάρ εἰμι πατρικῆς κληρονόμος· καὶ ὁμόθρονος ὢν τῷ πατρὶ, συμπάρεδρον ἔχω τῇ ἐκείνου δόξῃ, τῆς βασιλείας τὸ γέρας· ἐκεῖθεν μοι τὸ βασιλεύειν καὶ κρατεῖν πάντων περιγέγονεν· οὐκ ἔστιν οὖν ἐντεῦθεν, οὐδὲ ὡσαύτως τοῖς ἐνταῦθα τὸ ἐμὸν ἔχει κράτος· οὐ περιγεγραμμένην τὴν ἐξουσίαν κέκτημαι· οὐ τοῦδε τοῦ ἔθνους, καὶ τῶνδε τῶν χωρῶν, καὶ τῆσδε τῆς πόλεως, ἀλλ' ἀγγέλων καὶ ἀνθρώπων καὶ πάντων ὁμοῦ οὐρανίων καὶ ἐπιγείων καὶ καταχθονίων εἰμὶ δεσπότης καὶ κύριος· " καὶ ἐμοὶ κάμπτει πᾶν γόνυ· ,, καὶ πάντα ὑπὸ πόδας κεῖται τοὺς ἐμοὺς, καὶ οὐκ ἔστιν ὃ τὴν ἐμὴν διαφεύξεται χεῖρα· τῆς γὰρ ἐμῆς βασιλείας οὐκ ἔσται οὔτε ὅρος οὔτε τέλος. Ἀλλὰ ταῦτα μὲν οὕτως καὶ οὐχ' ἑτέρως ἔχειν, παρὰ πᾶσι πιστοῖς καὶ πιστεύεται καὶ κηρύσσεται· ἐν τίνι γὰρ τὰ τῆς προνοίας τῶν ἐπὶ γῆς κείσεται, καὶ ὅπως τὰ ἡμέτερα καὶ τῆς καθ' ἡμᾶς ζωῆς κυβερνηθήσεται διεξαγόμενα; " εἰ μὴ ἐν τῇ ,, χερσὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς· ,, οὐχ' ὡς θεοῦ μόνου, ἀλλὰ καὶ ὡς ὑπ' ἀνθρώπου τοῦ αὐτοῦ, ἐξουσιαζόμενα καὶ διοικούμενα, καθὸ εἴρηται· " δώσω ,, σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς· ,, καὶ, ἔσται κύριος εἰς βασιλέα ἐπὶ πᾶσαν τὴν γῆν· καὶ, ἰδοὺ ὁ βασιλεύς ,, σου ἔρχεταί σοι πραῢς, τῇ Ἱερουσαλὴμ εἴρηται, καὶ δίκαιος καὶ σώζων· καὶ, ,, βασιλεύσει κύριος ἐν μέσῳ σου· καὶ, βασιλεύσει κύριος ἐν ὄρει Σιὼν ἀπὸ ,, τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα. ,,

ιδ. Τί δ' ἂν εἴποιεν πρὸς τὸ εἰρημένον, ὅτι βασιλέα μετὰ δικαιοσύνης ὄψεσθε; ἀλλ' οἵ γε καὶ Ἰουδαίων ἀπειθέστεροι, οὐκ ἠβουλήθησαν συνιέναι ταῦτα, οἱ τῆς Χριστοῦ βασιλείας ἐκτὸς ἑαυτοὺς καθορίζοντες· οὐδὲ περσῶν ἢ

εὐγνωμοσύνη καὶ ἡ πίστις ἑαυτοὺς κατῄδεσεν, ἡνίκα βασιλέα τὸν τεχθέντα Χριστὸν περιεζήτουν· καὶ τὰ ἐπαγόμενα δῶρα ὅς τίς ποτε ἦν ἐδήλου, καὶ οὗ ἕνεκεν ὁδοιπορίαν τοσαύτην καὶ ἐκδημίαν ἐστείλαντο· οἵδε γὰρ καὶ περσῶν τὸν τρόπον βαρβαρικώτεροι καὶ ἀγνωμονέστεροι· πέρσαι τὴν πατρῴαν δεισιδαιμονίαν καταλιπόντες, ἐπὶ τὸν πάντων βασιλέα καὶ κύριον ἀπηυτομόλησαν, καὶ θεὸν τῶν ὅλων καὶ ἐπέγνωσαν καὶ ἐκήρυξαν, ἀστέρι ὁδηγῷ καὶ διδασκάλῳ χρώμενοι· οὗτοι ἀποστόλων καὶ πατέρων ἐκ τοῦ ἀπείρου χρόνου κεκηρυγμένην καὶ παραδεδομένην πίστιν ὀρθὴν καὶ ἀμώμητον ἠθέτησαν, τῇ καινοτομίᾳ τῇ κατὰ τῆς οἰκονομίας τῆς σωτηρίου προσθέμενοι· οὐδὲ Ἡρώδης αὐτοὺς πέπεικε, τὴν νεολαίαν ἐκείνην πρόωρον ἀποκείρων τῶν νεογνῶν παιδίων· τίνα ζητῶν, ἢ τίνι βασκαίνων, ἢ οὐχὶ τὸν ὑπὸ τῶν μάγων βασιλέα κηρυσσόμενον, ὥστε ἐν τῷ πλήθει τῶν ἀναιρουμένων καὶ τὸν ζητούμενον συλλαβεῖν φανταζόμενος; τί δεῖ τἄλλα λέγειν, δι' ὧν βασιλεὺς τῶν ὅλων ἐν τοῖς ἱεροῖς εὐαγγελίοις κηρύσσεται Χριστὸς, καὶ παρ' ἡμῶν πιστεύεται; οὗτοι δὲ πάντα παρωσάμενοι βασιλέα τὸν Χριστὸν καὶ ἀπεκήρυξαν καὶ ἀπεψηφίσαντο· τούτους τί χρὴ καλεῖν χριστιανούς; πᾶς τις οὖν ἀκούων κρινάτω· τὸ Χριστοῦ ὄνομα δαίμονες ἀκούοντες δραπετεύουσιν, οὗτοι καὶ ἐν εἰκόνι γεγραμμένον, ὢ τῆς τόλμας * καὶ ἀνοσιουργίας, οὐ μόνον οὐκ εὐλαβοῦνται κατὰ τοὺς ἀκαθάρτους δαίμονας, ἀλλὰ καὶ τὰ παναίσχιστα δρῶσι· καὶ οἱ μὲν πάλαι τῷ ὄντι χριστιανοὶ, ἀντὶ παντὸς ποιούμενοι τὴν εὐσέβειαν, καὶ τὰς σκιὰς αὐτὰς τῶν ἀποστόλων πολλοῦ ἠξίουν σεβάσματος, ἃς δὴ καὶ ὑποδραμεῖσθαι, μέγα εἰς εὐεργέτημα καὶ σωτηρίας ἐτίθεντο πρόξενον· οἱ δέ γε ψιλῆς μετεσχηκότες τῆς κλήσεως, τοῦ κυρίου καὶ διδασκάλου τῶν ἀποστόλων ἀκλεῶς τὸ ἀπεικόνισμα καταβάλλουσιν· ὅσῳ δὲ σκιᾶς εἰκὼν, καὶ μαθητοῦ διδάσκαλος, καὶ δούλων ὁ κύριος διήνεγκε, τοσούτῳ αὐτοῖς τὸ ἀνόμημα τοῖς ἄλλοις τῶν ἁμαρτημάτων παρεξεταζόμενον διενήνοχεν· ὡς δ' ἂν ὑποκλέπτοιτο αὐτῶν τὸ κακούργημα, καὶ μὴ τὸ δυσσεβὲς περιφανέστερον γίγνοιτο, οὔ τί που τῶν εὐσεβούντων θαῤῥήσειάν τινα ἔρεσθαι, ὅπη αὐτῷ ἀνάπτοιτο τοῦ τιμωμένου τὸ σέβασμα, τὴν εἰς Χριστὸν τιμὴν ἀκούειν οὐ φέροντες· μάτην οὖν τῆς χριστιανῶν προσηγορίας ἀντειλημμένοι, ἐνδίκως νομισθήσονται, τὴν δύναμιν καὶ τὴν πρᾶξιν ὁλοτρόπως αὐτῆς ἠρνημένοι.

* ita cod

ιε. Εἴ τις ἴδοι πρὸς τῆς ἀληθείας αὐτῆς, ἐξ ἰουδαίων τινὰ ἢ ἑλλήνων ἢ ἑτέρας τινοσοῦν θρησκείας, εἰκόνι Χριστοῦ ἢ τῶν ἁγίων, σταυρῷ τε ἢ εὐαγγελίῳ ἢ ἑτέρῳ τῶν καθ' ἡμᾶς τιμίων, προσκυνοῦντα καὶ ἀσπαζόμενον, ἆρα οὐκ ἂν εἴποι ὡς τῇ ἡμετέρᾳ πίστει προσέθετο, καὶ χριστιανὸν λοιπὸν ἀποκαλέσοι; τίς γὰρ ἐπὶ τοσοῦτον κτηνωδίας καὶ ἀπονοίας προελήλυθεν, ὃς μὴ τοῦτο διομολογήσειε; τῶν νομιζομένων δὲ χριστιανῶν εἰ θεάσοιτό τινα τὸ ἐκμαγεῖον Χριστοῦ ἢ τί τῶν εἰρημένων ἕτερον καταβάλλοντα, τί ἂν ὄνομά σοι; ὡς οὖν ἐκεῖνον εἴποι ταῖς ἀληθείαις ἑπόμενος, ὅτι τὴν πίστιν ἡμῶν ᾑρέτισεν, οὕτω καὶ τοῦτον, ὅτι τὴν πίστιν ἡμῶν ἠθέτησεν· ἴσμεν γοῦν ἀκοῇ πολλοὺς μέχρι καὶ σήμερον τὰς ἱστορίας ταύτας, ἀφορμὰς εὑρηκότας τῆς σωτηρίας· τὰ γὰρ τῆς

οἰκονομίας τῆς θείας ἐντεῦθεν ἀναμανθάνοντες, καὶ τὸν φωτισμὸν τοῦ εὐαγγελίου εἰσδεχόμενοι, ἐπὶ τὴν πίστιν ἡμῶν ποδηγοῦνται τὴν ἀμώμητον· καὶ ἄλλους ἐκ βίου αἰσχροῦ ἐπὶ τὸ σῶφρον καὶ Θεῷ φίλον μεταταξαμένους.

ιϛ. Τοιοῦτον ἔγνωμεν καὶ τὸ κατὰ τὴν ὁσίαν ἐκείνην γυναῖκα, Μαρία δὲ αὐτῇ τοὔνομα, ὡς ἑνὸς τούτων χάριν μικρὰ προσθεῖναι οὐκ ἄκομψον· πρότερον γὰρ ταῖς ἄρκυσι τοῦ πονηροῦ ζωγρηθεῖσα, πάντων παθῶν γέγονε καταγώγιον· ἱεραῖς δὲ ἱστορίαις ἐντυχοῦσα, καὶ θείᾳ ἐκεῖθεν ἐλλαμφθεῖσα χάριτι ὤφθη, οὐ παθῶν μόνον, ἀλλὰ καὶ αὐτῆς φύσεως ἀνωτέρα· δηλώσει δὲ ὁ κατ' αὐτὴν ἱστορούμενος ἀγγελικὸς βίος, κρεῖττον ἢ κατὰ ἄνθρωπον πολιτευσαμένην.

ιζ. Ταῦτα καὶ παρὰ τοῖς ἔξωθεν εὕροι τις ἄν, ὡς ἡ κατὰ Πολέμωνα ἱστορία διασημαίνει, ἧς ἐν τοῖς ἑαυτοῦ ἔπεσι καὶ ὁ μέγας ἐμνήσθη Γρηγόριος· ἐξ ἀκολάστου γὰρ εἰς τὸ σωφρονεῖν μεταθέμενος, τοσοῦτον ἐδείχθη τῶν παθῶν ἐπικρατέστερος, ὡς δὴ καὶ θαύματα περὶ αὐτὸν ᾄδεσθαι· ὧν ἕν τι ὃ ἐπὶ τῇ ἑταίρᾳ τελούμενον λέγεται· τί οὖν, φησίν; οὐδὲ εἰκὼν, ἀλλὰ Πολέμων ἐν εἰκόνι ὑπερκύπτων ἐσωφρόνισε τὴν ἀκόλαστον· ἀλλὰ καὶ σεβασμία, φησίν· ἄκουε οὐρανὲ καὶ ἐνωτίζου γῆ, πάντες ἄγγελοι, καὶ τῶν ἀνθρώπων οἱ θεὸν καὶ τὰ θεοῦ ἐνθέως καὶ εὐσεβῶς τιμῶντες ἀεὶ καὶ δοξάζοντες, ἐκστητε καὶ θαυμάσατε μέγα τι καὶ ἐξαίσιον, ἐπὶ τῇ τῶν ἀνόμων ἀναισχυντίᾳ καὶ ἀθεΐᾳ· τοῦ Πολέμωνος ἡ εἰκὼν σεβασμία, καὶ ταῦτα παρὰ τῶν καθ' ἡμᾶς θεολόγων ἡμῖν ὑποδεδειγμένη. ἡ δὲ τοῦ Χριστοῦ εἰκὼν τί; πάσης ἀτιμίας καὶ ὕβρεως ἔμπλεως· ὧν τί δυσσεβέστερον ἢ ἀνοσιώτερον; ἀλλὰ, φασὶν, ἕλληνος καὶ παρ' ἕλλησι· καὶ πῶς οὐ λίαν ἄτοπον, εἰ μὴ καὶ ἡ Χριστοῦ παρὰ χριστιανοῖς, εἴπερ χριστιανοί; ἔπειτα πάλιν ἡνίκα προταθείη αὐτοῖς παρὰ τῶν ὀρθοδοξούντων εἰς συνηγορίαν τῆς ἀληθείας λόγος, ὑπ' ἀναιδείας οἱ δείλαιοι στρεβλοῦσι κατὰ τὸ δοκοῦν τάς τε τῆς θεοπνεύστου γραφῆς, τάς τε τῶν μυσταγωγῶν τῆς ἐκκλησίας ῥήσεις, οἰόμενοι τὴν ἑαυτῶν κακοδοξίαν ἐξ ἀθλίων καὶ ψευδῶν σκεμμάτων ἐπικουρεῖσθαι· τούτων γὰρ τὰ μὲν ἀκρωτηριάζουσι, τὰ δὲ περιξέουσι καὶ ὑποτέμνονται, καθάπερ οἱ τοὺς νόθους τῶν στίχων ὀβελίζοντες, ἢ τὰ περιττὰ τῶν λίθων καὶ ξύλων οἱ τέκτονες.

ιη. Τίνα οὖν ἐστι τὰ προτεινόμενα; ὅτι ἡ γνῶσις τοῦ ἀρχετύπου διὰ τῆς εἰκόνος ἡμῖν ἐγγίνεται· ἔτι μὴν καὶ ἡ τῆς εἰκόνος τιμὴ, ἐπὶ τὸ πρωτότυπον διαβαίνει· ὁποῖόν τι τῷ μεγάλῳ Βασιλείῳ καὶ τῇ ἀληθείᾳ δοκεῖ, καὶ πᾶσι τοῖς ἐῤῥωμένοις τὴν φρένα συνωμολόγηται· καὶ οὐδείς πω τῶν σωφρονούντων, θρασέως ἄγαν καὶ ἀμαθῶς πρὸς τὴν οὕτω λαμπρὰν ἀλήθειαν ἀντωπῆσαι ἀπηναισχύντησεν, ἕως ἂν τὸ ἄθεον τοῦτο καὶ μικρὸν δόγμα καθάπερ τι λοιμικὸν νόσημα, ταῖς ἀνθρωπείαις ψυχαῖς κατὰ τὴν ἐκκλησίαν τοῦ θεοῦ εἰσεφθάρη· ἔχει δὲ τὰ τοῦ πατρὸς ἐν οἷς πρὸς Ἀμφιλόχιον τὸν τοῦ Ἰκονίου ἐπίσκοπον γράφει, ἐπὶ λέξεως ὧδε· “ Θεὸν ἐκ θεοῦ προσκυνοῦντες, τὸ ἰδιάζον τῶν ὑπο-
„ στάσεων ὁμολογοῦμεν, καὶ μένομεν ἐπὶ τῆς μοναρχίας, εἰς πλῆθος ἀπεσχι-
„ σμένον τὴν θεολογίαν μὴ σκεδαννύντες· διὰ τὸ μίαν ἐν Θεῷ καὶ πατρὶ, καὶ

.. Θεῷ μονογενεῖ τὴν οἱονεὶ μορφὴν θεωρεῖν, τῷ ἀπαραλλάκτῳ τῆς θεότητος .. ἑνιζομένην· υἱὸς γὰρ ἐν πατρὶ, καὶ ὁ πατὴρ ἐν υἱῷ· ἐπειδὴ καὶ οὗτος τοιοῦ- .. τος οἷος ἐκεῖνος, κἀκεῖνος ὅπερ οὗτος· καὶ ἐν τούτῳ τὸ ἓν, ὥστε κατὰ μὲν ,, τὴν ἰδιότητα τῶν προσώπων, εἷς καὶ εἷς· κατὰ δὲ τὸ κοινὸν τῆς φύσεως, ἓν ,, οἱ ἀμφότεροι· πῶς οὖν εἴπερ εἷς καὶ εἷς, οὐχὶ δύο θεοί; ὅτι βασιλεὺς λέ- ,, γεται καὶ ἡ τοῦ βασιλέως εἰκὼν, καὶ οὐ δύο βασιλεῖς· οὔτε γὰρ τὸ κράτος ,, σχίζεται, οὔτε ἡ δόξα μερίζεται· ὡς γὰρ ἡ κρατοῦσα ἡμῶν ἀρχὴ καὶ ἐξου- ,, σία μία, οὕτως καὶ ἡ παρ' ἡμῶν δοξολογία, μία καὶ οὐ πολλαὶ, διότι ἡ .. τῆς εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον διαβαίνει· ὃ οὖν ἐστιν ἐνταῦθα μιμη- .. τικῶς ἡ εἰκὼν, τοῦτο ἐκεῖ φυσικῶς ὁ υἱός· καὶ ὥσπερ ἐπὶ τῶν τεχνητῶν, .. κατὰ τὴν μορφὴν ἡ ὁμοίωσις, οὕτως ἐπὶ τῆς θείας καὶ ἀσυνθέτου φύσεως ., ἐν τῇ κοινωνίᾳ τῆς θεότητος ἐστὶν ἡ ἕνωσις· ,, καὶ τὰ μὲν τοῦ πατρὸς, τοιαῦτα· καὶ οὕτω πᾶσιν ἔνδηλα, ὡς μὴ δὲ τῶν ἀγροικοτέρων ἢ τῶν βαναύσων τινὰς οἶμαι διαλανθάνειν· τὰ δὲ τῶν ἐναντίων ὁποῖα; φασὶ τοίνυν, ὅτι πρὸς θεολογίαν εἴρηται ταῦτα τῷ πατρὶ, καὶ οὐδὲν ὑμῖν ἐξῆ παρακερδαίνειν ἐντεῦθεν πρὸς τὸ ζητούμενον· εἰκὼν γὰρ τοῦ θεοῦ καὶ πατρὸς ὁ υἱὸς παρὰ τῇ γραφῇ λέγεται· ἀλλ' ἀποκριτέον εὐθὺς, ὅτι εἰ οὐδὲν ἀνήκει ταῦτα πρὸς τὴν τοῦ λόγου σάρκωσιν, τίνος ἕνεκεν καθαιρεῖται; οἴδατε γὰρ σαφῶς ὅτι οὐ μέχρι τῆς θέας μόνης καὶ τῆς ὕλης ἵσταται τὸ γινόμενον· οὐδὲ γὰρ ἡ τιμὴ διὰ τὴν ὕλην καὶ τὴν θέαν προσάγεται· ἐπεὶ ἔδει πᾶσαν ὕλην, παρὰ μὲν τῶν τιμᾶσθαι, παρὰ δὲ τῶν ὑβρίζεσθαι, καὶ οὕτως ἂν ἠτιμώσατε πᾶσαν εἰκόνα· ἀλλὰ δῆλον ὅτι καὶ ἐνταῦθα, κατὰ τὸν αὐτὸν τρόπον ἐκδέχεσθε τὸ προκείμενον· εἰ γὰρ μὴ ᾔδειτε ὅτι ὁ Χριστὸς διὰ τῆς εἰκόνος δηλοῦται, καὶ τὰ γινόμενα εἰς αὐτὸν ἀναφέρεται, οὐκ ἂν τοσαύταις ἐβάλλετε ὕβρεσιν· ἐπειδὴ βαρὺς ὑμῖν ἐστι καὶ ἐν εἰκόνι βλεπόμενος.

ιθ. Τί οὖν τὸ ἐντεῦθεν συναγόμενον; ὅτι ἐπειδὴ οἱ τιμῶντες ὁμολογοῦσιν ἐπὶ τὸ πρωτότυπον ἀναφέρειν τὴν τιμὴν, ἀνάγκη καὶ τοὺς καθαιροῦντας, ἐκ τοῦ ἀκολούθου κατὰ τὸ ἀπαραίτητον λέγειν, ὅτι τὴν ἀτιμίαν ἐπὶ τὸ πρωτότυπον ἀναφέρομεν· ἐκεῖνα δὲ λέγουσιν οὐ τῇ θεολογίᾳ συνιστάμενοι· πῶς γάρ; ὧν γε μακρὰν τὸ τῆς θεολογίας μυστήριον· ἀλλ' ἵνα καὶ αὐτὸ τῆς εἰκόνος τὸ ὄνομα ἐκ μέσου ποιήσωσιν· ὡς μὴ δὲ εἰς μνήμην ὅλως παρὰ τὸν βίον ἴοι· καὶ τοῦτο μάλιστα ἐπὶ πάσης τῆς τὸ ἀνθρώπειον εἶδος φερούσης· διὸ καὶ ψευδωνύμους τὰς εἰκόνας τῶν ἁγίων καλεῖν ἐπεχείρησαν· τὰ γοῦν ἐν παραδείγματι εἰρημένα τῷ θεοφόρῳ, κακούργως καὶ ἀνοήτως ἀποκρύπτειν μηχανῶνται· τίνα λανθάνειν ἢ παραλογίζεσθαι βουλόμενοι; ὡς τῷ ἀθέῳ αὐτῶν ἀντιφερόμενα δόγματι· ἀλλ' ὅτι μὲν θεολογοῦντι τῷ πατρὶ ἐκεῖνα παρείληπται, καὶ αὐτοὶ συμφήσομεν· ἐκεῖθεν δὲ καὶ ἡμεῖς ὁρμώμενοι τοιαῦτα λέγειν πρὸς αὐτοὺς ἔχομεν, ὅτι περ ὁ υἱὸς καίτοι ἐν πολλοῖς ἑτέροις τῆς θεότητος διαπρέπων αὐχήμασι καὶ δοξαζόμενος, ὅμως ὡς εἰκὼν τοῦ θεοῦ καὶ πατρὸς, πολλῷ πλέον τῶν ἄλλων, καὶ οἰκειοῦται τῷ πατρὶ, καὶ κατ' οὐσίαν ἑνίζεται· καὶ διὰ τοῦτο

ἰσοκλεᾶ καὶ ὁμότιμον, καὶ τὴν αὐτὴν τῷ πατρὶ δόξαν καὶ προσκύνησιν παρὰ πάντων ἀποφέρεται· καὶ γὰρ ἡ εἰς τὸν υἱὸν τιμὴ, ἤγουν ἡ εἰς τὴν εἰκόνα, ἐπὶ τὸν πατέρα ὡς εἰς ἀρχέτυπον ἀναφοιτᾷ· οὕτω γάρ που φησὶν αὐτὸς πρὸς τὸν πατέρα· " ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς· καὶ πάλιν· ἐφανέρωσά σου τὸ ὄνομα ,, τοῖς ἀνθρώποις· καὶ, νῦν ἐδοξάσθη ὁ υἱὸς τοῦ ἀνθρώπου, καὶ ὁ Θεὸς ἐδο- ,, ξάσθη ἐν αὐτῷ· καὶ, πάτερ δόξασόν σου τὸν υἱὸν, ἵνα καὶ ὁ υἱός σου δο- ,, ξάσῃ σε· ,, ὅτι δὲ καὶ διὰ τῆς εἰκόνος γινώσκεται τὸ ἀρχέτυπον, αὐτός που πάλιν πρὸς τοὺς μαθητὰς ὁ σωτὴρ ἔφη· " εἰ ἐγνώκειτέ με, καὶ τὸν πατέρα ,, μου ἐγνώκειτε ἂν, καὶ ἀπάρτι γινώσκετε αὐτόν· καὶ, ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε ,, τὸν πατέρα· καὶ, ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί ἐστιν. ,,

κ. Ἐπεὶ οὖν ταῦτα οὕτως ἔχει, τί δή ποτε καὶ τὸ ἱερὸν τοῦτο ἐκμαγεῖον, ὡς εἰκὼν τοῦ ἐνανθρωπήσαντος υἱοῦ, τήν τε γνῶσιν καὶ τὴν μνήμην αὐτοῦ ἡμῖν ἐμφανίζον, μὴ κατὰ τὴν οἰκείαν ἀναλογίαν καὶ τὸ ἰδιάζον τοῦ λόγου, οὐ γὰρ ὡς ταὐτὸν τῇ οὐσίᾳ τῷ υἱῷ, ἀλλ᾽ ὡς τὸ ἐμφερὲς τοῦ εἴδους αὐτοῦ διασῶζον, τιμηθήσεται καὶ προσκυνηθήσεται; ἓν ὂν αὐτὸ καὶ τὸ τιμιώτατον τῶν εἰς δόξαν καὶ φανέρωσιν τῆς οἰκονομίας αὐτοῦ ἱερῶν συμβόλων· ἵνα καὶ δι᾽ αὐτοῦ διαβαίνῃ πρὸς τὸ ἀρχέτυπον ἡ δόξα· εἰ μή που διὰ τὴν τῆς εἰκόνος κλῆσιν οἱ ὀνοματομάχοι, καὶ τὸν υἱὸν τῆς πατρικῆς οὐσίας καὶ δόξης ἀλλοτριώσαιεν· καὶ τὴν λατρείαν καὶ τὴν προσκύνησιν διέλοιντο, μὴ δὲ μίαν κοινωνίαν ταῖς εἰκόσι πρὸς τὰ πρωτότυπα διδόντες· συνηγορίαν οὖν ὁ λόγος οὐκ ἀναίρεσιν τῶν προκειμένων ἔχει.

κα. Ἐκεῖνο δὲ ἢ οὐ συνῆκαν οἱ ἀνόητοι, ἢ ἑκόντες ἀπέκρυψαν, ὡς τὸ τῆς εἰκόνος ὄνομα οὐ τῶν ἁπλῶς θεωρουμένων ἐστὶν, ἀλλ᾽ ὁμώνυμος φωνὴ καὶ τῶν πολλαχῶς λεγομένων· ἧς περὶ τῆς διαιρέσεως, λεπτῶς αὐτὸς οὗτος ὁ πατὴρ ἐν ἑτέροις διαλαμβάνει· κατὰ μὲν γὰρ τὴν πρώτην ἐπιβολὴν, εἰς φυσικὴν καὶ τεχνητὴν διαιρεῖσθαι· κατὰ δὲ τὴν ἑτέραν ἤτοι ὑποδιαίρεσιν, τὴν τεχνητὴν εἰκόνα μορφῆς εἶναι, φησὶ, καὶ σχήματος, ἢ εἴδους καὶ χρώματος· λεγέτωσαν οὖν ἡμῖν, τίς ὁ ἀναγκάζων τρόπος, τὸ μὲν ἕτερον τούτων δέχεσθαι, ὃ ἐπὶ τῶν φυσικῶν εἴληπται, καὶ τήν τε οἰκειότητα καὶ σχέσιν ἀκριβῶς διασώζεσθαι ὑπολαμβάνειν, τὸ δ᾽ αὖ ἕτερον μέρος ὃ ἐπὶ τῶν τεχνητῶν εἴρηται, ἀποπέμπεσθαι; τί; μὴ καὶ ταῦτα τὴν σχέσιν καὶ οἰκειότητα κατὰ τὸν ἴδιον λόγον ἀπαράτρωτον κεκτήσεται; καίπερ ὁ τῆς εἰκόνος λόγος, ὡς εἰκόνος ἁπλῶς ἐπ᾽ ἀμφοῖν ἴσως καὶ ὁμοτίμως παραλαμβάνεται παρὰ τοῖς νοῦν ἔχουσι, εἰ καὶ περὶ διάφορα τὰ σημαινόμενα καταγίνεται· ὡς γὰρ ἐπὶ τῶν φυσικῶν εἰλικρινῶς τὸ ἐοικὸς καὶ ἀπαράλλακτον ἔχει, οὕτως καὶ ἐπὶ τῶν τεχνητῶν, κατὰ τὸ εἶδος καὶ τὴν μορφήν· εἰ καὶ τῇ φύσει τὸ διάφορον ἐν ἑαυταῖς ἐνδείκνυνται· ὅθεν καὶ τῇ προσηγορίᾳ μιᾷ καὶ τῇ αὐτῇ, ὁμωνύμως κεκοινωνήκασιν· ἀλλ᾽ ἐπειδὴ τοῦτο πρὸς τὴν ἐνσωμάτωσιν τοῦ λόγου οἰκείως λαμβάνεται, κατασιγάζειν καὶ ἀνατρέπειν πειρῶνται οἱ ἄφρονες· ἔνθα μὲν γὰρ κατὰ τὸ προφανὲς οὐδὲν αὐτοῖς ἐστι τὸ προσιστάμενον, ὥσπερ ἐπ᾽ αὐτοῖς τυγχάνοντος καὶ ἐπ᾽ ἐξουσίας

κειμένου, ἕπεσθαι προσποιοῦνται τῷ διδασκάλῳ· ἔνθα δὲ τῷ ἀντιπίπτοντι περιτύχοιεν, ἀεὶ διακρούονται.

Ἀλλ᾽ ὥρα ἡμῖν ἐπὶ τὴν τοῦ ῥητοῦ χωρεῖν ἤδη ἐπίσκεψιν· θεολογοῦντι δ᾽ οὖν τῷ διδασκάλῳ, καὶ τὸν υἱὸν συμφυᾶ τῷ πατρὶ καὶ τῆς αὐτῆς οὐσίας εἰδότι, ἰδιότητι δὲ μόνῃ τῇ κατὰ τὴν ὑπόστασιν, εἴτουν πρόσωπον, διακρίνεσθαι δογματίζοντι, ἐπειδὴ πολλοὶ καὶ τῶν τηνικάδε θεομαχούντων αἱρετικῶν κατὰ τῆς τοῦ μονογενοῦς δόξης ἐπεφύοντο, ἐδέησε ταῦτα διὰ παραδείγματος παραστῆσαί τε καὶ δηλῶσαι· καὶ γὰρ ἐκ τῶν καθ᾽ ἡμᾶς τὰ ὑπὲρ ἡμᾶς τεκμαιρόμεθα, ὃ δὴ καὶ ἐπὶ τῆς θεοπνεύστου γραφῆς ἰδεῖν ἐστιν, οὐχ᾽ ἥκιστα δὲ καὶ ἐπὶ τῶν διδασκάλων τῆς ἐκκλησίας· εἰρηκὼς γὰρ, πῶς εἴπερ εἷς καὶ εἷς ὁ πατὴρ καὶ θεὸς, καὶ ὁ υἱὸς καὶ θεὸς, οὐχὶ δύο θεοί; οἱονεὶ ἐν διαλόγῳ τὸν λόγον ποιούμενος " ὅτι τοι, φησὶ, βασιλεὺς λέγεται καὶ ἡ τοῦ βασιλέως εἰκών· ,, καὶ οὐ δύο βασιλεῖς· οὔτε γὰρ τὸ κράτος σχίζεται, οὔτε ἡ δόξα μερίζεται· ,, εἶτα ὡσεὶ τινὸς διαποροῦντος, πόθεν ταῦτα οὕτως ἔχειν δῆλον, ὥσπερ κατασκευάζων τὸν τοῦ παραδείγματος λόγον, διὰ τῶν κοινῶν ἐννοιῶν προερχόμενος καὶ ἅπασι συνομολογουμένων ἐπάγει· " διότι ἡ τῆς εἰκόνος τιμὴ, ἐπὶ τὸ πρω- ,, τότυπον διαβαίνει· ,, τοῦτο γὰρ ἐπὶ πάσης εἰκόνος ὡμολόγηται, καὶ πᾶσι λογικοῖς οὐκ ἐκ διδασκαλίας μόνον, ἤδη δὲ καὶ φυσικῶς, ἡ τούτου γνῶσις ἐμπέφυκεν· οὕτως ἀπαρτίσας τὰ τοῦ παραδείγματος, μετάγει λοιπὸν τὸν λόγον ἐφ᾽ ὃ παρῆκται, καὶ φησίν· ὃ οὖν ἐνταῦθα μιμητικῶς ἡ εἰκὼν, ἐνταῦθα ποῦ, ἢ δῆλον ὡς ἐν τῇ ἐκ τέχνης τὴν μίμησιν ἐνδεικνυμένῃ εἰκόνι, τοῦτο ἐκεῖ φυσικῶς ὁ υἱός· ἔπειτα τῶν τεχνητῶν εἰκόνων τὴν πρὸς τὰ ἀρχέτυπα διαφορὰν καὶ οἰκείωσιν εἰδὼς ὁ πατὴρ, πάλιν παραδείγματι ἀναλόγως ἔχοντι πρὸς τὴν φυσικὴν εἰκόνα τούτῳ χρώμενος ἐπιφέρει· " καὶ ὥσπερ ἐπὶ τῶν τεχνητῶν, κατὰ ,, τὴν μορφὴν ἡ ὁμοίωσις, οὕτως ἐπὶ τῆς θείας καὶ ἀσυνθέτου φύσεως, ἐν τῇ ,, κοινωνίᾳ τῆς θεότητος ἐστὶν ἡ ἕνωσις· ,, σημειωτέον δὲ ὅπως ἐπὶ τῶν τεχνητῶν, οὐ τῆσδε ἢ τῆσδε εἴρηκε, τὴν κατὰ τὴν μορφὴν τοῦ πρωτοτύπου ὁμοίωσιν προσδιωρισμένως, ἀλλὰ διὰ τοῦ πληθυντικοῦ ἀριθμοῦ, ἐπὶ πασῶν ἁπλῶς τὸν αὐτὸν εἰσήγαγε λόγον· ὡς εἴπερ μὴ ἀπόσχοιντο τῆς ἀτόπου φιλονεικίας οἱ ἀναισχυντοῦντες, ἐκβιασθήσονται μὴ ἕνα μόνον, ἀλλὰ καὶ πολλοὺς υἱοὺς ἀθέως ἀναπλάττειν καὶ ἀνοήτως.

κβ. Τὸ τοίνυν λεγόμενον, ὅτι ἡ τῆς εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον διαβαίνει, οἷα δὴ προσεχέστερον τῷ ἐπὶ τῆς βασιλέως εἰκόνος παραδείγματι κείμενον, προηγουμένως ἐπὶ τῶν τεχνητῶν εἰκόνων ἐφήρμοσται, καὶ οὕτως ἐπὶ τὴν φυσικὴν εἰκόνα ἐκεῖθεν μετέρχεται, καὶ πρὸς τὴν θεολογίαν παραδειγματικῶς ἀνάγεται· τοιαύτης δὲ μεταλαχεῖν τὴν τεχνητὴν εἰκόνα τῆς πρὸς τὸ πρωτότυπον κατὰ τὴν μορφὴν κοινωνίας καὶ σχέσεως, οὐδὲν ἧττον ἢ κατὰ τὴν ὁμωνυμίαν ἐνέφηνεν· ὡς γὰρ οὐ δύο ἀλλ᾽ ἕνα λέγεσθαι βασιλέα συνήνεκται, τὸ γὰρ ἓν ἐπ᾽ ἀμφοῖν διαφαίνεται, οὕτω δὴ καὶ ὃ θαυμαστότερον καὶ οἰκειότερον, μὴ δὲ τὸ κράτος σχίζεσθαι, μὴ δὲ τὴν δόξαν μερίζεσθαι, ὃ ἐδήλου ἐπὶ τῆς φυ-

σικῆς ἡ κατ' οὐσίαν ἕνωσις εἰκόνος, πῶς οὖν ἄτιμοι καὶ ἀπηγορευμέναι ϖρὸς ἐξάπλωσιν καὶ σαφήνειαν τηλικούτου πράγματος, τῆς θεολογίας λαμβανόμεναι; Ὁ δὲ αὐτὸς οὗτος διδάσκαλος, καὶ ἐν τοῖς κατὰ Σαβελλίου λόγοις, τὴν περὶ τῶν εἰρημένων διάνοιαν λευκότερον ἐξαπλοῖ· " οὐδὲ γὰρ ὁ κατὰ τὴν ἀγο-
,, ρὰν τῇ βασιλικῇ εἰκόνι ἐνατενίζων, καὶ βασιλέα λέγων τὸν ἐν τῷ ϖίνακι,
,, δύο βασιλέας ὁμολογεῖ, τήν τε εἰκόνα καὶ τὸν οὗ ἐστιν ἡ εἰκών· οὔτε ἐὰν
,, δείξας τὸν ἐν τῷ ϖίνακι γεγραμμένον εἴπῃ, οὗτος ἐστὶν ὁ βασιλεὺς, ἀπε-
,, στέρησε τὸν ϖρωτότυπον τῆς τοῦ βασιλέως ϖροσηγορίας, μᾶλλον μὲν οὖν
,, ἐκείνῳ τὴν τιμὴν ἐβεβαίωσε διὰ τῆς τούτου ὁμολογίας· εἰ γὰρ ἡ εἰκὼν βα-
,, σιλεὺς, πολλῷ δή που εἰκὸς βασιλέα εἶναι καὶ τὸν τῇ εἰκόνι παρασχόμενον
,, τὴν αἰτίαν· ἀλλ' ἐνταῦθα μὲν ξύλα καὶ ζωγράφου τέχνη τὴν εἰκόνα ποιεῖ
,, φθαρτὴν φθαρτοῦ μίμημα καὶ τεχνητὴν τοῦ ποιηθέντος, ἐκεῖ δὲ ὅταν ἀκούσῃς
,, εἰκόνα, ἀπαύγασμα νόει τῆς δόξης· τί δὲ τὸ ἀπαύγασμα, καὶ τίς ἡ δόξα,
,, αὐτὸς εὐθὺς ἡρμήνευσεν ὁ ἀϖόστολος ἐϖαγαγὼν, καὶ χαρακτὴρ τῆς ὑϖο-
,, στάσεως. ,, Τοιαύτης δὲ διὰ πάντων τῆς κατὰ τὰς εἰκόνας θεωρίας παραδεδειγμένης, ὡς τὸ ἐοικὸς ἐν ἅπασι κατὰ τὸν ἴδιον ὅρον καὶ λόγον ἐχούσας, τί τὸ ἄτοπον τὰ τῆς τάξεως ἀντιστρέψαντας εἰπεῖν, ὅτι ὥσπερ ἡ παρὰ τῶν ἀσεβούντων εἰς τὸν υἱὸν ὕβρις, πρὸς τὸ πατέρα ὡς εἰς ἀρχέτυπον ἄντικρυς ἀναβαίνει, οὕτω καὶ ἡ εἰς τὴν τεχνητὴν τοῦ Χριστοῦ εἰκόνα παρ' αὐτῶν προσφερομένη ἀτιμία, φανερῶς ὡς ἐπ' ἀρχέτυϖον τὸν Χριστὸν αὐτὸν ἀναφέρεται; τί τούτων σαφέστερον ἢ ἐκδηλότερον πρὸς συνηγορίαν καὶ πίστωσιν τῆς ἀληθείας, καὶ τοῦ ὀρθοῦ λόγου, καὶ τῆς ἐκκλησιαστικῆς καὶ εὐσεβοῦς παραδόσεως; τίς τῶν ἄγαν ἀσυνέτων καὶ ἀνοήτων οὐ συνήσει, ὅτι τὴν τεχνητὴν εἰκόνα, ἐφ' ἧς καὶ τὸ ζητούμενον πρώτως ὡς ἔναγχος δέδεικται ἀποδέδοται, πρὸς σαφήνειαν καὶ ἀνάπτυξιν τῆς κατὰ τὴν θεολογίαν φυσικῆς εἰκόνος, ὡς οἰκεῖον καὶ ἐμφανέστατον καὶ πρόσφορον ὁ θεοφόρος παράδειγμα προηγάγετο; ὁ γὰρ μὴ οὕτω ταῦτα ὡς νῦν τετήρηται καὶ ἀποδέδοται ἔχειν οἰόμενος, πόῤῥω που τῆς πατρικῆς διανοίας καὶ τοῦ σκοποῦ ἀφέστηκε, καὶ τῶν ἀληθῶν αὐτῶν ἀνοηταίνων ὁλοτρόπως διημάρτηκεν.

κγ. Ἀλλ' οἱ χριστομάχοι ταῦτα ἀποκρυψάμενοι, καὶ τοὺς ἁπλουστέρους παραλογίζεσθαι βουλόμενοι, λανθάνειν τὴν ἑαυτῶν πικρίαν καὶ τὴν κατὰ τῆς ἀληθείας μάχην ὑποτοπάζουσι· τοσοῦτον ἐσκοτίσθησαν τὰς ψυχὰς, ὡς τὰ σαφῶς διηγορευμένα, καὶ τὴν τῶν πολλῶν γνῶσιν μὴ διαφεύγοντα ταμιεύσασθαι· ὑφ' ὧν δὴ τὸ κακοῦργον αὐτῶν πλέον δημοσιεύεται. Ἑξῆς δὲ ἡμῖν ὁ τῷ ἱερῷ τούτῳ πατρὶ ὁμότροπος καὶ ὁμόγνωμος καλείσθω, ἐν ταῖς ἑαυτοῦ θεολογίαις ὁ μέγας Γρηγόριος, τὰ αὐτὰ ϖερὶ τῶν αὐτῶν διεξερχόμενος· " εἰκὼν δὲ, ὡς
,, ὁμοούσιον· καὶ ὅτι τοῦτο ἐκεῖθεν, ἀλλ' οὐκ ἐκ τούτου, ϖατήρ· αὕτη γὰρ
,, εἰκόνος φύσις, μίμημα εἶναι τοῦ ἀρχετύπου, καὶ οὗ λέγεται· πλὴν ὅτι καὶ
,, πλέον ἐνταῦθα· ἐκεῖ μὲν γὰρ ἀκινήτως κινουμένου, ἐνταῦθα δὲ ζῶντος καὶ
,, ζῶσα, καὶ ϖλέον ἔχουσα τὸ ἀπαράλλακτον, ἢ τοῦ Ἀδὰμ ὁ Σὴθ, καὶ τοῦ

„ γεννῶντος παντὸς τὸ γεννώμενον· τοιαύτη γὰρ ἡ τῶν ἁπλῶν φύσις, μὴ τὸ „ μὲν ἐοικέναι, τὸ δὲ ἀπεοικέναι, ἀλλ' ὅλον ὅλου τύπον εἶναι, καὶ ταὐτὸν „ μᾶλλον ἢ ἀφομοίωμα· „ ὧδε μὲν ἔχει τὰ τοῦ πατρός· ὅτι δὲ τῆς αὐτῆς ἐννοίας ἔχεται, οὕτως εἰσόμεθα· εἰπὼν γὰρ ὅτι τοιαύτη ἡ τῆς εἰκόνος φύσις, μίμημα εἶναι τοῦ ἀρχετύπου, φαίνεται πάσης εἰκόνος ἁπλῶς τὸν λόγον εἰσάγειν, ἵνα διὰ τούτου σχῇ τὸ ζητούμενον· καὶ γὰρ ἐκ τῶν καθολικωτέρων τὰ μερικώτερα δείκνυται· καὶ οὗτος τῆς ἀρίστης καὶ κυριωτέρας ἀποδείξεως ὁ τρόπος· τὰ δὲ ἑπόμενα, δείκνυσι μᾶλλον αὐτὸν πρὸς τὴν αἰσθητὴν ταύτην εἰκόνα καὶ τεχνητὴν ἀποσκοπεῖν· ἐπαγαγὼν γὰρ τὸ “ πλὴν ὅτι καὶ πλέον ἐνταῦθα „ τὴν ὑπεροχὴν τῶν προκειμένων αὐτῷ ἐπὶ τῇ θεολογίᾳ, διὰ τῆς συγκριτικῆς φωνῆς ἐσήμανε, διακρίνας ἑκάτερον τοῦ ἑτέρου· προσεπενέγκας δὲ τὸ “ ἐκεῖ „ μὲν γὰρ ἀκίνητος κινουμένου, ἐνταῦθα δὲ ζῶντος καὶ ζῶσα „ τὴν πρὸς ἀλλήλας παρέστησεν ἣν ἔχουσι διαφοράν· ὡς εἰ ἔλεγεν ὅτι ἴδιον τῆς μὲν τεχνητῆς εἰκόνος, τὸ ἀκίνητον κινουμένου· οἰκεῖον δὲ τῆς φυσικῆς τὸ ζῶντος καὶ ζῶσα· μετὰ ταῦτα καὶ αὐτῶν τῶν φυσικῶν σύγκρισιν ποιεῖται ἐπὶ τῶν ἀσυγκρίτων, τὸν τοῦ Ἀδὰμ καὶ τοῦ Σὴθ παρενείρας λόγον, καὶ ὅσα περὶ τῆς τῶν ἁπλῶν διείλεκται φύσεως· προσεκτέον δὲ κἀνταῦθα, ὡς ὁ θεηγόρος οὗτος τὰ τῆς θεολογίας ἐξαίρων τῷ εἶναι πάντων ἐξῃρημένην, διὰ τῆς τῶν πάντων ἀφαιρέσεως, καὶ ταῦτα δὴ τὰ χειρόκμητα οὐ μόνον οὐκ ἀποπέμπεται, ἀλλὰ καὶ ὥσπερ ἀγάμενος ἀποδέχεται.

κδ. Ὁ θεοφόρος Κύριλλος ὁ τῆς μεγάλης τῆς Ἀλεξάνδρου πρόεδρος, καὶ μέγας διδάσκαλος, τοῖς προάγουσι συνειστρεχέτω καὶ συμφθεγγέσθω· τοιάδέ τινα περὶ τῶν προκειμένων φάσκων· “ ὥσπερ ἂν εἴ τις εἰκόνα διαγεγραμμένην „ ἄριστα βλέποι, καὶ ἀποθαυμάζοι μὲν τὸ τοῦ βασιλέως σχῆμα, καὶ ὅσα „ περ ἐν ἐκείνῳ φαίνεται, ταῦτα καὶ ἐν τῇ γραφῇ δυνάμενός τε καὶ ἔχων ὁρᾷν, „ εἰς ἐπιθυμίαν ἔλθοι τοῦ καὶ αὐτὸν ἰδεῖν τὸν βασιλέα, εἴποι δ' ἂν εἰκότως „ πρὸς αὐτὸν ἡ γραφὴ, ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν βασιλέα· καὶ πάλιν· ἐγὼ „ καὶ ὁ βασιλεὺς ἕν ἐσμεν, ὅσον εἰς ὁμοιότητα καὶ ἀκριβεστάτην ἐμφέρειαν· „ καὶ πάλιν· ἐγὼ ἐν τῷ βασιλεῖ καὶ ὁ βασιλεὺς ἐν ἐμοὶ κατὰ τὸ τῆς μορφῆς „ σχῆμα· τὸ γὰρ εἶδος τὸ ἐκείνου πάντως φορεῖ ἡ γραφὴ, καὶ τὸ τῆς γραφῆς „ εἶδος ἐν ἐκείνῳ σώζεται· οὕτως ἐστὶ καὶ ὁ υἱὸς λέγων· ὁ ἑωρακὼς ἐμὲ, ἑώ- „ ρακε τὸν πατέρα· καὶ, ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν· „ ἆρ' οὖν ἕπονται τοῖς σοφοῖς τούτοις λόγοις, ἢ ἔνθα μὲν, ἔνθα δὲ οὔ; καὶ ὡς ἡ τοῦ ἐνεργοῦντος ὑποβάλοι πονηρὰ γνώμη; εἰ μὲν οὖν βούλοιντο πείθειν ἡμᾶς, ὡς κατὰ τὰ εἰρημένα τῷ διδασκάλῳ, ὁμοούσιον τῷ φύσαντι τὸν υἱὸν δοξάζουσιν, οἷα εἰκόνα ὄντα πατρὸς, καὶ βασιλέα μετὰ τῆς καθ' ἡμᾶς ἣν ὑπέδυ μορφὴν, ὁμολογοῦντες τιμῶσι, κατὰ τὸ προκείμενον ἤδη παράδειγμα, προσκυνείτωσαν σὺν ἡμῖν τὴν προσκυνητὴν αὐτοῦ εἰκόνα, μονονουχὶ καὶ αὐτὴν λέγουσαν· ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν πάντων βασιλέα καὶ κύριον Ἰησοῦν τὸν Χριστὸν καὶ θεόν· εἰ δὲ οὐ τοῦτο δέχονται, οὐδὲ τὸν υἱὸν ὁμοούσιον τῷ πατρὶ δοξάζουσι, καὶ τῆς

βασιλείας ἀποψηφιοῦνται, καὶ ἀλλοτρίους ταύτης τὲ καὶ τῆς καθ' ἡμᾶς πίστεως ἑαυτοὺς σαφῶς ἀποδείξουσι.

κε. Τούτοις τοῖς θεοσόφοις πατράσι, καὶ ὁ πολὺς τὰ θεῖα καὶ θεοφάντωρ Διονύσιος συνῳδὰ φραζέτω· " ὅτι καθάπερ ἐπὶ τῶν αἰσθητῶν εἰκόνων, εἰ ,, πρὸς τὸ ἀρχέτυπον εἶδος ἀκλινῶς ὁ Γραφεὺς εἰσορᾷ, πρὸς μηδὲν ἄλλο τῶν ,, ὁρατῶν ἀνθελκόμενος ἢ καταμεριζόμενος, αὐτὸν ἐκεῖνον ὅς τις ἐστὶ τὸν Γραφόμενον, εἰ θέμις εἰπεῖν, διπλασιάσει, καὶ δείξει τὸ ἀληθὲς ἐν τῷ ὁμοιώματι, τὸ ἀρχέτυπον ἐν τῇ εἰκόνι, τὸν ἑκάτερον ἐν ἑκατέρῳ παρὰ τὸ τῆς οὐσίας διάφορον· οὕτως τοῖς φιλοκάλοις ἐν νῷ γραφεῦσιν ἡ πρὸς τὸ εὐῶδες ,, καὶ κρύφιον κάλλος ἀτενὴς καὶ ἀπαρέγκλιτος θεωρία, τὸ ἀπλανὲς δωρήσεται καὶ θεοειδέστατον ἴνδαλμα· ,, πείθονται τούτοις οἱ τῆς ἀπειθείας υἱοὶ, καὶ τιμῶσι τοὺς θεολόγους; καὶ δέχονται εἶναι καὶ αἰσθητὰς εἰκόνας; καὶ ὁμολογοῦσι περιγραπτὸν τὸν πολλὰ πλασιαζόμενον; καὶ προσκυνοῦσι τὸν δι' ἑκατέρου ἑκάτερον δεικνύμενον; ὅ ἐστιν ὁ εἰκονιζόμενος καὶ τὸ εἰκονίζον, ὡς νῦν παρ' ἡμῶν δοξάζεται ὁ Χριστὸς καὶ ἡ Χριστοῦ σεβασμία εἰκών; ἢ ἑκάτερον δι' ἑκατέρου ἐξουθενοῦσι, καὶ ἀτιμάζουσι τὸν Χριστὸν διὰ τῆς εἰκόνος αὐτοῦ; συνατιμάζουσι δὲ καὶ τὸν ἱεροφάντην διδάσκαλον, καὶ ταύτῃ ἡμᾶς βεβαιώσονται, ὡς οὐδενὶ τρόπῳ τοῦ κρυφίου μετέσχον κάλλους, αἰσχροὶ δέ εἰσι καὶ ἀκάθαρτοι, καὶ πάσης θεοειδοῦς ἐμφάσεως ἀμέθεκτοι;

κϛ. Ὡσαύτως δὲ ἔχειν καὶ τῷ Κλήμεντι ἐκείνῳ τῷ ἀλεξανδρειάθεν δοκεῖ, ἐν οἷς περὶ τοῦ νομικοῦ πάσχα διαλαμβάνων φησίν· " ὡς εἴ τινος εἰκὼν, ,, μὴ παρόντος μὲν τοῦ ἀρχετύπου, τὴν ἴσην ἐκείνῳ δόξαν ἀποφέρεται, καὶ ,, παρούσης τῆς ἀληθείας, καταλάμπεται ἡ εἰκὼν πρὸς αὐτῆς, τῆς ὁμοιώσεως ,, ἐκείνης ἀποδεκτῆς μενούσης, διὰ τὸ σημαίνειν τὴν ἀλήθειαν. ,, Καὶ τὰ μὲν τῶν θεοφόρων τοιαῦτα· ἐπιτηρητέον δὲ ὅτι οὐ διωρισμένως οὐδὲ ἰδικῶς περὶ τῆς τοιᾶσδε εἰκόνος, ἢ τοῦδε τοῦ εἴδους μόνου, ἐπὶ πάσης δὲ ἁπλῶς εἰκόνος τὴν αὐτὴν ἔννοιαν καὶ δύναμιν παριστάνουσι, καὶ τὴν εἰς τὸ πρωτότυπον σχέσιν τὲ καὶ οἰκειότητα διασώζειν, συμφώνως διαγορεύουσιν· ὅπερ ἐμφανέστερον δηλοῖ τὰ τῷ θείῳ εἰρημένα Διονυσίῳ· εἰ καί τινες τῶν πατέρων διὰ τὴν οὕτω τηνικαῦτα ἐπικρατήσασαν συνήθειαν, τὰς βασιλέων εἰκόνας δημοσιεύεσθαί τε καὶ προσκυνεῖσθαι, τῷ κατὰ τὸν βασιλέα συνεχρήσαντο παραδείγματι, ὡς τῶν ἄλλων ἐγγυτέρῳ τῷ βασιλεῖ τῶν βασιλευόντων καὶ κυρίῳ τῶν ὅλων, ἐπεὶ τῶν ἐπὶ γῆς μεῖζον πάντων καὶ ὑπερτεροῦν ἀξίωμα· οὕτω καὶ τοῦ εἱρμοῦ τοῦ λόγου φέροντος, ἐκ γὰρ τῶν ἐγκοσμίων τὰ ὑπερκόσμια, καὶ τῶν ταπεινοτέρων τὰ ὑψηλότερα καθόσον ἐφικτὸν ἐκκαλύπτεται· ὅτι δὲ τὰ δρώμενα ἐν ταῖς εἰκόσιν ἐπὶ τὸ πρωτότυπον ἀναφέρεται, κἀκ τῶν ἱερῶν γραμμάτων συνιδεῖν ῥάδιον.

κζ. Καὶ Γὰρ ἡ κατὰ τὸν μακάριον Σαμουὴλ ἱστορία, τοιοῦτόν τι παραδηλοῦν βούλεται· οὗτος γὰρ καὶ πρὸ ὠδίνων, τῷ Θεῷ παρὰ τῇ φιλοθέῳ ὑποσχεθεὶς μητρὶ, εὐθὺς ἐκ σπαργάνων αὐτῶν ἀνιέρωτο· εἶτα ἱερατεύειν λαχὼν

τῷ Θεῷ, εἰκὼν ἦν Θεοῦ καὶ καθὸ ἱερεύς· καὶ τοῦτο ἡμᾶς ἐμπεδοῖ τὸ ἐν ψαλμοῖς ᾀδόμενον· “ σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ· ,, καὶ μὲν δὴ καὶ ἡ τοῦ πανσόφου Παύλου διδάσκει φωνή· “ ὅτι ἀφωμοιωμένος τῷ ,, υἱῷ τοῦ Θεοῦ, μένει ἱερεὺς εἰς τὸ διηνεκές· ,, οὗτος οὖν ἱερεύων, εἰκόνιζε θεόν· ἐπειδὴ δὲ οἱ ἐξ Ἰσραὴλ καταγηράσκοντα ἑώρων, ἐν αἰτίαις τὲ μεγάλαις ἐποιοῦντο τοὺς παῖδας τοὺς αὐτοῦ, ἧκον πρὸς αὐτὸν ἄνδρες, καὶ δὴ καὶ ᾔτουν βασιλέα καταστήσειν αὐτοῖς, καθὰ δὴ κᾀν τοῖς ἄλλοις κατεθεῶντο γινόμενον ἔθνεσι· τί οὖν, φησιν, ἡ γραφή; πονηρὸν μὲν ἤδη καὶ αὐτῷ τῷ προφήτῃ καὶ λίαν ἐνδίκως τὸ αἰτούμενον κατεφαίνετο· τὰ δὲ τοῦ Θείου χρησμοῦ τίνα καὶ ὁποῖα; “ ἄκουσον, φησὶν, ὁ τῶν ὅλων Θεὸς, οἷα δὴ χαλεπαίνων καὶ ὀργιζό- ,, μενος, τῆς φωνῆς τοῦ λαοῦ καθὰ ἂν λαλῶσι πρὸς σὲ, ὅτι οὐ σὲ ἐξουθενή- ,, κασιν, ἀλλ' ἢ ἐμέ· ,, φανερώτατα οὖν καὶ ἐντεῦθεν δείκνυται, ὡς ἡ εἰς τὸν προφήτην ἐξουθένησις, ἅ τε θεῖον ἀνάθημα καὶ τὰ Θεῖα ἐξεικονίζοντα, ὡς ἐξ εἰκόνος ἐπὶ τὸν θεὸν ὡς εἰς ἀρχέτυπον διαβέβηκεν· οὕτως γε μὴν καὶ ἐπὶ τῶν εὖ γινομένων γινώσκομεν· ἀκούομεν γὰρ ἐν εὐαγγελίοις τὸν σωτῆρα θεὸν πρὸς τοὺς θεσπεσίους ἀποφαινόμενον μαθητάς· “ ὁ δεχόμενος ὑμᾶς ἐμὲ δέχεται· ,, κατὰ ταῦτα δὴ οὖν, τὰ εἰς τὴν ἐκκλησίαν Χριστοῦ ἀδικήματα, τῶν τε ἱεροτυπιῶν χάριν, καὶ δὴ καὶ τῶν ἀνατεθειμένων καὶ ἱερωμένων αὐτῷ σωμάτων, εἰς αὐτὸν τὸν Χριστὸν μετενήνεκται· τί οὖν οὐ χαλεπαίνει καὶ ἀγανακτεῖ ἐν τούτοις Θεός; πάνυ μὲν οὖν· ἀναβάλλεται δὲ τὴν ὀργὴν, ὥσπερ ἐπὶ τοῖς πάλαι, οὕτω δὴ καὶ ἐπὶ τοῖς νῦν ὑβρισταῖς, κᾀν αὐτοὶ τῆς ἀφάτου μακροθυμίας καταφρονῶσι καὶ ἀγαθότητος· ἐκεῖνο δὲ πῶς οὐ συνίασιν οἱ ἀνόητοι, ὅπερ εἰς ἔλεγχον τῆς παρανοίας αὐτῶν πρόκειται; ἐχρῆν γὰρ αὐτοὺς ἐκεῖθεν χειραγωγεῖσθαι ἐπὶ τὴν τῆς ἀληθείας κατάληψιν.

κη. Τί δ' οὖν ἐστιν ῥητέον; εἰ μὴ ᾔδεσαν ταῦτα οὕτως ἔχειν χριστιανοὶ, πῶς τὸ ἀνέκαθεν τὰ παρ' ἕλλησι πρὸς σεβασμὸν καὶ Θρησκείαν γνωριζόμενά τε καὶ τεκταινόμενα, βδελυκτὰ ἡγοῦντο καὶ κατάπτυστα; ζήλῳ δὲ Θείῳ καὶ σπουδῇ πάσῃ χρώμενοι, καθῄρουν τὲ εὐσθενῶς ἐκ βάθρων αὐτῶν καὶ διέφθειρον, πυρί τε παρεδίδοσαν, καὶ ἄλλως τὸν ὄλεθρον αὐτῶν ἐργαζόμενοι ἦσαν· τίνος οὖν ἕνεκεν ταῦτα ἔπραττον, ἢ οὐχὶ μίσει καὶ ἀπεχθείᾳ τῶν δι' οὓς ἐκεῖνα γεγόνασι; καὶ γὰρ ἕλληνες καὶ ἀνθρώπων τινῶν εἰκόνας διατυποῦν δόξαντες, καθίδρυσαν ἀνοητότατα Θεοστυγῶν τινῶν καὶ μιαρῶν καὶ ἐπ' αἰσχρότητι βεβοημένων, ἢ καὶ ἄλλως γενναῖόν τι καὶ εὐσθενὲς κατὰ τὸν βίον διηνυκότων· ἔστι δὲ ὧν καὶ δαιμόνων τινῶν παρ' αὐτοῖς θεραπευομένων, ἃ δὴ καὶ εἴδωλα καὶ φασματώδη πλάσματα καλεῖν θεμιτὸν, καὶ πλάνης ἀνάμεστα· εἰ οὖν οὕτω ταῦτα ἔχει, πῶς οὐ δίκαιον τὰ καθ' ἡμᾶς ἅγια, διὰ τιμῆς ἁπάσης ἦχθαι, πίστει τῇ εἰς τὰ πρωτότυπα καὶ σεβασμιότητι, εἴπερ ὁμολογοῦμεν αὐτὰ σεβασμοῦ ἄξια; ΤΙ ΓΑΡ ΤΟΥ ΚΥΡΙΑΚΟΥ ΣΩΜΑΤΟΣ ΤΙΜΙΩΤΕΡΟΝ Η ΣΕΒΑΣΜΙΩΤΕΡΟΝ, Ο ΚΑΙ ΜΕΤΕΧΟΜΕΝΟΝ ΤΟΥΣ ΠΙΣΤΕΙ ΔΕΧΟΜΕΝΟΥΣ ΚΑΘΑΓΙΑΖΕΙ, καὶ εἰκονιζόμενον ἀποπληροῖ χάριτος; διὸ προσκυνητὰ καὶ τίμια παρὰ χριστανοῖς μετὰ τῶν ἄλλων ἁγίων·

ἀλλ' οἱ ἀνόσιοι πρὸς τὰ οὕτως ἀναντίβλεπτα, εὐθὺς ἀνθυποφέρουσιν. ⸎ Ὅτι ⸎ ἕλληνες μὲν τὰ ἑλλήνων δοξάζουσι, παρ' ἐκείνοις γὰρ τὸ τοιοῦτον ἐφεύ- ⸎ ρεμα, χριστιανοῖς δὲ οὐκ ἐξὸν τοῦτο ποιεῖν. ⸎ Καὶ οὐ συνῆκαν ὅτι τοῦτο αὐτοῖς μᾶλλον ἀντιτετάξεται, συναγορεύσει δὲ ἡμῖν εἰς τὰ μάλιστα· τί δή ποτε γὰρ μὴ καὶ χριστιανοὶ τὰ χριστιανῶν τιμήσουσι; καίτοι ψευδῆ μὲν τὰ ἑλλήνων καὶ ἀπάτης ἔμπλεα, τὰ δὲ ἡμέτερα ἀληθῆ καὶ ἀληθῶς πεπραγμένα ἐπιγινώσκομεν καὶ πιστεύομεν· καὶ ὅσῳ τὸ ἀληθὲς τοῦ ψεύδους αἱρετώτερον. τοσούτῳ ἔδει τὴν τῶν καθ' ἡμᾶς δόξαν σπουδαιοτέραν εἶναι καὶ θερμοτέραν· τοσοῦτον οὖν τῶν αἰσθητῶν εἰκόνων ὁ λόγος τὸ ἀξιόπιστον ἢ αὐτόπιστον κέκτηται, ὥστε καὶ εἰς παράστασιν καὶ πίστωσιν ἑτέρων σαφῆ, καὶ ταῦτα θείων καὶ ὑπερφυῶν, καὶ τῆς ἀνωτάτω καὶ πάντων ἐπέκεινα φύσεως, παρὰ τῶν θεολήπτων παραλαμβάνεσθαι· οὐκοῦν οὐκ ἐπὶ τῆς θεολογίας μόνον ἡ τῆς εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον διαβαίνει, ἀλλὰ καὶ ἐπὶ πάντων ἁπλῶς τῶν εἰκονιζομένων ὡς δείκνυται· καὶ εἰ τοῦτο οὕτως ἔχει, ἀξιολογώτατον ἂν εἴη χριστιανοῖς μάλιστα καὶ ἐποφειλόμενον, ταῖς Χριστοῦ καὶ τῶν ἁγίων εἰκόσι τὸ σεβάσμιον ὡς σεβασμίαις νέμειν.

κθ. Εἰ γὰρ ἐπὶ τῶν ἁπλῶν καὶ ἀσυνθέτων, τὸ εἰκονίζεσθαι εἰσενήνεκται, καὶ τοσοῦτον τὸ τῆς εἰκόνος χρῆμα τὲ καὶ ἀξίωμα, ὡς καὶ ἐπὶ τῆς θείας καὶ ἀποῤῥήτου φύσεως συνεμφαίνεσθαι, καὶ τοῦ υἱοῦ τὴν υἱϊκὴν καὶ φυσικὴν σχέσιν καθ' ἣν πρὸς τὸν πατέρα οὐσιωδῶς εἰκονίζων οἰκειοῦταί τε καὶ συνάπτεται, παριστᾷν καὶ δηλοῦν δύνασθαι, τί ποτε ἄρα μὴ καὶ ἐπὶ τῶν συνθέτων τούτων μάλιστα παραληφθήσεται, τῆς κατὰ Χριστόν φημι συνθέτου ὑποστάσεως; ἐξ οὗ δὴ γνωριμώτερον ἡμῖν καὶ οἰκειότερον τὰ τῆς σωτηρίου αὐτοῦ πρὸς ἀνθρώπους ἐπιφανείας κατασταθήσεται, συνθέτοις γε οὖσι καὶ ὑλικοῖς καὶ παχυτέροις, καὶ διὰ τοῦτο δεομένοις τῶν ὑλικῶν ἀναλόγως καὶ αἰσθητῶν. ὡς συνήθων καὶ οἰκειοτάτων ἡμῖν, πρὸς ἐκδηλοτέραν διδασκαλίαν, καὶ τῶν ὑπὲρ ἡμᾶς ἀναγωγικὴν χειραγωγίαν· εἰ δὲ οὐκ ἐξῆν τοῦτο, οὐδὲ πρέπον ᾠήθησαν οἱ κλεινοὶ τῆς ἐκκλησίας καθηγεμόνες, προσδιέστειλαν ἂν καὶ προσδιωρίσαντο, τούτων μόνων ὑφελόμενοι τὴν προσκύνησιν· καὶ τί δεῖ λέγειν προσκύνησιν; μὴ δὲ τυποῦσθαι τὸ παράπαν πάντη καὶ πάντως ἐθέσπισαν μίμημα.

λ. Ἀλλ' αὐτῶν γε ἔνιοι καὶ οἴκους ἱεροὺς ἐδείμαντο, καὶ ἱερὰ κειμήλια ἐκτήσαντο, ἐν οἷς ταῦτα ἐντυποῦντες καὶ διαγράφοντες φαίνονται· ὧν καὶ ὄντων καὶ γινομένων, τὸν τῆς ζωῆς βιοῦντες διετέλουν ἅπαντα χρόνον· ἤδη δὲ καὶ ὅροις καὶ κανόσι θείοις ἀναστηλοῦσθαι τὰ Χριστοῦ ἐτύπωσαν, καὶ μᾶλλον τῷ ἀνθρωπείῳ εἴδει, ὅσῳ καὶ τῇ ἀληθείᾳ προσῳκείωται, ἢ τῷ τοῦ ἀμνοῦ, οἱ ἀρχαιότεροι, οἱ τὴν ἱερὰν καὶ ἁγίαν ἕκτην συγκεκροτηκότες σύνοδον θεόσοφοι πατέρες διδασκέτωσαν· οὓς πάντας παρορῶντες οἱ ἀνόσιοι, ἐπὶ τὸν κορυφαῖον τῆς ἀθεΐας τὸν δυσσεβῆ Εὐσέβιον ἀποτρέχουσι, καὶ οὓς παρεπλάσαντο πατέρας, ταῖς οἰκείαις ὀρέξεσι τῆς ἀσεβείας ἐκκαιόμενοι, ἔκ τε τῆς Μανιχαίων καὶ Ἀρειανῶν λύμης ἐρανισάμενοι φάσματα, καὶ τούτων μέρη τινὰ καὶ τμήματα

πάσης βδελυρίας καὶ ἀκαθαρσίας ἀνάμεστα, πόῤῥω που τοῦ τῆς ἐκκλησίας χοροῦ καὶ τῆς θείας ἐκ πλειόνων χρόνων ἀπεληλαμένους δόξης, οὓς καὶ τὸ ἀπερίγραπτον ἐπὶ Χριστοῦ, ὥσπερ καὶ τὸ ἀλλότριον καὶ ἑτεροούσιον τῆς τοῦ γεγεννηκότος οὐσίας φρονοῦντας, αἱ ἱεραὶ σύνοδοι ἀπεκήρυξαν, φρικτοῖς ἀναθέμασι καταζεύξαντες. Ἔτι δὲ πρὸς τοῖς εἰρημένοις, τὸν ἱεροφάντην Κύριλλον τοῦ καθ' ἡμᾶς λόγου καὶ τῆς ἀληθείας ὑπέρμαχον προστησάμενοι, ἴδωμεν ποῦ ποτε ἄρα ὁ τῆς εἰκόνος αὐτοῖς λόγος ἐκβήσεται· θαυμάζω γὰρ εἰ μὴ ἀποστασίου γραφὴν ἀπενέγκοιντο· ὧδε γάρ, φησι, τὴν πρὸς ῥωμαίους τοῦ θείου ἀποστόλου ὑπομνηματίζων ἐπιστολήν· " τόν γε μὴν ἐκ σπέρματος Δαβὶδ γεγο-
,, νότα, κατὰ τὴν σάρκα ὡρίσθαι, φησὶν, εἰς υἱὸν θεοῦ ἐν δυνάμει, κατὰ
,, πνεῦμα ἁγιωσύνης, ἐξ ἀναστάσεως νεκρῶν· ὡρίσμεθα μὲν γὰρ καὶ ἡμεῖς εἰς
,, υἱοὺς, ἀλλ' οὐκ ἐν δυνάμει μᾶλλον, ἀλλ' ὡς ἐν χάριτος μοίρᾳ, τῆς κλή-
,, σεως ἀξιούμενοι· καὶ ὡς ἐν μόνῃ θελήσει τοῦ θεοῦ καὶ πατρὸς, τὸ χρῆμα
,, κερδαίνοντες· ὁ δέ γε Ἐμμανουὴλ οὐκ ἂν ὧδε ἔχοι, πολλοῦ γε καὶ δεῖ·
,, ἀλλ' εἰ καὶ γέγονεν ἐκ σπέρματος τοῦ Δαβὶδ κατὰ σάρκα, καὶ ὡς εἷς ἐξ
,, ἡμῶν εἰς υἱὸν λογίζεται θεοῦ διὰ τὸ ἀνθρώπινον, ἀλλ' οὖν ἐν δυνάμει καὶ
,, ἀληθείᾳ κατὰ φύσιν υἱός ἐστι, δι' οὗ καὶ ἡμεῖς υἱοποιούμεθα· εἴπερ ἐστιν
,, ἀληθὲς εἰπεῖν, ὡς τὸ αὐτοῦ πνεῦμα πεπλουτηκότες διὰ τοῦ ἁγίου βαπτί-
,, σματος, τότε δὴ τότε καὶ ἀνεπιπλήκτως φαμὲν, ἀββὰ ὁ πατήρ· οὐκοῦν ὡς
,, εἰκόνες πρὸς ἀρχέτυπον, οὕτω καὶ ἡμεῖς οἱ κατὰ θέσιν υἱοὶ, πρὸς τὸν φύσει
,, τε καὶ δυνάμει καὶ ἀληθῶς ἐκ πατρὸς μεμαρτυρημένον εἰς τοῦτο. ,,

λα. Ἐπιστατέον οὖν ἀκριβῶς, ὅτι γε τὸ τῆς εἰκόνος παράδειγμα, οὐχ' ὥσπερ ἐν τοῖς ἔμπροσθεν ὅπως ἔχει ὁ υἱὸς πρὸς τὸν πατέρα, οὕτω κἀνταῦθα παρενήνεκται, ἀλλ' ὅπως ἡμεῖς οἱ θέσει καὶ χάριτι υἱοὶ, πρὸς τὸν φύσει καὶ δυνάμει υἱὸν ἔχομεν, καὶ ἐν ἀποδείξει τοῦ τρόπου καθ' ὃν ἠξιώμεθα τῆς υἱοθεσίας· ὅτι ὡς αἱ εἰκόνες πρὸς τὰ πρωτότυπα ἁπλῶς καὶ ἀδιορίστως οὐ τοῦδε τοῦ προσώπου εἰκὼν ἢ τῆσδε τῆς ἀξίας, οἷον βασιλικῆς κατὰ τὰ προηγούμενα· τὸ δὲ ὅπως ἔχουσιν αἱ εἰκόνες πρὸς τὰ πρωτότυπα, αἱ κοιναὶ ὑπολήψεις καὶ ἔννοιαι παριστῶσι, καὶ πᾶσι τοῖς σωφρονοῦσι συμπεφώνηται καὶ διωμολόγηται, οἴκοθέν τε καὶ αὐτοδίδακτον τὴν περὶ τούτων γνῶσιν κεκτημένοις· οὕτως οὖν ἡμεῖς οἱ κατὰ θέσιν υἱοὶ, πρὸς τὸν φύσει καὶ ἀληθείᾳ καὶ δυνάμει· πᾶν γὰρ παράδειγμα ὡς πάντως ὁμολογούμενον παραλαμβάνεται, ἵνα ἐκ τῶν γνωριμωτέρων καὶ σαφεστέρων τὰ διαμφιβαλλόμενα καὶ ἀσαφῆ τὴν πίστωσιν καὶ πληροφορίαν δέξηται· διττὸς οὖν ἐνταῦθα ὁ τῆς υἱοθεσίας πρόκειται τῷ πατρὶ τρόπος· καὶ γὰρ ὁ μὲν φύσει καὶ ἀληθείᾳ ἐστί τε καὶ λέγεται, ὃς τῷ θεῷ καὶ λόγῳ προσῳκείωται, ἢ τάχα οὐδὲ υἱοθεσία ἀλλ' υἱότης τοῦτο κυριώτερον ἂν λεχθείη· ὁ δὲ θέσει καὶ χάριτι, ἥ τις ἐφ' ἡμῶν τῶν πεπιστευκότων εἰκότως ἐφήρμοσται· πῶς οὖν ἔχει ὁ δεύτερος πρὸς τὸν πρότερον; ὡς αἱ εἰκόνες, φησὶ, πρὸς τὸ ἀρχέτυπον· καὶ γὰρ καθὸ τὴν εἰκόνα τοῦ χοϊκοῦ ἐφορέσαμεν, φησὶ τὸ ἀποστολικὸν λόγιον, οὕτω καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου φο-

ρέσωμεν· ὃ δὴ καὶ αὐτὸς οὗτος ὁ μακάριος Κύριλλος ἐν ἑτέροις σαφῶς οὑτωσὶ διαγορεύων, φησί· " διανενευκότος τοῦ ζώου πρὸς τὸ πλημμελὲς, καὶ τὴν εἰς-„ ποίκιλον ἁμαρτίαν ἐκ τῆς εἰσάπαν φιλοσαρκίας ἠῤῥωστηκότος· τὸ πρὸς θείαν „ εἰκόνα διαμορφοῦν αὐτὸ, καὶ σημάντρου δίκην ἀποῤῥήτως ἐντεθειμένον ἀπε-„ νοσφίζετο πνεῦμα, φθαρτόν τε οὕτω καὶ ἀκαλλὲς ἀναπέφανται· ἐπειδὴ δὲ „ ὁ τῶν ὅλων γενεσιουργὸς ἀνακομίζειν ἤθελεν εἰς ἑδραιότητά τε καὶ εὐκο-„ σμίαν τὴν ἐν ἀρχαῖς τὸ διολισθῆσαν, ἐνῆκεν αὖθις αὐτῷ τὸ ἀποφοιτῆσάν „ ποτε θεῖον τὲ καὶ ἅγιον πνεῦμα, μεταστοιχειοῦν εὖ μάλα πρὸς τὴν ὑπερ-„ κόσμιον εἰκόνα, καὶ πεφυκὸς καὶ δυνάμενον δι' αὐτοῦ πρὸς ἰδίαν ἡμᾶς με-„ ταῤῥυθμίζειν ἐμφέρειαν. „ Ὁ δὲ τούτων πάντων ἰσχυρότερον, πάλιν αὐτὸς ὁ διδάσκαλος ἔφησεν, ὅτι ἐν μορφῇ θεοῦ ὑπάρχει ὁ υἱός· " εἰκόνα τὲ αὐτὸν „ καὶ χαρακτῆρα, φησὶν ὁ ἱερὸς λόγος, τοῦ γεγεννηκότος· αἱ δὲ εἰκόνες ὡς „ τὰ ἀρχέτυπα. „ Τί πρὸς ταῦτα εἴποιεν; ἆρα οὐκ ἂν ἀπέλθοιεν ἐντεῦθεν ἐληλεγμένοι καὶ ᾐσχυμένοι; ὅσον μὲν γὰρ ἧκεν εἰς τὸν τῆς θεολογίας λόγον ἀποδέδωκε, φήσας εἰκόνα εἶναι τοῦ γεγεννηκότος τὸν υἱὸν, κατὰ τὸ λόγιον· ὅσον δὲ εἰς τὸ κοινὸν καὶ καθόλου τοῦ τῶν εἰκόνων τρόπου, τῇ ἐπαγωγῇ ὑποδείκνυσι, τῷ πληθυντικῷ ἀριθμῷ χρησάμενος καὶ εἰπὼν, αἱ δὲ εἰκόνες ὡς τὰ ἀρχέτυπα· ἆρα καὶ ταύτην τὴν φωνὴν ἐπὶ τῆς θεολογίας ἐκλήψονται οἱ ἀνόητοι; ἵνα καὶ υἱοὺς πολλοὺς ἤδη δὲ καὶ πατέρας εἰσαγάγωσι, καὶ πολυθεΐαν πρεσβεύσωσιν; οὐ γὰρ ἡ εἰκών, φησιν, ἀλλ' αἱ εἰκόνες ὡς τὰ ἀρχέτυπα, δεικνὺς ἐν τούτῳ τήν τε ὁμοιότητα καὶ τὴν οἰκειότητα.

λβ. Τί τούτων σαφέστερον ἢ ἐκδηλότερον πρὸς τὰ εἰς ζήτησιν ἡμῖν προκείμενα; εἰ μὴ τοσοῦτον πεπήρωνται τὸν νοῦν, καὶ τὸ τῆς διανοίας αὐτοῖς ἐσκότισται ὄμμα· τί οὖν φαῖεν πρὸς ταῦτα οἱ τῆς υἱοθεσίας ἀλλότριοι; ἆρα ἀντιβλέψαι δυνήσονται πρὸς τὴν οὕτω λαμπρὰν καὶ διαφανῆ τῆς ἀληθείας αὐγήν; ἆρα ἀνθυπενέγκοιεν τὰ ἐκ τῆς βδελυρᾶς καὶ θεοστυγοῦς αὐτῶν καρδίας ἐξερευγόμενοι εἰκαῖα καὶ μυσαρὰ ληρωδήματα; δέχονται τούτους τοὺς θεηγόρους λόγους, ἢ παραγράφονται τὸν διδάσκαλον; εἰ μὲν οὐ δέξονται, αὐτόθεν αὐτοῖς τὸ τῆς Χριστοῦ ποίμνης ἠλλοτριῶσθαι ὑπάρξειεν· εἰ δὲ δέχονται, δυοῖν ἀνάγκη θάτερον· ἢ τὸν τῶν εἰκόνων λόγον ὡς ἔχουσι πρὸς τὰ ἀρχέτυπα, ὡσαύτως ἡμῖν συμφήσαιεν, καὶ διὰ τοῦτο καὶ τὴν τοῦ κυρίου εἰκόνα καὶ τῶν ἁγίων μεθ' ἡμῶν προσκυνῆσαι καταδέξονται· ἢ τῆς υἱοθεσίας περιφανῶς ἐκβληθήσονται, ἣν διὰ τοῦ ἁγίου πνεύματος ἐν τῷ θείῳ λουτρῷ πεπλουτήκαμεν, καὶ μετὰ ἰουδαίων καὶ ἑλλήνων τετάξονται, εἴπερ ἣν ἔχουσι πρὸς ἄλληλα κοινωνίαν τὲ καὶ σχέσιν οὐ διδόασιν· οἴχεται γὰρ αὐτοῖς τὸ θεῖον βάπτισμα, ἀνήρηται τὸ κατ' εἰκόνα εἶναι τοῦ κτίσαντος, ἔκπτωτοι καὶ ἀπωσμένοι τῆς ἱερᾶς τῶν Χριστοῦ τέκνων ἀγέλης, τὸ λοιπὸν χρηματιοῦσι· τοσοῦτον ἀπώναντο τῆς κατὰ τὰς ἱερὰς εἰκόνας ὕβρεως οἱ ταλαίπωροι· ὑπερθαυμάσαιτο δ' ἄν τις αὐτοὺς καὶ ἐντεῦθεν εἰκότως εἰς ὅσον ἠλιθιότητος καὶ ἀσυνεσίας ἐξέπεσον, ἀκολουθοῦν ταῖς ἀνοσιουργοῖς πράξεσι, καὶ τὸ φρόνημα σχόντες.

λγ. Προσποιοῦνται μὲν γὰρ καὶ κατασχηματίζονται τὸν τοῦ σταυροῦ τύπον τιμᾶν· τὸ δὲ πρᾶγμα αὐτὸ, ὅπερ ἐστὶ τὸ σωτήριον τοῦ Χριστοῦ πάθος, ταῖς ἀληθείαις ἀναιροῦσι· πῶς γὰρ πείσεται ἢ σταυρωθήσεται, κατὰ τὴν ἐκείνων παράνοιαν, ἀπερίγραπτον ἀνειληφὼς σῶμα; τί γὰρ ἂν εἴη τὸ ἐν τῷ σταυρῷ καθηλούμενον; ἢ τοῖς ἥλοις διαπειρόμενον; καὶ ποῖ τῆς αἰχμῆς οἱ ὄγκοι εἰσδύσειαν, εἰ μὴ περιγράφοιτο; ἢ κἀνταῦθα τὸ τῆς δοκήσεως τοῖς ἀδοκίμοις ἐπαχλύσειε σκότος; πῶς γὰρ οὐκ ἀδόκιμοι τὸν νοῦν καὶ τὴν ψυχὴν ἐσκοτισμένοι, λαλοῦντες διεστραμμένα; ἀγαθὰ γὰρ λαλεῖν οὐκ ἴσασι, πονηροί γε ὄντες, καὶ ἐκ τοῦ πονηροῦ θησαυροῦ τῆς καρδίας τὰ πονηρότερα προφερόμενοι· ἆρ' οὖν οὐ πεφώραται τὰ τῆς ἀσεβείας αὐτῶν, ὅπως οἱ ἐχθροὶ τοῦ σταυροῦ τοῦ Χριστοῦ, τὰ μὲν τοῦ σταυροῦ πρεσβεύειν ὑποκρίνονται, αὐτὸν δὲ τὸν τύπον τοῦ σταυροῦ τοῖς ἱεροῖς χαρακτῆρσι συνανορύττουσι καὶ συγκαταλύουσι;

λδ. Τί οὖν φασιν, οἱ ῥήματα δόλια καὶ διεστραμμένα προβαλλόμενοι; ※ Τὸν τύπον τοῦ σταυροῦ προσκυνοῦμεν, διὰ τὸν ἐκταθέντα ἐν αὐτῷ. ※ Δήλη δὲ τούτων ἥ τε παραφροσύνη καὶ ἡ σκαιότης καθέστηκεν, ὡς τὸν μὲν τοῦ ἁγιάζοντος τύπον βδελύσσονται ἤδη καὶ διαπτύουσι, τὸν δὲ τοῦ ἁγιαζομένου τιμᾷν ἔδοξαν· καίτοι πῶς ἡγίασται κατ' αὐτοὺς, μὴ πεπονθότος τοῦ Χριστοῦ σώματι κατὰ ἀλήθειαν; πρὸς μὲν οὖν τὴν τοιαύτην παράνοιαν καὶ φρενοβλάβειαν, οὐδὲ ἀποκρίνεσθαι χρεών· " μὴ ἀποκρίνου γὰρ ἄφρονι κατὰ „ τὴν ἀφροσύνην αὐτοῦ „ διδασκόμεθα· δι' αὐτὸ δὲ τοῦ λόγου τὸ ἀληθὲς καὶ ἀκόλουθον, καὶ τὴν τῶν ἐπιεικεστέρων εὐπείθειαν, ταῦτα φαμέν· ὅτι πρῶτον μὲν πάντα τὰ ἐν τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ, ἱερά τε καὶ ἅγια καὶ ἴσμεν καὶ ὁμολογοῦμεν· καὶ διὰ τοῦτο, προσκυνητὰ καὶ σεβάσμια ὁμοίως παρ' ἡμῖν εἰσι καὶ τίμια, καὶ οὐδὲν ἄδοξον, οὐδὲν ἄτιμον, ὥσπερ δὴ καὶ ἑτέρωθι ἡμῖν λέλεκται· καὶ οὐκ ἐξὸν ἡμῖν τοῖς πιστοῖς· οὐδὲ τὰ παραδεδομένα παρὰ τῶν προεστώτων τοῦ καθ' ἡμᾶς λόγου ἐπαγγέλλεται διακρίσεις τινὰς καὶ ἐξετάσεις ποιεῖσθαι, ὁποῖον δὴ πρότερον ἢ δεύτερον, καὶ ὅτι τιμιώτερον ἢ ἀτιμότερον· ἀπίστων τοῦτο καὶ ἀνοσίων τὸ κακούργημα· ὡς εἰ τόδε μὲν προσκυνήσω, τόδε δὲ οὒ, σώζομαι ἢ οὐ σώζομαι; κρεῖττον τοῦτο μᾶλλον ἢ ἐκεῖνο; ὃ δὴ καὶ αὐτὸ τῆς ἄκρας ἀμαθίας καὶ ἀσυνεσίας τῶν νῦν τὰ τοιαῦτα ἐκζητούντων τεκμήριον· τί γὰρ φήσουσι πρὸς τὸν εἰρηκότα " ὅτι ἐὰν τὸν νόμον ὅλον φυλάξῃ τις, „ πταίσῃ δὲ ἐν ἑνὶ, γέγονε πάντων ἔνοχος; „ καὶ ταῦτα περὶ πράξεων νομικῶν, ἤ που γε τῆς ἀμωμήτου καὶ ἀκιβδήλου ἡμῶν πίστεως· οὐκ ἔστιν οὖν ἡμῖν περὶ τούτων ζυγομαχεῖν, ὁπότε παραπλησίως ἀλλήλοις τιμᾶσθαι τὰ ἅγια, καὶ πατέρων ἱερῶν θεσμοὶ θεοπρεπῶς ἐκπεφωνημένοι διαγορεύουσι.

λε. Διὰ δὲ φιλόνεικον καὶ ἀναίσχυντον τῶν ἀνοήτων, περιεργότερον τούτων ἕνεκεν διαλήψεσθαι δεῖν ᾠήθημεν· οὐδενὶ μὲν τὸ ἄδοξον περιτιθέντες, ὅσον δὲ ἐκ τῆς ἐξετάσεως τοῦ ἀκολούθου ἀνήκει, τὸ ὑπερφυὲς κατά τι γοῦν ἐν αὐτοῖς, ὡς ἐν βραχεῖ τῷ λόγῳ παριστῶντες· λέγομεν τοίνυν ἵνα ἐκ τοῦ ὁμοίου τὴν ἀρχὴν ποιησώμεθα, ἐπειδὴ τοῦτο καὶ εἰκών. Ὅτι ἡ εἰκὼν τοῦ Χριστοῦ, ὁμοίωμα

αὐτοῦ ἐστι, καὶ τῷ σώματι αὐτοῦ προσέοικε, καὶ τὸν τύπον τοῦ σώματος αὐτοῦ ἡμῖν ὑπογράφει, καὶ τὸ εἶδος κατεπαγγέλλεται, καὶ τρόπον πράξεως ἢ διδασκαλίας ἢ πάθους ὡς τὰ πολλὰ ἀπομιμουμένη διασημαίνει· ὁ δὲ τοῦ σταυροῦ τύπος, οὔτε προσέοικεν αὐτοῦ τῷ σώματι, οὔτε οὐδὲν τῶν εἰρημένων ἡμῖν ὑποδείκνυσι· τὸ δὲ τινὶ ὅμοιον, τοῦ μὴ ὁμοίου ἐγγύτερόν ἐστι καὶ οἰκειότερον, ὡς διὰ τῆς ὁμοιότητος γνωριμώτερον ἐκεῖνο ποιοῦν, καὶ διὰ τοῦτο καὶ τιμιώτερον· ἡ εἰκὼν ἄρα τοῦ Χριστοῦ, ὡς οἰκειοτέρα καὶ γνωριμωτέρα, τιμίου καὶ σεπτοῦ τοῦ τύπου τοῦ σταυροῦ παρ' ἡμῖν τυγχάνοντος, τιμιωτέρα ἂν εἴη καὶ σεβασμιωτέρα. Ἔτι ἡ εἰκὼν τοῦ Χριστοῦ, πρώτως καὶ ἀμέσως εὐθύς τε καὶ I.
ἐκ πρώτης ἐντεύξεως, τὸ εἶδος αὐτοῦ παρ' ἡμῖν ἐμφανίζει, καὶ τὴν μνήμην ἐντίθησιν· αὐτὸν γὰρ τὸν εἰκονιζόμενον ἐν αὐτῇ κατοπτριζόμεθα· ὁ δὲ σταυρὸς οὐχ' οὕτως· σταυρὸν γὰρ ἐνορῶντες, πρῶτον μὲν πρὸς τὸ φαινόμενον τὸν νοῦν ἀπερείδομεν· ἔπειτα δὲ, τί ἐστιν ἐννοοῦμεν, καὶ πῶς ἡγίασται ἀναθεωροῦμεν, καὶ παρὰ τίνος, καὶ οὕτω κατὰ δεύτερον λόγον, ἐπὶ τὸν σταυρωθέντα καὶ ἁγιάσαντα αὐτὸν μέτιμεν· τὸ τοίνυν πρώτως ἐπί τι μεταβαῖνον, καὶ πρώτως αὐτὸ γνώριμον ποιοῦν, τοῦ δευτέρως ταῦτα ποιοῦντος τιμιώτερον· ἡ εἰκὼν ἄρα τοῦ Χριστοῦ, τοῦ σταυροῦ τιμίου ὄντως τιμιωτέρα ὑπάρχει.

Εἶτα παρὰ πᾶσι τοῖς νοῦν ἔχουσιν ὡμολόγηται, ὅτι τὸ ἁγιάζον τοῦ ἁγιαζομένου κρεῖττον ἐστί· καὶ γὰρ χωρὶς πάσης ἀντιλογίας, φησὶ τὸ ἀποστολικὸν λόγιον, τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται· εἰ τοίνυν τὸ σῶμα Χριστοῦ τὸν σταυρὸν ἡγίασε προσομιλῆσαν αὐτῷ προσηλούμενον, καὶ ἡμῖν δι' αὐτοῦ τὸν ἁγιασμὸν ἐνῆκεν, ὁ δὲ σταυρὸς δι' αὐτοῦ ἡγίασται· ὧν δὲ τὰ πρωτότυπα τιμιώτερα, καὶ αὐτὰ τιμιώτερα· ἐπειδὴ δὲ ἄμφω τύποι, καὶ ὁ τύπος τοῦ ἁγιασθέντος σταυροῦ τίμιος, ὁ τύπος ἄρα τοῦ ἁγιάσαντος σώματος, μᾶλλον τιμιώτερος. Ἔτι ὁ τύπος τῆς ἐκτάσεως τῶν χειρῶν τοῦ Χριστοῦ καὶ τοῦ σχήματος σεπτός ἐστιν· ὅσῳ δὲ διαφέρει σῶμα σχήματος, τοσούτῳ καὶ τὰ ἀπ' αὐτῶν διοίσει· ὧν γὰρ τὰ ἀρχέτυπα τιμιώτερα, καὶ αὐτὰ τιμιώτερα· καὶ γὰρ τὸ σχῆμα, διὰ τὸ σῶμα, καὶ ἡ ἔκτασις· οὐ μὴν ἔμπαλιν τὸ σῶμα διὰ τὸ σχῆμα· καὶ τὸ μὲν σῶμα, οὐσία καὶ ὑποκείμενός ἐστι· τὸ δὲ σχῆμα συμβεβηκὸς καὶ παρακολούθημα· ὅσῳ οὖν οὐσία συμβεβηκότος κρείττων, τοσούτῳ καὶ σῶμα σχήματος. ἢ ὅσον ψυχὴ ἐπιστήμης· καὶ τὸ μὲν σῶμα ἐσχηματισμένον ἐστί τε καὶ λέγεται· σχῆμα δὲ σεσωματωμένον, οὐδεὶς τῶν σωφρονούντων ἐρεῖ· οὕτω γὰρ καὶ τὸ σῶμα κεχρωσμένον λεχθείη ἂν, οὐκέτι δὲ χρώματος σῶμα, οὐδὲ χρῶμα σεσωματωμένον· κρείττονα οὖν τὰ τοῦ σώματος ἤπερ τὰ τοῦ σχήματος· καὶ εἰ τοῦτο, ἄρα ὁ τύπος τοῦ σώματος, τοῦ τύπου τοῦ σχήματος τιμιώτερος (1).

Ἔτι ὁ σταυρὸς ἁπλοῦν πως καὶ ἀποίκιλον ἡμῖν εἰσφέρει τὸ Χριστοῦ πάθος· τοῖς δὲ ἀγροικοτέροις μόλις ἂν καὶ πάθους σύμβολον νοηθείη· τὰ δὲ ἱερὰ I

(1) Decem haec Nicephori brevia capitula ex alio codice nos iam protulimus in Spicil. rom. T. X. Ceteroqui hoc praecipue quartum capitulum, fuisse a breviatore seu librario in codice illo socorditer vitiatum, patet ex ipsa Fr. Turriani latina interpretatione, qui eodem ms. usus fuerat. Sunt enim in latino exemplari eadem quae in illo graeco mutilationes.

μορφώματα, οὐ τὸ πάθος μόνον ποικίλλουσι καὶ λεπτότερον διαγράφουσιν, ἀλλ' ἤδη καὶ τὰ θαύματα καὶ τὰ τεράστια, ἅπερ ὁ Χριστὸς ἐξειργάσατο, πλατύτερον καὶ σαφέστερον ἡμῖν διασημαίνουσι· τὰ τοίνυν τρανότερον καὶ ἐκδηλότερον ἡμῖν ταῦτα ὑποφαίνοντα, τῶν ἀμυδρότερόν πως τὰ τοιαῦτα δηλούντων, τιμιώτερα καὶ εὐσημότερα. Ἔτι ὁ σταυρὸς πάθους σύμβολόν ἐστι, καὶ τὸν τρόπον καθ' ὃν ὁ πεπονθὼς τὸ πάθος διήνεγκεν ὑπαινίσσεται· τί γὰρ ἕτερον βούλεται τὸ " ἆρον τὸν σταυρόν σου, καὶ ἀκολούθει μοι ,, ἢ τὸν καθηλωμένον τῷ φόβῳ κυρίου, καὶ τοῖς τοῦ κόσμου ματαίοις ἀποταξάμενον, εὐτρεπῆ εἶναι πᾶν ὁτιοῦν ὑπὲρ τῆς εἰς αὐτὸν ὑπομένειν ἀγάπης; οὕτω δὴ καὶ ὁ τὰ στίγματα τοῦ Χριστοῦ ἐν τῇ σαρκὶ φέρων, καὶ μέγα ἐπὶ τῷ πάθει αὐτοῦ φρονῶν, ἐφιλοτιμεῖτο λέγων· " ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ ,, τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ,, τὴν σταύρωσιν ἡμῖν διὰ τούτων ὑπογράφων, ἤτοι τὸ Χριστοῦ πάθος· ἡ δὲ εἰκὼν αὐτοῦ τοῦ πάσχοντος ἐκσφράγισμα καὶ ὁμοίωμά ἐστιν, οἰκειότερον δὲ καὶ ἀξιολογώτερον, τὸ αὐτὸν τινὰ διαγράφον, ἢ τὸ τὰ ἐκτὸς καὶ περὶ αὐτὸν ὑποφαῖνον· ἀξιολογωτέρα ἄρα ἡ εἰκὼν, ὡς τὸν Χριστὸν αὐτὸν ἡμῖν ἐμφανίζουσα, τοῦ σταυροῦ τὸν τρόπον τοῦ πάθους ἡμῖν παραδεικνύντος.

Τὸ Χριστὸς ὄνομα, ὁμωνύμως καὶ κατὰ τῆς εἰκόνος αὐτοῦ τοῦ Χριστοῦ κατηγορεῖται· Χριστὸς γὰρ καὶ αὐτὴ λέγεται· ὥσπερ καὶ βασιλεὺς, ἡ τοῦ βασιλέως εἰκών· κατὰ τοῦ σταυροῦ δὲ κατηγορεῖσθαι τοῦτο ἀδύνατον· οὐδεὶς γὰρ ἂν φαίη τῶν σωφρονούντων, Χριστὸν τὸν σταυρὸν οὐδενὶ τρόπῳ· ὃ τοίνυν ἐν μεθέξει καὶ αὐτοῦ τοῦ ὀνόματος γέγονε, καθάπερ ἤδη καὶ τῷ τοῦ σώματος τύπῳ κεκοινώνηκε, τοῦ μηδενὸς τούτων μετασχόντος τιμιώτερον· ἡ εἰκὼν ἄρα τοῦ τύπου τοῦ σταυροῦ τιμιωτέρα. Τὸ αἴτιον τοῦ αἰτιατοῦ προηγεῖται· καὶ μᾶλλον τὸ ποιητικὸν αἴτιον· τὸ δὲ προηγούμενον τινὸς, τιμιώτερον οὗ προηγεῖται· ἐπεὶ οὖν αἴτιον τοῦ τύπου τοῦ σταυροῦ, τὸ πάθος τοῦ σώματος τοῦ Χριστοῦ, καὶ προκαταρκτικὸν τὸ σῶμα τοῦ τύπου, καὶ ἡ εἰκὼν ἄρα τοῦ σώματος τοῦ Χριστοῦ, ὡς ποιητικὸν αἴτιον, τοῦ τύπου τοῦ σταυροῦ τιμιωτέρα. Ἔτι ὃ τινὸς ἕνεκεν γέγονεν, ἔλαττόν ἐστιν ἐκείνου τοῦ δι' ὃ γέγονεν· εἰ τοίνυν ὁ σταυρὸς τοῦ κυριακοῦ σώματος ἕνεκεν, ἀνάγκη καὶ ἐν τοῖς τούτων τύποις, τὸ ἔλαττον τὸν τύπον τοῦ σταυροῦ ἀποφέρεσθαι· ὧν γὰρ τὰ προηγούμενα ἐλάττονα, καὶ αὐτὰ ἐλάττονα· δέδεικται οὖν διὰ πλειόνων, ὡς καὶ αὐτοῦ τοῦ τύπου τοῦ ζωοποιοῦ σταυροῦ τιμίου ὄντος παρ' ἡμῖν, ἡ εἰκὼν τοῦ Χριστοῦ, κατὰ τὴν τῶν ἀποδεδομένων λόγων ἀκολουθίαν τε καὶ ἐξέτασιν, τιμιωτέρα ὑπάρχει· ὁ τοίνυν τὸν σταυρὸν τιμᾶν ἐπαγελλόμενος, τιμήσει ἄρα καὶ τοῦ κυρίου τὴν εἰκόνα· εἰ δὲ ταύτην οὐ τιμᾷ, οὐδὲ ἐκεῖνον πολλοῦ γε καὶ δεῖ.

Εἶτα ὁρῶμεν ἐν πλείοσι τόποις τὴν τοῦ κυρίου σταύρωσιν ἐν εἰκόνι διαγεγραμμένην, καὶ ὡς τὸ εἰκὸς ἔχει, ἀνάλογον τῷ τοῦ πράγματος καθ' ὃν πέπρακται τρόπῳ, ἐκκρεμές τε τὸ σῶμα, καὶ τὰς χεῖρας διαπλουμένας, καὶ τοῖς ἥλοις διαπεπερονημένας· ὑφ' ὧν τὸ πάντων θαυμασίων θαυμασιώτερον, καὶ

τῶν δι' ὧν σεσώσμεθα τὸ καιριώτατον, πάθος ἡμῖν τοῦ Χριστοῦ τὸ σωτήριον ὑπογράφεται· τί οὖν πρὸς τοῦτο οἱ ἐχθροὶ τοῦ σταυροῦ τοῦ Χριστοῦ δράσειαν; ἀνάγκη δυοῖν τὸ ἕτερον· ἢ προσκυνοῦντας τὸν σταυρὸν, καὶ τὴν εἰκόνα συμπροσκυνῆσαι, εἴπερ μὴ μέλλοι τὰ τῆς ἐπαγγελίας αὐτῶν διαπεσεῖσθαι· ἢ καθαιροῦντας τὴν εἰκόνα, συγκαταβάλλειν καὶ τὸν σταυρόν (1)· οἱ δέ γε τὸ δεύτερον ἑλόμενοι, τέλεον καὶ τὸν σταυρὸν αὐτὸν καὶ πᾶσαν ὁμοῦ τὴν Χριστοῦ οἰκονομίαν ὡς ἀνοικονόμητοι παραγράφονται, καὶ τῶν ἐπηγγελμένων τὸ ψεῦδος δημοσιεύουσι· εἰ γὰρ μετῆν αὐτοῖς ὁπωσοῦν ἀληθείας, ἔδει προηγουμένως τὴν εἰκόνα τιμᾶν ὡς ποιητικὸν αἴτιον, καὶ προαγωγικὸν τοῦ σταυροῦ· πᾶν γὰρ ὃ τινὸς ἕνεκεν εἴρηται, ἔλαττον ἐκείνου τοῦ δι' ὃ γέγονε· καὶ εἰ ὁ σταυρὸς τιμητέος, ὥσπερ οὖν καὶ ἔστι, μᾶλλον ἡ τὸν τοῦ αἰτίου τούτου λόγον ἐπέχουσα εἰκὼν τιμητέα· καὶ γὰρ ὁ σταυρὸς διὰ τὴν εἰκόνα γέγονεν, οὐκ ἔμπαλιν ἡ εἰκὼν διὰ τὸν τύπον τοῦ σταυροῦ· ταύτης γὰρ προηγουμένως διαγραφομένης καὶ τυπουμένης, συνδιεγράφη καὶ αὐτὸς, τῇ τε στάσει τοῦ ὀρθίου σώματος, καὶ τῇ ἐφ' ἑκάτερα τῶν χειρῶν ἐκτάσει συναποτυπούμενος· ἐξ ἀνάγκης τε καὶ ἀκολούθως τῷ σχηματισμῷ τοῦ σώματος ὡς παρακολούθημα συναναφαινόμενος· καὶ οὐκ ἄν τις ἀποσφαλείη τἀληθοῦς λέγων, ὡς ὅ γε τὴν εἰκόνα τοῦ κυρίου τῷ τοιῷδε τρόπῳ διαχαράσσων, καὶ εἰ μὴ βούλοιτο, καὶ τὸν τύπον τοῦ σταυροῦ συνδιαχαράξειε· πῶς οὖν οὐκ ἔκδηλος διὰ πάντων, τῶν χριστομάχων ἡ παραφροσύνη καὶ ἡ δυσσέβεια; τὸν μὲν γὰρ ὡς τίμιον σέβειν ὑποκρίνονται, τὸ δὲ μᾶλλον τίμιον τέλεον διαπτύουσιν· ἀλλ' οὐ τῷ σταυρῷ τὸ τίμιον νέμοντες, τοῦτο ποιοῦσι· πῶς γὰρ οἵ γε συγκαταβάλλοντες ἐν πολλοῖς, καὶ καταφλέγοντες καὶ συμπατοῦντες ποσὶ βεβήλοις καὶ ἀκαθάρτοις; ἀλλ' ἵνα μὴ δοκοῖεν πάντα ἐκ πυθμένος παρακινεῖν τὰ τῆς ἐκκλησίας σεβάσματα, τὸν θεῖον τοῦ Χριστοῦ τύπον εὐκαίρως ἀκαίρως ἐκποδῶν ποιεῖσθαι προελόμενοι, ἐπειδὴ βαρύς ἐστιν αὐτοῖς καὶ ἐν εἰκόνι βλεπόμενος· ὡς γὰρ εἴ τις τὸ φυσικὸν αἶσχος βουλόμενος ἀποτρίψεσθαι, κομμωτικοῖς καλλωπίσμασιν ἐπιμορφίζοιτο, τὸν τοῦ σταυροῦ λόγον ὡς σκῆψιν εὐπρεπεστάτην αὐτοὶ προχειρίζονται.

λϛ. Τί δὲ δεῖ περὶ τοῦ τύπου τοῦ σταυροῦ λέγειν; αὐτὰ τὰ πρωτότυπα ὡς ἄν τις φαίη τοῦ σταυροῦ, τὰ σεβάσμια καὶ παρ' ἡμῖν τοῖς πιστοῖς πιστῶς προσκυνούμενα, τίμια καὶ ζωοποιὰ ξύλα, καθυβρίζουσι καὶ ἀτιμάζουσιν αἰσχρῶς· τὰ γὰρ ἀρχῆθεν καὶ παρὰ χριστιανῶν ἔν τε χρυσώμασι καὶ ἀργυρώμασι κατεσκευασμένα, καὶ καλούμενα φυλακτήρια, ἃ δὴ καὶ κατ' αὐχένος ἐκκρεμαννύμενα, καὶ πρὸς τὸ στέρνον καθιέμενα φέρομεν χριστιανοὶ πρὸς φυλακὴν καὶ ἀσφάλειαν τῆς ζωῆς ἡμῶν, καὶ σωτηρίαν τῶν ψυχῶν τε καὶ τῶν σωμάτων ἡμῶν, ἐντεῦθεν γὰρ αὐτοῖς καὶ τοὔνομα ἐπικέκληται, πρὸς ἰατρείαν τε παθῶν καὶ ἀποτροπὴν τῆς τῶν ἀκαθάρτων δαιμονίων προσβολῆς, ταῦτα κεκτῆσθαι πιστεύοντες, ἐν οἷς δὴ καὶ τὰ πάθη Χριστοῦ καὶ τὰ θαύματα, καὶ ἡ ζωοποιὸς ἀνάστασις ὡς τὰ πολλὰ εἰκονιζόμενα δείκνυται, καὶ τούτων πλῆθος

(1) Hactenus pertinebat memoratum in praecedente adnotatione excerptum.

ἄπειρον παρὰ χριστιανοῖς εὑρίσκεται, τί ταῦτα παρὰ τοῖς ἀνοσίοις λελόγισται; βδελυκτὰ τὰ φυλακτὰ, καὶ φευκτὰ τὰ αἱρετὰ ἡγήσαντο· αὐτοῖς οὖν τοῖς τιμίοις ξύλοις, ἃ δὲ παρὰ πυρὶ διαφέροντες, ὕλην ἀργὴν καὶ ἄσημον καὶ μηδενὸς ἐχομένην λόγου, διὰ τῆς χωνείας ἀποφαίνουσι· τοσοῦτον ἐμωράνθησαν καὶ ἐσκοτίσθησαν, ὅτι ἅπερ εἰς φυλακὴν καὶ ἀσφάλειαν τῆς ζωῆς αὐτῶν ἔδει συνέχειν καὶ περιέπειν, ταῦτα προὔδωκάν τε καὶ καταλελύκασι· προσόμοιόν τι ποιοῦντες, ὡς εἴ τις τειχίον ἐκέκτητο ἀσφαλέστατον, καὶ φρούριον ἐρυμνότατον, εἶτα τῆς ἑαυτοῦ φυλακῆς ἀλογήσας καὶ σωτηρίας, ἀνοήτως ἀφρονέστατα καθελὼν, εὐάλωτον τοῖς ἐπιβουλεύουσιν ἑαυτὸν παρεστήσατο· τί οὖν ἐντεῦθεν δείκνυται; ὅτι τῷ συγκαθαιρεῖσθαι τὰ ἅγια ταῦτα ἀλλήλοις, τὸ ἐν αὐτοῖς ὁμότιμον διαφανῶς γινώσκεται· πῶς οὖν εἰ φευκτὰ ἦν τὰ ἱερὰ ταῦτα, τοῖς τιμίοις στελέχεσι συνεφήρμοσαν οἱ χριστιανοὶ τὸ ἀνέκαθεν, καὶ συγκατεσκεύασαν; ἄξιον δὲ πανταχοῦ τοῖς ἐχθροῖς τοῦ σταυροῦ τοῦ Χριστοῦ ἐπιλέγεσθαι, ὅτι βαρύς ἐστιν αὐτοῖς ὁ Χριστὸς καὶ ἐν εἰκόνι βλεπόμενος, καὶ ἡ μνήμη δυσαχθεστέρα καὶ βαρυτέρα παρὰ τοσοῦτον, παρ' ὅσον ἰουδαίοις καὶ ἕλλησιν, οἷς εὐκαίρως αὐτοὶ συγκαταριθμηθήσονται.

λζ. „Ἀλλὰ ταῖς εἰκόσι Χριστοῦ, φασὶ, καὶ ἕτερά τινα τῶν βδελυκτῶν „καὶ ἀπηγορευμένων συνδιαγράφεται, οἷον ὡς ἐπὶ τῆς ἀναστάσεως ὁ ᾅδης „πατούμενος, καὶ διάβολος καταργούμενος καὶ καταβαλλόμενος, καὶ εἴ τι „τούτοις προσέοικε· λανθανόντως δὲ καὶ ταῦτα συμπροσκυνεῖται· ὅθεν οὐκ „ἐξὸν οὐδὲ ταῖς Χριστοῦ προσκυνεῖσθαι εἰκόσιν.„ Ἁλίσκονται δὲ καὶ ἐνταῦθα τοῖς οἰκείοις δικτύοις οἱ ἀνόητοι· ὃ γὰρ ἡμῖν ἐγκαλοῦσι, τοῦτο καὶ αὐτοὶ δοξάζοντες δείκνυνται· ὁμολογοῦσι γὰρ καὶ ἄκοντες, ὅτι ἡ τῶν εἰκόνων τιμὴ, ἐπὶ τὰ πρωτότυπα διαβαίνει· εἰ γὰρ διὰ τοῦτο ταῦτα ἀπηγόρευται, πολλῷ μᾶλλον τὰ θεῖα τιμητέα, ἵνα ἡ τιμὴ ἐπὶ τὸ πρωτότυπον ἀνέλθοι· ἐκ τούτου οὖν τις καὶ λίαν ἐμμελῶς τεκμήραιτο, ὅτι ὃ περὶ τοῦ σταυροῦ τοῦ Χριστοῦ ἔχουσι σκολιὸν καὶ ὕπουλον φρόνημα, καὶ τέως τοῖς πολλοῖς ἀποκρυπτόμενον, ἠρέμα πως παραδηλοῦσι, καὶ τοῖς συνετωτέροις διὰ τούτων ἐκκαλύπτουσι· τὰ γὰρ ἐν χερσὶν ἐξανύοντες, θεοῦ παρορῶντος καὶ συγχωροῦντος, ἐν τοῖς ἑξῆς ὡς τὸ εἰκὸς καὶ τὸ ἀκόλουθον τῆς ἐννοίας ἔχει, ὅτι οὐδὲ Χριστὸν ἐσταυρωμένον προσκυνήσουσιν, ἀποφανοῦνται, ἐπειδὴ καὶ λησταὶ συνεσταύρωνται κακοῦργοι, καὶ ἄνδρες ἀνόσιοι· ἀλλ' ἡμεῖς γε νήφομεν οἱ χριστιανοὶ, καὶ οὐκ ἀπεκτηνώθημεν κατ' αὐτούς· ὃ γὰρ προσκυνοῦμεν, οἴδαμεν· τὰ γὰρ ἱερὰ σέβομεν ὡς ἅγια, τὰ δὲ αἰσχρὰ ἐκεῖνα, ὡς νεκρούμενα καὶ πατούμενα καὶ βλέπομεν καὶ λογιζόμεθα· οὐ γὰρ τιμὴν αὐτοῖς περιτιθέντες, συμπαρέγραψαν οἱ φιλόθεοι, ἀλλὰ τὸ ἀδρανὲς καὶ τὸ ἐξαίσιον αὐτῶν πτῶμα παριστάνοντες· ὃ καὶ ἡμεῖς ἀναθεωροῦντες, τὸν καταργήσαντα κύριον δοξάζομεν, καὶ διὰ τοῦτο μᾶλλον αὐτοῦ προσκυνοῦμεν τὸ σεβάσμιον ἐκτύπωμα, τῶν δι' αὐτοῦ γεγενημένων ἡμῖν ἀξιαγάστων εὐεργεσιῶν, καὶ τῆς κοινῆς σωτηρίας τοῦ γένους ἡμῶν, εἰς μνήμην ἐρχόμενοι· θαυμάζομέν τε αὐτοῦ τὰ μεγαλεῖα, καὶ

τὴν φιλάνθρωπον ἀνυμνοῦμεν συγκατάβασιν· εἴποι δ' ἄν τις ἐκ τοῦ παρόντος, ἤδη καὶ τοῦ μέλλοντος καταστοχαζόμενος, ὡς ἥξουσί ποτε καὶ ἐπὶ τὴν ἱερὰν τῶν εὐαγγελίων συγγραφὴν, ὡς δαιμόνων δή τινων καὶ ἄλλων πονηρῶν μνήμην εἰσφέρουσαν αἰτιασόμενοι· ἀλλ' οὐ δι' ἐκεῖνα ταῦτα, διὰ δὲ τὸν θαυματουργήσαντα καὶ ἀπελάσαντα δαίμονας, καὶ νόσους καθάραντα προδήλως συνεινήνεκται· οὐδὲ τῷ εὐαγγελίῳ συμπροσκυνηθήσεται· καὶ γὰρ ἡ παρ' ἡμῶν προσκύνησις, εἰ καὶ αἰσθητῶς γίνεται πρὸς αἰσθητά γε ὄντα τὰ ἅγια, ἀλλ' οὖν γε ἐντεῦθεν ταῖς νοεραῖς ἐνεργείαις, ἐπὶ τὸν τούτων αἴτιον τὸ σέβας ἀνάπτομεν, καὶ συμβολικῶς ταῦτα ἐπιτελεῖται· ἐπείπερ ἥ γε προσκύνησις ἡμῶν καὶ ἡ λατρεία, ἐν πνεύματι καὶ ἀληθείᾳ, κατὰ τὸν τοῦ σωτῆρος λόγον, κυρίως καὶ ἀληθῶς ἐστιν· ἡμεῖς γὰρ ὃ προσκυνοῦμεν, οἴδαμεν· αὐτοὶ δὲ ὃ προσκυνοῦμεν, οὐκ ἴσασι, τῷ μὴ εἰδέναι αὐτοὺς τῆς θείας οἰκονομίας τὸ μέγα μυστήριον.

λη. Ἔτι φασίν. « Ὅτι πρὸ μὲν τοῦ πάθους Χριστοῦ καὶ τῆς ἀναστά-
« σεως, Χριστὸν περιγράφεις· τί δ' ἂν εἴποις μετὰ τὴν ἀνάστασιν; ἐπειδὴ
« οὐκ ἐν τοῖς αὐτοῖς τὰ πράγματα· ἄφθαρτον γὰρ λοιπὸν τὸ σῶμα Χριστοῦ,
« καὶ τὴν ἀθανασίαν κληρωσάμενον· ποῦ οὖν σοι τὰ τῆς περιγραφῆς χωρή-
« σειε; καὶ πῶς περιγραφήσεται τὸ κεκλεισμένων τῶν θυρῶν πρὸς τοὺς μα-
« θητὰς εἰσιὸν, καὶ μηδενὶ κωλύματι περιειργόμενον; » Ταῖς τολμηρίαις γὰρ τῶν δοκητῶν ἀναισχύντως ἑπόμενοι, μὴ δὲ ἐφάψασθαι χερσὶ τὸν μαθητὴν τῆς θείας πλευρᾶς κενολογοῦσι· κελευσθέντα δὲ μόνον παρὰ τοῦ σωτῆρος μὴ μέν τοι καὶ τὸ προσταχθὲν εἰς ἔργον ἐξενέγκαντα· καὶ διὰ ταῦτα μήτε ὀφθῆναι σώματι, μήτε εἶναι σῶμα τὸ παράπαν τὸ σῶμα· οὕτως αὐτοῖς τὰ τῶν εὐαγγελίων ἄπιστα· ἀλλὰ τοῦτο πρῶτον ἀκούσεται ὁ περὶ ταῦτα διαπορῶν, ὅτι εἰσελθὼν φήσας, τὸ ἀπορούμενον ἔλυσας· ὅλως γὰρ τὸ εἰσελθεῖν, καὶ ἐξελθεῖν, ἢ μεταβαίνειν ἐντεῦθεν ἐκεῖσε, οὐδὲν ἕτερον ἢ περιγραφῆς ἐστιν ἴδιον· τὸ γὰρ ἐντὸς θυρῶν γεγονὸς, οὐκέτι δὲ καὶ ἐκτὸς ὑπάρχον, περιγραπτὸν πάντως ἐστίν· οὕτω καὶ ἐπὶ τῆς σωτηρίου ἀναστάσεως κατίδοι τις ἂν, τοῦ λίθου τῷ τάφῳ ἐπικειμένου, ἐφ' ᾧ τὰ σήμαντρα προσετετύπωτο· ἀναστὰν γὰρ τὸ σῶμα, οὐκ ἦν καὶ ἐν τῷ τάφῳ· ἐξ οὗ τὸ περιγραπτὸν εἶναι, ἀκολουθεῖν ἐπάναγκες· τὸ δὲ ἐκ νεκρῶν ἀναστῆναι, καὶ πυλῶν κεκλεισμένων εἴσω γενέσθαι, καὶ εἴ τι τούτοις ἐτελεῖτο παραπλήσιον, οὐ σώματος πρόεισι νόμῳ, οὐδὲ τῆς καθ' ἡμᾶς ἐνύλου καὶ ῥευστῆς φύσεως· ἐπεὶ καὶ πρὸ τοῦ πάθους, κατὰ κυμάτων ὁ σωτὴρ πεζεύων τεθέαται, ἁφῇ χειρὸς νεκροὺς ἀνίστησι, καὶ τἄλλα ἅπερ ἐθαυματούργει διὰ τοῦ σώματος· καὶ οὐ δή που ταῦτα φαμὲν ἴδια σώματος, οὐδὲ ἀσώματον· τῆς γὰρ δραστηρίου καὶ ἀμάχου δυνάμεως ἦν, ᾗ πάντα εἴκει· καὶ θαύματος λόγῳ, οὐκ ἰδιότητι ἐπράττετο σώματος, ἀλλ' ἐπειδὴ τῷ κάλλει τῆς ἀφθαρσίας λελαμπρυσμένον μετὰ τὴν ἀνάστασιν γέγονε, καὶ ἀκήρατον, καὶ πάντη καθαρεῦον φθορᾶς καὶ παχύτητος, τῇ συνημμένῃ ἅμα ὑποστατικῶς καὶ ἀδιαστάτῳ φύσει, ἐξ ἧς τῶν ὑπὲρ φύσιν μετέσχε, τὰ ὑπὲρ σῶμα ἐνήργει, καὶ οἷα εἰκὸς οὐχ' ἁπλῶς σώματος, ἀλλὰ θείου καὶ ἀφθάρτου σώματος.

Ἑωρᾶτο δ᾽ οὖν ὅμως τοῦτο πεφυκὼς ὁ σωτὴρ, οὐ μέν τοι καθ᾽ ὃν τρόπον ἐπιχωριάζων τὸ πρότερον ἅπασι· τοῖς γοῦν ἀξίοις τῆς τοιαύτης θέας ἐμφανιζόμενος, τά τε σημεῖα τοῦ σταυροῦ παρεδείκνυ· καὶ τοῦτο ἡμᾶς ὁ μαθητὴς ἐμπεδοῖ, καὶ εὐγνωμόνως γε καὶ πιστῶς δεχόμεθα, τὴν θείαν πλευρὰν ἐπαφώμενος, μέγα τε κεκραγὼς καὶ λαμπρὸν "ὁ κύριός μου καὶ ὁ θεός μου·" καὶ τὰ σεμνὰ γύναια ἀχράντων ποδῶν ἐφαπτόμενα· πρὸς δὲ καὶ οἱ συμπαρομαρτοῦντες, καὶ τὴν καρδίαν ἐκκαιόμενοι, καὶ τοὺς ὀφθαλμοὺς ἐν ταῖς ὁμιλήσεσι κεκρατημένοι περὶ τὴν ἐπίγνωσιν, ὃ δὴ μετὰ τὴν κλάσιν τοῦ ἄρτου λέλυται, βρώσεώς τε καὶ πόσεως ἠνείχετο, κἂν ἄφθαρτον ἦν τὸ σῶμα· ἅπερ οὐ τῷ δεῖσθαι τούτων, ἀλλὰ συγκαταβάσεως τρόπῳ καὶ διὰ τὴν οἰκονομίαν ἐπράττετο, ἵνα ὁ αὐτὸς ἐκεῖνος ὢν πιστευθῇ, ἀληθές τε καὶ μὴ φαντασία νομισθῇ τὸ τῆς ἀναστάσεως μυστήριον· τί δὲ καὶ ἑώρων οἱ θεσπέσιοι μαθηταὶ, ἐκ μέσου αὐτῶν αἰρόμενον, καὶ πρὸς οὐρανοὺς μετάρσιον ἀνιπτάμενον, ὃ συμπάρεδρον δόξης τῆς πατρικῆς ἐγένετο, καὶ πάλιν ὡσαύτως ἐλευσόμενον, κατὰ τὴν τῶν προπεμπουσῶν ὑπερκοσμίων δυνάμεων φωνὴν, εἰ μὴ σῶμα περιγραπτὸν ἦν; ἢ τί ποτε ὅλως ὁ μέγας Στέφανος, ὁ ἐν μάρτυσι πρώτιστός τε καὶ κράτιστος, ἐν μέσῳ τῶν τῆς ἀθλήσεως ἀγώνων ὢν, οὐ πολλῷ ὕστερον τῆς εἰς οὐρανοὺς τοῦ σωτῆρος ἀνόδου, ἑωράκει καθὸ ἰδεῖν ἔδει τὸν τῆς τηλικαύτης πεπληρωμένον χάριτος, καὶ χωρητὸν ὑπερφυῶς ἦν τῇ φύσει τῇ ἀνθρωπείᾳ; ἢ οὐχὶ ἐν εἴδει τῷ ὀφθέντι ἐπὶ γῆς καθ᾽ ἡμᾶς, τὸν ἐκ δεξιῶν τῆς πατρικῆς δόξης ἑστῶτα θεώμενος; πῶς γὰρ αὐτῷ ἐξῆν λέγειν "θεωρῶ τοὺς οὐρανοὺς ἀνεωγμένους, καὶ τὸν υἱὸν τοῦ ἀνθρώπου ἐκ δεξιῶν ἑστῶτα τοῦ θεοῦ;" Ταῦτα καὶ τῶν θείων πατέρων σαφῶς ἐκδιδάσκει τὰ δόγματα, ἅπερ εἰς ὕστερον παραθησόμεθα· κἂν οἱ τῆς ἀληθείας καὶ τοῦ εὐαγγελίου διαπιστῶσιν ὑβρισταὶ, καί που καὶ Χριστὸν αὐτὸν ἀποδιώσονται, σάρκα καὶ ὀστέα τοῖς μαθηταῖς δεικνύοντα, ἐπεὶ πνεῦμα παρ᾽ αὐτοῖς θεωρεῖσθαι ἐδέδοκτο, καὶ ταῦτα ἐκτὸς εἶναι οἰήσονται σώματος· ἀλλ᾽ ἡμεῖς γε τὸ ἀψευδὲς τούτων κηρύσσοντες λέγομεν, ὅτι ᾧ τρόπῳ συγκαταβάσεως ᾠκονόμηται, τούτῳ καὶ περιγράφεται· ὡς ἂν καὶ δι᾽ ὄψεως ἡμῖν τὰ τῆς ἀληθείας γνωρίζηται.

λθ. Πῶς οὖν; τὰ μὲν ἄλλα μεταβέβληται, τὸ θνητὸν γὰρ ἀθάνατον γέγονε, καὶ τὸ φθαρτὸν ἄφθαρτον ὤφθη, καὶ ἀπαθὲς τὸ παθητὸν, τὸ δὲ περιγραπτὸν οὐχ᾽ ὑπῆρξε καὶ ἀπερίγραπτον; φαμὲν τοίνυν, ὅτι τῇ φύσει τῇ ἀνθρωπείᾳ τὰ μὲν ἐξ ἀρχῆς παρὰ τοῦ δημιουργοῦ συνέκτισται, καὶ συγκαταβέβληται, οἷον τὸ νοερὸν, τὸ λογικὸν, αἰσθητικόν τε αὖ καὶ ὀρεκτικὸν, καὶ ὃ κρεῖττον εἰπεῖν αὐτεξούσιον, καὶ εἴ τι τούτοις προσόμοιον· καὶ ὁ ἄνθρωπος ἀπὸ γῆς ληφθεὶς σωματικῶς διαπέπλασται, καὶ σῶμα γέγονεν ὅπερ ἐξ ἀνάγκης ὁρατόν τε ὑπῆρχε πάντως καὶ ἁπτὸν καὶ περιγραπτόν· καὶ οὐδεὶς τῶν λόγου μετεσχηκότων, σῶμα εἶναι φήσειεν ἀπερίγραπτον· τὰ δὲ ἔξωθεν καὶ μετὰ τὴν κτίσιν ἐπισυμβέβηκε, καὶ οἷον ἐπιγεννηματικὰ τυγχάνει, ἃ διὰ τὴν ἀθέτησιν τῆς τοῦ κτίσαντος ἐντολῆς ἐπεισενήνεκται· ἐπειδὴ γὰρ τῷ ἐξ ἀρχῆς πεπλα-

σμένῳ, τοῖς κατὰ γνώμην παρὰ τοῦ πλάσαντος, τὰ τῆς ζωῆς ἀπεκέκριτο, ἑνὶ δὲ νόμῳ τὸ αἱρετὸν αὐτῷ κατ' ἐξουσίαν προὔκειτο, ἢ τηρήσαντα τοῦτον τὴν ἀνωτάτω καὶ ἀγγέλοις ἐφάμιλλον διακληρώσασθαι μακαριότητα, ἢ ἀλογήσαντα τῆς χειρίστης καὶ ἀθλιωτάτης μοίρας ἀποταχθήσεσθαι· ἣν δὴ τῇ ἐξαπάτῃ τοῦ ὄφεως προελόμενος, τὴν φθορὰν εὐθὺς καὶ τὴν θνητότητα φυσικῶς ὑποδύεται, καὶ ὁ λοιπὸς τῶν μυρίων παθῶν ἑσμὸς ἐπεισκρίνεται· οὐ γὰρ συνέκτισται τῷ πρωτοπλάστῳ ἡ φθορὰ καὶ ὁ θάνατος, ἐπεὶ οὐκ ἂν τοῦ τῆς ζωῆς ξύλου ἐδέησεν, ὅπερ ἐν μέσῳ τῷ παραδείσῳ τέθηλεν.

Ὁ τοίνυν τοῦ πλάσματος τοῦ ἑαυτοῦ κύριος, φιλανθρωπίας περιουσίᾳ, δι' οἰκτον ἄφατον τὴν τῷ θανάτῳ ὑπενηνεγμένην φύσιν, φθορᾶς ἀπαλλάξαι βουλόμενος, καὶ εἰς τὸ ἐξ ἀρχῆς τῆς εὐμοιρίας ἐπανασώσασθαι, σῶμα τοιοῦτον ἀνειληφέναι οὐκ ἀπηξίωσεν, ὁποῖον δὴ ὁ κατάκριτος ἔχων ἐφάνη, ἡμεῖς τε πάντες οἱ τῷ αὐτῷ κεκοινωνηκότες συγκρίματι, ὃ δὴ θνητὸν καὶ φθαρτόν ἐστι· σῶμα δὲ ὄν, οὐκ ἂν εἴη περιγραφῆς ἐλεύθερον, ἕως ἂν ᾖ σῶμα· εἶτα θανάτῳ σωματικῷ προσομιλήσας, ᾧπερ οὐχ' ὑπῆρχε κατάχρεως, ἀλλὰ τὸ ὑπὲρ ἡμῶν ἀπετίνυε χρέος· ἵνα τὴν ἐν Ἀδὰμ παράβασιν, ἐν ἑαυτῷ ἐξιάσηται, καὶ τὴν ἧτταν ἀνακαλούμενος τῆς φύσεως, ἀναστήσῃ τὸν κείμενον· ἐπειδὴ ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ· κατήργηκε μὲν τὸν θάνατον, καθεῖλε δὲ τὴν φθορὰν, ζωὴ κατὰ φύσιν ὑπάρχων ἀληθῶς καὶ ἀθανασίας πηγὴ, κρείττων θανάτου καὶ φθορᾶς ὀφθείς· ἡ γὰρ σὰρξ αὐτοῦ οὐκ εἶδε διαφθορὰν, καταποθεῖσαν εἰς νῖκος καὶ ἀφανισθεῖσαν ὑπὸ τοῦ τὸν κόσμον νικήσαντος, τῇ κρείττονι καὶ πανσθενεῖ τοῦ λόγου δυνάμει συντηρουμένη, κἂν ἦν πεφυκυῖα τοῦ φθείρεσθαι· εἶτα ἀνέστη τριήμερος, καὶ πάντα τὰ ἐκ τῆς ἁμαρτίας ἐγκατασκήψαντα τῇ φύσει αἰτιάματα καὶ προστρίμματα δι' ἑαυτοῦ ἐκκαθάρας ἀπέσμηξεν, ὥσπερ ἀπαρχὴ καὶ ἀῤῥαβὼν τοῦ καθ' ἡμᾶς χρηματίσας φυράματος, λαμπρόν τε οὕτω καὶ μώμου παντὸς ἄνευ, τὸ ἴδιον ἀποφήνας ποίημα, καὶ τὰ ἐκ τῆς οἰκείας δόξης αὐχήματα δωρησάμενος· οὕτω γὰρ καὶ βαπτιζόμενος, τὴν ἡμετέραν ἐνήργησε κάθαρσιν, ὁ πάσης ἐπέκεινα καθαρότητος· τοῦτο δὲ καὶ πάλαι ἂν πεπλουτήκει, εἴπερ τὸ ἀπαρχῆς κτισθεὶς ὁ ἄνθρωπος τὴν ἐντολὴν τετηρήκει τοῦ κτίσαντος· καὶ γὰρ ἐπ' ἀθανασίᾳ πρὸς τοῦ δημιουργήσαντος, καὶ τῇ πρὸς τὸ κρεῖττον ἀναδρομῇ παρενήνεκται.

Καὶ ταῦτα ἡμᾶς οἱ ἡμέτεροι διδάσκαλοι ἐκπαιδεύουσιν· εἴρηκε γάρ που ὁ θεῖος ἀπόστολος· „ διὰ τοῦτο, ὥσπερ δι' ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν „ κόσμον εἰσῆλθε, καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος· καὶ οὕτως εἰς πάντας „ ἀνθρώπους ὁ θάνατος διῆλθε· „ ταῦτα καὶ ἀρχαίων τινῶν σοφαὶ περιέχουσι ῥήσεις, καθ' ἃς γέγραπται, ὅτι „ ὁ θεὸς θάνατον οὐκ ἐποίησεν, ἀλλ' ἔκτισεν „ εἰς τὸ εἶναι τὰ πάντα· καὶ, σωτήριοι αἱ γενέσεις τοῦ κόσμου, καὶ οὐκ ἔστιν „ ἐν αὐταῖς φάρμακον ὀλέθρου· καὶ, ὅτι ὁ θεὸς ἔκτισε τὸν ἄνθρωπον ἐπ' ἀφ- „ θαρσίᾳ, καὶ φθόνῳ διαβόλου θάνατος εἰς τὸν κόσμον εἰσῆλθε· „ τούτοις συνῳδὰ καὶ τῶν ἱερομυστῶν πατέρων αἱ φωναὶ διαγορεύουσιν· ὅπερ οὖν ἐδεῖτο

βοηθείας τῆς κρείττονος, τοῦτο καὶ τυγχάνει· οὐ γὰρ τὸ σῶμα ἔδει γενέσθαι ἀσώματον, ἵνα ᾖ καὶ ἀπερίγραπτον, ἐπείπερ οὐκ ἄνευ σώματος ὁ ἄνθρωπος δεδημιούργηται, οὐδὲ εἰς ὕστερον διὰ τὴν ἁμαρτίαν αὐτῷ τὸ σῶμα προσγέγονεν· ἢ γὰρ ἂν οὐδὲ ἄνθρωπος οὐδὲ παράβασις· ἐν τίνι γὰρ ὅλως τὰ τῆς ἁμαρτίας ἐπέπρακτο, ἀλλὰ τὰ περὶ τὸ σῶμα, ἅπερ ἤδη διὰ τὴν εἰσποίητον αὐτῷ ἁμαρτίαν εἰσέφρησεν; οὐκοῦν καινίζεται μὲν ἡ φύσις ἐν Χριστῷ καὶ ἀνασώζεται· καὶ ὃ προσείληπται τῷ Θεῷ σῶμα, τεθέωται μὲν ὅλον, ἐπὶ τὸ βέλτιον μεταστοιχειούμενον, καὶ ταῖς ἀῤῥήτοις εὐκλείαις καταστεφόμενον, πνευματικόν τε ἦν λοιπὸν, καὶ πᾶσαν ὑπερβαῖνον ὑλαίαν καὶ γεώδη παχύτητα· τὸ δὲ εἶναι σῶμα οὐ παρῄτηται, σῶμα δὲ μεμενηκὸς κἂν ὁποιονοῦν καὶ ὅπως ἔχον, καὶ περιγράφεσθαι πέφυκεν· οὐ γὰρ ἔξωθεν καὶ ἐκ τῆς ἁμαρτίας ἡ περιγραφὴ, ὥσπερ ἡ φθορὰ καὶ τἄλλα πάθη ἐπεισῆκται, ἀλλ' αὐτόθεν· καὶ ὡς ἂν εἴποι τις ἡ τοῦ σώματος περίστασις καὶ ὁ κατ' αὐτὸ ὅρος τὲ καὶ λόγος· εἰ γάρ τις ὁρίσαιτο τὸ σῶμα εἶναι τριχῇ διαστατὸν, ἢ φυσικὸν, ὀργανικὸν, δυνάμει ζωὴν ἔχον, ἢ τὸ ἐσχηματισμένον καὶ πέρασι διειλημμένον, ἅπερ οἰκείως ἐπὶ τοῦ καθ' ἡμᾶς λαμβάνεται σώματος, οὐδὲν ἕτερον ἢ τὸ περιγραπτὸν αὐτὸ εἶναι κατασημήνειε.

Μετὰ γοῦν τὴν ἐκ νεκρῶν ἀναβίωσιν, τὸ τοῦ Χριστοῦ σῶμα, καίτοι θεοειδέστατον ὅλον πεφηνὸς, μεμένηκεν ὅμως σῶμα· οὐ γὰρ εἰς τὴν τῆς Θεότητος οὐσίαν μετακεχώρηκε· τὸ γὰρ μηκέτι Χριστὸν κατὰ σάρκα γινώσκεσθαι, οὐ τοῦ σώματος ἡμῖν ὑπαγορεύει τὴν παραίτησιν ἢ τὴν ἀπόθεσιν, μανιχαϊκὸν τοῦτο τὸ σκότος, ἀλλ' ὅτι τῶν σωματικῶν ἀναγκῶν ἐξῄρηται, καὶ τῶν σαρκικῶν παθῶν καὶ τῆς ἡμετέρας ἀσθενείας ἐκβέβηκεν, οἷον τοῦ ἐκ τῆς ὁδοιπορίας κόπου δίψης τὲ καὶ πείνης καὶ δειλίας, καὶ εἴ τι τούτοις παραπλήσιον· " οὐκέτι μὲν „ γὰρ σάρκα, οὐκ ἀσώματον δὲ, ἀλλ' οἷς οἶδε λόγοις θεοειδεστέρου σώματος „ καὶ ὁ μέγας κηρύσσει **Γρηγόριος**· εἶτα " ὅτι τὸ μὲν Φθαρτὸν τοῦτο ἐνδύσα- „ σθαι δεῖ ἀφθαρσίαν, καὶ τὸ θνητὸν ἀθανασίαν „ ὁ μέγας μυσταγωγεῖ ἀπόστολος· τὸ δὲ σῶμα ἀσωματότητα ἐνδύσασθαι, ἢ τὸ κτιστὸν γενέσθαι ἄκτιστον, ἢ τὸ περιγραπτὸν εἰς ἀπεριγραψίαν μετατεθήσεσθαι, οὔπω μέχρι καὶ σήμερον ἤκουσται· τούτων δὲ τινὰ καὶ ἀσωμάτων ἴδια, ἐπεὶ καὶ ἄγγελοι κτίσμα Θεοῦ, καὶ τῷ ἦρχθαι ἔχον τὸ περιγράφεσθαι.

Ῥητέον τοίνυν ὡς ἡ χριστιανῶν ὁμολογεῖ Θεοσέβεια, ἤτοι τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας ἐκδιδάσκει τὸ κήρυγμα, ὅτι δὴ ὁ Χριστὸς καὶ θεὸς ἡμῶν μετὰ τὴν εἰς οὐρανοὺς ἄνοδον, καὶ τὴν ἐκ δεξιῶν τοῦ Θεοῦ καὶ πατρὸς καθέδραν καὶ ἵδρυσιν, τὴν προσληφθεῖσαν τετήρηκε φύσιν ἀμείωτον, καὶ οὐδὲν τῶν ἐξ ὧν αὕτη χαρακτηριζομένη συνέστηκε μερῶν ἀποβέβληκεν· αὐτό τε γὰρ τὸ σῶμα ἐν αὐτῷ διασώζεται· ἥτε ψυχὴ, ᾗ ἐψύχωτο, λογικὴ καὶ νοερὰ, θελκτική τε καὶ ἐνεργητικὴ, καθ' ἣν θέλει καὶ ἐνεργεῖ τὴν τῶν ὅλων πρόνοιαν καὶ συντήρησιν, ὥσπερ Θεϊκῶς οὕτω δὴ καὶ ἀνθρωπικῶς· παράκλητος ὑπὲρ ἡμῶν πρὸς τὸν πατέρα γινόμενος, καὶ τὴν ἡμετέραν οἰκονομῶν σωτηρίαν, καὶ τὴν τῶν συμφερόντων ἡμῖν περιποίησιν· μνήμῃ τὲ αὖ τῇ παναγίᾳ ἐκείνῃ καὶ θείᾳ ψυχῇ

τετήρηται, τῶν ὅσα ἐπὶ γῆς ἀναστραφεὶς ὁ Χριστὸς καὶ ἀνθρώποις προσομιλήσας ὑπὲρ τῆς ἡμετέρας ἐλευθερίας ἔδρασέ τε καὶ ἔπαθε· καὶ γινώσκει, ὅτι καθ᾽ ὑπόστασιν ἥνωται τῷ θείῳ λόγῳ, καὶ ὁρᾷ ὡς συνδοξάζεται καὶ συμπροσκυνεῖται αὐτῷ ὡς θεοῦ ψυχὴ, καὶ οὐχ᾽ ἁπλῶς ψυχὴ, ὑπὸ πάσης λογικῆς τε καὶ νοερᾶς κτίσεως· ἔτι τὲ, ὅτι ἐκ γῆς πρὸς οὐρανοὺς ἀνελήλυθε, καὶ πάλιν μετὰ τῆς πατρικῆς δόξης ἐλεύσεται· τὸ οὖν ἀνιέναι εἰς οὐρανοὺς, καὶ πάλιν ἰέναι, ὃ δὴ τὴν τοπικὴν ἐκ παντὸς ὑπογράφει μετάστασιν, καὶ τὴν πορευτικὴν παρίστησι κίνησιν, σώματος ἐνέργειαι περιγραφομένου γνωρίζονται· τὸ δὲ καθέζεσθαι αὐτὸν ἐν δεξιᾷ τοῦ θεοῦ καὶ πατρὸς μετὰ τοῦ σώματος, οὐ τὴν ἐν τόπῳ δεξιὰν ὑποληπτέον· οὐδὲ γὰρ ἂν σχοίη τὸ ἀπερίγραπτον πώποτε δεξιᾶς ἢ ἀριστερᾶς ἔμφασιν· ἀλλὰ τὴν δόξαν καὶ τὴν τιμὴν ὁμολογοῦμεν, καθ᾽ ἣν ὁ λόγος ὥσπερ υἱὸς θεοῦ καὶ θεὸς προαιώνιος καὶ τῷ πατρὶ ὁμοούσιος, οὕτω καὶ μετὰ σαρκὸς τιμᾶται καὶ συνδοξάζεται, καὶ μίαν καὶ τὴν αὐτὴν μετὰ τοῦ σώματος παρὰ πάντων προσκύνησιν δέχεται, ἐπεὶ καὶ μία ἡ ὑπόστασις· τεφρούσθωσαν λοιπὸν τῶν χριστομάχων αἱ γλῶσσαι, καὶ ξηραινέσθωσαν αὐτῶν αἱ καρδίαι, καὶ ἐμφραττέσθω πᾶν στόμα λαλοῦν κατὰ τῆς ἀληθείας πᾶσι διαφανῶς προκειμένης ἄδικα.

μ. Ἔτι τοῖς εἰρημένοις προστιθέασι, ὅτι „ γέγραπται· οὐ ποιήσεις παντὸς „ ὁμοίωμα ὅσα ἐν τῷ οὐρανῷ ἄνω, καὶ ὅσα ἐν τῇ γῇ κάτω, καὶ ὅσα ἐν τοῖς „ ὕδασιν ὑποκάτω τῆς γῆς· καὶ διὰ τοῦτο οὐκ ἐξὸν εἰκονίζειν τὸν Χριστόν. „ Τούτων δὲ τῶν ῥητῶν τὰ προηγούμενα καὶ ἑπόμενα· " τὸ, οὐκ ἔσονταί σοι θεοὶ ,, ἕτεροι πλὴν ἐμοῦ· καὶ, οὐ ποιήσεις σεαυτῷ εἴδωλον· καὶ τὸ, μὴ προσκυνήσῃς ,, αὐτοῖς οὐδὲ μὴ λατρεύσῃς αὐτοῖς· ,, οὐκ οἶδα ὅπως παρακρατοῦντες, ἑκόντες ἢ ἄκοντες ἀποκρύπτουσιν, ἴσως τοὺς ἐλέγχους τῆς βλασφημίας διαδιδράσκοντες· οὐδὲν δὲ ἧττον τῇ ἴσῃ βλασφημίᾳ καὶ οὕτως ἁλίσκονται· ἐπεὶ γὰρ ἐξῆρται ὁ τοῦ θεοῦ φόβος ἐξ ὀφθαλμῶν αὐτῶν, καὶ ἡ πρὸς τὴν εὐαγῆ καὶ ἀμώμητον ἡμῶν θρησκείαν αἰδὼς καὶ εὐλάβεια, οὐ δεδίασι τοῖς τῶν ἐν οὐρανῷ καὶ γῇ καὶ ὕδασιν ὁμοιώμασι τὸ τοῦ Χριστοῦ παρεξετάζοντες συγκαταριθμεῖσθαι ὁμοίωμα, οὐδενὶ τρόπῳ ὁμοιώματος δεσπότου καὶ κτίστου πρὸς ὁμοίωμα κτισμάτων καὶ δούλων διάκρισιν διδόντες· ἀλλ᾽ ἐκείνοις μὲν αἱρετὸν καὶ πρόχειρον τὸ φιλόνεικον· ἡμεῖς δὲ τοῖς οὕτω δυσσεβῶς προτεινομένοις ἀνθυπενέγκωμεν, ὅτι πρότερον ἤδη πρὸς τοὺς πάλαι ἰουδαίους ταῦτα νενομοθέτηται· οὕτω γὰρ δὴ πρὸς τοὺς ἀρτιφανεῖς ἰουδαίους τὸν λόγον ποιήσασθαι εὔλογον, ἐπὶ γὰρ τηνικαῦτα τὴν αἰγυπτιακὴν μοχθηρίαν θείοις νεύμασι καὶ παραδόξοις θαύμασιν οἱ ἐξ Ἰσραὴλ ἀπεδίδρασκον, Αἰγυπτίων δὲ ἡ πλάνη ἐθνῶν ἁπάντων κακοδαιμονίαν ὑπερέσχεν· ὧν ἐντραφέντες τοῖς ἔθεσι, τὸν μακρὸν ἐκεῖνον χρόνον τῆς δουλείας διήνυον.

Ἔμελε δὲ ἄρα θεῷ τῆς τῶν μετανισταμένων ἐλευθερίας καὶ σωτηρίας, διὰ τὰς πρὸς τοὺς πατέρας ἐπαγγελίας· ταύτῃ τοι θεοπρεπῶς τῆς ἀθεΐας ἐκείνης καὶ βδελυρίας ἀπάγων, καὶ πρὸς τὴν ἑαυτοῦ γνῶσιν ἐπανάγων καὶ τὸ σέβας,

ἐκεῖνα νομοθετεῖ, ἵνα μόνον αὐτὸν γινώσκωσι τῶν ἁπάντων Θεὸν καὶ κύριον, καὶ τὴν πρέπουσαν λατρείαν ἀνάπτωσι, καὶ μὴ τῶν κατειθισμένων μεμνημένοι ἐπὶ τὴν εἰδωλομανοῦσαν γῆν παλινδρομήσειν ἕλοιντο· οἵ γε ὑπ᾽ ἀνοίας, τῶν ἀξιαγάστων ἐκείνων τερατουργιῶν καὶ ἐξαισίων ὧν εἶδον θαυμάτων, ἐκεῖθεν ἐξαίροντες οὐκ εἰς μακρὰν ἀλογήσαντες. μοσχοποιοῦσι κατὰ τὴν ἔρημον· ἀπείργει οὖν αὐτοὺς ὁ νόμος, μηδενός που ποιεῖσθαι τῶν ἀπειρημένων ὁμοίωμα, καὶ τῶν μὲν ἐν τῷ οὐρανῷ, ἡλίου τε καὶ σελήνης καὶ τῆς ἄλλης σὺν αὐτοῖς ἀστρῴας χορείας, τῶν δὲ ἐπὶ γῆς κτηνῶν καὶ θηρίων καὶ ἑρπετῶν καὶ πετεινῶν καὶ κνωδάλων, τῶν ἐν τοῖς ὕδασι δὲ ὅσα ἐν θαλάσσῃ καὶ ποταμοῖς διανηχόμενα τὴν δίαιταν ἔλαχεν, ἅπερ ἅπαντα κατὰ τὴν βάρβαρον ὄντες, σεβόμενά τε καὶ προσκυνούμενα ᾔδεσαν· τὸν γὰρ ὄντως ὄντα καὶ τῶν ὅλων Θεὸν ἠγνοηκότες ἄνθρωποι, ἀπάτῃ δὲ τοῦ πονηροῦ δελεαζόμενοι, τῇ κτίσει παρὰ τὸν κτίσαντα ἀνοσίως ἐλάτρευον· ἐφ᾽ οἷς κατεγνωσμένους, καὶ πολλοῖς ὕστερον ἔτεσι κατονειδίζει Θεὸς διὰ προφητικῆς φωνῆς· " ἐγώ εἰμι κύριος ὁ Θεός „ σου, λέγων, ὁ στερεῶν οὐρανὸν καὶ κτίζων γῆν, οὗ αἱ χεῖρες ἔκτισαν πᾶ„ σαν τὴν στρατιὰν τοῦ οὐρανοῦ· καὶ οὐ παρέδειξά σοι τοῦ πορεύεσθαι ὀπίσω „ αὐτῶν· ἐγὼ ἀνήγαγόν σε ἐκ γῆς Αἰγύπτου, καὶ θεὸν πλὴν ἐμοῦ οὐ γνώσῃ, „ καὶ ὁ σώζων οὐκ ἔστι πάρεξ ἐμοῦ· „ διὰ τούτων γὰρ αὐτοὺς εἰς μνήμην ἐνάγει τῶν ἄνωθεν νενομισμένων αὐτοῖς· ἀπαγορεύει οὖν τέως τὴν τῶν φαινομένων καὶ βλεπομένων ἔν τε οὐρανῷ καὶ γῇ καὶ τοῖς ὕδασι, ποιεῖσθαι ὁμοίωσιν, ἵνα μὴ ἀγνοίᾳ τοῦ κρείττονος, ἢ ἀθετήσει τοῦ κτίσαντος, ἐκείνοις νέμωσι τὴν προσκύνησιν.

Τὸ οὖν προσταττόμενον ὅτι τόδε οὐ ποιήσεις, δυνάμει πως καὶ κατὰ τὸ σιωπώμενον, ποιήσεις ἐστὶ, καὶ προαγγελτικόν ἐστι τῶν μελλόντων ποιεῖσθαι προστάττεσθαι· τοιοῦτον γάρ τι ἡμῖν ὁ λόγος ὑπαινίσσεται· ὁ γὰρ λέγων ὅτι τούτων οὐ ποιήσεις ὁμοίωμα, ἑτέρων τινῶν ποίησιν τῷ λόγῳ προανακρούεται· καὶ βεβαιοῖ τοῦτο τὰ ὅσον οὔπω προσταχθησόμενα, μονονουχὶ τοιαῦτα ἐπισκήπτων, ὅτι μηδενὸς ὧν ἐγὼ οὐ προστάξω ποιήσῃς ὁμοίωμα, ἀλλὰ τῶν ἀλλοτρίων ἀποστάντες σεβασμάτων, οἷς ἐγὼ ἀπεχθάνομαι καὶ ἀποστρέφομαι. τοῖς παρ᾽ ἐμοῦ συνταχθησομένοις προσέχετε, οἷς χαίρω καὶ δοξάζομαι· πρότερον γὰρ ἀπείρξας αὐτοὺς τῶν ἀπηγορευμένων διὰ τῶν νομοθετουμένων, ὕστερον τὰ κατὰ τὴν ποίησιν τῆς σκηνῆς ἐπήγαγεν· ὥσπερ γὰρ εἴ τις ἐθέλοι τῶν ἑαυτοῦ οἰκετῶν εἰς τὸ μέλλον τινὶ τῶν δοκούντων ἐπιτρέπειν ἢ ἐγχειρεῖν, τί παρεγγυᾷ; σήμερον τόδε μὴ πράξειν, μὴ δὲ ἀπαίρειν πώποτε, οἷον εἰς ἀγρὸν μὴ ἀπελθεῖν, μὴ δὲ εἰς ἀγορὰν παρεμβαλεῖν· βούλεται γὰρ αὐτὸν εὐσταλῆ τε καὶ εὐτρεπῆ τοῖς ἐπιταχθησομένοις ὑπάρχειν, ἐπειδὴ μέλλει κατὰ τὴν ὑστεραίαν εἰς τήνδε τὴν πόλιν τυχὸν ἢ τήνδε τὴν χώραν ἐκπέμπειν· τοιοῦτόν τι ὑποτίθεται ἡμῖν καὶ ὅδε ὁ λόγος ἐννοεῖν, ὅτι οὐ ποιήσεις τὶ ἄνευ τῆς ἐμῆς προστάξεως, ἵνα ἅπερ αὐτὸς ἐντέλλομαι, ταῦτα ποιῇς καὶ περιέποις· προστάττει γοῦν μετὰ ταῦτα τῷ ἱεροφάντῃ Θεὸς τήν τε τῆς σκηνῆς ποίησιν, καὶ ὅσα

τὰ περὶ αὐτήν· ἡ δὲ ἦν τῶν παραπετασμάτων ἡ διασκευὴ, χερουβὶμ ἐργασία ποικίλως ἐξυφασμένων, τὰ δὲ ὑπὲρ τὴν ἐνταῦθα κιβωτόν· " τίνα ποιήσεις, ,, φησί; χερουβὶμ χρυσᾶ τορευτά· ,, καὶ οὐδὲ εἰκόνας χερουβὶμ προσαγορεύει, ἀλλὰ χερουβὶμ ὁμωνύμως ταῖς θειοτάταις καὶ ὑπερκοσμίοις οὐσίαις· καὶ ὃ δὴ θαυμαστότερον " ὅτι ἐκεῖθεν, φησὶ, γνωσθήσομαί σοι· ,, τί δὲ ἐνδοξότερον ἢ τιμιώτερον, ὅθεν θεία ἐπιφάνεια γίνεται; δεδοξασμένα δὲ καὶ ἦν καὶ ἐλέγετο μετὰ τῶν ἄλλων τῶν ἐν τῇ σκηνῇ τοσοῦτον, ὅτι οὐ παρὰ Μωσεῖ μόνον καὶ ἰουδαίοις τηνικαῦτα δεδόξασται, ἀλλὰ καὶ Παύλῳ αὐτῷ τῷ τῆς χάριτος κήρυκι· καί γε καὶ σεμνότερόν πως καλεῖ χερουβὶμ δόξης κατασκιάζοντα τὸ ἱλαστήριον· περὶ ὧν ἐν ἑτέροις πλατύτερον εἴρηται. Πρὸς δέ γε τοῖς εἰρημένοις, καὶ ἀλλαχόθι κατὰ τοὺς ἱεροὺς καὶ παλαιοὺς νόμους, τῷ ὁμοίῳ σκοπῷ καὶ τρόπῳ ἐκφερόμενα τοῖς ἐπιμελέστερον διερευνωμένοις ἐξευρεῖν ἐστιν, ἐν οἷς τῶν μὲν ἀλλοτρίων καὶ τῷ ἀλιτηρίῳ ἀνακειμένων δαίμονι, τοῖς ἐξ Ἰσραὴλ ἡ ποίησις ἀπηγόρευται, ἐπεὶ φευκτά τε ἦν καὶ βδελυρώτατα· τῶν δὲ ὅσα εἰς ἀνάθημα θεῷ ἔμελλεν ἔσεσθαι, ὅτι τὲ αἱρετὰ εἰς μνήμην αὐτῷ καὶ τιμὴν ὑπάρξει, ταῦτα συντέτακται· ὡδὶ γὰρ ἐν τῷ λευϊτικῷ γέγραπται " οὐ ποιήσετε ,, ὑμῖν ἑαυτοῖς χειροποίητα, οὐδὲ γλυπτὰ, οὐδὲ στήλην ἀναστήσετε, οὐδὲ λίθον σκοπὸν στήσετε ἐν τῇ γῇ ὑμῶν, προσκυνῆσαι αὐτῷ· ἐγὼ γάρ εἰμι κύριος ,, ὁ θεὸς ὑμῶν· ,, ταῦτα δὲ ὡς ἀνάλογόν ἐστι τῷ οὐ ποιήσεις πᾶν ὁμοίωμα τῶν ἀπηγορευμένων τοῖς ἀνόπιν εἰρημένοις νόμοις, ἐξ ὧν δὴ καὶ ἀπείργει τὸν νέον πρὸς εὐσέβειαν ποδηγούμενον λαὸν, τίς οὕτως ἀνούστατος ὃς διαμφισβητεῖν ἐπιχειρήσοι;

Ἐν δὲ τῷ δευτερονομίῳ, τοιάδε περὶ ὧν τῷ θεῷ ἀνιεροῦσθαι χρὴ προστέτακται· " ᾗ ἂν ἡμέρᾳ διαβῆτε τὸν Ἰορδάνην εἰς τὴν γῆν, ἣν κύριος ὁ θεὸς ,, δίδωσί σοι, καὶ στήσεις σεαυτῷ δύο λίθους μεγάλους, καὶ κονιάσεις αὐ- ,, τοὺς κονίᾳ, καὶ γράψεις ἐπὶ τῶν λίθων πάντας τοὺς λόγους τοῦ νόμου ,, τούτου. ,, Εἶτα βραχὺ ὕστερον· " καὶ οἰκοδομήσετε ἐκεῖ θυσιαστήριον ἐκ ,, λίθων· οὐκ ἐπιβαλεῖς αὐτοῖς σίδηρον, λίθοις ὁλοκλήροις οἰκοδομήσεις τὸ ,, θυσιαστήριον κυρίῳ τῷ θεῷ σου, καὶ ἀνοίσεις ἐπ' αὐτὰ τὰ ὁλοκαυτώματα ,, κυρίῳ τῷ θεῷ σου, καὶ θύσεις ἐκεῖ θυσιαστήριον κυρίῳ τῷ θεῷ σου. ,, Καὶ μετὰ ταῦτα ἔτι· " καὶ γράψεις ἐπὶ τῶν λίθων τούτων πάντα τὸν νόμον τοῦτον ,, σαφῶς σφόδρα. ,, Ταῦτα ὡς τῷ ποιήσεις τὴν σκηνὴν καὶ τὰ κατὰ τὴν σκηνὴν ἀκόλουθα, οὐδένα ἂν τῶν σωφρονούντων ἀντερεῖν οἶμαι. Καὶ ἄλλοθι γοῦν περί γε τῶν ἐν ἔθνεσι σεβασμάτων, οὕτω πάλιν νενόμισται· " πρόσεχε σεαυτῷ, μή ,, ποτε διαθῇ διαθήκην τοῖς ἐγκαθημένοις ἐπὶ τῆς γῆς, εἰς ἣν σὺ εἰσπορεύῃ ,, εἰς αὐτὴν, μή ποτε γένηται πρόσκομμα ἐν ὑμῖν· τοὺς βωμοὺς αὐτῶν καθ- ,, ελεῖτε, καὶ τὰς στήλας αὐτῶν συντρίψετε, καὶ τὰ ἄλση αὐτῶν ἐκκόψετε, ,, καὶ τὰ γλυπτὰ τῶν θεῶν αὐτῶν κατακαύσετε πυρί· οὐ γὰρ μὴ προσκυνήσητε ,, θεῷ ἑτέρῳ. ,, Ἀλλὰ τούτων οὕτως ἀπειρημένων ὁ ναυΐδης Ἰησοῦς, ἰσαρίθμους τῶν φυλῶν Ἰσραὴλ λίθους, περαιούμενος τὸν Ἰορδάνην, αἴρειν τοὺς ἀνει-

λημμένους ἀφ' ἑκάστης φυλῆς, παρὰ θεοῦ κελεύεται, οὐκ ἀσήμους οὐδὲ ἀποπτύστους, ἐπισήμους δὲ ἐσομένους καὶ περιόπτους· " ἵνα ὑπάρχωσιν ὑμῖν, φη-,, σιν, εἰς σημεῖον κείμενοι ,, καὶ οἷον ἄγγελοι ταῖς μετέπειτα εἶεν γενεαῖς, τῶν τῇδε γεγενημένων ἄνωθεν αὐτοῖς τεραστίων διασημαίνοντες τὸ μεγαλεῖον, καὶ τὴν μνήμην δι' αἰῶνος φυλάσσοντες· ἀλλὰ καὶ Μωσῆς αὐτὸς λιθίνας πλάκας λαξεύειν, νόμον θεοῦ δεξομένας, προστάττεται· ὡς δ' οὖν τίμιαι καὶ μεθ' οἵας δόξης, τί χρὴ καὶ λέγειν; ἔνθα καὶ καταβεβηκέναι τὸν κύριον, ἥ τίς ποτε ἐστι θεοῦ κατάβασις λέγεται· ἐξ ὧν καὶ τὸ Μωσέως δοξάζεται πρόσωπον, ὡς μὴ δὲ προσιτὸν λοιπὸν τοῖς ὁρῶσι γινόμενον, ἐφ' ᾧ δὴ καὶ ἐντυποῦσθαι ἔδει ἅπερ ἐν ταῖς πλαξὶ ταῖς προτέραις ἐγέγραπτο, ὁποῖαι δὴ ἐκεῖναι ὑπῆρχον αἱ πρὸς τῷ ὄρει σχεδιασθεῖσαι καὶ θείῳ δακτύλῳ γραφόμεναι, ἃς δὴ μὴ ἄξιον εἶναι λαὸν παρανομοῦντα καὶ πάροινον ὑποδέξασθαι κρίνας ὁ νομοθέτης, χειρῶν ἀποῤῥίψας συνέτριψεν· ἤδη δὲ καὶ θυσιαστήριον ἐκ γῆς τε ἢ λίθων ἀτμήτων τῷ θεῷ ποιηθήσεσθαι ἐπιτέτραπται, ἐφ' ᾧ ἀναφέρειν τὰ ὁλοκαυτώματα ἐνομίζετο.

Τί δὲ ὁ μέγας Ἡσαΐας μεγαλοφώνως ἐν πνεύματι ἀνακέκραγε; " τῇ ἡμέρᾳ .. ἐκείνῃ ἔσται θυσιαστήριον τῷ κυρίῳ ἐν χώρᾳ Αἰγυπτίων, καὶ στήλη πρὸς ,, τὸ ὅριον αὐτῆς τῷ κυρίῳ. ,, Ἀλλ' ἐνταῦθα γενομένοις διασκοπεῖσθαι ἄξιον, ὅ τι ἂν ἡμῖν ταῦτα κατασημήνειε· φαμὲν τοίνυν, ὡς ἐπειδὴ πάλαι δυσσεβῶν μάλιστα ὑπῆρχον Αἰγύπτιοι δυσσεβέστεροι, καὶ δαιμονίων ἀκαθάρτων θεραπευταί, τὸν φύσει καὶ ἀληθῶς ἠγνοηκότες θεόν· ἀνθρώπων γὰρ μορφὰς, καὶ μὴν καὶ ἀλόγων ζώων ποικίλους ἀνεστήλουν τύπους, καὶ ὡς θεοῖς προσεκύνουν ἀνοηταίνοντες· κεκαθαρμένοις τὲ καὶ νοητοῖς ὄμμασιν ὁ θεσπέσιος προφήτης προορώμενος, ἅπερ αὐτοῖς ἐπιφανέντος τοῖς ἐπὶ γῆς τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ συμπορισθήσεται, φησὶν, ὅτι τοῦ θείου καὶ εὐαγγελικοῦ κηρύγματος ἐπανθήσαντος, τὸ τῆς θεογνωσίας αὐτοῖς ἐπιλάμψει σέλας· κἀκεῖνα μὲν τὰ ἐναγῆ πάντα καθαιρεθήσεται καὶ ἀφανισθήσεται, ἀντεισαχθήσεται δὲ καὶ ἀναστήσεται θεῖα θυσιαστήρια καὶ ἱεροὶ σηκοὶ, ἐν οἷς ὅ τε τοῦ ζωοποιοῦ σταυροῦ τύπος, καὶ τοῦ ἀχράντου Χριστοῦ σώματος ὁ θεοειδὴς χαρακτὴρ, ἐμπρέποντες ἐνιδρυθήσονται, διακοσμοῦντες ταῦτα καὶ περιστέφοντες· καὶ δὴ εἰς τοῦτο αὐτοῖς εὐκληρίας τὰ προηγορευμένα ἤδη ἐκβέβηκεν· ὡς οὖν ἀντὶ ξύλου ξύλον, καὶ ἀντὶ τεμένους τέμενος, καὶ ἀντὶ θυσιῶν θυσίαι, καὶ ἀντὶ πάντων τῶν ἀκαθάρτων καὶ βδελυκτῶν τὰ καθ' ἡμᾶς ἀντέταλκεν ἅγια, οὕτως ἀντὶ τῶν ματαίων ἐκείνων καὶ μυσαρῶν στηλῶν, ὡς οἰκειότερον καὶ προσφυέστερον τοῖς προφητικοῖς ἁρμόσασθαι λογίοις, αἱ πάνσεπτοι τοῦ σωτῆρος στῆλαι, ἤτοι τὰ προσκυνητὰ εἰκονίσματα ὁμοῦ τοῖς ἄλλοις ἱεροῖς, κατ' Αἴγυπτον ὅλην, καθὰ καὶ ἀνὰ πᾶσαν τὴν οἰκουμένην, κομῶσι νῦν πληθυόμενα καὶ τιμώμενα· οὕτω τοίνυν καὶ οἱ ὅσιοι ἄνδρες, οἱ τὰ τοῦ θεοφόρου ὑπομνηματίζοντες, τὰς προκειμένας ἐξειλήφασι ῥήσεις· ἐντεῦθεν ἐπὶ τοὺς παλαιτέρους τῶν χρόνων ὁ λόγος ἄνεισιν· ὡς ἂν κατοψόμεθα τί τῷ πατριάρχῃ Ἰακὼβ εἰς Χαῤῥὰν ἀπιόντι πε-

τραγματεύεται. ὅς γε ἐπεὶ ἡλίου καταδύνοντος πρὸς ὕπνον ἐτράπετο, τοῦ ἀπηντηκότος χώρου λίθον ἑλὼν, πρὸς τῇ κεφαλῇ τίθεται, ἔνθα τὰ τῶν ἐφυπνίων τεθέαται ὄψεων· καὶ εἶτα τοῦ ὕπνου ἀνενέγκας, κύριον εἶναι ἐνταῦθα καὶ μὴ εἰδέναι, ἔφασκε· φοβερόν τε ἐκάλει καὶ οἶκον θεοῦ, καὶ πύλην οὐρανοῦ ἐφαντάζετο· καὶ δὴ στήλην τὸν λίθον στησάμενος, ἔλαιον κατὰ τοῦ ἄκρου ἐπιχέει· ἆρ' οὖν ἀποπέμπεται ταῦτα θεὸς, ὡς τοῖς ἐξαγίστοις δοκεῖ; οὐδαμῶς, ἀλλὰ καὶ λίαν προσίεται· καὶ δῆλον ἐξ ὧν αὐτῷ κεχρημάτικε μετὰ ταῦτα· " ἑώρακα „ γάρ, φησιν, ὅσα σοι Λάβαν ποιεῖ· ἐγώ εἰμι κύριος ὁ θεός σου, ὁ ὀφθείς „ σοι ἐν τόπῳ θεοῦ, οὗ ἤλειψάς μοι ἐκεῖ στήλην, καὶ ηὔξω μοι εὐχήν. „ Πρὸς ταῦτα τῶν καθ' ἡμᾶς ἱερομυστῶν ὁ μέγας, τί φησι Γρηγόριος: " Ἰακὼβ „ δὲ κλίμακα μὲν ἐφαντάσθη τινὰ, καὶ ἀγγέλων ἄνοδον, καὶ στήλην ἀλείφει „ μυστικῶς· ἴσως ἵνα τὸν ὑπὲρ ἡμῶν λίθον παραδηλώσῃ, καὶ εἶδος θεοῦ τόπῳ „ τινὶ προσηγορίαν δίδωσιν, εἰς τιμὴν τοῦ ὀφθέντος „, καὶ ἄλλα ὅσα ἐγκώμια ἐνταῦθα διέξεισι· ταῦτα τίνι οὐκ ἐναργῆ καθίσταται, ὡς περὶ τὴν αὐτὴν ὕλην, τῶν λίθων φημὶ, τῶν θεσπιζομένων τὸ διάφορον ἐκδιδάσκει, ὡς τὰ μὲν τῷ θεῷ οἰκεῖα καὶ τίμια, τὰ δὲ τοῖς ἐναντίοις ἀνημμένα φευκτὰ καὶ ἀπόπτυστα;

Ὁποῖα δὲ καὶ ὅσα ἡ Σολομῶντος σοφία καὶ δυναστεία ἐξείργασται, καὶ ἅπερ ὁ περιώνυμος ἐκεῖνος εἶχε ναὸς τῶν ἀσωμάτων μορφώματα, τοῖς βουλομένοις φιλοπόνως ἐξερευνᾷν παρήσομεν, ἐπεὶ καὶ ἡμῖν λεπτότερον ἐν ἑτέροις περὶ τούτων διείληπται· προσέτι γε μὴν καὶ οἷα τῷ θεσπεσίῳ Ἰεζεκιὴλ ὦπται καὶ κεχρημάτισται, τὰ θεοπαράδοτα διασαφεῖ λόγια· κατά τε γὰρ τοὺς τοίχους κύκλῳ τοῦ διαγραφομένου καὶ παραδεικνυμένου νεὼ, καὶ τὰ θυρώματα χερουβὶμ ἦν τὰ γεγλυμμένα, καὶ φοίνικες, ἃ δὴ κατὰ τὰς ἀψευδεῖς ἐκείνας ὄψεις, ἐτετύπωτό τε καὶ προϊστόρητο· ἐν οἷς καὶ ἅγια ἁγίων, καὶ πλήρη δόξης κυρίου τὸν οἶκον τεθέαται, ὅτε καὶ θρηνὴς ἐκεῖθεν κατέπιπτεν· ἤκουέ τε πρὸς τὸν παραπικραίνοντα οἶκον τοῦ Ἰσραὴλ, ἐμβριθέστερον ἀποφαίνεσθαι, ἀπολήγειν εὐθὺς τῶν ἀνομιῶν αὐτῶν, καὶ τῶν ὅσα τὴν διαθήκην κυρίου παραβαίνοντες ἐβεβήλουν τὰ ἅγια· καθάπερ δὴ καὶ νῦν ὁρῶμεν παρὰ τῶν ἀνομούντων πικρότερον, καὶ βεβηλούντων τὰ τῶν ἁγίων ἐκείνων ἁγιώτερα ἀθέως τελούμενα. Ἐκ τούτων δὲ πάντων συνάγεται, ὡς οὔτε πάντα τὰ γεγραμμένα περὶ τῶν οὕτω νομοθετουμένων ἀποπεμπτέον ἁπλῶς, οὔτε πάντα προσδεκτέον· οὔτε γὰρ πάντα ἐναγῆ καὶ ἀπόπτυστα, οὔτε πάντα ἅγια καὶ σεβάσμια· ἀλλὰ δῆλα ἅτινα καὶ ὧν ἕνεκεν ὡς σαφέστερον ἐκδιδάξει, ἃ τῷ Γεδεὼν τῷ εἰς κριτὴν ἐπὶ τὸν Ἰσραὴλ κεχειροτονημένῳ κεχρησμῴδηται ἄνωθεν· καθαιρήσειν μὲν γὰρ τὸ πατρῷον τοῦ Βάαλ θυσιαστήριον καὶ τὸ ἐπ' αὐτῷ ἄλσος, ἕτερον δὲ δείμασθαι τῷ θεῷ, καὶ ἀνοίσειν θυσίας μόσχων ἐκ τοῦ διακοπέντος ἄλσους τῶν ξύλων ἐπετρέπετο· κατὰ ταῦτα δὲ καὶ παρ' ἡμῖν τοῖς τὴν θειοτέραν καὶ σεβασμιωτέραν νομοθεσίαν δεδεγμένοις, εἰ μέν που ἀλλότριον τῆς καθ' ἡμᾶς δόξης φωραθείη σέβασμα, οἷα τὰ παρὰ Ἰουδαίοις εἰ τύχοι καὶ βαρβάροις, ὡς ἐβδελυγμένα καὶ στυγητὰ, πάντως ἂν σπουδῇ πάσῃ χρωμένοις, καθαιρεῖν ὡς

ἀλλότρια ἐπάναγκες· ἃ δὲ εἰς δόξαν ἀνήκει θεοῦ, καὶ δήλωσιν τῆς σωτηρίου οἰκονομίας πρόκειται, ἐπεὶ ἡμῖν διαφέρουσι, σεβάσματος καὶ τιμῆς ἄξια κρίνειν. οὐχ' ὥσπερ παρὰ τῶν ἐναγῶν τὰ ἅγια διαπτύεται ἀθέως καὶ καθυβρίζεται· οἳ δὴ πάντα συγχέοντες καὶ συμφύροντες, τοῦ καθαροῦ τὸ ἀκάθαρτον, καὶ τοῦ ἁγίου τὸ βέβηλον διορίζειν οὐ βούλονται· " εἰς γὰρ κακότεχνον ψυ- ,, χὴν, σοφία θεοῦ οὐκ εἰσελεύσεται· ,, ἀνάγκη γὰρ αὐτοῖς ἢ πάντα διὰ τὸ οὐ ποιήσεις πᾶν ὁμοίωμα, τὰ τῷ θεῷ φίλα καὶ οἰκεῖα ἀποπέμπεσθαι, ἢ διὰ τὸ ποιήσεις, τὰ νομοθετούμενα πάντα, καὶ τὰ τῶν ἀθέων καὶ ἀπίστων σέβειν καὶ ἀσπάζεσθαι, οὐδὲ μιᾶς αὐτοῖς ὑπολήψεως ὑγιοῦς ὑπούσης καὶ κρίσεως· ἢ ὅπερ αὐτοῖς οἰκεῖον καὶ ἐραστὸν, πᾶσαν παλαιὰν καὶ νέαν νομοθεσίαν, κατὰ τοὺς ἑαυτῶν διδασκάλους, ἀθετεῖν.

μα. Εἶτα ἔστω μὲν ταῦτα οὕτως ἔχειν, φασὶ, ποῦ δέ σοι ἐνταῦθα νενομοθέτηται ποιεῖν θεοῦ ὁμοίωμα; Πρὸς οὖν τὸ σκαιὸν καὶ ἀπόπληκτον τῆς ἐρωτήσεως, τοιαῦτα φαμέν· πρῶτον μὲν, ὅτι ἐοίκατε ταῦτα πυνθανόμενοι, προκάλυμμα τῆς ἑαυτῶν ἀπιστίας καὶ δυσσεβείας προϊσχεσθαι· οὐχ' ὅπως τί ἀξιόλογον περὶ θεοῦ λέγειν δόξητε, ἀλλ' ἵνα τὴν θείαν τοῦ σωτῆρος οἰκονομίαν συκοφαντήσητε· οὐδεὶς γὰρ ὑμῖν ἐνταῦθα σαρκώσεως λόγος παρείληπται· ἔπειτα δὲ, ὅτι τὸ ἀλλόκοτον καὶ παραφροσύνης ἐπίμεστον ὑμῶν, ἐν τούτοις τεκμηριοῦται· μάτην γὰρ χριστιανοῖς διαλοιδορεῖσθε, καὶ ἃ μήτε αὐτοὶ ἐδόξασαν, μήτε ὑμεῖς ἀκηκόατε πώποτε καταπτύοντες, ἐπίκλημα προσεπάγετε, ὡσεὶ καὶ θεὸν ψιλὸν σαρκὸς γεγυμνωμένον εἰκονίζειν ἐπαγγελλομένοις· τίνι γὰρ τῶν λογικῆς μετεχόντων φύσεως οὐ διωμολόγηται σαφῶς, ὅτι θεοῦ ποιεῖν ὁμοίωμα ᾗ θεὸς, ἀδύνατον ὡς ἀληθῶς καὶ ἀνεπιχείρητον· ἐπεὶ οὐδὲ ὁρατὸν τὸ θεῖον οὐδὲ ληπτὸν, θεὸν γὰρ οὐδεὶς ἑώρακε πώποτε, οὐκοῦν οὐδὲ Μωσῆς αὐτὸς ὁ τοῖς θείοις νόμοις ὑπηρετούμενος, καίτοι κάτοχος τῷ τῆς θείας ἐπιφανείας γενόμενος ἔρωτι τεθέαται, ὅτι μὴ μόνον δόξαν θεοῦ, ἥ τις αὐτῷ παραδέδεικται ἡνίκα τὸ δεδοξασμένον πρότερον παρελήλυθε, καὶ ταῦτα τῇ πέτρᾳ καλυπτόμενος, καὶ μόλις καθορᾷ θεοῦ τὰ ὀπίσθια· τάχα τῶν μελλόντων τῆς ἐν σαρκὶ θεοφανείας τοὺς τύπους μυσταγωγούμενος· τί γάρ φησιν ὁ χρηματίζων θεός; " οὐ μὴ ἴδῃ τὸ πρόσωπόν μου ἄνθρωπος, καὶ ζήσεται· ,, ἢ οὐχὶ καί τισι τῶν πάλαι, καθάπερ ἀνέγνωμεν, τὸ τοῦ πάντων κατεξουσιάζοντος θεοῦ ἀκοινώνητον ὄνομα τοῖς παρ' αὐτῶν σεβομένοις ξοάνοις ἐπιγράψασι, καὶ τὴν προσήκουσαν αὐτῷ μόνῳ ἀναθεῖσι λατρείαν, διὰ φωνῆς τοῦ μεγάλου Ἡσαΐου ἐπιπλήττει θεός; " τίνι ὡμοιώσατε τὸν κύριον, λέγων; καὶ τίνι ὁμοιώ- ,, ματι ὡμοιώσατε αὐτόν; μὴ εἰκόνα ἐποίησε τέκτων; ἢ χρυσοχόος χωνεύσας ,, χρυσίον περιεχρύσωσεν αὐτό; ,, καὶ σφόδρα γε δικαίως ἀπειλεῖ τὰ ἀνόσια δρᾷν τετολμηκόσιν· οὐ γὰρ θεμιτὸν οἴεσθαί τι τῶν ἐν κτίσμασι τελούντων, ᾧ κατὰ φύσιν ἢ δόξαν ἢ ἀλκὴν ἢ κατά τι γοῦν ἀπεικασθήσεται· " τὴν γὰρ δό- ,, ξαν μου, φησὶν, ἑτέρῳ οὐ δώσω, οὐδὲ τὰς ἀρετάς μου τοῖς γλυπτοῖς· ,, τίνι γὰρ προσεοικὼς εἴη ὁ πᾶσιν ἀθέατος, παντός τε νοῦ καὶ πάσης ὑπερέκεινα

καταλήψεως; τίσιν ὁμοιώμασι χειροτεύκτοις, ἀνθρωπίνοις σοφίσμασι καὶ φιλοτεχνήμασιν ἐκμεμηχανημένοις, παραβληθήσεται;

Χριστιανοὺς γοῦν ταῦτα εἰδότας, ἐῤῥωμένους τὲ περὶ τὰ θεῖα, καὶ ὑγιᾶ τὴν διάληψιν περὶ τὴν ἀπόῤῥητον καὶ ἀνέκφραστον φύσιν κεκτημένους, μαινομένων ἐστὶν εἰκόνισμα θείας φύσεως γράφεσθαι· ὑμῖν μὲν οὖν τοῖς τῆς ἀπιστίας καὶ τοῦ νέου ἰουδαϊσμοῦ ὑπασπισταῖς " τὸ μὲν θεὸν οὐδεὶς ἑώρακε πώ-„ ποτε „ διὰ γλώσσης καὶ προχειρότατον· τὸ δὲ " ἑωράκαμεν τὸν κύριον, καὶ „ ὅτι συνεφάγομεν καὶ συνεπίομεν αὐτῷ „ καὶ τἄλλα ὅσα τῆς ἄκρας συγκαταβάσεως ἡμῖν κεκήρυκται, λεγόντων ἀκούειν ἢ πιστεύειν, οὐδ᾽ ὁπωσοῦν ἀνέχεσθε, ὡς ἀλλοτρίαν δὲ καὶ ἀπηχεστάτην ὑμῖν τὴν φωνὴν ἀπαναίνεσθε· ἀλλ᾽ εἰ ἔξεστι πυθέσθαι καὶ ἡμᾶς, ἀποκρίνασθε· ποῦ ὑμῖν καὶ πόθεν νενομοθέτηται, ἔκ τε νομικῶν θεσπισμάτων, εὐαγγελικῶν τε κηρυγμάτων, ἢ ἀποστολικῶν διδαγμάτων, ἀπερίγραπτον ὁμολογεῖν τὸν Χριστὸν, καθὸ πεφανέρωται καθ᾽ ἡμᾶς ἄνθρωπος; μήτε ποιεῖν, μήτε μὴν γινομένην εἰκόνα αὐτοῦ προσκυνεῖν, καθάπερ νῦν δογματίζετε; ἀλλὰ τοῦτο οὐκ ἂν εἰπεῖν ἔχοιτε· οὐδαμοῦ γὰρ ὑμῖν ἐνταῦθα δειχθήσεται· ὥστε τὴν περιστοιχίζουσαν ὑμᾶς ἀπορίαν, τῆς ἡμετέρας νίκης γίνεσθαι περιουσίαν· εἰ μὲν οὖν μὴ προὔκειτο ὑμῖν ἡ τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας ἄνωθεν καὶ ἐξ ἀρχῆς κεκρατηκυῖα παράδοσις, ὃ πάντων ἐστὶ τὸ ἰσχυρότατον καὶ ἀσφαλέστατον, αἵ τε ἀποστολικαὶ καὶ πατρικαὶ φωναὶ, αἳ δὴ κρατεῖν ἡμᾶς τὰς παραδόσεις, ὅσαί τε ἔγγραφοι ὅσαί τε ἄγραφοι διακελεύονται, οἷα ἐπ᾽ ἀμφοτέραις τὴν αὐτὴν θεωρεῖσθαι δύναμιν. Τὸ γοῦν εὐσεβέστερον τῶν ἐν ἀμφιβόλοις κειμένων κρατήσει πάντως, καὶ τὸ διαφερόντως εἰς πίστιν καὶ ἀγάπην τὴν εἰς Χριστὸν, ἣν ζῆλος ἔνθεος καὶ πόθος θερμὸς παρίστησι, τὴν οἰκείωσιν ἐνδεικνύμενον· εἰ δὲ κατ᾽ ἄμφω τὸ κράτος τῇ ἐκκλησίᾳ Χριστοῦ καὶ τὸ εὐδόκιμον πάρεστιν, ἡμῖν ἄρα τὴν νικῶσαν ἐκ πολλοῦ τοῦ περιόντος ἀποίσεσθαι περιέστηκεν· ἐπεὶ οὖν νοῆσαι μὲν θεὸν πάντη ἀδύνατον καὶ ἀνεγχώρητον, εἰκονίσαι δὲ ἀμήχανον ἔτι καὶ ἀδυνατώτερον, ὁπότε οὐδὲ φύσιν θεοῦ ὁμοιοῦν, φύσιν ἔχον ἐστὶν, εἴδους τὲ καὶ μορφῆς ὑπούσης ὡς ἥκιστα· πρὸς ὅ τι γὰρ τίς καὶ ἀποβλέψας παράδειγμα ὁμοιώσειε; νῦν δὲ θεὸν σωματωθέντα κυρίως καὶ ἀληθῶς ἔγνωμεν, πρόκειται τοῖς εὐσεβεῖν ἐθέλουσι μορφὴ εἰς ὁμοίωσιν, ἣν προσείληφεν ὁ τὴν τοῦ δούλου εἰκόνα μορφούμενος· εἰ γὰρ τὸ ἀθέατον καὶ ἄμορφον τῷ ὄντι, ὡς ἄληπτον ἀνόμοιόν τε καὶ ἄγραπτον, ἀνάγκη τὸ μορφωθέν τε καὶ θεαθὲν, ὡς καταληφθὲν ὁμολογεῖσθαι γραπτὸν καὶ ὁμοιούμενον, ὃ εἰκονίζειν οὐκ ἀναμένομεν πρόσταξιν· οὐ γάρ ἐστι τοῦτο τοῖς πιστοῖς ἴδιον, πάντα ἐκ προστάγματος πράττειν· ἔστι γὰρ ἃ καὶ παρ᾽ ἑαυτοῖς συνεισφέρειν, ὅσα τοῖς θερμοτέροις προσήκει μάλιστα καὶ σπουδαιοτέροις εἰς φιλοθεΐαν τὲ καὶ εὐσέβειαν· ἐπεὶ πόθεν τὸ πιστὸν ἐν αὐτοῖς ὀφθήσεται;

μβ. Εἰ δὲ καὶ νόμον τις ἐπιζητοίη, τοῦ λόγῳ προστάξαι, τὸ ἔργῳ κατάρξαι, πρὸς ἀξιοπιστίαν ἀσφαλέστερον· καὶ τοῖς εὐλαβῶς περὶ τὰ θεῖα διακει-

μένοις οὐκ ἀπιστηθήσεται τὸ λεγόμενον· ἱστόρηται γὰρ ὡς Αὔγαρος ὁ τῶν Ἐδεσηνῶν βασιλεὺς, τὰ παρὰ Χριστοῦ γινόμενα θαυματουργήματα ἐκπληττόμενος, πόθῳ τε πολλῷ καθελκόμενος, καὶ ἐν εἰκόνι αὐτὸν μόνον θεάσασθαι, ἀποστέλλει τινὰ ζωγράφον, ὥστε τὸ εἶδος ἐκεῖνο τὸ θεῖον διαχαράξαντα, παρ' αὐτὸν κομίζειν ὡς τάχιστα· τοῦ δὲ διαμαρτόντος τοῦ σκοποῦ, διὰ τὴν ὑπερβάλλουσαν τοῦ προσώπου χάριν τε καὶ λαμπρότητα, αὐτὸς τῷ οἰκείῳ προσώπῳ ὀθόνην ἐπιθεὶς, ἐναπομάττει τὸ ἑαυτοῦ ὁμοίωμα, καὶ ἀποστέλλει τῷ ἐρῶντι τὸ ποθούμενον.

μγ. Ἱστόρηται δὲ καὶ τοῦτο, ὅτι τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ ἐν Βηθλεὲμ τεχθέντος, ὁ τοῦ Περσῶν ἔθνους τηνικαῦτα ἡγεμονεύων, εὐφυῆ τινα ζωγράφον ἐκεῖσε ἐξέπεμψεν, ὅς τις τήν τε τοῦ τεχθέντος καὶ τῆς τεκούσης εἰκόνα διαγράψας, ὡς αὐτὸν ἤγαγεν· εἰδέτω καρδία ἄπιστος, οὐδὲ Πέρσας παραδέξεται τοσαύτην στειλαμένους ὁδὸν, δῶρα τῷ τεχθέντι βασιλεῖ οἷα προσῆκε κομίσοντας, ὑπὸ ἀστέρος τε ὁδηγουμένους, καὶ ὅπερ τῷ ὄντι περιδεὲς καὶ εἰς πρόὒπτον ἐμβάλλον κίνδυνον, βασιλέα κηρύσσειν λαμπρῶς τὸν γεννηθέντα, ἐπὶ τῆς ἀλλοδαπῆς γενομένους· εἰ δὲ οὐ πάντα ἀναγέγραπται κατὰ τὴν εὐαγγελικὴν ἱστορίαν, οὐ πάντα παρὰ τοῦτο ἄπιστα· οὐδὲ γὰρ τὰ ἄλλα σημεῖα ἃ ἐποίησεν ὁ Ἰησοῦς ἀθετητέον, πολλά γε ὄντα, ὡς μὴ δὲ χωρεῖν τὸν κόσμον καθὲν γραφόμενα, ἐπειδὴ οὐκ ἀναγέγραπται, φησὶν, ὁ μέγας εὐαγγελιστὴς Ἰωάννης· περὶ μὲν οὖν τῆς ἀοράτου καὶ ὑπερουσίου καὶ ἀλήπτου φύσεως, καὶ ἣν ὁμοιοῦν ἀδύνατον λέγεται " ὅτι οὔτε φωνὴν αὐτοῦ ἀκηκόατε, οὔτε εἶδος ,, αὐτοῦ ἑωράκατε· καὶ, θεὸν οὐδεὶς ἑώρακε πώποτε, οὔτέ τις ἀνθρώπων εἶδεν, ,, οὔτε ἰδεῖν δύναται· ,, διὰ τὸ οὕτως ἔχειν αὐτὴν, καὶ μὴ ὁρᾶσθαι μὴ δὲ ἀκούεσθαι, ἀλλ' ἐξῃρῆσθαι ταύτην καὶ εἴδους παντὸς καὶ φθόγγων· καὶ μέν γε καὶ ὅτι οὐ πεινάσει οὐδὲ κοπιάσει· " οὐδὲ ἔστιν ἐξεύρεσις τῆς φρονήσεως ,, αὐτοῦ· ,, περὶ δὲ τῆς ἐν σαρκὶ θεοφανείας τοῦ λόγου " ὅτι εἰ μὴ ἦλθον ,, καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· καὶ, ὅτι ἑωράκασι καὶ μεμισήκασι ,, καὶ ἐμὲ καὶ τὸν πέμψαντά με· ,, τί δὲ οἱ θεσπέσιοι μαθηταὶ, φασίν; " ὅτι ὃ ἦν ἀπ' ἀρχῆς, ὃ ἑωράκαμεν καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν ,, περὶ τοῦ λόγου τῆς ζωῆς, καὶ ὅτι " ἑωράκαμεν τὸν κύριον, οἵ τινες συνεφάγομεν ,, καὶ συνεπίομεν αὐτῷ, ,, ὃ μετὰ τὴν ἐκ νεκρῶν ἀναβίωσιν γέγονεν· ἀλλὰ καὶ " ἐκοπίασε καὶ ἐπείνασε καὶ ἐδίψησε νόμῳ σώματος, καὶ ὅτι ἐξαπέστειλεν ὁ ,, θεὸς τὸν υἱὸν αὐτοῦ γενόμενον ἐκ γυναικός· καὶ, θεὸς ἐφανερώθη ἐν σαρκὶ, ,, καὶ πέπονθε τῷ προσλήμματι, καὶ ἀνέστη καινοποιήσας τὴν παλαιωθεῖσαν ,, ὑπὸ τῆς ἁμαρτίας φύσιν. ,,

μδ. Οὕτως οὖν καὶ ἡμεῖς ὁμοιωθέντα ἡμῖν τὸν αὐτὸν κατὰ πάντα χωρὶς ἁμαρτίας, κατὰ τὸ φανὲν ζωοποιὸν καὶ πανάγιον εἶδος, ἀφομοιοῦμεν καὶ εἰκονίζομεν καὶ προσκυνοῦμεν πιστῶς καὶ θεοπρεπῶς, ὡς μέγα βοᾷ ἡ ἄνωθεν ἡμῖν ἐν τῇ ἐκκλησίᾳ ἔνθεος παραδεδομένη συνήθεια· πῶς οὖν οὐ προσκυνητέα καὶ τιμητέα ταῦτα τὰ ὁμοιώματα; διὰ τὸν χρόνον, φασὶν, ὅτι οὐκ ἀρχῆθεν ἡ τοῦ-

των προσκύνησις παραδέδεικται· ἀλλ᾽ εἴ γε διὰ τὸν χρόνον οὐ προσκυνητέα, διὰ τοῦτο μᾶλλον προσκυνητέα· τοῦτο γὰρ ἐξ ἀρχῆς ἐνορῶντες γινόμενον Μανιχαῖοι τὲ καὶ Ἀρειανοὶ, οἱ τῶν νῦν δογματιζομένων ἔξαρχοι, καὶ περιελεῖν σπουδάζοντες, τῶν προσκυνούντων ἅτε εὐσεβούντων κατεψηφίζοντο, καὶ τὴν τούτων ἐχειρογράφουν καθαίρεσιν· καὶ μαρτυροῦσιν αἱ βίβλοι, ἃς μετὰ χεῖρας οἱ τούτων μύσται φέρουσιν· εἰ δὲ οὔτε τοῖς ἑαυτῶν διδασκάλοις, οὔτε τοῖς ἡμετέροις τῆς ἀληθείας πείθονται κήρυξιν, οὔτε ἅπερ οἰκείοις ὀφθαλμοῖς καθορῶσι παραδέχονται, τίσι λοιπὸν συγκαταριθμηθεῖεν οὐκ ἄδηλον· ἀλλὰ καὶ ἐν τούτοις ἀποῤῥαπτόμενοι τὰ στόματα οἱ ἀνόσιοι, τῆς ἀναισχύντου γνώμης οὐ καθυφίασιν· ἕτερα δὲ ἀλογώτερα καὶ ἀνοητότερα τούτων ἐπάγουσιν.

με. Ἡνίκα γὰρ τῶν εὐσεβούντων τις αὐτοῖς διαλεγόμενος φήσει, ὅτι ἄξιον τιμᾶσθαι τὰ θεῖα σύμβολα, ἐπειδὴ καὶ ἐν τοῖς ἱεροῖς οἴκοις ἀνακείμενα ἱερά εἰσιν, ὡσαύτως καὶ ἐν τοῖς κατὰ τὴν θείαν τράπεζαν καὶ ἑτέρωθί που τοῦ ἱεροῦ ὑφαπλούμενα, κατά τε τὴν ἐσθῆτα καὶ ἐν ἑτέρᾳ ὕλῃ συνδιαγραφόμενα, ὡς ἅγια καὶ συμπροσκυνούμενα αὐτοῖς, παρὰ χριστιανοῖς τὸ ἐξ ἀρχῆς συνεξειργάσθησαν· τί φασιν οἱ ἀναμέσον ἁγίου καὶ βεβήλου διαστεῖλαι οὐ βουλόμενοι;
÷ ὅτι καὶ θηρίων καὶ κτηνῶν καὶ ὀρνέων καὶ ἑτέρων ζώων εἰκόνας ἐν αὐτοῖς
÷ θεώμεθα· καὶ τὰ μὲν ἱερὰ ὡς ἱερὰ προσκυνοῦμεν, ἀλλ᾽ οὐχὶ καὶ ταῦτά
÷ γε δι᾽ ἐκεῖνα· οὕτω κἂν εἰκόνα Χριστοῦ ὁρῶμεν, τὸ ἱερὸν οὐ τὴν εἰκόνα
÷ προσκυνοῦμεν, καὶ διὰ ταῦτα οὐδὲ ἐκτὸς τούτων προσκυνητέα ἡ εἰκών. ÷
Εἴποι δ᾽ ἄν τις ὅτι οὐχ᾽ ὁ αὐτὸς λόγος ἐν ἅπασι θεωρεῖται· τῶν μὲν γὰρ ἄλλων ζώων αἱ μορφαὶ, οὐ προηγουμένως πρὸς τὸ εἰς θυσιαστήριον ἀναχθῆναι καὶ προσκυνεῖσθαι γεγόνασιν, εἰς κόσμον δὲ καὶ εὐπρέπειαν τῶν ἐν οἷς συνεξειργάσθησαν ὑφασμάτων· εἶτα οὕτω συμβὰν τρόπῳ θεοφιλεῖ, καὶ σπουδῇ τῇ περὶ τοὺς θείους οἴκους τῶν εὐσεβούντων, ἀνάθημα ἱερὸν προσηνέχθησαν· εἰ γὰρ προσκυνεῖ τις τὸ ἱερὸν, οὐ πρὸς τὸ κτῆνος ἢ τὸ θηρίον προσέχων τοῦτο δρᾷ· οἶδε γὰρ οὐδὲν ἀπ᾽ αὐτῶν ὀνίνασθαι· πρὸς δὲ τοῦ ἱεροῦ τὴν τιμὴν ἀφορῶν, οὐδὲν πλέον τῆς ὄψεως ἐκείνοις νέμων· ὁ δὲ τῶν σεπτῶν μορφωμάτων σκοπὸς οὐχ᾽ οὕτως ἔχει· πόθεν: ἀλλὰ δι᾽ αὐτὸ τὸ ἅγια εἶναι, καὶ εἰς μνήμην τῶν ἀρχετύπων προϊέναι ἁγίων, ὡς ἱερὰ τοῖς ἱεροῖς συμπροσκυνοῦνται, καὶ οὐ σὺν αὐτοῖς μόνον, ἀλλὰ καὶ ἐκτὸς τῶν ἁγίων οἴκων τιμηθήσονται· σὺ δὲ τοῦ μὲν ὄνου καὶ τοῦ κυνὸς καὶ τοῦ χοίρου ἐν τῷ ἱερῷ προσκυνῶν τὰς εἰκόνας, οὐ δυσχεραίνεις, τὴν δὲ Χριστοῦ εἰκόνα αὐτῷ ἱερῷ καταπιμπρῶν γέγηθας, καὶ οὐ φρίττεις τοιαῦτα τολμῶν, δεικνὺς μάτην σεαυτῷ τὸ χριστιανὸς ἐπιγράφων ὄνομα· τί οὖν εἴποιεν οἱ τὴν διάνοιαν λελωβημένοι, καὶ τὴν νοερὰν ἐνέργειαν πεπηρωμένοι, περὶ τῶν ἐν ταῖς ἱεραῖς κιγκλίσι καὶ ταῖς καλουμέναις σωλίαις, τῶν τε ἐν τοῖς κίοσι καὶ πυλῶσιν αὐτοῖς, τῶν τε πρὸ τοῦ θείου θυσιαστηρίου ἱδρυμένων: ἆρα κόσμου καὶ εὐπρεπείας χάριν ταῦτα οἱ χριστιανοὶ ἐτεκτήναντο, ἢ τὰ οἰκεῖα τοῖς οἰκείοις ἐφαρμόζοντες; εἰδότες ὅτι οἱ τόποι οὗτοι προσκυνήσεως εἰσὶ τόποι, καὶ τοῦ προσκυνεῖσθαι ἕνεκεν τούτοις ἐνετυπώσαντο.

μϛ. Ἀλλὰ καὶ δικαίως μάλα ὁ προφητικὸς λόγος τὴν τούτων παραφροσύνην καὶ τὴν παράνοιαν προλαβὼν ἐστηλίτευσεν· " ὅτι ἔδωκεν αὐτοῖς ὁ θεὸς, „ ὀφθαλμοὺς τοῦ μὴ βλέπειν, καὶ ὦτα τοῦ μὴ ἀκούειν, ἵνα βλέποντες μὴ „ βλέπωσι, καὶ ἀκούοντες μὴ συνιῶσι· καὶ ἐπαχύνθη αὐτῶν ἡ διάνοια, καὶ „ ἐσκοτίσθησαν καὶ ἐμωράνθησαν τοῖς διαλογισμοῖς· „ ἐξερευνῶντες ἐξερευνήσεις, ὧν οὔτε ἔρευνα οὔτε ἀμφιβολία παρὰ χριστιανοῖς γέγονε πώποτε· καὶ οὕτως ἐναργοῦς ὑπαρχούσης καὶ δεδημοσιευμένης τῆς ἀληθείας πάσῃ τῇ ὑφ' ἡλίῳ, τοῖς οἰκείοις ὀφθαλμοῖς καὶ τῇ ἐναργείᾳ αὐτῇ ἀπομάχονται οἱ ἀνόητοι, καὶ ἀποδείξεις τῶν βλεπομένων παρ' αὐτοῖς καὶ ὑπ' ὄψιν ἡγμένων ἐπιζητοῦσι· ταὐτόν τι ποιοῦντες, ὥσπερ εἰ τὸν ἥλιον καθορῶν τις ἄρτι τῶν ἑώων τερμάτων ἀναθρώσκοντα, καὶ τῶν ἡλιακῶν ἀκτίνων πανταχοῦ τὰς βολὰς κατασπείραντα, διαποροίη ὡς ἄρα ἡμέρα ἐνίσταιτο· ἢ θάλασσάν τις ναυτιλλόμενος, ἢ ποταμὸν περαιούμενος, κατὰ τοὺς διάπλους ἀπόδειξιν ἐπιζητοίη, καὶ διαμφισβητοίη· εἰ ἄρα ἐστὶν ὕδωρ ἐν θαλάσσῃ καὶ ποταμῷ· καὶ ἃ οὐδ' ἂν οἱ τοῦ φωτὸς τούτου πάμπαν ἄπειροι διαμφιβάλοιεν, οὐδὲ οἱ ἄγαν ἐκ κραιπάλης καρηβαροῦντες καὶ κατενηνεγμένοι πάθοιεν· πολλάκις καὶ τὰ ἑστῶτα καὶ μηδαμῶς κινούμενα ἐν κύκλῳ περιδινεῖσθαι οἰόμενοι· οὗτοι ἐκμεμεθυσμένοι τῷ οἴνῳ τῆς ἀπιστίας, καὶ κεκαρωμένοι τὴν ψυχὴν τοῖς ὑλικοῖς οἷα κατασυρέντες πάθεσι, καὶ ταῖς περικοσμίοις καὶ ἀπατηλαῖς δόξαις καὶ σαρκικαῖς ἡδυπαθείαις αἰχμαλωτιζόμενοι, τὰ πάντων πεπόνθασιν ἀθλιώτερα καὶ χαλεπώτερα.

μζ. Ἔτι μικρὸν τοῖς εἰρημένοις προσθέντες εἰς τὴν τοῦ λόγου ἐξέτασιν, γνοίημεν εἴ γε ἄρα προσηκόντως αὐτοῖς τὸ τοῦ χριστιανισμοῦ ἐπιφημίζεται ὄνομα· ἴσμεν γὰρ ἅπαντες ὅτι ὥσπερ ἡ τοῦ Χριστοῦ εἰκὼν ἐκ παραγωγῆς, τοῦ Χριστοῦ τό τε εἶδος κέκτηται, καὶ τὴν προσηγορίαν αὐτὴν ἐπιφέρεται, οὕτω δὴ καὶ ὁ χριστιανὸς, ὡς ἐκ πρωτοτύπου ὀνόματος τοῦ Χριστοῦ, τήν τε κλῆσιν ἔλαχε καὶ τὸν τρόπον, καθ' ὃν δὴ χαρακτηρίζειν αὐτὸν διὰ μιμήσεως καὶ πολιτείας ὡς οἷόν τε ἐστὶν ἐνδείκνυται· ὡς ἐκ μιᾶς οὖν ἀρχῆς ἀμφότερα ὁρμώμενα, καὶ οἷον ῥίζης τῆς αὐτῆς προϊόντα τοῦ Χριστοῦ, κοινωνίαν τε καὶ σχέσιν τὴν πρὸς ἄλληλα διασώζουσι· κἂν τῇ οὐσίᾳ καὶ τῷ τρόπῳ τῆς ὑπάρξεως, τὸ διάφορον ἐν αὐτοῖς ἐμφαίνηται, ὅμως δ' οὖν τοῦ αὐτοῦ μετέσχον ὀνόματος, καὶ ὁμωνύμως ἐπ' ἀμφοῖν ἡ τοῦ Χριστοῦ κατηγορεῖται προσηγορία· εἰ τοίνυν ἡ τοιαύτη κοινωνία καὶ ὁ αὐτὸς εἱρμὸς παρὰ τούτοις πεφύλακται πρὸς τὸ ὁμόστοιχον, καὶ ἡ πρὸς τὸ ὁμώνυμον τιμὴ ἐκνενέμηται, καταχληρούσθω καὶ ἐπ' αὐτοῖς τὸ χριστιανοῦ ὄνομα· εἰ δὲ ἀπεναντίας τούτων πάντα πράττουσι, καὶ πάσης ἀτιμίας καὶ ἀδοξίας ἀποπληροῦσι τά τε Χριστοῦ καὶ ἑαυτοῖς ὁμώνυμά τε καὶ ἐν σχέσει τῇ αὐτῇ θεωρούμενα, πῶς ἂν αὐτοὶ τῆς χριστιανῶν μεθέξουσι κλήσεως;

μη. Ὅτι δὲ διὰ τοῦτο καὶ ἡ πρὸς τὸ ἀρχέτυπον αὐτοῖς ἀθέτησις γίνεται, τὸ τοῦ λόγου ἀκόλουθον καὶ ὁ τῶν φαινομένων σκοπὸς ἐννοεῖν δίδωσι· διΐστησι γὰρ αὐτῶν τὴν οἰκειότητα τὴν πρὸς αὐτὸ καὶ τὴν τῆς κλήσεως κοινω-

νίαν, ἡ τοῦ συστοίχου καὶ ὁμωνύμου παραίτησις καὶ ἐξουδένωσις· παραπλήσιον γάρ τι πεπόνθασιν, ὡς εἰ καὶ δύο τινὲς παῖδες ἐξετάζοιντο, εἰ ἑνὸς καὶ τοῦ αὐτοῦ προστετυχήκασιν· ὧν ὁ μὲν ἕτερος ἀσινεῖς τοὺς πατρῴους διασώζων χαρακτῆρας, καὶ ἀπαραχάρακτον φέρων τοῦ φύσαντος τὴν ἐμφέρειαν, εἰκότως ἂν νομισθείη ὁ γνησιώτατος· ὁ δ' αὖ ἕτερος μηδὲν τούτων ἐπαγόμενος, εὐλόγως ἂν νόθος κριθείη καὶ ἔκφυλος· νόθοι οὖν καὶ αὐτοὶ χριστιανοὶ ἐν δίκῃ νομισθήσονται, καὶ τῆς Χριστοῦ κληρονομίας καὶ ποίμνης ἐκκήρυκτοι· μάτην γὰρ μεταποιοῦνται, οὐδὲν αὐτοῖς προσῆκον ἤδη, τοῦ ὀνόματος· ἀλλ' εἰς μὲν ἀθέτησιν τῆς τοῦ Χριστοῦ οἰκονομίας, μᾶλλον δὲ εἰς ὄλεθρον τῶν ψυχῶν αὐτῶν, σκῆψις ἡ τοῦ ἀπεριγράπτου πρόκειται φωνή.

μθ. Τί οὖν ἀποφανοῦνται περὶ τῶν ἄλλων ἱερῶν ἐκτυπωμάτων, αὐτῆς τε τῆς παναγνου παρθένου καὶ θεομήτορος, καὶ τῶν ἄλλων ἁγίων τῶν ἀπ' αἰῶνος τῷ Θεῷ εὐαρεστησάντων; μήτι γε ἄρα καὶ ἐνταῦθα τὸ ἀπερίγραπτον αὐτῶν προστήσεται; ἢ ἐκ θεότητος καὶ ἀνθρωπότητος ὑποστάντας αὐτοὺς νομοθετήσουσιν; οὐκ ἔστιν ὧδε εἰπεῖν συμπεριγράφεσθαι τὴν θεότητα, ἢ τὴν σάρκα διΐστασθαι, καὶ τὴν μίαν διῃρῆσθαι ὑπόστασιν, καὶ τὰ ἡνωμένα ἐκ τῆς γραφῆς ἢ περιγραφῆς διαλύεσθαι· ἐφ' ἑτέρας εὑρεσιλογίας καὶ ἀλλοκότους ἐρεσχελίας οἱ ἁμαρτοεπεῖν εἰδότες, ἐκπεπορισμένας αὐτοῖς τετράψονται· οὐδὲν γὰρ οὕτω φίλον αὐτοῖς καὶ προχειρότατον, ὡς εἰς ἐκτόπους ἐννοίας καὶ ἀθεμίτους ἀποίχεσθαι, καὶ πρὸς πᾶν ὁτιοῦν τῶν ἀδοκίμων καὶ θεῷ μὴ ἀρεσκόντων ἐκφέρεσθαι.

ν. Ὁποία δὲ ἡ περὶ τούτων παρ' αὐτοῖς διάληψις· ἐπειδὴ οὐδαμόθεν τὸ λυσιτελοῦν συνιδεῖν δεδύνηνται, ἢ ὁντιναοῦν λόγον ἐκμηχανήσασθαι, τῆς οἰκείας μοχθηρίας καὶ κακουργίας συνήγορον ἐπὶ τὸ αὐτόνομον, καὶ τῆς ἀλογίας αὐτῶν χωροῦσι τὸ ἰδιαίτατον, καὶ φασίν· ὅτι ἐπειδὴ τὰ τοῦ Χριστοῦ διέρριπται καὶ διαπέπτωκεν, ἀκόλουθον ἂν εἴη καὶ ταῦτα δὴ τὰ τῶν ἁγίων συνοιχήσεσθαι, καὶ μὴ δὲ μνήμης τὸ λοιπὸν ἠξιῶσθαι πώποτε. Καιρὸς νῦν εἰπεῖν " εἰ τὸν οἰκοδεσπότην Βεελζεβοὺλ ἀπεκάλεσαν, πόσῳ μᾶλλον τοὺς οἰκειακοὺς αὐτοῦ; " τοιαῦτα γὰρ οἱ νῦν ἰουδαῖοι τοῖς πάλαι τὰς γλώσσας δανείσαντες ἀποφαίνονται· εἰ γὰρ τὰ Χριστοῦ οὕτω διέθηκαν, τί οὐκ ἂν κατὰ τῶν ἁγίων αὐτοῦ πονηρὸν δράσειν ἔμελλον; ἄξιον μὲν ὡς ἀληθῶς τῆς ἐκείνων παρανομίας, καὶ τῆς εἰς τοὺς ἁγίους τόλμης τὲ καὶ θρασύτητος· αὐτῶν δὲ τῶν ἁγίων τῆς εἰς Χριστὸν ἀφάτου ἀγάπης τεκμήριον ἱκανώτατον, καθ' ἣν αὐτῷ ἀνεκράθησαν, οὔ ποτε χωριζόμενοι· καὶ γὰρ οὖν καὶ κατὰ τὴν ἐνθάδε βιοτὴν περιόντες, μάρτυρες τῶν παθημάτων, καὶ κοινωνοὶ τοῦ ζωοποιοῦ αὐτοῦ θανάτου γεγόνασι, μέχρις αἵματος ἀντικαταστάντες πρὸς τὴν ἁμαρτίαν· καὶ νῦν δὲ τῶν τῆδε ἀπαλλαγέντες, μέτοχοι ὤφθησαν τοῦ ἐφεστηκότος ἄρτι κατὰ Χριστοῦ διωγμοῦ καὶ τῆς ὕβρεως· ἤδη γὰρ καὶ τηνικαῦτα σώμασιν αὐτοῖς ὑπὲρ τοῦ παθόντος δι' ἡμᾶς σώματι, διηγωνίσαντο καὶ ἠνδρίσαντο· ὃν ὑπὲρ τῆς κοινῆς πάντων ἡμῶν σωτηρίας ἀνέτλη, θάνατον μιμησάμενοι· καὶ αὖθις ὅμοια ἐφ' ὁμοίοις πάσχουσιν· ἀνάλογον γὰρ τοῖς ἀρχετύποις τὰ ἐκμα-

γεῖα, τὰ τῆς κοινῆς ἀτιμίας καὶ παροινίας συνδιαφέρουσι· καὶ πάλιν συμπάσχουσιν, ἵνα καὶ συνδοξασθῶσιν αὖθις· καὶ πάλιν τιμῶνται τῇ κοινωνίᾳ τῆς ἀτιμίας· καὶ ἵνα τῇ μνήμῃ τῶν μαρτύρων συνησθέντες οἱ φιλομάρτυρες ἐγκαλλωπισώμεθα, βραχύ τι περὶ τὸν λόγον προσδιατρίψωμεν· καθάπερ οἱ φιλοθεάμονές τε καὶ φιλακροάμονές τε ἐπὶ τῶν τερπνῶν καὶ ἡδίστων αὐτοῖς θεαμάτων καὶ ἀκουσμάτων, ὧν οὐκ ἂν ῥᾳδίως ἀπόσχοιντο, ἔσθ' ὅτε καὶ τῶν ἀναγκαίων αὐτῶν καταφρονήσαντες· φιλοῦσι γάρ πως τὰ τὴν ὄψιν καὶ ἀκοὴν ἑστιῶντα, τὰς τῶν ἐρώντων αἰσθήσεις ἐφέλκεσθαι, δυσαπόσπαστον τὴν περὶ αὐτὰ ὁμιλίαν ἐργαζόμενα.

να. Οὗτοι τοίνυν οἱ ἅγιοι Χριστοῦ μιμηταὶ γενόμενοι, καὶ τῇ εἰς Χριστὸν ἀγάπῃ τὴν ψυχὴν τετρωμένοι, καὶ κατ' ἴχνος αὐτοῦ ὅσον ἐφικτὸν ἀνθρώποις, ἰέναι προθυμούμενοι, πίστει τὲ ἐρηρεισμένοι καὶ τὴν ἐλπίδα κεκτημένοι ἀπλάνητον, καὶ τῶν μελλόντων ὡς παρόντων ἤδη ἀντειλημμένοι, τῶν ἐπὶ γῆς ἁπάντων ὡς ἐπικήρων καὶ φθαρτῶν κατεφρόνησαν· χρημάτων τὲ αὖ καὶ σωμάτων αὐτῶν ὑπερόπται γεγόνασι· τῶν ἐπουρανίων γὰρ καὶ ὑψηλοτέρων ἐγλίχοντο, πολιτείαν οὐράνιον ἀσπασάμενοι· διὸ πάντα σκύβαλα διὰ τὴν εἰς τὸν κτίσαντα ἀγάπην, κατὰ τὸν μαρτύρων ἔξαρχον ἥγηνται· οὕτω τὸν σταυρὸν ἀράμενοι, καὶ τὴν πανοπλίαν ἀναλαβόντες τοῦ πνεύματος, τῷ θώρακί τε τῆς πίστεως φραξάμενοι, καὶ τοῦ θυρεοῦ τῆς ἐλπίδος δραξάμενοι, καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου περιβαλόμενοι· ὡς δὴ τὴν ἐξ ὕψους δύναμιν δεξάμενοι, καὶ τὰ πάθη Χριστοῦ ζηλώσαντες, εὐσθενῶς ἀριστεύοντες, ἀήττητοι στρατιῶται τοῦ μεγάλου βασιλέως ἀνεδείχθησαν, καὶ ἀθληταὶ γενναιότατοι· οὕτω κατὰ τῆς πλάνης ἔστησαν τρόπαια, καὶ πᾶσαν μὲν μηχανὴν τοῦ ἐχθροῦ ἐξεπόρθησαν, πᾶσαν δὲ αὐτοῦ τὴν δύναμιν καταλελύκεσαν, πάντα τὰ πεπυρωμένα βέλη αὐτοῦ κατέσβεσαν, καὶ τὸ κράτος καθεῖλον νεανικῶς· πάσας δὲ τῶν ὑπηρετῶν τοῦ πονηροῦ τὰς ἐπινοίας καὶ ἀπειλὰς διέπτυσαν· πάσης αὐτῶν ὠμότητός τε καὶ ἐπηρείας κατεφρόνησαν, γενναίως καὶ ἀνδρικῶς ἄγαν πρὸς πάσας τὰς μεθοδείας αὐτῶν ἀντικαθιστάμενοι· ἑδραῖον εἶχον ὄντως πρὸς θεὸν καὶ ἀκλινὲς τὸ φρόνημα, καὶ τὰς ἐπαγομένας αἰκίας ὡς ἐπ' ἀλλοτρίοις σώμασι διαγωνιζόμενοι, καὶ ὥσπερ τῆς φύσεως ἐκλαθόμενοι, τοὺς πόνους διήνεγκαν· τὸ στάδιον τῆς εὐσεβείας κατὰ τῆς πολυθέου πλάνης ἐξανύοντες, πρὸς τὸ πῦρ ὥσπερ εἰς δρόσον ἐναλλόμενοι, θηρῶν φοβερωτάτων μύλας καὶ θυμοὺς οὐ δειμαίνοντες, ἀκμὴν σιδήρου καὶ ὀνύχων ὀξύτητας, σαρκῶν τεμνομένων καὶ ξεομένων ἠφειδηκότες, οὐκ ἐτεθήπεσαν, ἐπὶ τὰ ὄργανα δὲ τῆς τιμωρίας αὐθαίρετοι ὥσπερ ἐπὶ τρυφὴν ἴεσαν, πάντα στέγοντες, πάντα φέροντες, πρὸς ἓν ἀποσκοποῦντες, καὶ πρὸς τὸ βραβεῖον τῆς ἄνω κλήσεως ἐπειγόμενοι, οὐκ ἄξια τὰ παθήματα τοῦ παρόντος καιροῦ πρὸς τὴν μέλλουσαν ἀποκαλύπτεσθαι δόξαν ἡγούμενοι· ἀλλὰ τούτων ἁπάντων κατατολμήσαντες, καὶ θανάτου κρείττους γενόμενοι, ὑπεραθλοῦντες τῆς πίστεως, τῶν ἀπειλῶν τῶν τυράννων καθυπέρτεροι ὤφθησαν· ἐπεὶ ἐν τῷ τοῦ θεοῦ ὀνόματι ἐκραττύνοντο, ὅπερ ἐνώπιον ἐθνῶν καὶ βασιλέων ἐβάστασαν.

Οὕτω ταῖς βασάνοις ἐγκαρτεροῦντες, ἐπὶ τὸ ῥωμαλεώτερον μετερρυθμίζοντο· οὕτω τοῖς διωγμοῖς καὶ κινδύνοις ἐῤῥώννυντο· ἐντεῦθεν ἐνεδυναμοῦντο τοῖς πειρασμοῖς καὶ ταῖς θλίψεσιν, οὐδὲν τῶν ἀπειλουμένων ἢ προσαγομένων δεινῶν κατεπτηχότες· ἐξήλεγξαν τὴν τῶν διωκόντων μανίαν εὐτολμότατα, καὶ κεφαλὰς ἀνόμων διέκοψαν, καὶ τὴν ὀφρὺν τῶν ἀθέων κατέσπασαν, τοὺς τῶν δυσμενῶν αἰκισμοὺς ὡς θησαυροὺς πολυτίμους δεχόμενοι, τρυφὴν μᾶλλον ἢ κόλασιν τούτους λογιζόμενοι· οὕτω τῆς πλάνης καθαιρέται γεγόνασι, καὶ τὴν στενὴν καὶ τεθλιμμένην τρίβον ἐλάσαντες, τὴν πολλοῖς ἄστιβῆ καὶ ἀνέμβατον, πρὸς τὴν εὐρύχωρον καὶ πανολβίαν, ἣ αὐτοῖς ἀπεκεκλήρωτο, καταλύουσι λῆξιν. Οὗτοι οἱ καλλίνικοι μάρτυρες ἐν τῇ τῶν βασάνων πυρωθέντες καμίνῳ, καὶ ὡς χρυσίον δόκιμον εὑρεθέντες καὶ λαμπρυνθέντες, ὑπὲρ ἥλιον λάμπουσιν, ὑπὲρ ἀστέρας αὐγάζουσιν· οὗτοι τῇ κατὰ Χριστὸν ὁμολογίᾳ τελειούμενοι, θύματα λογικὰ καὶ τέλεια αὐτῷ ἀνεδείχθησαν, καὶ θυσία τῷ θεῷ φιλαιτάτη καὶ εὐάρεστος, καὶ δεκτὸν καλλιέρημα εὐωδιάζον τὴν ὀσμὴν τοῦ πνεύματος, εἰς ὁλοκάρπωσιν προσηνέχθησαν· τούτων τὴν παῤῥησίαν καὶ ἄγγελοι κατεπλάγησαν· τούτων τοὺς ἄθλους αἱ ὑπερκόσμιοι δυνάμεις ὑπερηγάσθησαν· ὅτι γε ἐν σώματι θνητῷ τοὺς ἀοράτους δυσμενεῖς ἐτροπώσαντο, καὶ τὴν κατ' ἐχθρῶν νίκην ἤραντο, τὰς παρατάξεις καθελόντες τὰς ἀοράτους, καὶ τρόπαια λαμπρὰ κατὰ τῶν ἀντιπάλων στησάμενοι· ἐν τούτοις θεὸς μὲν εὐφραίνεται καὶ δοξάζεται, ἄγγελοι δὲ ἐν οὐρανοῖς συγχαίρουσι καὶ συνήδονται· διάβολος δὲ ταῖς ἀποστατικαῖς ὁμοῦ δυνάμεσι τραυματιζόμενος καταισχύνεται, τὸ πτῶμα καὶ ἥττημα ἑαυτῶν ἀποδυρόμενοι.

Οὗτοι δὴ οἱ σοφοὶ καὶ πανεύφημοι μάρτυρες, τροπαιοφόροι κατὰ τῆς πλάνης ἀναδειχθέντες, πύργοι τῆς καθ' ἡμᾶς πίστεως ὤφθησαν ἀκατάσειστοι, στῦλοι τῆς ἐκκλησίας καὶ ἑδραίωμα, κρηπὶς τῆς εὐσεβείας καὶ θεμέλιος ἀκαθαίρετος, κλέος μέγα ἡμῶν τῶν πιστῶν καὶ ἐγκαλλώπισμα, ὡς φωστῆρες λαμπροὶ καὶ νοεροὶ, φωτίζουσι τὰ πέρατα· ταῖς ἀκτῖσι τῶν ἀγώνων καὶ τῆς πίστεως ἐναπαστράπτοντες· ὢ πίστεως ἀκλινοῦς καὶ ἀγάπης ἀνεκφράστου, καὶ ἐλπίδος ἀνενδυάστου· ὢ ψυχῆς γενναίας ἀγγελικοῦ παραστήματος· ὢ φρενῶν ὑψηλῶν τε καὶ οὐρανίων, καὶ προθυμίας καὶ σπουδῆς, νικώσης τὴν φύσιν καὶ ὑπεριπταμένης τὴν κτίσιν· τί πρότερον θαυμάσομεν ὑπερεκπληττόμενοι, τοῦ ἐνισχύσαντος τὴν δύναμιν θεοῦ, ἢ τῶν ἑλομένων τὴν προαίρεσιν; τῶν θείων δωρεῶν τὰ παράδοξα, ἢ τῶν ἁγίων τὸ μεγαλόψυχον· ἀμφότερα γὰρ καὶ φύσιν καὶ λόγον νικῶσιν ὑπερβαλόμενα· μετὰ τοῦ προφήτου βοήσωμεν· " τοῖς ἁγίοις τοῖς ἐν τῇ „ γῇ αὐτοῦ, ἐθαυμάστωσεν ὁ κύριος· πάντα τὰ θελήματα αὐτοῦ ἐν αὐτοῖς· „ ἐπειδὴ καὶ οὗτος θαυμαστὸς ἐν αὐτοῖς ἐστιν, ὅτι τῆς κτίσεως πάσης ὑπεραρθέντες, μόνῳ τῷ κτίστῃ καὶ δημιουργῷ συνανεκράθησαν· οὕτω δὴ οὖν γεγόνασιν ἔσοπτρα θεοῦ ἀκηλίδωτα, καθαρώτατα, διειδέστατα· τὴν θείαν δὲ ἀκτῖνα καθαρῶς ταῖς ἑαυτῶν καθαρωτάταις ψυχαῖς εἰσδεχόμενοι, τὸ θεομίμητον κατεκτήσαντο· καὶ ὅπερ θεὸς φύσει, τοῦτο αὐτοὶ μεθέξει καὶ χάριτι ἀπηνέγκαντο,

καὶ ὑπῆρξαν θεοῦ καταγώγια, καὶ ναοὶ ἔνθεοι καὶ λαμπροὶ, κατὰ τὴν φάσκουσαν προφητικὴν προαγόρευσιν· " ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω· ,, καὶ αὐτοὶ ἔσονταί μοι εἰς λαὸν, καὶ ἐγὼ ἔσομαι αὐτοῖς εἰς θεόν. ,,

Οὗτοι τοίνυν τὸν ἀγῶνα τὸν καλὸν καλῶς ἀγωνισάμενοι, τὴν πίστιν τηρήσαντες, τὸν δρόμον τελέσαντες, κόσμον καὶ κοσμοκράτορα νικήσαντες καὶ παλήσαντες, τὴν καλήν τε πραγματείαν ἐμπορευσάμενοι, καὶ ἀλλαξάμενοι τῶν οὐχ ἑστώτων καὶ ῥεόντων τὰ εἰσαεὶ διαμένοντα, τοσούτοις ἀνδραγαθήμασι καὶ τηλικούτοις παλαίσμασι τῶν ἀμαραντίνων στεφάνων οἱ ἀξιόνικοι τῆς ἀληθείας μάρτυρες παρὰ τοῦ ἀθλοθέτου θεοῦ κατηξίωνται, καὶ Χριστῷ εἰς αἰῶνα συμβασιλεύουσι· Χριστῷ συγκληρονομοῦσι, καὶ τὸν τῆς ἀθανασίας διαλαχόντες κλῆρον, ζῶσιν ἐν αὐτῷ ζωὴν τὴν ἀκατάλυτον καὶ ἀμήρυτον, φωτὶ ἀϊδίῳ ἐναστραπτόμενοι, τῷ θείῳ κάλλει ἐναγλαϊζόμενοι, ταῖς ἄνω δυνάμεσι συγχορεύοντες· καὶ τί γὰρ πλέον ἢ θεῷ συνεῖναι καὶ τῆς ἐντεῦθεν κατατρυφᾷν μακαριότητος ἠξιωμένοι τῆς ἄνω δόξης τὲ καὶ λαμπρότητος; εἰ γάρ πως καὶ δοκεῖ κεκρύφθαι αὐτῶν νῦν τὴν ζωὴν, ὅταν " ὁ Χριστός, φησι, φανερωθῇ ἡ ζωὴ ,, ἡμῶν, τότε καὶ αὐτοὶ σὺν αὐτῷ φανερωθήσονται ἐν δόξῃ· ,, ὁ γάρ τοι τῶν μαρτύρων θεὸς, " θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, οὐ νεκρῶν ἀλλὰ ζών- ,, των θεός ἐστιν ,, ὡς γέγραπται· τοιγαροῦν αἱ τῶν ἁγίων ψυχαὶ ἐν χειρὶ θεοῦ εἰσι, καὶ οὐ μή ποτε αὐτῶν ἅψηται βάσανος, κᾂν ἔδοξαν ἐν ὀφθαλμοῖς τουτωνὶ τῶν ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ· οὐ τεθνήκασι γὰρ, ἀλλὰ ζῶσι, καὶ ὕπνος μᾶλλον τίμιος ἢ θάνατος, ὁ θάνατος αὐτῶν ἐστιν· οὐκ εἰς γῆν ὑποδύντες, ἀλλ' εἰς οὐρανοὺς ἀναπτάντες· τῶν γὰρ φθαρτῶν μεταναστάντες καὶ ἐπικήρων, ἐφ' ἑτέραν βιοτὴν μετετάξαντο τὴν ἀγήρω τὲ καὶ μακραίωνα· διόπερ ἐν τοῖς ὁσημέραι παρ' ἡμῖν ᾀδομένοις, κατ' ἐκεῖνο δὴ τὸ ἀκροτελεύτιον τοῦ ἐφυμνίου μέλους, ἐναρμόνιόν τι μέλποντες οἷα πρὸς ζῶντας ἐν θεῷ τοὺς ἁγίους " εὐλογεῖτε πνεύματα καὶ ψυχαὶ δικαίων τὸν κύριον ,, λέγομεν, καὶ τὰ τούτοις ἑπόμενα· ἐκεῖνοι γὰρ οὐκ ἂν τὴν ᾠδὴν κυρίου ᾄσαιεν ὡς ἐπὶ γῆς ἀλλοτρίας, καὶ τῆς καθ' ἡμᾶς ἱερᾶς ὁμηγύρεως ὡς πορρωτάτω ἱστάμενοι, εἴπερ αὐτοῖς τεθνεῶτες οἱ ἅγιοι ἐλογίσθησαν.

νβ. Ἀλλ' ἐκεῖνα μὲν πρότερον· καὶ νῦν δὲ διὰ μέσου τῶν ἱερῶν ἀπεικασμάτων αὐτῶν, τοῖς αὐτοῖς τῷ Χριστῷ συμμετέχοντες κοινωνοῦσι διωγμοῖς καὶ τοῖς πάθεσι συμμορφούμενοι, ὡς ἐπὶ διπλοῖς τοῖς παθήμασι καὶ ὀνείδεσι, διπλοῖς καὶ τοῖς βραβείοις στεφθήσονται· καὶ αὖθις συνδοξασθήσονται τὸ δεύτερον, καὶ ἐν ζῶσι μάρτυρες, καὶ ἐν εἰκόσι μάρτυρες, τοιγάρτοι καὶ ὡς οἰκείους θεοῦ καὶ θεράποντας εἰδότες· πρὸς αὐτοὺς γὰρ ὁ τῶν ὅλων εἴρηκε θεός· " οὐκέτι ὑμᾶς καλῶ δούλους ἀλλὰ φίλους· καὶ, ἔδωκεν αὐτοῖς ἐξουσίαν ,, τέκνα θεοῦ γενέσθαι· ,, ὑπεραγάμεθα μὲν τῆς εἰς θεὸν ἀγάπης καὶ πίστεως αὐτοὺς, στεφανοῦμεν δὲ ταῖς ἀνωτάτω τιμαῖς· γεραίρομεν αὐτῶν τοὺς ναοὺς, τιμῶμεν τοὺς ἄθλους, προσκυνοῦμεν τὰ ἱερὰ λείψανα, κατασπαζόμεθα αὐτῶν

τὰ τίμια εἰκονίσματα· ἐπειδὴ ταῖς ἀληθείαις ἡ τῆς εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον διαβαίνει, καὶ ἡ πρὸς τοὺς εὐγνώμονας τῶν ὁμοδούλων τιμὴ ἀπόδειξιν ἔχει τῆς πρὸς τὸν κοινὸν δεσπότην εὐνοίας, φασὶν οἱ τῆς ἐκκλησίας διδάσκαλοι· ἐντεῦθεν ἡμῖν ἀδιστάκτως ἐλπίζεται καὶ πιστεύεται, ἁγιασμόν τε προσγίνεσθαι, καὶ ἁμαρτιῶν συγχώρησιν, καὶ λύσιν εὑρίσκειν τῶν δυσχερῶν· ἐνταῦθα ὁρῶμεν ὡς δαίμονες ἀπελαύνονται, καὶ νόσοι θεραπεύονται, καὶ πάντα δραπετεύει τὰ πάθη τῶν πίστει προσιόντων, ὅσα τε ψυχῆς καὶ ὅσα σώματος· ἐπείπερ δέδωκεν αὐτοῖς ὁ τῶν ἁπάντων κατεξουσιάζων " τὴν ἐξουσίαν πατεῖν „ ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ, καὶ „ πᾶσαν νόσον θεραπεύειν καὶ πᾶσαν μαλακίαν· „ διὸ τὴν ἐνέργειαν λαβόντες τοῦ πνεύματος, ἐν θαύμασι καὶ δυνάμεσι διαλάμπουσι, τὴν πηγὴν ἐν ἑαυτοῖς τῆς χάριτος φέροντες βλύζουσαν πᾶσι δαψιλῶς τὰ ἰάματα· τί οὖν πρὸς ταῦτα φατὲ οἱ τῶν ἁγίων ἐχθροί; ἄξιοι διὰ τούτους δὴ τοὺς ὑπὲρ νοῦν καὶ λόγον ἀγῶνας, καὶ οὓς κρεῖττον ἢ κατὰ τὴν ἀνθρωπείαν φύσιν γινώσκομεν, τιμᾶσθαί τε καὶ δοξάζεσθαι; ὡς ἂν καὶ αἱ περὶ αὐτοὺς ἐπαγγελίαι, πόρρωθεν προϋποσχεθεῖσαι τὸ ἀψευδὲς ἔχοιεν· " τοὺς δοξάζοντάς με γάρ, φησι, „ δοξάσω „ ὁ ἀληθὴς ἔφησε λόγος· τίνα τρόπον; καὶ δι' ἕτερόν γε, ὡς πλείστων καὶ ἄγαν ὑψηλῶν καὶ λόγων καὶ ἔργων, τὸ ἀξιόχρεων τῶν ἐπαίνων καὶ τῆς δόξης αὐτοῖς παριστώντων· οὐ μὴν ἧττον γε, καὶ τούτων δὴ τῶν ἱεροτυπιῶν ἕνεκεν, ὅπερ ἡμῖν σπουδάζεται τοῖς εὐσεβέσι καὶ φιλομάρτυσιν· αἰδεῖσθε τούτων τοὺς ἄθλους καὶ τιμᾶτε τὴν μνήμην, τὰς ἀοιδίμους ἐκείνας ἀριστείας ὑπερεκπληττόμενοι, οὓς καὶ θῆρες ᾐδέσθησαν, καὶ τὸ πῦρ πολλάκις καταπλαγὲν ὑπεχώρησε, καὶ σίδηρος περιθραύεταί τε καὶ ἀπαμβλύνεται, καὶ τὰ κολαστήρια περιάγνυται μηχανουργήματα, στοιχεῖα δὲ ὥσπερ ἐν αἰσθήσει γινόμενα, τὴν πρὸς τὸν κοινὸν δεσπότην εὐγνωμοσύνην οἷα ὁμόδουλα δεδυσώπηται.

νγ. Ἢ τοῦτο μὲν ὑμῖν οὐ δοκεῖ; βδελύττεσθε δὲ τὰς τῶν ἁγίων πρεσβείας, διασκάπτετε δὲ τὰς τῶν θείων θυσιαστηρίων ἱερὰς τραπέζας, ἵνα τῆς φλογὸς τῶν λειψάνων αὐτῶν, καθάπερ ὁ διδάσκαλος ὑμῶν Μαμωνᾶς ἔδρασέ τε καὶ ἐδίδαξεν, ἐμφορηθῆτε; καὶ καταχραίνετε αὐτῶν τοὺς σεβασμίους οἴκους, καὶ πάσης δυσωδίας καὶ αἰσχρουργίας ἀποπληροῦντες, καταμολύνετε καὶ βεβηλοῦτε τὰ ἅγια, ἅμα τοῖς ἱεροῖς αὐτῶν ἐκτυπώμασι, δι' ὧν αἵ τε ἀριστεῖαι καὶ οἱ ἀοίδιμοι ἆθλοι αὐτῶν, ὥσπερ ταῖς βίβλοις, οὕτω κἀν ταῖς ἐκκλησίαις καὶ τοῖς πίναξιν ἐμπρέποντες ἀνάγραπτοι παραδέδονται· ὥστε τοὺς ἀναθεωροῦντας, πρὸς ζῆλον τῆς θεομιμήτου αὐτῶν πολιτείας διανίστασθαι· καὶ τῶν βίβλων αὐτῶν τινὰς τῷ πυρὶ παραδιδόντες, κόνιν καὶ τέφραν ἀποδεῖξαι διηγωνίσασθε, ἵνα καὶ διὰ τούτων τὴν μνήμην αὐτῶν τέλεον ἀποσβέσητε· οἱ οὕτω τῶν ἁγίων κατανεανιευόμενοι, ὡς ἐκ τῶν παρόντων τὰ τοῦ ἀληθοῦς τεκμήρασθαι τῷ βουλομένῳ παντὶ καὶ συνιδεῖν ἔξεστι· τί οὐκ ἔμελλον τῶν δεινῶν καὶ ἐκτόπων εἰς αὐτοὺς δράσειν, εἴπερ αὐτοῖς συνήκμασαν καθ' ὃν χρόνον ἐν τῇδε τῇ ζωῇ

ἐβιότευον; ἆρα οὐχὶ τῶν παρόντων πολλῷ χείρω τὲ καὶ χαλεπώτερα, ὅσῳ καὶ μείζων αὐτοῖς ἡ ὑπὲρ τῆς εὐσεβείας ἔνστασις διεδείκνυτο;

νδ. Ἀλλ' ὑποπλάττονται μὲν οὐκ ἀσεβεῖν εἰς τοὺς ναοὺς, παραλογίζονται δὲ ἑαυτοὺς, λέγοντες. „ Ὅτι ἅγιοί εἰσιν οὗτοι, διὰ τὰς τελουμένας θυσίας, „ καὶ τὰς ἱερὰς εὐχὰς καὶ ἐπικλήσεις, τὰς ἐπὶ τῶν ἑδραιώσεων αὐτῶν ἱερο-„ λογουμένας. „ Εἶτα πῶς οὐκ ἀσύνετοι καὶ ἀπόπληκτοι πάμπαν, οὐ συνιέντες ὡς καθ' ὅλον τὸν ναὸν τοῦ ἁγιασμοῦ διαφοιτᾷ χάρις, καὶ ἡ τοῦ ἁγίου παρουσία πνεύματος; οὐ γὰρ ἐκ μέτρου δίδοται τὸ πνεῦμα· οὐδὲ τὸ μὲν τοῦ ναοῦ μέρος τὴν χάριν προσάγεται, τὸ δὲ ταύτης ἀπολιμπάνεται· ἢ γὰρ ὅλος ἱερός τε καὶ ἅγιος, ἢ ὅλος ἐναγής τε καὶ ἀκάθαρτος· ἀλλὰ σύ γε, ὦ φιλαπερίγραπτε καὶ μισόμαρτυς, περιγράφων τὸν ἁγιασμὸν, τὸ πᾶν ἀποστερεῖς ἀνοήτως, ᾧ τὸ πλέον, εἰ χρὴ παῤῥησιασάμενον εἰπεῖν, πρόσεστιν, ὑφαιρούμενος· ἐπειδὴ ταῦτα καὶ ἄλλως μετέχουσι χάριτος· ὥσπερ γὰρ οἱ ναοὶ τὴν τῶν ἁγίων ἐπωνυμίαν δέχονται, οὕτω καὶ τὰ τούτων ἀπεικονίσματα, τὴν κλῆσιν αὐτῶν διὰ τῆς ἐπιγραφῆς φέρουσι, καὶ ταύτῃ ἁγιάζονται· εἰ δὴ πιστός σοι ὁ Χριστὸς καὶ ἀψευδέστατος μάρτυς, τὴν ἐκ τοῦ ὀνόματος ἰσχὺν καὶ χάριν διασαφῶν " ἐν τῷ ὀνόματί μου, λέγων, δαιμονία ἐκβαλοῦσι· „ καὶ ἃ τούτοις ἴσμεν ἑπόμενα· " καὶ ὁ δεχόμενος προφήτην, μισθὸν προφήτου λήψεται· καὶ ὁ δεχό-„ μενος δίκαιον εἰς ὄνομα δικαίου, μισθὸν δικαίου λήψεται· „ ὁ τοίνυν τῷ ναῷ προστρέχων τοῦ μάρτυρος, καὶ τῇ εἰκόνι ὡσαύτως πρόσεισι· κτίσμα καὶ ταῦτα κἀκεῖνα, καὶ ἐπ' ἀμφοῖν ἡ χάρις ἡ αὐτή· πλέον δὲ ὁ πιστῶς προσιὼν ἕξει κατὰ τὴν οἰκείαν πίστιν τὸ ἁγιάζεσθαι· εἴπερ οὖν οἱ ναοὶ ἅγιοι, καὶ τὰ ἐν αὐτοῖς πάντα ἅγια καὶ σεβάσμια, ἀνάγκη καὶ τὸν τοῦ ἁγίου χαρακτῆρα ἅγιον εἶναι καὶ σεβάσμιον, καὶ οὐδὲν ἐνταῦθα ἐναγὲς καὶ ἀκάθαρτον· εἰ δὲ ταῦτα καλεῖς ἐναγῆ, οὐκοῦν καὶ αἱ ἐκκλησίαι ἐναγεῖς· κοινὸς γὰρ καὶ διὰ πάντων φοιτῶν δέδεικται ὁ ἁγιασμός· δεήσονται λοιπὸν καὶ ἑτέρου ἁγιασμοῦ, ἑδραιώσεών τε καὶ εὐχῶν καὶ ἐγκαινισμῶν ἑτέρων, καὶ ἄλλου ἐπιφοίτησιν ἐκδέξονται πνεύματος· εἰ δὲ διὰ τοῦ ἑνὸς καὶ τὸ ἕτερον καταστρέφεις, φανερὸν σεαυτὸν κατέστησας, ὅτι ἐχθρὸς εἶ τῶν ἁγίων, καὶ ἐχθρῶν ὁ δυσμενέστατος καὶ πικρότατος, ἐπειδὴ βαρύτατοί σοι εἰσὶν οἱ ἅγιοι καὶ ἐν εἰκόνι βλεπόμενοι· ἀλλὰ διὰ τοῦτο ἀνορύττεις, διὰ τοῦτο καταβάλλεις, διὰ τοῦτο ἀποκοσμεῖς; ὅτι ἅγιοί εἰσιν οἱ ναοί· ἢ οὐχὶ σεαυτοῦ καταμαρτυρεῖς τῶν ἁγίων εἶναι δυσμενῆ καὶ πολέμιον; δεικνύεις γὰρ καὶ μὴ βουλόμενος, ὅτι τοσαύτη ἡ σχέσις καὶ οἰκείωσις τούτων πρὸς ἄλληλα, τοῦ τε ἱεροῦ οἴκου φημὶ καὶ τῶν θείων εἰκονισμάτων, ὅτι καὶ συγκαθαιροῦνται ἀλλήλοις καὶ συνδιώκονται, καθάπερ καὶ τὸ πρὶν παρὰ χριστιανοῖς συγκαταρτιζόμενα ἤδη καὶ ἐδοξάζοντο ἅμα.

νε. Ὁπηνίκα οὖν ὤφθης Χριστοῦ καὶ τῶν ἁγίων ὁ ἔχθιστος, ἀκόλουθον ταῦτα καὶ περὶ τῶν συμβόλων τῶν οὐρανίων καὶ ἀσωμάτων φρονεῖν καὶ λέγειν δυνάμεων· ὅτι ἐπειδὴ τὰ τοῦ Χριστοῦ καταλέλυται, καὶ ταῦτα συγκαταλελύσθαι καὶ συγκαταβεβλῆσθαι ἄξιον· ἵνα κατάφωρος γένῃ κἀνταῦθα τὴν

Μαρκίωνος καὶ Μάνεντος νοσῶν ἀπιστίαν καὶ ἀθεΐαν, παλαιάν τε καὶ νέαν γραφὴν καταμωμεῖσθαί τε καὶ ἀποσκώπτειν εἰδώς, ἀθετεῖν τε τούτων πολλὰ καὶ ἀποσκορακίζειν, καὶ τὸν ἐν αὐταῖς λαλήσαντα θεὸν δυσφημεῖν· καὶ εἰ μή τι ἄλλο, τά γε χερουβὶμ ἐκεῖνα, ἃ δὴ χρυσίῳ καθαρῷ διήλασταί τε καὶ πεποίηται, θεοῦ μὲν τοῦ πάντων δεσπόζοντος προστεταχότος, Μωσέως δὲ θεοκλυτήσαντος συμπηγνύμενα, δεδοξασμένα μὲν καὶ σεβάσμια καὶ ἅγια ἁγίων, καὶ τηνικαῦτα καὶ ὄντα καὶ προσαγορευόμενα, οὐδὲν δὲ ἧττον, καὶ παρὰ τῷ ἀποστολικῷ λόγῳ τιμώμενα, καὶ δικαιώματα λατρείας μετὰ τῶν ἄλλων καὶ ὡς σύμβολα καὶ θεσμοὶ ταύτης κατονομαζόμενα, περὶ ὧν πλατύτερον καὶ ἐν ἑτέροις ἡμῖν διείληπται.

νϛ. Νῦν δὲ τοῦτο μόνον προστεθὲν ἀποχρήσει σοι· ὅτι ἐπειδὴ καὶ ἰουδαίων εἶ ἀγνωμονέστερος καὶ ἀπειθέστερος, τὰ θεῖα προστάγματα καταπατῶν καὶ ὡς παιδιὰν λογιζόμενος, χριστιανόν σε γινώσκειν ἢ καλεῖν οὐ θεμιτόν· οὓς γὰρ μήτε ἀποστολικὴ διδασκαλία πέπεικε, μήτε νομοθετῶν καὶ προφητῶν θεσμοὶ ἐπηγάγοντο, μήτε αὐτοῦ θεοῦ προστάξεις ἐκδειματοῦσι καὶ ἐντάλματα, πῶς ἂν τῆς χριστιανῶν μοίρας τίς ὑπολήψοιτο; εἰ μὲν οὖν ἐξεγένετό τινι χριστιανόν σε πεῖσαι γενέσθαι, οὐδὲν ἂν ἐδέησε τοῦ περὶ εἰκόνων Χριστοῦ καὶ τῶν ἁγίων λόγου· ἐπίστευσας γὰρ ἄν, ὅτι καὶ ἐσαρκώθη καὶ ἐσωματώθη ὁ τοῦ θεοῦ λόγος, καὶ ἐνηνθρώπησεν ἐν ἀληθείᾳ, καὶ οὐ δοκήσει καὶ φαντασίᾳ· ἐκήρυξας δ' ἂν καὶ περιγραπτὸν αὐτοῦ τὸ σῶμα, καὶ οὐδὲ μία σοι περὶ τῶν τῆς πίστεως ἡμῶν ἱερῶν συμβόλων ἀμφιβολία· ἀλλὰ λόγῳ μὲν καὶ ἐπ' ἄκρῳ γλώττης, τὸ τοῦ χριστιανοῦ σεαυτῷ περιπλάττων ἐπιχρωννύεις ὄνομα, ἔργῳ δὲ ὅτι παντάπασι τὴν τοῦ Χριστοῦ οἰκονομίαν ἀπαναίνῃ, τὰ διὰ τῶν χειρῶν σου πραττόμενα μεγαλοφώνως μαρτυρεῖ· ἡμῖν δὲ καὶ πᾶσιν ἀνθρώποις, οἷς ὁ φόβος κυρίου ἐμπεφύτευται, καὶ τὰ θεῖα σέβειν καὶ τιμᾷν μεμαθηκόσι, καὶ ἐκ τῶν μωσαϊκῶν συγγραμμάτων, μᾶλλον δὲ τῶν θεοπνεύστων ῥημάτων, ἐμφανὲς καθίσταται, ὅτι καὶ οἱ ἅγιοι ἄγγελοι γράφονται καὶ εἰκονίζονται· καὶ διὰ τῶν εἰκόνων αὐτῶν ὡς ἱερῶν θεὸς ἐμφανίζεται· ἐκεῖθεν γάρ, φησιν, γνωσθήσομαί σοι· διὸ προσκυνηταί εἰσι καὶ ἅγιαι· εἰ δὲ αἱ ὑπέρτατοι οὐσίαι καὶ θεῷ πλησιάζουσαι εἰκονίζονται, δῆλον ὡς καὶ αἱ ὑποβεβηκυῖαι δυνάμεις εἰκονισθήσονται, καὶ παρὰ χριστιανοῖς ὡς ἱερὰ καὶ τιμηθήσεται καὶ προσκυνηθήσεται γραφόμενα.

νζ. Ἐπειδὴ δὲ οὐδὲν τῶν ἀνοσίων καὶ ἐκτόπων αὐτοῖς παραλέλειπται, οἳ μὴ κατὰ τῆς καθολικῆς ἐκκλησίας ἐκμελετῶντες, πεφλυαρήκασί τε καὶ κατεπράξαντο, καὶ γὰρ καθάπαξ ἐπὶ τῇ λύσσῃ τῇ μανιχαϊκῇ ἑαλωκότες, τὰς μανικὰς ἀπαμβλίσκουσι τῆς καρδίας ὠδῖνας· καὶ ὥσπερ μεμηνότες, τὰς τῆς ἀληθείας εἰκόνας καὶ τῶν ἀληθῶν τὴν μνήμην ἡμῖν διασωζούσας, οἱ τοῦ ψεύδους ὑπασπισταὶ, ψευδωνύμους κατονομάζειν οὐ καταπεφρίκασι, τοῖς ἀρχετύποις τὸ ψεῦδος ἀνάπτοντες, οὐκ ἄπο σκοποῦ ᾠήθημεν τὰ νῦν ὑποδραμόντα τοῖς προεκτεθεῖσι προσθεῖναι· εὐσθενῶς γὰρ ὅπως ἐξελεγχθείη αὐτῶν τὰ τῆς

ἀπονοίας καὶ κακουργίας συλλήψεται· οἱ γὰρ τῷ ἁγίῳ διαμαχόμενοι πνεύματι, καὶ πρὸς πᾶσαν ὑψηγορίαν ἀπαγορεύουσι, συγκατασβέσαι διὰ τούτου τήν τε Χριστοῦ μνήμην καὶ τῶν ἁγίων πραγματευόμενοι, κἂν τούτῳ ταῖς θεοπνεύστοις φωναῖς ἀντιπαρατεττόμενοι.

νη. Ὅπως γὰρ παλαιγενὲς τοὔνομα, καὶ τῆς ἀνθρώπου γενέσεως αὐτῆς πρεσβύτερον, μᾶλλον δὲ καὶ εἰς τὴν ἀνθρώπου ποίησιν ὡς ἡγούμενον παραλαμβανόμενον, μάθοιμεν ἂν σαφῶς ἐντεῦθεν· τί γάρ, φησιν, ὁ τῶν ὅλων θεός; "ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ ὁμοίωσιν ἡμετέραν·" πρώτη ῥῆσις θεοῦ, τὴν καθ' ἡμᾶς ὑποστῆσαι βουλομένου φύσιν· εἶτα μετὰ τὰ εἰρημένα. "καὶ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον· κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτόν·" καὶ ἐν τοῖς μετὰ ταῦτα· "ἐγέννησεν Ἀδὰμ τὸν Σὴθ, κατὰ τὴν εἰκόνα καὶ κατὰ τὴν ἰδέαν αὐτοῦ·" ἵνα δὲ τἄλλα παρέντες, τὰ τῷ μακρῷ μὲν διεστηκότα χρόνῳ, τῷ δὲ ὀρθῷ συνημμένα λόγῳ καὶ ταῖς ἐννοίαις, εἰς μέσον θείημεν, οἷα παρὰ Παύλου λέγεται· ἀκουσώμεθα, φησὶ γὰρ, "ὅτι ὥσπερ ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου·" ἀλλ' ἀποχρῆν οἶμαι ταυτὶ, καὶ οὐ δεήσειν μακροτέρων ἡμῖν λόγων εἰς τὴν τῶν προκειμένων ἀπόδειξιν· τί γὰρ Μωσέως ἢ Παύλου ἀξιολογώτερον; φραζέτωσαν οὖν ἡμῖν οἱ καὶ τοὔνομα ἠρνημένοι, καὶ τοῦ εἶναι κατ' εἰκόνα θεοῦ ὡς πορρωτάτω ἀποπεμπόμενοι, καὶ τῆς ἐντεῦθεν ἀμέθεκτοι χάριτος· εἰ πάντα τὰ τῆς προσηγορίας ταύτης μετεσχηκότα, τίμια καὶ ἔνδοξα, ἐκ τῆς ὧν παρήχθησαν δόξης τοῦτο ἐνεγκάμενα, τί δήποτε ταῖς τοῦ Χριστοῦ καὶ τῶν ἁγίων εἰκόσιν, ἐκ πάντων τὸ ἄδοξον καὶ ἀπόπτυστον, ἀποῤῥίπτουσι; καὶ ἵνα ἐκ τῶν ὑψηλοτέρων καὶ τῆς θεολογίας αὐτῆς τοῦ λόγου κατάρξωμαι, ὁ υἱὸς τοῦ θεοῦ καὶ θεὸς ἡμῶν τῷ πατρὶ συνθεολογούμενος, ὡς εἰκὼν αὐτοῦ τιμᾶται μετὰ τῶν ἄλλων προσηγοριῶν, καὶ δοξάζεται· "ὅς γάρ ἐστι, φησὶν, εἰκὼν τοῦ θεοῦ τοῦ ἀοράτου·" καὶ ταύτῃ μᾶλλον οἱ θεολόγοι ἐνσεμνύνονται τῇ φωνῇ καὶ συγχαίρουσιν· ἀλλὰ μήποτε διὰ τὸ τῆς εἰκόνος ὄνομα, καὶ τὸν υἱὸν οἱ θεομάχοι τῆς πατρικῆς δόξης καὶ συμφυΐας ἀλλοτριώσουσιν; ἔπειτα δὲ καὶ ὁ θεῖος ἄγγελος, εἰκών ἐστι τοῦ θεοῦ, ἔσοπτρον ἀκραιφνὲς, ἀκηλίδωτον διειδέστατον· διὸ τίμιος ὁ ἄγγελος καὶ ὁ ἄνθρωπος κατ' εἰκόνα θεοῦ γεγενημένος, καὶ εἰκὼν θεοῦ λεγόμενος· διὰ τοῦτο τετίμηται καὶ ταύτῃ χρηματίζει τὸ αὐτεξούσιον, καὶ τῶν ἄλλων διαφέρων ζώων, κατὰ πάντων τὸ κρατεῖν ἔχει· ἐπεὶ καθὸ κτίσμα καὶ ἁπλῶς ζῶον, τούτων οὐδὲν διενήνοχε· καίτοι οὐδὲ ὁρᾶται τὸ κατὰ τὸν ἄνθρωπον κατ' εἰκόνα λεγόμενον· εἴτε τὸν νοῦν εἴποι τις τό τε ἡγεμονικὸν καὶ ἀρχικὸν, εἴτέ τι ἄλλο τῶν περὶ αὐτὸν νοουμένων, ἐπειδή περ οὐδὲ τὸ ἀρχέτυπον τούτου τῶν ὁρωμένων ἐστίν.

νθ. Ἔτι καὶ οἱ καθ' ἡμᾶς ἱερεῖς, ἐπεὶ τῶν ἄνω διακόσμων καὶ τάξεων ἀποτυποῦσι τὴν ἐμφέρειαν· εἰκονίζουσι γὰρ αὐτοὺς κατά τε τὰς ἱερὰς λειτουργίας, καὶ τὰς ἄλλας θείας ὑμνολογίας τὰς παρ' αὐτῶν τελουμένας· διὰ τοῦτο τίμιοι παρὰ τῶν εὐσεβεῖν εἰδότων καὶ σωφρονούντων· καὶ ἡ λοιπὴ τῆς ἐκκλη-

σίας διακόσμησις καὶ εὐταξία, τῶν οὐρανίων εἰσὶν ἀπομιμήματα καὶ τυπώματα· καὶ ἡ κατὰ Μωσέα δὲ σκηνὴ τὸν νομοθέτην, καὶ τὰ ἐν αὐτῇ πάντα, τῶν οὐρανίων καὶ τῆς ἄλλης κτίσεως ἀπηχήματά τινα καὶ ὁμοιώματα ἔφερε, καθάπερ αὐτῷ διατέτακται.

ξ. Ἤδη δὲ καὶ αἱ ἱεραὶ βίβλοι αὗται, εἰκόνες εἰσὶ τῶν λόγων τῶν συγγεγραφότων· δι᾽ αὐτῶν γὰρ καὶ μὴ παρόντες ἀεὶ φθέγγονται, καὶ κατὰ τοσοῦτον αὐτοῖς ᾠκείωνται, ὡς καὶ τῶν γεγραφότων αὐτῶν φέρειν ἐπ᾽ εὐθείας τὰ ὀνόματα· οὕτω γὰρ τὴν ἱερὰν τοῦ ἀποστόλου βίβλον ἀπόστολον ὀνομάζομεν· καὶ τὴν τοῦ προφήτου, προφήτην ὡσαύτως καλοῦμεν· καὶ τὴν τοῦ εὐαγγελιστοῦ ὁμοίως· καὶ τοὺς ἱεροὺς οἴκους, οὐκ ἐν σχέσει πάντοτε λέγομεν ὡς τοῦδε, ἀλλὰ τὸ πλεῖον ἀσχέτως τόνδε φράζομεν ὁμωνύμως τῷ ἐπικεκλημένῳ, διὰ τὴν τῆς προσηγορίας κοινωνίαν τὲ καὶ οἰκειότητα· οὕτω δὴ καὶ τῶν ἐπὶ γῆς κρατούντων εἰκόνες, τοῖς ὑπηκόοις τίμιαι παρὰ τοσοῦτον, ὅτι καὶ παρὰ Χριστοῦ τιμῆς ἡ Καίσαρος ἠξίωται εἰκών· καὶ οὐδὲν ἂν εὕροι τις ὃ πρός τι προηγούμενον φέρεται, ὃ μὴ δι᾽ αὐτὸ ἐκεῖνο τὴν ἐκείνου τιμὴν προσάγεται, οἷα δὴ τὴν ἐκείνου ἐμφανίζον διάγνωσιν. Εἰ τοίνυν πάντα ταῦτα δι᾽ ἐκεῖνα τίμια, τίνος ἕνεκεν ἐκ πάντων τὰ κρείττονος πάντων μετεσχηκότα δόξης, παρὰ τῶν χριστομάχων ἠτίμωται καὶ καθύβρισται; καὶ ὁ μὲν υἱὸς ὡς εἰκὼν τοῦ πατρὸς δοξάζεται· εἰκόνες γὰρ ἀμφότερα, καὶ εἷς ὁ ἐπ᾽ αὐταῖς λόγος, κἂν τῇ οὐσίᾳ τὸ διάφορον ἔχωσιν· ὃ δὲ μάλιστα αὐτῶν τὸ μανικὸν στηλιτεύει καὶ ἀναίσχυντον, τοῦτο τοῖς λεγομένοις προστεθήσεται· ἴσμεν γὰρ ἅπαντες ὅτι καὶ φαῦλοι ἄνδρες, τὰ τῶν φαύλων καὶ ἀνοσίων τετιμηκότες, καὶ εἰκόνας αὐτοῖς εἰς μνήμην ἀνέθεσαν· οἷα δὴ καὶ τοῦ τρόπου αὐτῶν ζηλωταὶ γενόμενοι, καὶ τῶν πράξεων ἐρασταί, καὶ ὡς οἰκείων καὶ ὁμοτρόπων περιέποντες διετέλεσαν, εἴτε ἀγνοίᾳ τοῦ κρείττονος, εἴτε αἱρέσει τοῦ χείρονος· ἀλλὰ παρ᾽ ἕλλησι φασὶ καὶ ἑλλήνων, καὶ τοῦτο τῆς ἐκείνων ἐμβροντησίας καὶ παρανοίας ἄξιον· ἆρα γὰρ οὐκ ἔδει καὶ χριστιανοὺς τὰ Χριστοῦ σεβάσματος παντὸς ἀξιοῦν, καὶ τὰ τῶν ἁγίων ἀποσεμνύνειν τὲ καὶ ἀσπάζεσθαι; ὥσπερ γὰρ αἱ τῶν ἐναγῶν μνῆμαι βδελυκταί εἰσι καὶ ἀκάθαρτοι, οὕτω καὶ αἱ τῶν ἁγίων ἀσπασταὶ καὶ ἐράσμιοι.

ξα. Τίς γὰρ οὐ συμφήσειε τῶν νοῦν ἐχόντων, ὅτι εἰ τῶν φαύλων ἀρχετύπων φαῦλα τὰ εἰκονίσματα, ἐξ ἀνάγκης καὶ τὰ τῶν ἱερῶν καὶ ἁγίων ἀρχετύπων ἱερά τε καὶ ἅγια τὰ ἀπεικάσματα; εἷς γὰρ ἐπ᾽ ἀμφοῖν ὁ λόγος καθὸ εἰκόνες· εἰ καὶ ἄλλως τὰ ἀπ᾽ αὐτῶν νοούμενα καὶ δηλούμενα, πολλὴν ἐμφαίνει καὶ ἀσυγκρίτως τὴν διαφοράν· ἀλλὰ δῆλον ὡς τὰ τοῦ Χριστοῦ τέλεον ἠθετηκότες, καὶ τῶν μακαρίων ἐκείνων ἀνδρῶν τὸν βίον καὶ τὰς ἀρετάς, τά τε ἀνδραγαθήματα βδελυττόμενοι, καὶ ἐπὶ μόνῃ τῇ μνήμῃ αὐτῶν δυσχεραίνουσί τε καὶ ἄχθονται· ἐπεὶ καὶ πᾶν ἀγαθὸν φευκτὸν ἡγοῦνται, καὶ πᾶν φαῦλον αἱρετόν, καὶ βαρύτατοι αὐτοῖς εἰσιν οἱ ἅγιοι καὶ ἐν εἰκόνι βλεπόμενοι· ὢ τῆς ἀναλγησίας, ὢ τῆς ἀναισθησίας· πᾶν ἔθνος τὰ τῇ θρησκείᾳ προσήκοντα προσηκόντως τιμᾷ καὶ περιέπει, νόμους τὲ καὶ ἔθη καὶ τὰς ἄνωθεν αὐτοῖς παραδεδομένας

ἐν τῷ βίῳ μυήσεις, ἀπαρατρώτους διατηρεῖ· μόνοι δὲ πάντων χριστιανοὶ, τῆς δι' ἧς σεσώσμεθα τοῦ λόγου συγκαταβάσεως, τὰ σύμβολά τε καὶ ὑπομνήματα ἀνοηταίνοντες διαπτύουσιν· οὓς ἔδει πλέον ταῦτα γεραίρειν, ἢ τὰ ἑαυτῶν ἑτέρους· ἐπεὶ καὶ τὴν γνῶσιν τῶν συμφερόντων, τῶν ἄλλων ἁπάντων πλέον εἰλήφαμεν, ὥσπερ ἡμῖν καὶ ὅτι ἐστὶ Θεὸς, καὶ πάντων αἰτία συνεκτική τε καὶ φρουρητικὴ πεπίστευται· ταῦτα ποίας παρανομίας καὶ ἀθεΐας ὑπερβολὴν οὐχ ὑπεραίρει;

ξβ. Ἄξιον δὲ οἶμαι ἐνστάντος καιροῦ καὶ τοῦτο εἰπεῖν, τίνες τὲ οὗτοί εἰσι, καὶ τῆς ποίας ἀγωγῆς καὶ βιώσεως, καὶ ὡς ἐν καταλόγῳ τινὶ τὰ τούτων ἀνακηρύξαι φρονήματά τε καὶ ἐπιτηδεύματα· ὧν ἐκ τοῦ τρόπου καὶ τοῦ βίου καὶ τῆς ἄλλης ἀναστροφῆς, καὶ τὰ τοῦ δόγματος ἐμφανῆ καταστήσεται· ἐκ γὰρ τοῦ καρποῦ τὸ δένδρον γνωσθήσεται· ὡς ὁρῶμεν γὰρ οἱ πλείους αὐτῶν γνώσεως ἢ παιδεύσεως τῆς ὁπωσοῦν ἥκιστα μεταποιούμενοι, καὶ τῶν στοιχείων αὐτῶν τὰς ὀνομασίας ἠγνοηκότες, ἤδη καὶ τοὺς ἀντεχομένους μυκτηρίζουσι καὶ κακίζουσι· " παιδείαν γὰρ καὶ σοφίαν ἀσεβεῖς ἐξουθενήσουσι, ,, γέγραπται· ἀμαθεῖς δὲ ὄντες καὶ ἀπαίδευτοι, ἀκολασίᾳ καὶ ἀσωτίᾳ παρὰ πάντα τὸν βίον συζῶσι· καὶ οὐκ ἔστιν ὃ μὴ τῶν φαύλων αὐτοῖς αἱρετόν ἐστι, φίλαυτοι, φιλάργυροι, ἀλαζόνες, ὑπερήφανοι, βλάσφημοι, ἀπειθεῖς, ἀχάριστοι, ἀνόσιοι, ἄστοργοι, ἄσπονδοι, διάβολοι, ἀκρατεῖς, ἀνήμεροι, ἀφιλάγαθοι, προπετεῖς, τετυφωμένοι, φιλήδονοι μᾶλλον ἢ φιλόθεοι· ἀλλὰ μικρὰ ταῦτα καίτοι μέγιστα εἰς κατηγορίαν, παρὰ τῷ γεγραφότι τουτωνὶ τὸν κατάλογον· προσθείην δ' ἂν ὅτι καὶ λοίδοροι καὶ ἀνελεήμονες, πολύορκοι, ἐπίορκοι, ἱερόσυλοι, φιλόκοσμοι, φιλόδοξοι, πρόσυλοι, ἐμπαθεῖς τὴν ψυχὴν καὶ τὴν διάνοιαν, πάροινοι, παραπλῆγες, παράφρονες, ἀνόητοι, σωματικοὶ τὸ πᾶν καὶ κάτω νεύοντες· κόσμῳ τὲ καὶ τοῖς ἐν τῷ κόσμῳ ἡττώμενοι, καὶ τῇ γαστρὶ μόνῃ δουλούμενοι, καὶ ὅσα περὶ τὴν γαστέρα σπουδάζοντες, οἷα κτηνώδεις καὶ τὸν τῶν ἀλόγων ζώων βίον ζηλώσαντες· αἰσχροὶ περὶ τὴν ἔντευξιν, καὶ τὴν ὁμιλίαν καὶ συνουσίαν αἰσχρότεροι· καὶ τὸν λόγον μάχιμοι, ὀργίλοι, φιλόνεικοι, μάχαις χαίροντες, καὶ δίκαις ἀλλοτρίαις ἐπεμβαίνοντες· τὰ δικαστήρια περιπολοῦντες, φιλέριδες, φιλόδικοι· γραμματείοις φαύλοις, ἐν οἷς τῶν πλησίον αἱ διαβολαὶ παρὰ τῶν φαύλων συντίθενται, χαίροντες· θερίζοντες οὗ μὴ ἔσπειραν, καὶ συνάγοντες οὗ μὴ ἐσκόρπισαν, πᾶσαν εὐαγγελικὴν ἐντολὴν ἀθετοῦντες, πάσης κανονικῆς καὶ ἐννόμου θεσμοθεσίας ὑπερορῶντες, πᾶσαν πνευματικὴν πολιτείαν διακρουόμενοι καὶ κατονειδίζοντες· πᾶσαν ἐκκλησιαστικὴν διδασκαλίαν διασύροντες, πᾶσαν ἀποστολικὴν καὶ πατρικὴν φωνὴν καὶ νουθεσίαν διαπτύοντες· τάς τε ἱερὰς ἡμῶν βίβλους, ὡς μέγα τι βλάβος ἀποπεμπόμενοι, καὶ τοὺς ἐντυγχάνοντας καὶ ἀσκουμένους ἐν αὐταῖς, ὡς ἄγος τί ἐκτρεπόμενοι· πᾶσαν εὐλάβειαν καὶ εὐσέβειαν καταχλευάζοντες, τὸ σχῆμα τὸ ἀποστολικὸν βδελυσσόμενοι, καὶ τὴν ἱερωσύνην καταχλευάζοντες· πᾶν σπουδαῖον καὶ ἀγαθὸν διωθούμενοι, καὶ πᾶν φευκτὸν καὶ μοχθηρὸν ἀσπαζόμενοι· οὐκ ἀναγνώσει προσ-

ἔχουσιν, οὐ θείων γραφῶν ἀκροαταὶ γίνονται· πῶς γάρ; οἵ γε πάντα ταῦτα καταμυσαττόμενοι, καὶ πάντων τῶν λυσιτελούντων ἀμύητοι, πάσης πανουργίας ἐφευρεταὶ, οὐκ εἰς ναοὺς θεοῦ σχολάζουσιν, οὐ πίστιν τιμῶσιν, οὐκ ἀγάπην περιπτύσσονται, οὐκ ἐλπίδα κέκτηνται, οὐ προσευχῇ καὶ νηστείᾳ προσκαρτεροῦσιν, οὐ παρθενίαν σεμνύνουσιν, οὐ σωφροσύνην ἀγαπῶσι· πάντα τὸν βίον αἰσχρῶς καταστρέφουσι, πάσης κακίας ἐργάται καὶ πάσης ἀρετῆς ὑπερόπται· ἅπαν γὰρ καλὸν καὶ θεῖον καὶ ἀρετῆς εὖ ἧκον, σκηνὴ καὶ παιδιὰ παρ' αὐτοῖς λελόγισται, στυγητοὶ καὶ ἔχθιστοι παρὰ θεῷ τε καὶ ἀγγέλοις καὶ ἀνθρώποις τοῖς εὐσεβεστέροις καὶ ὀρθῶς βιοῦν ᾑρημένοις τυγχάνοντες· τούτων καὶ ὁ βίος αἰσχρὸς, καὶ ὁ λόγος σαθρὸς καὶ κατάπτυστος, καὶ πάσης ἀνοίας ἐπίμεστος.

Τί τἄλλα λέγειν; πάντα οἷς ὁ μισόκαλος ἐχθρὸς χαίρει, διαπραττόμενοι βιοτεύουσιν, οὐδεὶς αὐτοῖς περὶ θανάτου λόγος οὐδέποτε, οὐδεὶς περὶ ἀναστάσεως ἢ κρίσεως, κριτοῦ τε προσδοκωμένου μετὰ δόξης τῆς πατρικῆς· τῆς ἀῤῥήτου τὲ καὶ φρικώδους καὶ πάντα λόγον ὑπεραιρούσης, καὶ παντὸς δέους γεμούσης καὶ καταπλήξεως, ἔνθα καὶ ἄγγελοι μετὰ φόβου πολλοῦ παρίστανται καὶ ἐκπλήξεως· σάλπιγγος ἠχούσης μέγα, καὶ τῶν πεπραγμένων ἡ ἀντίδοσις πρυτανεύεται, καὶ ἕκαστος ἡμῶν τῷ πλάστῃ παρίσταται, καθὰ ἔπραξε διὰ τοῦ σώματος εἴτε ἀγαθὸν εἴτε φαῦλον ἀποληψόμενος· οὐχ' ἁμαρτημάτων εἰς συναίσθησιν ἔρχονται, οὐ παρὰ θεοῦ συγγνώμην αἰτοῦσιν, οὐ παραίνεσιν σωτηρίας ψυχικῆς ἕνεκεν δέχονται· τί γὰρ ἔχει κακὸν ἡ ψυχή μου, τῷ τὰ συμφέροντα παραινοῦντι, ἀποκρίνονται; διὰ τοῦτο οὐδὲ βασιλείας οὐρανῶν ἐλπὶς, οὐδὲ λόγου πνευματικοῦ ἀνέχονται πώποτε· ὄντως ἐν τούτοις ἐστὶ κεκαλυμμένον τὸ εὐαγγέλιον· ἐν οἷς ὁ θεὸς τοῦ αἰῶνος τούτου, ἐτύφλωσε τὰ νοήματα εἰς τὸ μὴ ἐναυγάσαι αὐτοῖς τὸν φωτισμὸν τοῦ εὐαγγελίου· αὐτῶν δὲ τούτων οἱ ἀγροικότεροι καὶ χαμαίζηλοι, καὶ τῶν ἀναγκαίων ἄποροι, καὶ οὐδ' ἂν ἡμέρας μιᾶς τροφῆς ἰδίας ἐπισιτίζεσθαι εὐπορίσειαν, ἐκ τῶν τριόδων καὶ τῶν βαράθρων συναγηγερμένοι, οὐδὲ τὰ ἐν ποσὶ τί ποτέ ἐστι συνιέναι ἰσχύοντες, καὶ τῷ πάροινοι εἶναι καὶ φιλοπόται, περιεργάζονται καὶ περισκοποῦσι συχνῶς ἔνθά τε πότοι καὶ συσσίτια γίνονται, καὶ ὡς ὑπόπτεροι περιθέουσιν· ὡς ἂν ἐκ τῶν παρατυγχανόντων ἐρανισάμενοι, τὰ τῆς ἐνδείας καὶ ἀπορίας παραμυθήσαιντο· ἐξ ὧν συμβαίνει τὸν ἀγυρτώδη καὶ ἀπευκτὸν ἐκεῖνον συνίστασθαι ὅμιλον· στάσεσί τε γὰρ καὶ καινοτομίαις ἀεὶ χαίρουσιν· ὧν οἱ πλεῖστοι τῶν ἀπὸ στρατείας τυγχάνουσιν, ἐπ' αἰτίαις φαυλοτάταις καὶ ἀπηγορευμέναις πεφωραμένοι· ἢ ὡς ἔξωροι καὶ ὑπέρακμοι ὁπλιτεύειν οὐ σθένοντες, τῶν καταλόγων ἐξώσθησαν τῶν στρατιωτικῶν, τῶν ὅπλων ἀποπεπαυμένοι.

ξγ. Ἐπειδὴ δὲ καὶ λόγῳ καὶ πράξει κατεφθαρμένοι ὑπάρχουσι, τοῖς παροῦσι μόνον κεχήνασι τῇ σαρκὶ προσθέμενοι, καὶ τῇ γαστρὶ ἐξανδραποδιζόμενοι, καὶ θεὸς αὐτοῖς ἡ κοιλία, καὶ ταῦτα δὴ τὰ περικόσμια καὶ ὅσα πρὸς λαιμὸν καὶ γαστέρα χωρεῖ, εὐδαιμονίαν εἶναι τὴν ἀνωτάτω μετροῦσιν· ἐπ' οὐδενὶ δὲ κρείττονι τὰς ἐλπίδας ἀπερείδουσι, πρὸς οὐδὲν τῶν ὑψηλοτέρων ἢ λυσιτε-

λεστέρων βλέποντες· πένονται δὲ θείοις κρίμασι, καὶ ἀπορίᾳ πολλῇ πιέζονται, μάλιστα τῶν βασιλικῶν σιτηρεσίων αὐτοῖς ἐπιλελοιπότων, ἀφ' ὧν τὰ πρὸς τὸ ζῆν μετὰ τῶν ὅπλων αὐτοῖς περιγίνετο· μέτροις γοῦν καὶ σταθμοῖς τῶν ἀναγκαίων καὶ ἐδωδίμων τὰ ὤνια ἀπαριθμούμενοι, τὴν αὐτῶν πίστιν ἐπὶ τῇ τῆς γαστρὸς θεραπείᾳ ἐπικρίνουσιν οἱ ἄφρονες· ἁδρότητι βρωμάτων ἢ ὀρθότητι δογμάτων ταύτην ταλαντεύοντες· στέργοντες μὲν ὁπόταν τῶν ἀναγκαίων καὶ τῶν καθ' ἡδονὴν εἶεν διακορεῖς, σχετλιάζοντες δὲ καὶ τὴν καθ' ἡμᾶς εὐσέβειαν καταιτιώμενοι, ἡνίκα ἄν τι τούτων ἀπολιμπάνοιτο· ὁμογνώμονες γὰρ καὶ ὁμότροποι, αὐτοί τε καὶ οἱ τῇ ἴσῃ ἀπιστίᾳ κεκραγμένοι, τοῖς ποτὲ τῆς αἰγυπτιακῆς ἀποπτάσι δουλείας γνωρίζονται, ἐφάμιλλόν τε αὐτοῖς καὶ ἰσοφυᾶ τὴν γλῶσσαν καὶ τὸ φρόνημα κεκτημένοι· καὶ σαφῶς τῆς ἐκείνων θρησκείας τὰ τεκμήρια φέροντες, ἐφ' ὁμοίοις εἴ που συμβαίη τοῖς ἀτυχήμασι, χαλεπαίνουσί τε καὶ ἐπαλγύνονται· καὶ ὥσπερ ἐκεῖνοι τῶν νομοθετῶν καὶ ἀρχόντων κατεξανίσταντο, τὴν ἐπὶ τῶν κρεῶν καὶ λεβήτων καθέδραν, καὶ τῶν ἄρτων τὴν ἀφθονίαν ἀνακαλούμενοι· οὕτω καὶ οὗτοι ἀπαναισχυντοῦντες, καὶ τῶν κηρύκων τῆς ἀληθείας καὶ τὸν λόγον τοῦ κυρίου διακονουμένων καταβοῶντες, ἀνοσιώτατα παραφθέγγονται, μονονουχὶ τὰ αὐτὰ λέγοντες ἅπερ ἐκεῖνοι, τῶν θείων προφητῶν τινὶ ἀντικαθιστάμενοι. " Ὁ λόγος ὃν ἐλαλήσατε πρὸς ἡμᾶς τῷ „ ὀνόματι κυρίου, οὐκ ἀκουσόμεθα ὑμῶν· ὅτι ποιοῦντες ποιήσομεν πάντα τὸν „ λόγον, ὃς ἐξελεύσεται ἐκ τοῦ στόματος ἡμῶν, θυμιᾶν τῇ βασιλίσσῃ τοῦ „ οὐρανοῦ, καὶ σπένδειν αὐτῇ σπονδὰς, καθὰ ἐποιήσαμεν ἡμεῖς, καὶ οἱ πατέ- „ ρες ἡμῶν, καὶ οἱ βασιλεῖς ἡμῶν, καὶ οἱ ἄρχοντες ἡμῶν ἐν πόλεσιν Ἰούδα „ καὶ ἔξωθεν Ἱερουσαλήμ· καὶ ἐπλήσθημεν ἄρτων, καὶ ἐγενόμεθα χρηστοὶ, „ καὶ κακὰ οὐκ εἴδομεν· καὶ ὡς διελίπομεν θυμιῶντες τῇ βασιλίσσῃ τοῦ οὐ- „ ρανοῦ, ἠλαττώθημεν πάντες, καὶ ἐν ῥομφαίᾳ καὶ ἐν λιμῷ ἐξελίπομεν· ἔτι „ πρὸς τούτοις οὐ μὴ καθίσωμεν ἐν τῇ γῇ ταύτῃ πρὸς τὸ μὴ ἀκοῦσαι φωνῆς „ κυρίου, ὅτι εἰς γῆν Αἰγύπτου εἰσελευσόμεθα, καὶ οὐ μὴ ἴδωμεν πόλεμον, „ καὶ φωνῆς σάλπιγγος οὐ μὴ ἀκούσωμεν, καὶ ἐν ἄρτοις οὐ μὴ πεινάσωμεν „ καὶ ἐκεῖ οἰκήσομεν. „

ξδ. Τοιαῦτα δὴ καὶ τὰ τούτοις παραπλήσια ἐκ τοῦ πονηροῦ θησαυροῦ τῆς καρδίας ἀπερευγόμενοι, καταφλυαροῦσιν ἡμῶν τῆς ὀρθῆς καὶ ἀδιαβλήτου δόξης· φιλοτιμοῦνται δὲ ἐπὶ τῇ τοῦ Μαμωνᾶ θεοστυγεῖ πίστει· εὐημερίαν, τὴν ἐκείνου ἀνοσιουργίαν ἐπαυχοῦντες· ὥσπερ ἐν ταύτῃ ἐνευθηνούμενοι, καὶ ἀριθμῷ πλείονι τόν τε σῖτον καὶ τἄλλα ὁπόσα τῶν ἐπιτηδείων ἐξωνούμενοι· οὐκ ἐπὶ τῷ θεῷ τῷ πάντων ἀγαθῶν παρεκτικῷ, καὶ τῆς καθ' ἡμᾶς ζωῆς προνοητῇ καὶ κηδεμόνι τὴν χάριν ἀνατιθέντες· τί χρὴ τὰ πολλὰ λέγειν; ἐπιλείψει γὰρ ἡμᾶς καὶ ὁ χρόνος καὶ ὁ λόγος ταῦτα διεξιόντας· πόσαι γὰρ ἂν γλῶσσαι τὴν τούτων ἐξήρκεσαν ἐξειπεῖν δυστροπίαν τε καὶ κακοήθειαν; ἐξὸν ἓν ἀντὶ πάντων εἰπεῖν καὶ τὸ πᾶν παραστῆσαι " ὅτι κακῶν διδασκάλων κακὰ τὰ μαθήματα, „ μᾶλλον δὲ πονηρῶν σπερμάτων πονηρὰ τὰ γεώργια· „ ἃ γὰρ αὐτοὺς ὁ τοῦ

εὐαγγελίου ἀντίθετος, καὶ τῆς εὐσεβείας ἐχθρὸς καὶ ἀποστάτης, ὁ σπορεὺς τῶν ζιζανίων ἐμύησεν, ἐν τοῖς ἀποῤῥήτοις ἐκείνου καὶ ἀνοσίοις τελισκομένους τελεστηρίοις. ταῦτα καὶ φρονοῦσιν· ἐπὶ τούτοις οἱ δύστηνοι στέργουσιν ἐναυξηθέντες καὶ τελεσφορηθέντες· πικραὶ καὶ λοιμώδεις ἄκανθαι τῇ ἐκκλησίᾳ τοῦ θεοῦ παραπεφύκασι, τὸν καθαρὸν καὶ ἄδολον τῆς εὐσεβείας καταλυμαινόμενοι σπόρον· ἐφ᾽ ᾧ γὰρ αὐτοὺς συοφορβοὺς, μηλοβότας τὲ καὶ βοονόμους, τῆς συοβοσίας καὶ τῶν βοοστασίων καὶ αἰπολίων, καὶ τῆς ἄλλης συνήγειρεν ἀλογίας καὶ ἀκοσμίας· ὥστε αὐτοὺς κτηνώδεις γε ὄντας καὶ ἀγροικίας ἱκανῶς ἔχοντας, καὶ θείας ἥκιστα μετεσχηκότας γνώσεως, ὑπηρετήσειν αὐτοῦ τοῖς ἀθέοις καὶ πονηροῖς ἐπιτηδεύμασι καὶ θελήμασιν, ἐν τούτῳ αὐτῷ τὸ χρήσιμον ἀπηνέγκατο· ὅπλοις γὰρ αὐτοῖς καὶ ὀργάνοις ἐχρήσατο, οὐ βαρβάρους τροπώσασθαι, οὐκ ἔθνη χειρώσασθαι, οὐ χώραν τὴν πολεμίαν ὑπόφορον ποιήσασθαι, οὐκ ἄλλο οὐδὲν κατὰ τῶν ἀντιπάλων κατωρθωκέναι· ἀλλὰ πᾶν τὸ εὐσεβὲς, καθ᾽ ὧν αὐτοὺς ἐξώπλισε παραστήσασθαι· καὶ καθάπερ μηχανὰς ἑλεπόλεις ἐπαγόμενος τὴν Χριστοῦ ἐκκλησίαν δι᾽ αὐτῶν ἐκπορθῆσαι, τά τε σύμβολα καὶ ὑπομνήματα τῆς σωτηρίου αὐτοῦ οἰκονομίας, ἀθέως καὶ ἄγαν μανικῶς καταστρέψασθαι· τούτων ἕνεκεν, ἱεροσυλία ἐκείνῳ τετόλμηται καὶ τῶν θείων ναῶν βεβήλωσις· οἰκητήρια γὰρ αὐτῶν τὰ μοναστήρια πεποίηκεν· ἱπποστάσια δὲ καὶ κοπρῶνας τὰς ἐκκλησίας τοῦ θεοῦ κατεστήσατο· ὧν τὰ περιττώματα, καὶ ἐφ᾽ ἡμῶν αὐτῶν διήρκεσεν ἐπιχρονίσαντα· ἔστι δὲ ἃ καὶ χρυσίου ἀπέδοτο σεμνεῖα, καὶ βοῶσι μέγα τὰ ἐπώνυμα Φλώρου καὶ Καλλιστράτου μοναστήρια.

ξε. Ὅτι δὲ μάτην ἐπὶ τοῖς χρόνοις ἐκείνου ἐγκαλλωπίζονται, καὶ τοῦτο τῆς ἐκείνων ἀβελτερίας καὶ ἀλογίας ἄξιον· πλεῖστα γὰρ καὶ ἱστορούντων καὶ λεγόντων ἔστιν ἀκούειν· εἰσὶ γὰρ καὶ νῦν ἔτι τῷ βίῳ περιλειπόμενοι, καὶ οἷα κήρυκες τούτων διατηρούμενοι· δι᾽ ὧν μαθεῖν τοῖς βουλομένοις πάρεστιν, ὅσα καὶ οἷα τὰ ἐκ τῆς θείας ὀργῆς ἐπέλαβε τηνικαῦτα δεινά· ἐξ οὗ τὰ τῆς καθ᾽ ἡμᾶς πίστεως καθυβρίζεσθαι ἤρκται, καὶ τῶν ἐκκλησιῶν ἐκπορθεῖσθαι ἡ εὐστάθεια, οἷαι θεήλατοι πληγαὶ, καὶ παιδεῖαι, καὶ πάθη βαρύτατα καὶ μήνιδες; ὧν τῷ πλήθει καὶ τῷ μεγέθει τῶν συμφορῶν ὑπερεκπληττόμενοι, τῶν τότε παρόντων τινὲς, εὐκαίρως καὶ εἰς δέον χρώμενοι, ἱστορίᾳ παραδοῦναι ἄξιον ᾠήθησαν, καὶ τὰ εἴδη τῶν κακῶν εἰς πεῖραν ἀγόμενα τοιαῦτα· ὁ μὲν λοιμικὸς θάνατος ὃς τοῖς ἀνθρώποις ἐπεπορεύετο, οὐδ᾽ ἄν τις ἐξαριθμήσαιτο, εἰς ὅσον πλῆθος αὐτῶν ἐπενείματο, ἐξ οὗ δὴ καὶ διαδρὰς ὁ τῆς ὀργῆς αἴτιος, τῆς βασιλευούσης πόῤῥωθεν ὡς τὰ πολλὰ δέει τῶν συμβαινόντων ηὐλίζετο· περί τε γὰρ τὴν Νικομηδέων καὶ τὰ ἐν ἐκείνῃ προάστεια, τὰς διατριβὰς ἐποιεῖτο, καὶ τούτων ἐπέκεινα πολλῷ· τὴν δὲ πληθὺν τὴν ἀπείρονα τῶν ἐξοδευομένων γράμμασι χρώμενοι, οἱ τὰ κατὰ τὴν πόλιν ἐπιτετραμμένοι πράγματα, αὐτὸν ἀνεδίδασκον, χιλιάδων ὡς πλείστων τὸ ἐφ᾽ ἡμέρᾳ ἀριθμουμένων, ὡς καὶ τοὺς τάφους στενοχωρεῖσθαι τοῖς σώμασι· καὶ τὰ τῶν ὑδάτων ἐκδοχεῖα ὑπερπλήρη γίνεσθαι, καὶ εἴ τι ἄλλο χωρίον πρὸς νεκροῦ σώματος ὑποδοχὴν παρετύγχανεν·

ὧν ἐνίους μὴ δὲ τάφῳ παραδίδοσθαι, ἀλλ' ὡς ἂν τύχοι ἀποῤῥιπτεῖσθαι, καὶ τὴν ἐπ' αὐτοὺς ὁσίαν ἐπιλείπειν· οὐ γὰρ ἦν νεκρὸν ἕνα ἰδεῖν ἐπὶ σκίμποδος ἀγόμενον, τρεῖς δὲ ἢ πέντε τυχὸν, καὶ ὅσους ἂν οἱ ἀχθοφοροῦντες ἐκκομίζειν ἠδύναντο· ὃ δὲ παραδοξότατον καὶ πάσης γέμον ἐκπλήξεως, ἔσθ' ὅτε οἱ ἐπὶ τῇ ταφῇ τῶν προτεθνηκότων σπουδάζοντες κατὰ τοὺς τάφους, ἐκείνους προέφθανον· οὕτως ἀθρόον ἀναρπαζόμενοι, καὶ ὥσπερ ἀλλήλοις τῷ θανάτῳ προσεπεμβαίνοντες· καὶ τὰ ἐν τούτοις δείματα, ὡς ἐξαίσιά τε καὶ τερατώδη φαντάσματα, καὶ ἀνθρωπείαις ἀκοαῖς καὶ διανοίαις ξένα καὶ ἀδιάγνωστα, ἃ καὶ νύκτωρ καὶ μεθ' ἡμέραν ἑωρᾶτο τὲ καὶ ἠκούετο εἰς προὖπτον τοῖς πολλοῖς· φαντασιῶν τε καὶ ἀκουσμάτων ὑπὲρ κεφαλῆς ἐπιφαινομένων καὶ ἀπειλούντων τὸν ὄλεθρον, καὶ προσηγορίαι δή τινες, καὶ ἀριθμὸς τῶν ὅσον οὔπω τεθνηξομένων ἐξηκούετο· καὶ τὰ μὲν ὑπὲρ γῆν τοιαῦτα καὶ τούτων ἔτι χείρονα, τὰ δὲ πρὶν ὑπὸ γῆν ἢ περὶ γῆν· οὐ γὰρ ἔτι τῶν ἀσεβημάτων τὸ μέγεθος ἔφερεν ὁποῖα τῶν μὲν σεισμῶν καὶ βρασμῶν καὶ ἀνατιναγμῶν τὸ χρῆμα, ὡς ἐξαίσιον καὶ νοῦν καὶ λόγον ὑπεραῖρον ἀνθρώπειον· ὑπεφαίνετο γὰρ αὐτῆς κατακλονεῖσθαι τὰ θεμέλια, καὶ ἐκ πυθμένος ἀνατετράφθαι ἀναβρασσόμενα καὶ διϊστάμενα, καὶ ὥσπερ ἀρνούμενα τὴν ἑαυτῶν ἕδραν τὲ καὶ συνέχειαν· ᾧ οὐδὲ λόγων οἶμαι δεήσειν· αὐτῶν γὰρ τῶν πολυτελῶν οἰκημάτων, καὶ τῶν κτήσεων τῶν κεκαλλωπισμένων σαλπίζει μέγα τὰ πτώματα, ἃ τῶν ὑποδύντων καὶ πεπιεσμένων ἐγένετο πολυάνδρια· τάφους γὰρ αὐτῶν ἡ θεόκριτος δίκη ἐπικατασεισθέντα τὰ δομήματα ἐσχεδίασε· καὶ τοῦτο πολὺ μάλιστα τὸ πάθος κατέσκηψε κατὰ τὰς λοφιὰς καὶ τὰ ὑπερκείμενα χωρία, ἃ δὴ κατὰ τὸ βασίλειον ἄστυ μέχρι σήμερον ἐρείπια βέβληνται.

ξς. Οὐ μὴν οὐδὲ τὰ ἐξ ἀέρος δείματα ἐπηρεμεῖν ἢ ἐφησυχάζειν ὑβριζομένου τοῦ κτίστου ἠνείχετο· ἐδόκει γὰρ τοῖς τὸ τηνικάδε ἀνθρώποις, τοὺς κατ' οὐρανὸν ἀστέρας ἐπὶ γῆς ἐῤῥίφθαι ἅπαντας ῥαγδαίως, οὕτω καὶ συνεχέστατα τοῦ ἀερίου πάθους, ἀνὰ τῆς οἰκουμένης οἶμαι τὰ πέρατα ἀθρόον ἐκκεχυμένου· ὁμοῦ γὰρ καὶ κατὰ ταὐτὸν οἵ τε τὴν ἑῴαν οἵ τε τὴν ἑσπερίαν διειληφότες ἅπαντες λῆξιν, καὶ ταῦτα χειμῶνος ὥρᾳ καὶ νυκτὸς ἐπιγενομένης ἑωράκεσαν· καὶ μή τις ἡμῖν ἐνταῦθα κατὰ τοὺς δεινοὺς τὰ μετέωρα, καπνώδεις τινὰς ἀναθυμιάσεις καὶ παχείας ἀντιπαρατιθεὶς προβαλέσθω, ὑφ' ὧν ὁ περίγειος ὑποπιμπλάμενος ἀὴρ, εἶτα κατὰ τὴν οἰκείαν φορὰν ὕψοσε διαιρόμενος, καὶ εἰς τὸν αἰθέριον ὑπερεκχεόμενος χῶρον, ὑπό τε τῆς ἐκκαύσεως μεταβάλλων, τοὺς λεγομένους ἀστέρας διάττοντας, τάς τε φλόγας, καὶ τοὺς δαλοὺς καλουμένους συνίστησι, κομήτας τὲ αὖ, καὶ πωγωνίας, καὶ ὅσα τοιαῦτα ὑποφαίνειν πέφυκε σχήματα· ἀλλ' εὖ ἴστω ὡς καινοτομία τότε περὶ τὰ στοιχεῖα γεγένηται· τά τε γὰρ μέτρα καὶ τὴν ἑαυτῶν τάξιν ἐκβέβηκε, τὸ περὶ αὐτὰ πάθος ἐνδεικνύμενα, καί πως ἑαυτὴν ἡ κτίσις μιμεῖται, ὡς ἂν μὴ δὲ ἐνταῦθα τοῦ παθεῖν ἀπολείποιτο, ἢ καὶ κατὰ τὸ πάθος Χριστοῦ τὸ διὰ σταυροῦ τὸ σωτήριον, τῷ κτίστῃ καὶ δεσπότῃ συνέπασχε πάσχοντι, ἡνίκα φωστῆρες παραδόξως ἀλλήλοις συν-

ἔτρεχον, καὶ σκότος ξένον καὶ ἄωρον, τὸ συνεχὲς τοῦ φωτὸς τῆς ἡμέρας διέκοπτε, καὶ πέτραι διερρήγνυντο, καὶ τάφοι ἠνοίγοντο, καὶ νεκροὶ ἐξανίσταντο, καὶ τἄλλα ὅσα συνέβαινε καινοτομουμένης τῆς κτίσεως.

Τοιαῦτα ἔγνωμεν καὶ πάλαι κατὰ τῶν ἀσεβῶν ἀπειλούμενα καὶ τελούμενα, ὁπηνίκα τὰ στοιχεῖα ὑπερόρια γίνοιτο, τοῖς θείοις ὑπηρετούμενα νεύμασιν· ἀπιστήσει δ' οὐδείς, ἢ ὅς τις τὴν ἄγνοιαν τῶν τοῦ θεοῦ κριμάτων ἠῤῥώστηκεν· ἡμῖν γὰρ πειστέον τοῖς γεγραμμένοις παρὰ τοῦ πνεύματος· " ὅτι ἀσεβεῖς „ πλησθήσονται κακῶν, καὶ ἁμαρτάνοντας διώξεται κακὰ, καὶ ἐν κακίᾳ αὐτοῦ „ ἀπολεῖται ὁ ἀσεβὴς, καὶ φυλάσσεται ὁ ἀσεβὴς εἰς ἡμέραν κακὴν, καὶ εἰς „ κόλπον ἐπέρχεται πάντα τοῖς ἀδίκοις· „ καὶ πρόκειταί γε ἡ Σοδομιτῶν, τῆς θείας ὀργῆς δεῖγμα καὶ παίδευμα, ἐφ' ἣν τὸ καταβάσιον πῦρ κατομβρῆσαν, τὰ ἐκείνης ἅπαντα ἐν κύκλῳ καταβοσκόμενον ἀπετέφρωσεν, οἷς ὁμοῦ καὶ τῶν ὁμόρων τινὰς ἐκ βάθρων αὐτῶν συγκατεδήδοκε πόλεις, ὧν εἰσέτι καὶ νῦν ὥς φασι τεκμήρια διασώζεται· καὶ τούτων γε πρότερον ἡ γεγενημένη τῷ κόσμῳ ἐξ ὑδάτων ἐπίκλυσις, καθ' ἣν ὁ ὑετίζων ἐξαίσια, ἄπλετον ἠφίει κατὰ τῶν ἡμαρτηκότων. τῶν ξένων ἐκείνων καὶ παραδόξων ὄμβρων τὴν ἔκχυσιν· ὅτε κάτωθεν μὲν αἱ πηγαὶ τῆς ἀβύσσου περιεῤῥήγνυντο, ὕπερθεν δὲ τῶν οὐρανῶν οἱ καταῤῥάκται διώγνυντο, ἄρδην ἁπάντων ἀπολλυμένων, καὶ παντὸς οἰχομένου τοῦ ὑπὲρ γῆν ἐπαναστήματος· δίκαιος δὲ μόνος ἀνὴρ παισὶν ἅμα καὶ γυναιξὶν. ἐν ξύλῳ ὑπὲρ ὑδάτων φερόμενος διεσώζετο, οἷά τις Ἀδὰμ χρηματίζων δεύτερος, θεοῦ κατοικτείροντος, ὡς ἂν μὴ πάμπαν ἀπολίποι τὸ γένος ἐκ γῆς τὸ ἀνθρώπειον· ἐπεὶ οὖν οὐ κατὰ φύσεως ἀκολουθίαν κἀκεῖνα ἐπράττετο, οὐ γὰρ δήπου τοὺς οἰκείους ὅρους τετήρηκε τὰ μετάρσια, οὐδὲν ἐκώλυε καὶ αὖθις κατὰ γῆς βρέξαι κύριον πῦρ καὶ θεῖον παρὰ κυρίου, καὶ ἀθρόον ἂν ἀπηθάλωσεν ἅπαντα· καὶ γὰρ ἠπειλεῖτο σαφῶς τῆς ὀργῆς τὸ πρηστήριον, εἰ μὴ τοῦ θεοῦ νενίκηκεν ἐμφανῶς τὸ φιλάνθρωπον. ὃς τὴν τιμωρίαν τὴν κατὰ τῶν ἀνομούντων ἐναργῶς ἀνεβάλλετο, ἀπεκδεχόμενος αὐτῶν τὴν μετάνοιαν· ἀλλά μοι δοκεῖ πολλῷ μείζω ἐνταῦθα τὰ ἁμαρτήματα, ἐπείπερ ἐκεῖνοι μὲν εἰς τὴν κτίσιν μεμηνότες πεπαρῳνήκασιν. οὗτοι δὲ κατὰ τοῦ δεσπότου τῆς κτίσεως λελυττηκότες ἐξύβρισαν, πρότερον μὲν τὸ θεῖον σῶμα αἰκιζόμενοι καὶ σταυρῷ πικρῶς καταδικάζοντες. ἔπειτα δὲ εἰς τοὺς τοῦ σώματος ἱεροὺς ἐμπαροινοῦντες τύπους· διὸ οὐκ ἔστεγε τὰ στοιχεῖα ἐφ' ἑαυτῶν καρτερεῖν ὑβριζομένου τοῦ κτίσαντος. πάθος δὲ περὶ αὐτὰ καινοτομούμενα ὑφίστατο τὸ παράδοξον· ἐῶμεν λέγειν οἵους πολέμους ἐμφυλίους ὁ τρόπος οὗτος κατὰ χριστιανῶν ἀνεῤῥίπισε, καὶ τἄλλα ἃ λέγειν μακρὸν ἂν εἴη καὶ ἐργωδέστατον.

ξζ. Ἀλλὰ μέγα κομπάζουσιν οἱ κτηνώδεις καὶ ὄντως ἀνόητοι, ὡς δὴ ταῖς εὐημερίαις ἐνευθηνούμενοι καὶ βρενθύονται· ποία γλῶσσα τοὺς τηνικαῦτα λιμοὺς, καὶ τὰς ἐκ τῶν λιμῶν συμφορὰς ἐκτραγῳδήσειε; λιμῶν γὰρ ἦν ὁ δεινότατος καὶ πικρότατος, οὔτε τοῦ νῦν ἐντεῦθεν ἐναρξαμένου, οὔτε τῶν πάλαι μνημονευομένων ἢ ἱστορουμένων ἐλαττούμενος, καὶ μικροῦ τῷ κατὰ τὴν Ἱερο-

σολυμιτῶν συνενεχθέντι ποτὲ παρισούμενος· κἀκεῖ μὲν γὰρ, ὡς ἀναγέγραπται, τῷ λιμῷ πιεζόμεναι καὶ στροβούμεναι μητέρων αἱ δύστηνοι, γονῆς οἰκείας σαρκῶν ἐλεεινῶς ἀπεγεύσαντο, ἐκλελησμένης ἑαυτὴν ὥσπερ τῆς φύσεως· κἀνταῦθα τῇ αὐτῇ στρεβλούμεναι μάστιγι, τὰ ἔκγονα τῆς κοιλίας γυναῖκες ἀπεμπολοῦσαι ἄθλιαι, τροφὴν ἰδίαν τῶν σπλάγχνων ἐποιοῦντο τὴν ἀλλοτρίωσιν· φασὶ γὰρ μόλις καὶ εἰς πεντήκοντα χρυσοὺς τὸν τοῦ σίτου ἐξωνεῖσθαι μόδιον ἡ ἀπορία συγκατηνάγκαζε· κἀκεῖ μὲν τῶν πολεμίων ἡ ἔφοδος, καὶ τοῦ χρόνου τῆς προσεδρείας ἡ παρολκὴ, καὶ ὁ συγκλεισμὸς τῆς πόλεως ὡς ὑπὸ δικτύου περισχεθείσης τοῖς πλήθεσι, τῆς συμφορᾶς καὶ τῶν παθῶν τῶν ἀῤῥήτων τὸ αἴτιον ἦν· ἐνταῦθα δὲ οὐ βαρβάρων ἔφοδος, οὐ πολεμίων ἐπιστασία, οὐ χάρακες ὑπὸ δυσμενῶν ἐν κύκλῳ περιπηγνύμενοι, οὐδὲ ἄλλο τῶν ἔξωθεν ἐπιόντων οὐδὲν, τὸ δὲ κατὰ τὴν πίστιν ἀδίκημα περιφανῶς διεδείκνυτο· ὁ γὰρ ἡγεμονεύων ἐντὸς ἀποστάτης καὶ τύραννος, παντὸς ἐχθροῦ καὶ πολεμίου διὰ τὴν ἀποστασίαν ὁ δυσμενέστατος ἦν χαλεπώτατος· ἀλλὰ κἀκεῖνοι τῶν εἰς Χριστὸν τολμημάτων τὰς δίκας ἐτίννυον, καὶ οὗτοι ἐφ' ὁμοίοις κακοῖς ἑάλωσαν· εἷς γὰρ ἦν ἐν ἀμφοτέροις ὁ ὑβριζόμενος· τοιαῦτα μὲν τὰ ἐκ τῆς θείας δίκης μηνίματα· τοιαῦτα δὲ οἱ εἰς θεὸν ἀνομοῦντες τὰ ἐπίχειρα ἐκεῖθεν κομίζονται· ὧν οὐδὲν ἀναθεωροῦντες οἱ χριστομαχοῦντες, συνιδεῖν οὐκ ἐθέλουσιν, ὅτι καθάπερ πάλαι ὁ ἰουδαϊκὸς δῆμος, τῶν Μανασσῇ τῷ Ἰουδαίων βασιλεῖ εἰς θεὸν πεπραγμένων παρανομημάτων, δίκας ἐφ' ὅλοις τεσσαράκοντα ἐδίδοσαν ἔτεσι, καὶ πλεῖστα ὅσα δεινὰ καὶ δυσφορώτατα, καὶ ταῦτα καθ' οὓς χρόνους οἱ ἐπ' εὐσεβείᾳ καὶ δικαιοσύνῃ μεμαρτυρημένοι ἡγεμόνευον ἔπασχον· οὕτω δὴ καὶ τῶν δυσσεβημάτων καὶ ἀνοσιουργημάτων τοῦ ἐφ' ἡμῶν Μανασσῆ ἕνεκεν, καὶ πρὶν μὲν βαρυτάτην ἤνεγκαν χριστιανοὶ τὴν παιδείαν ἄνωθεν, ἤδη δὲ καὶ εἰς ἔτι καὶ νῦν φέρομεν, καὶ οὐκ ἂν ἀπολήξαιμεν παιδευόμενοι, ἕως ἡ μνήμη τοῦ δυσσεβοῦς ἐπὶ γλώσσης τῶν ὁμοτρόπων ἵσταται· διὸ καὶ νῦν εὔκαιρον εἰπεῖν " καὶ „ ὁ λαὸς οὐκ ἀπεστράφη ἕως ἐπλήγη, καὶ τὸν κύριον οὐκ ἐξεζήτησαν· „ ἀλλὰ τῆς εὐθύτητος τῶν ἡμετέρων δογμάτων, καὶ τῶν τοῦ θεοῦ κριμάτων καταψηφίζονται, καὶ " πλήττονται μὲν, οὐκ ἀποστρέφουσι δέ. „

ξη. Ὃ δὲ μάλιστα θριαμβεύει αὐτῶν τὴν ἀσέβειαν, οὔκουν ἑκὼν γε ὑπερβήσομαι· ἐπειδὴ γὰρ ἐν ὀλίγοις τοῖς πρόσθεν χρόνοις, τῆς ἐπ' εὐσεβείᾳ γνωριζομένης, καὶ τὴν ἀρχὴν τὴν βασίλειον διεπούσης (1), ἀξιοζήλωτόν τε καὶ ἔνθεον σπουδὴν περὶ τὴν καθ' ἡμᾶς πίστιν ἐπιδειξαμένης, ἐξήγειρεν ὁ θεὸς τὸ πνεῦμα, καὶ θεοκρίτῳ ψήφῳ, τῆς πόλεως τῆσδε ἐφ' ἧς κακῶς καὶ ἀθέως παρὰ τοῦ ἠθροικότος ἐνίδρυντο, καλῶς καὶ αἰσίως ἐξώσθησαν· περιαλώμενοι οἷα πλανῆτες περιεζήτουν θρησκείαν, καθ' ἣν εἰκόνες καὶ ὑπομνήματα τῆς Χριστοῦ οἰκονομίας οὐκ ἐμφανίζονται· εὑρίσκουσιν οὖν δὴ τὴν ἐρωμένην ἐκ πλείονος τὴν Μανιχαίων δὴ λέγω ἀπιστίαν καὶ ἀθεΐαν, καὶ τῇ δόξῃ τῇ ἐκείνων συνᾴδουσαν,

(1) Intelligitur heic Irene, quae paulo post Copronymum regnavit, et septima indicta generali synodo, Iconoclastarum haeresim damnandam curavit.

καὶ τὰ κατὰ γνώμην αὐτοῖς ἐπιτρέπουσαν, καὶ ταῦτα ἐπαγγέλλουσαν οἷς περ ἥδοντο καὶ ἔχαιρον πόῤῥωθεν· διὰ δὴ ταῦτα οἱ πλείους αὐτῶν τὴν καθ' ἡμᾶς ὁμολογίαν ὁλοτρόπως ἀπώμοτον ποιησάμενοι, ἐκείνῃ τῇ λύσσῃ προσέθεντο τέλεον· ἀφ' ὧν καί τινες φωραθέντες, τιμωρίας τὰς ἐσχάτας, ἃς οἱ νόμοι κελεύουσιν, ἔτισαν τῷ ξίφει παραδιδόμενοι.

ξθ. Τούτων ὃ δὴ πάντων ἐλεεινότατον, καὶ θρήνων καὶ οἰμωγῶν καὶ δακρύων ἄξιον· τοῖς φρονήμασι καὶ τοῖς λόγοις οἱ νῦν ἱερεῖς ὑπάγονται καὶ ἐπίσκοποι (1), καὶ οὓς ἔδει ὡς ἀπολωλότα πρόβατα, ἐπιστρέφειν καὶ ἐπισκέπτεσθαι, δεξιᾶς καὶ ἀριστερᾶς ἠμοιρηκότας γνώσεως, καὶ τῆς τοῦ πονηροῦ θήρας ἀνθυπεξάγειν, κατὰ κρημνῶν τε καὶ βαράθρων τῆς ἀπιστίας ὠθουμένους, ἀφ' ὧν καὶ παρακερδαίνειν τὰ μέγιστα τῆς σωτηρίας τῆς ἐκείνων ἕνεκεν ἐξῆν· τί πάσχουσι καὶ τί συμβαίνει; τοὐναντίον ἅπαν· ἀλογώτεροι περὶ πάντα καὶ κτηνωδέστεροι καταληφθέντες ὑπ' ἐκείνων ἀντιθηρεύονται, καὶ μυοῦνται τὰ ἄθεσμα, καὶ τῇ χείρονι μοίρᾳ μεθαρμοζόμενοι, εἰς τὸν ὅμοιον ἐκείνοις τοῦ βορβόρου λάκκον τῆς πλάνης συγκατακρημνίζονται, καὶ συνεργοὺς ἐπάγονται, καὶ ὥσπερ ὀργάνοις τῆς ἀπωλείας αὐτῶν κατὰ τῆς τῶν εὐσεβούντων συγχρῶνται ὕβρεως καὶ κακώσεως· ὥσπερ γὰρ τῆς δωρεᾶς τοῦ πνεύματος τὴν χρίσιν τέλεον ἠρνημένοι, καὶ πᾶσαν ἱερὰν καὶ κανονικὴν θεσμοθεσίαν ἠθετηκότες, καὶ πάσης τῆς ἐκκλησιαστικῆς εὐκοσμίας καὶ τάξεως ἐπιλελησμένοι, πολιτικοῖς νόμοις καὶ πράγμασι χρῶνται, καὶ ἄρχουσι τοῖς κοσμικοῖς ὑποπεπτώκασιν, ἐπί τε διαίτῃ καὶ βίῳ καὶ πολιτείᾳ καὶ κρίμασιν, ἐν πᾶσι τοῖς κατὰ τὸν βίον ἐγχειρήμασι, τούτοις ὑπείκοντες καὶ διοικούμενοι· "ἀλλ' οὐχ' αὕτη ἡ μερὶς τοῦ Ἰακώβ·", οὐδὲ τοιαῦτα τῶν εὐσεβείᾳ κοσμουμένων τὰ δόγματα καὶ φρονήματα· οὐδὲ τοιαύτη τῶν πεπολιτευμένων αὐτοῖς ἡ αἵρεσις· ἀπεναντίας γὰρ ἅπασι τοῖς περὶ τῶν ἐργατῶν τῆς ἀπωλείας προκατειλεγμένοις, εἴ γε ἐχρῆν ἐκ παραθέσεως ταῦτα συμβαλεῖν, ἴασι· καὶ ἵνα συλλαβὼν εἴποιμι, πᾶσαν μὲν κακίαν καταμυσάττονται, πᾶσαν δὲ ἀρετὴν προτιμῶσι, πᾶν ἀγαθὸν γεραίρουσι, παντὸς καλοῦ ἐρασταὶ εἰσὶ, πᾶσαν θεάρεστον πολιτείαν ἀσπαζόμενοι· πάντα λόγον ὅσιον καὶ εὐθῆ προσιέμενοι, πάντα τὰ τῆς ἱερᾶς ἐκκλησίας περιέποντες· δι' ὧν ἐγγίζουσι θεῷ, καὶ βασιλείας ἀϊδίου κληρονόμοι ἀναδείκνυνται· ἀγγέλων συμμέτοχοι, ἁγίων συνάριθμοι· ἐν ἅπασι τὸ ἀξιέπαινον καὶ ἔνθεον ἀποφερόμενοι· ὧν οὐδὲν ἐκεῖνοι περιπτυξάμενοι αἰσχύνης ἐμπίμπλανται, καὶ ὑπόδικοι τῶν θείων κριμάτων εἰς αἰῶνα γενήσονται.

ο. Ἐπειδὴ δὲ καί τινα παρὰ τοῖς χριστομάχοις περιθρυλεῖται, ἅπερ αὐτοῖς ὁ τοῦ ψεύδους πατὴρ ἐμπνεύσειε, φέρε καὶ ταῦτα ἐπισκεψώμεθα· κατακομψεύονται γὰρ διὰ τὴν εἰς Χριστὸν καὶ τὴν ἐκκλησίαν ὕβριν, χρόνους μηκίστους καὶ παρατεταμένην ζωὴν, καὶ βίον εὐπαθῆ ἐκμεμετρῆσθαι τῷ Μαμωνᾷ,

(1) Episcopos complures, duosque etiam obtrusos patriarchas Anastasium et Constantinum, adulatos fuisse Copronymo iconoclastae, quin etiam pseudosynodo byzantina eam haeresim confirmasse, perspicue narrat Cedrenus ed. paris. T. II. p. 463.

καὶ εὐημερίας εἰς ἄκρον ἐλάσαι, νίκας αὐτῷ κατὰ βαρβάρων, καὶ ἀνδραγαθήματα ὡς πλεῖστα ἐπιγράφοντες, ἃ τοῖς μὲν σώφροσιν οὐδὲ εἰς ἀκρόασιν ἔρχεσθαι δίκαιον· ὡς δ' ἂν τῶν ἁπλουστέρων ἢ ἀμαθεστέρων τινὰς, τοῖς ἐκ τῆς ἀπάτης ἀναπλασμοῖς μὴ παραβλάπτοιεν, τούτων διευθύνοντες ἕκαστα, κενοῖς λόγοις ἑαυτοὺς φαινακίζοντας, τοὺς ματαιόφρονας ἀποφήνωμεν· ὅτι μὲν γὰρ ὁ βίος ἐκείνῳ πάναισχρος γεγονὼς, βδελυκτὸν καὶ θεῷ καὶ ἀγγέλοις, ἀνθρώποις τὲ τοῖς εὐσεβοῦσι καθίστη, οὐκ ἀσυμφανές· καὶ γὰρ εἰς τὰ σαρκὸς πάθη κατασυρόμενος, τὴν τῶν ἀλόγων ζώων παρήλασε κτηνωδίαν· τοῖς ἀπηγορευμένοις καὶ βαρβάροις καὶ ἕλλησι, καὶ σῶμα καὶ ψυχὴν ὁ δείλαιος ἐμμολυνόμενος· καὶ ταῦτα οὐκ ὀλίγιστοι τῶν ὑπηρετησαμένων αὐτῷ μέχρι τοῦ δεῦρο περιόντες ἀπαγγελέτωσαν, μεθ' ὧν καὶ τἄλλα ἃ περὶ τὸ σῶμα αὐτῷ ἀπήντα· ἤδη γὰρ πόνοις καὶ ἀλγηδόσιν ἀῤῥήτοις οἷα εἰκὸς τοὺς ἡλκωμένους πάσχειν, βαλλόμενος πονήρως καὶ ἀνιαρῶς ἄγαν διέκειτο· καί τινα τῶν μελῶν ὑπὸ τῶν ἑλκῶν ἀπηχρείωτο, καί πως καὶ καρκίων τινῶν ἀπεῤῥυηκότων αὐτῷ· συνεχέστατα δὲ ὑπὸ τῶν ἐριννύων ἐκδειματούμενος, πικρῶς καὶ ἐλεεινῶς τὸν νυκτερινὸν χρόνον διήνυεν, ἴσως τοῖς συγκειμένοις ἐφυστερίζων, ἀντεπεξαγούσης τῆς παρ' αὐτοῦ διωκομένης πίστεως· παρείσθω τὰ νῦν λέγειν τὸ τῆς διαίτης ἀηδές τε καὶ αἴσχιστον· ὅπερ γὰρ ἂν προσάραιτο βρώσεως, οὐ τέλεον καταποθὲν, παρὰ τοὺς ἐμέτους ἔφθανεν ἐκκρινόμενον· τὸ δὲ περὶ τοὺς ὑπηρετουμένους ἰταμὸν καὶ θηριῶδες τοῦ τρόπου, καὶ τῆς ὑπηρεσίας τὸ δυσαχθέστατον, ὁποῖα ἄν τις εἴποι τὰ φέροντα σώματα; μάστιξι γὰρ ἑκάστης πολλαῖς καταξαίνων αὐτῶν τὰ νῶτα καὶ τὰς ὠλένας, οὐδὲν τῶν σαρκοβόρων θηρίων φιλανθρωπότερον ἔπραττεν, ἐκτομὰς δὲ μελῶν καὶ ὀφθαλμῶν πηρώσεις, καὶ τὰ ἄλλα ὅσα δεινὰ κολαστήρια, καὶ σφαγὰς ἀδίκους ἀνδρῶν ἀθώων, καὶ τοὺς διὰ πυρὸς πικροτάτους θανάτους, τί χρὴ καὶ λέγειν; οἷς μὲν βασκαίνων, ἀνδρείας καὶ ἀρετῆς εὖ ἔχουσιν· οἷς δὲ τοῦ ἐκπρεποῦς καὶ ἐπὶ ποσὸν, προηγμένοις ἐπὶ τὸ εὔχρηστον· περὶ γὰρ τῶν τῆς εὐσεβείας εἵνεκεν τοιαῦτα καὶ τούτων χείρονα πασχόντων, ἑτέρας δεήσει συγγραφῆς καὶ τῆς κρείττονος (1).

οα. Εἶτα πρὸς τῷ τέλει τῶν κακῶν γενόμενος, καὶ πυρετῶν ὀξύτησι καὶ φλογώσεσι καταπιμπράμενος, τῆς ἐκδεξομένης αὐτὸν γεέννης τὴν φλόγα ἐμφανῶς προορώμενος κατωπτρίζετο, καὶ τοῦ σκώληκος τοῦ ἀκοιμήτου τὰ δήγματα, σύντονόν τε καὶ γεγωνὸς ἐκβοῶν ἐνδελεχέστατα· τῆς γεέννης ταῦτα προαύλια· ἐντεῦθεν μικρὰ τῆς ἀσεβείας συναισθόμενος, τῆς ἐκ τῆς παρ' ἡμῶν πίστεως ἐδεῖτο ἐπικουρίας (2)· ἐπέτρεπέ τε τοῖς παρεπομένοις τῶν ἱερέων, τὰ τῶν χριστιανῶν προσᾴδειν ἱερὰ μελῳδήματα· οἱ δὲ πρόθυμοι ἀπαναίνεσθαι, ὡς μήτε εἰδέναι μήτε ᾆσαι πώποτε, εἴτε ταῖς ἀληθείαις οὕτως ἔχοντες, εἴτε τὴν ἐκείνου κατοῤῥωδοῦντες ὠμότητα καὶ δυσμένειαν· τοιαύταις εὐημερίαις, τοιαύ-

(1) Morum Copronymi portentosam impuritatem, itemque saevitiam, narrant passim byzantini historici, atque in his Cedrenus tom. cit.

(2) Dirum Copronymi obitum, anno imperii XXXV, eiusdemque morientis seram paenitentiam, legere licet apud Cedrenum p. 467-468.

ταις εὐπαθείαις ἐναναπαυόμενος, ὑφ' ὧν δὴ Διοκλητιανόν τε καὶ Μαξιμιανὸν συντελεσθέντας ἀκούομεν, οὕτω κακὸς κακῶς καὶ ἀθλίως ἀπολλύμενος, καταλύει τὸν βίον· τεθνήκει δὲ πλοϊζόμενος σημείοις τισὶν ἐκτὸς τῆς βασιλίδος διέχουσι, τῶν ἐκ τῆς Θράκης χωρίων παλινοστῶν, ἐν οἷς ἐκστρατεύων ἐτύγχανε· γῆ γὰρ ἡ πάντων μήτηρ τὸν μιαιφόνον, αἵμασιν αὐτὴν ἀθώοις ἐκπλήσαντα καὶ μολύναντα, ἐφ' ἑαυτῆς θνήσκειν οὐ παρεδέξατο· ποίας οὖν ἄρα κατηγορίας καὶ ταλανισμοῦ οὐκ εἶεν ἄξιοι, οἱ ἐκεῖνον μακαρίζειν ἀνοήτως οὐκ αἰσχυνόμενοι; ὁ δὲ τῆς ζωῆς αὐτοῦ πᾶς χρόνος, οὐκ εἰς μακρόν τι πάνυ διήλασεν· οὐ πλείοσι γὰρ ἢ ὀκτὼ πρὸς τοῖς πεντήκοντα ἔτεσι βιοὺς (1), ψυχῇ τε καὶ σώματι τέθνηκε· καὶ αὐτά γε ταῦτα θεοῦ συγχωρήσαντος οὐκ εὐδοκήσαντος, ἀνάξιος γὰρ τῆς παρὰ θεοῦ εὐεργεσίας· ἢ οἰκειότερον εἰπεῖν, ἀναβαλλομένου τὸν χρόνον καὶ ἀξίως δικάζοντος, ἵνα κἀνταῦθα τῶν τετολμημένων ὅσον ἀπογεύσασθαι δίκας εἰσπραττόμενος, πικρῶς καὶ ὀδυνηρῶς τὴν αἰσχίστην ἀποῤῥήξῃ ζωὴν, τὰ τεθησαυρισμένα αὐτῷ παρὰ τῆς θείας δίκης ἀποληψόμενος ἐν τῷ μέλλοντι ἀθάνατα καὶ ἀπέραντα ὁ δύστηνος κολασθησόμενος· πικροτέρας αὐτῷ καὶ μακροτέρας ἅμα τῷ πατρὶ καὶ συγκληρονόμῳ αὐτοῦ, θεοκρίτως ἐν τῇ γεέννῃ τῆς τιμωρίας ἑτοιμασθείσης.

οβ. Ἃς δὲ ἐπιπλάττουσιν αὐτῷ νίκας, τοιαῦταί τινές εἰσιν, ἵνα μιᾶς τῶν κρατίστων ἐπιμνησθῶμεν (2); ἐπειδὴ παρεσκεύαστο τὸ πρὸς δυσμαῖς ἡμῖν ᾠκισμένον σκυθικὸν ἔθνος ἀμύνασθαι, συναθροίζει δὴ ἅπαν τὸ ὑπ' αὐτῷ στράτευμα· εἰς χεῖρας τε τοῖς πολεμίοις ἰὼν, ὁποῖον αὐτῷ τὸ τοῦ πολέμου τέλος κατώρθωτο, μαρτυρεῖ τὰ φαινόμενα· μέχρι γὰρ καὶ σήμερον τὰ κατὰ τὴν Ἀγχίαλον καλουμένην πόλιν, κοῖλα καὶ πεδιάσιμα χωρία, ἃ τῶν ἀνῃρημένων τὰ κῶλα ἐδέξατο ὑποδείκνυσιν· ἔργον γὰρ τῆς σκυθικῆς μαχαίρας, ἅπαν σχεδὸν τὸ τῶν Ῥωμαίων ἐγένετο στράτευμα· εἰ δέ τι μικρὸν καὶ οὐ πάνυ ἀξιόλογον ἔδρασε, καθά γε ἡμῖν ἐκ τῶν γεγραμμένων αὐτῷ πρὸς τοὺς ἐνηυλισμένους κατὰ τὴν βασιλεύουσαν, ἀναλεξαμένοις ἔγνωσται· ἐν οἷς πολλὰ κατακομπάσας ὁ τοῦ ψεύδους ὑπηρέτης καὶ σύντροφος, πολλὴν δὲ τὴν θεομαχίαν ἐκ τῆς ἀπείρου πολυορκίας ἐφ' ὕβρει τοῦ κτίσαντος προβαλόμενος, ἡνίκα τὸ ἔθνος περὶ τοὺς οἰκείους ἡγεμόνας διαστασιάζον κατέλαβε, καὶ γὰρ τοῦτο πολλάκις ποιεῖν αὐτοῖς εὐπετὲς, ἅ τε βαρβαρικοῖς ἤθεσιν ἐντρεφομένοις, καὶ διχῇ τοῖς μέρεσιν ὡς τὰ πολλὰ διαιρουμένοις, ὅταν αὐτῶν ταῖς βουλαῖς ἀντικαθισταμένους ἴδωσιν· ὃ δὴ καὶ τηνικαῦτα ὁ τούτων κύριος ἐπιβουλευόμενος πέπονθε, Σαβῖνος (3) ὄνομα ἦν αὐτῷ, καὶ φυγὰς πρὸς Ῥωμαίους ἀπῴχετο· τότε οὖν αὐτῷ ἡ τοῦ ἔθνους καθ' ἑαυτὸ διαφορὰ καὶ στάσις, κατὰ βραχὺ γοῦν εὐδοκιμῆσαι παρέσχετο· τοὺς δὲ πρὸς ἥλιον ἀνίσχοντα βαρβάρους, καὶ εἰς μνήμην ἰόντας ἐδεδίει μάλιστα· ὡς καὶ ἐπ' ἐκκλησίας κηρύσσειν, μὴ θαῤῥεῖν κατ' ὀλίγους αὐ-

(1) Mortuus Copronymus anno aetatis suae LVIII, imperii XXXV.
(2) De Copronymi modo victoriis modo vicissim cladibus Cedrenus tom. cit.
(3) De hoc Sabino legatur Theophanes in chron. ad Copronymi annum XXIV, Christi DCCLVI.

τῶν, τῷ ὑπ' αὐτῷ ἅμα παντὶ ὁπλιτικῷ, εἰς ταὐτὸν μάχης ἰέναι πώποτε· ὁπόταν δὲ αὐτοὺς οὕτω συνενεχθὲν, ἐμφύλιος διέλαβε μάχαιρα, καὶ σίδηρος ἦν ὁ δικάζων τῶν γνωμῶν τὸ ἀμφήριστον, καὶ τὴν ἐπ' ἀλλήλοις ἐχειρούργουν πανωλεθρίαν, λῃστρικώτερόν πως μᾶλλον ἢ στρατηγικώτερον ὡς λῃσῶν, ἐπιὼν τοῖς τῆς Ἀρμενίας χωρίοις, τῶν ἐκείνης φρουρίων αἱρεῖ ὁμολογίᾳ τῶν προσοικούντων· Ἀρμένιοι δὲ καὶ Σύροι χριστιανοὶ ὄντες ἐτύγχανον· οὐ γὰρ ἐχθρῷ ἀλλοφύλῳ ὑπηντήκει πώποτε, οὓς καὶ μετανάστας, τῶν συγκειμένων ἐνωμότων λόγων τὸ ἀσφαλὲς ἠθετηκὼς, κατὰ τὰ ἐπὶ Θράκης χωρία πεποίηκεν· ὧν τῆς παραβασίας δίκας τὸ Θρακικὸν πέδον ὡς οἶμαι τιννύει τὸ σήμερον. Σαρακηνοὶ δὲ ἐπεὶ τὴν ἐκείνου ἔφοδον ἠκηκόεισαν, ἀπόμοιράν τινα ὁπλιτικῆς φάλαγγος ἐπιθέσθαι αὐτῷ ἐκπέμπουσιν, εἰς πεντακισχιλίους ἄνδρας οὔπω πλέον ἠριθμημένην· ὧν τῆς ὁρμῆς ἐπαισθόμενος, φυγὰς αὐτίκα ἅμα τῷ ἑπομένῳ πλήθει ᾤχετο, μὴ δὲ ὡς πλησιαίτατα τούτοις γενέσθαι οἷός τε ὤν· τοιαῦτα μὲν οὖν τὰ ἐκείνου ἀνδραγαθήματα, καὶ τὰ κατ' ἐχθρῶν σχεδιαζόμενα τρόπαια.

ογ. Εἰ δὲ χρὴ νίκαις, καὶ ἀνδραγαθήμασι, καὶ χρόνων μακρῶν περιόδοις, καὶ τοῖς ἄλλοις οἷς ἡ τοῦ παρόντος βίου εὐδαιμονία καὶ εὐπραγία γνωρίζεται, πίστιν μετρεῖν, ἀλλὰ μὴ τῷ θείῳ καὶ ἀποστολικῷ προσέχειν κηρύγματι· ἐκεῖνα δὲ τοῖς τοῦ θεοῦ παραχωρεῖν κρίμασιν, ὃς οὐ πίστιν μόνον ὀρθὴν, ἀλλὰ καὶ βίον ἡμᾶς καὶ πολιτείαν ἀρίστην καὶ εὐαγγελικὴν ἐπιδείκνυσθαι βούλεται· ἑκάτερον γὰρ τούτων θατέρου ἄνευ νεκρὸν, καὶ ὁ τῷ ἑνὶ ἐλλείπων, καὶ τὸ ἕτερον ζημιωθήσεται· ὧν οὐδαμῶς τοῖς ἀνοσίοις ἐμέλησε πώποτε· ὅτου δὴ χάριν μὴ τοῦτον ἀφέντες ἐῤῥιμμένον καὶ κατεπτυσμένον, καὶ μηδ' ὅτι ἐβασίλευσε, μὴ δ' ὅτι ἐστράτευσε, μὴ δ' ὅτι ὅλως γέγονε· καὶ ὡς μικρὰ τὰ παρ' αὐτῶν ἐπαιρόμενα λογιζόμενοι, ἐπὶ τοὺς τὰ μεγάλα ἐν τῷ βίῳ κατωρθωκότας ἀποτρέχοιεν, καὶ νίκας ἀνὰ πᾶσαν τὴν οἰκουμένην κατὰ πάντων σχεδὸν ἐθνῶν ἀραμένους, καὶ τρόπαια κατ' ἐχθρῶν στησαμένους, πλεῖστον τὲ ὅσον διαζήσαντας χρόνον, καὶ εὐπαθείας εἰς μέγα ἥκοντας, καὶ κατὰ τὴν ἀρχὴν ἐνεγκαμένους τὸ ἐπικλεὲς καὶ μεγάλαυχον, ὡς τὴν ἐκείνων θρησκείαν καὶ ζηλῶσαι καὶ μεγαλῦναι· θαυμάζειν τὲ τὰ κατορθούμενα, καὶ ἐκπλήττεσθαι, καὶ τὸν βίον αἱρεῖσθαι καὶ τὸν τρόπον· ὥστε κἂν τοῖς μέλλουσιν αἰῶσι, τοῖς ἀποκεκληρωμένοις αὐτοῖς καὶ ἡτοιμασμένοις συμπαραπολαῦσαι δικαιότατα· καὶ ἵνα τῶν πολλῶν ἀφέμενοι, ὀλίγων ἐπιμνησθῶμεν, τὸν Ἀλέξανδρον ἐνταῦθά μοι νόει, τὸν Φιλίππου, τὸν μακεδόνα· μικροῦ πᾶσαν τὴν οἰκουμένην παραστησάμενον, καὶ πάντα ἑλληνικὰ καὶ βάρβαρα ἔθνη χειρωσάμενόν τε καὶ δουλωσάμενον· ὃς ἐν ἴσῳ πτηνοῖς διαθέων, τῷ τάχει περιήει τὴν σύμπασαν, καὶ τὸ σφοδρὸν καὶ ὀξύῤῥοπον, τῷ τῆς παρδάλεως εἴδει τῷ ὁρῶντι προϋπεγράφετο· οὕτω γάρ τισι τῶν διδασκάλων τὰ κατὰ τὸν τόπον τεθεώρηται, ἐπεὶ καὶ δραστικώτερον ἢ κατ' ἐλπίδας ἀνθρωπίνας, τὰ κατὰ νοῦν αὐτῷ ἐπεραίνετο· οὐ γὰρ σχολαῖον εἶχε τὸ ὅρμημα, ἀλλ' ὡς ἐξ ἐπιδρομῆς ἰὼν εἷλεν ἅπαντας· ἕτεροι γὰρ ἐπὶ τῆς Περσῶν δυναστείας τοῦτο ἐξειλήφασιν.

Ἢ τὸν Καίσαρά μοι φράζε τὸν Αὔγουστον, ὃς μεῖζον μετ' ἐκεῖνον τὰ ἐκείνου διαδεξάμενος, κατὰ τὴν ἀρχὴν τὸ κλέος ἐκέκτητο, ἐπείπερ τὰ Μακεδόνων τοῖς Ῥωμαίων ἠλάττωτο· καὶ τὰ τῆς ἀρχῆς αὐτῷ παρετέτατο, εἰς ὅσον τὸ πᾶν τῆς Μαμωνᾶ ζωῆς σχεδὸν, συμπαρατεινόμενον ἔσχε τὸ διάστημα· οἶδα γὰρ ὡς οὐκ ἄν σε τὸν ὑβριστὴν, ἡ τοῦ Χριστοῦ ἀπογραφὴ δυσωπήσειεν· ὡς χάριέν σοι καὶ τὴν Ἡρώδου παιδοκτονίαν ἀσπάζεσθαι· ἐφ' ἑνὶ δέ σε μόνον χαλεπαίνειν καὶ ἄχθεσθαι, ὅτι μὴ καὶ ὁ ζητούμενος ἐν τοῖς ἀνῃρημένοις συμπεριείληπτο, φυγὰς δὲ ἀπῴχετο πρὸς τὴν Αἴγυπτον, ἐπειδὴ ἑπτὰ πρὸς τοῖς τριάκοντα ἔτεσι κατὰ τὴν αὐτοῦ βασιλείαν ὥς, φασιν, Ἡρώδης διήρκεσε· θαύμαζέ μοι καὶ τὸν ἀθηναῖον Τιμόθεον, ὃς τὴν τύχην εὐπαθῶν ἐν τῷ βίῳ ἔσχε συμπράττουσαν· τί δὲ οὐχὶ τῷ Σεναχηρεὶμ ἐγκαλλωπίζῃ, καὶ τοῖς ἄλλοις οἳ τῶν Ἀσσυρίων βεβασιλεύκασιν; ἵνα πρὸς τὰ παλαιότερα ἐντεῦθεν ἀναδράμωμεν· μετ' ἐκείνους δὲ καὶ ὑπὲρ ἐκείνους, τὸν Ναβουχοδονόσορ καὶ τὴν ἐκείνου δυναστείαν οὐχ' ὑπερεκπλήττῃ; ὅθεν καὶ σφύρα πάσης τῆς γῆς παρὰ τῶν λογίων τοῦ πνεύματος ἐπωνόμασται, τῷ διαφθείρειν καὶ ἀπολλύειν ἅπαντας καθ' ὧν ἂν ἐπετίθετο. Μῆδοι δὲ καὶ Πέρσαι, ἐπεὶ καὶ ἡγιασμένοι παρὰ θεοῦ καὶ ἀγόμενοι, καὶ γίγαντες ἐρχόμενοι χαίροντες ἅμα καὶ ὑβρίζοντες, ὡς τὸν θυμὸν τοῦ ἁγιάζοντος ἀποπλήσοντες, καὶ χριστὸς ὁ Κύρος τοῦ θεοῦ, ὃς τούτων ἦγε τὸ ὅρμημα προσηγόρευται, οὐκ ἄν σε θᾶττον εἰς πίστιν ἐπαγάγοιντο; παρίημι δὲ τὰ πολλὰ διὰ τὸν ὄχλον τῶν ῥημάτων· ἀλλὰ φήσεις, ὅτι τὰ ἐπὶ Θρᾴκης ἐπετείχισε φρούρια, καὶ εἰ μέγα σοι τοῦτο εἰς πίστιν, δίδου τὸ κλέος τῆς πίστεως Ῥώμοις τισί τε καὶ Ῥήμοις, καὶ τῆς μεγίστης Ῥώμης ἐννόει τὸ περιφανὲς καὶ ἐπηρμένον τῆς κτίσεως· ζήλου τὴν θρησκείαν ἐκείνου, ὃς τὴν μεγάλην ἐδείματο Ἀλεξάνδρειαν, καὶ τὸ τοῦ χωρίου θαυμάζων εὔθετον, καὶ τοῦ ἐπικλύζοντος Νείλου τῶν ἐκείνῃ τὰ ὅρια, τὰς ἀναβάσεις τὰς ἐτησίους, καὶ ὡς καρποδότην δοξάζων, τῆς παλαιᾶς καὶ δεισιδαίμονος τῶν Αἰγυπτίων οὐκ ἀποσταίης πλάνης. Ὁ Νῖνος σοι τῆς ὁμολογίας ἡγείσθω, ὃς ἐπώνυμον ἑαυτῷ τὴν πόλιν ἤγειρε τὴν Νινευῆ, ἧς ἡ ὁδὸς ἡμερῶν τριῶν τῷ περιόντι διανυσθήσεται.

οδ. Μετάβηθι ἐντεῦθεν, εἴ σοι δοκεῖ, ἐπὶ τοὺς κατὰ τὸν ἰσραηλίτην λαὸν ὑπάρξαντας βασιλέας, καὶ τὴν ἐπ' αὐτοῖς εὐημερίαν καὶ τὸν χρόνον περιεργάζου· εἷς δέ σοι ἀντὶ πάντων ἀποχρήσει, κλέος μέγα καὶ αὔχημα προκείμενος πίστεως· Ἱεροβοὰμ οὗτός ἐστιν ὁ δοῦλος καὶ ἀποστάτης· ἐπειδὴ γὰρ Σολομὼν ὁ τοῦ προφήτου Δαβὶδ παῖς τῆς ἐνταῦθα ζωῆς ἀπαλλάττεται, ἐξ Αἰγύπτου ἐπάνεισι, φυγὰς ἐκεῖσε τὸ πρὶν ἀποδράς· εἰς τοσοῦτον δὲ τὰ τῆς τύχης καὶ τῆς εὐημερίας αὐτῷ ἐπιδέδοται, ὡς ἱκανῶς ἔχειν τὸν λαὸν διελέσθαι διχῇ, καὶ τὰς πλείστας τῶν φυλῶν ἐπαγαγέσθαι, καὶ ἀρχὴν οἰκείαν καὶ βασιλείαν ἀποτεμέσθαι, καὶ βασίλεια καταστήσασθαι, καὶ τῆς περὶ θεὸν λατρείας τὸν λαὸν ἀπαγαγεῖν, καὶ δαίμοσιν ὀλεθρίοις προσαγαγεῖν, τὰς χρυσᾶς δαμάλεις τῶν ἱερῶν σεβασμάτων εἰς προσκύνησιν τῶν ματαίων ἀντιτεχνώμενος, ὧν μέγα ὑπερέσχε, καλλιεργίαις τὲ καὶ εὐφωνίαις καὶ τοῖς φθόγγοις ὑπερ-

ηχοῦν εὐσημότερα· ἐκεῖνο δὲ τὸ περὶ σὲ θαῦμα τὸ ἐν σκεύεσι τοῖς χρυσηλάτοις ὑπεράγαν θαυμαζόμενον, καὶ πρὸς ἑαυτὸ τοὺς πλανωμένους ἀνθέλκον τῇ ποικιλίᾳ καὶ τῷ μεγέθει, τῇ ἐπὶ τῆς Βαβυλωνίας εἰκόνι παρὰ τῶν τεκτηναμένων ἀντιπαρατιθέμενον· τί δέ σοι οὐ μέγας Ὀζίας ὁ τολμητίας, ὁ τῶν ὑπὲρ ἀξίαν ἁπτόμενος καὶ διὰ τοῦτο λεπρούμενος; Μανασσῆ δέ σοι, οὐκ ἔστιν ὅς τις τῶν ἄλλων παρεξετασθήσεται· πάντας γὰρ τοὺς ἐπ' ἀσεβείᾳ καὶ ἀθεότητι γνωριζομένους ὑπερβαλέσθαι ἀνιστόρηται, πάντων προσοχθισμάτων καὶ βδελυγμάτων, ἑαυτόν τε καὶ τὸ ὑπήκοον ἅπαν ἀποπλήσας· τούτων δὲ ὁ μὲν δυσὶ πρὸς τοῖς πεντήκοντα ἔτεσιν, ὁ δὲ πέντε πρὸς τοῖς πεντήκοντα κατὰ τὴν ἀρχὴν ἐπὶ τὸ ἰουδαϊκὸν φῦλον, διήρκεσαν βασιλεύοντες· καταμωμήσῃ εὖ οἶδα καὶ διαπτύσεις τὸν θεοφιλῆ Ἰωσίαν, τὸν παρὰ θεῷ ἐπ' εὐσεβείᾳ μαρτυρούμενον, καὶ πίστει τῇ ὀρθῇ τοὺς ἄλλους ὑπερίσχοντα. ὅτι ἀκλεῶς τὸν βίον κατέλυσεν, ὑπὸ τῶν οὐ πολεμούντων βληθεὶς, καὶ τοῦ πολέμου τὸ ἄπιστον οὐ προορώμενος· ἐκείνων ἁπάντων διά τε τοὺς χρόνους καὶ τὴν παροῦσαν εὐημερίαν ὑπεραγάμενος δέχου τὰ ἔθη, τόν τε τρόπον καὶ τὴν θρησκείαν τίμα· κατακρότει ταῖς εὐφημίαις, στεφανοῦ ταῖς ὑπερκειμέναις δόξαις· μιμοῦ τὸν βίον, ἀσπάζου τὰς πράξεις, σπονδὰς προσχέων τέλει καὶ τὰς θυσίας, ἐνευφραίνου ταῖς τελεταῖς, καὶ τοῖς σοῖς ταῦτα πρόσφερέ τε εἴ σοι αἱρετὸν, καὶ προσκύνει καὶ δόξαζε· τελοῦ τοῖς μυστηρίοις, δέχου τὰς ῥήσεις τῶν χρησμολόγων, πύθου τῶν ἀπὸ γῆς φωνούντων, ταῖς ἐγγαστριμύθοις προσέδρευε· τί τἄλλα λέγειν; πρόστρεχε τοῖς δαίμοσιν οἷς ὁ σὸς διδάσκαλος ἥγετο· ἵνα καὶ ῥᾷον εὐημερήσῃς, καὶ πλησθῇς ἄρτων καὶ οἴνου, καὶ πάντων ὅσα παρὰ τῆς γῆς ἐκδίδοται καὶ τοῖς γηΐνοις σπουδάζεται· " υἱοὶ ἀνθρώπων ,, ὁ μέγας ὑμῖν ἐμβοάτω Δαβὶδ, οἷά τις σάλπιγξ μεγαλόφωνος, ὡς ἐκ περιωπῆς καὶ ὑψηλοῦ ὑπηχῶν τοῦ κηρύγματος " ἕως πότε βαρυκάρδιοι; ἵνα τί ἀγαπᾶτε ματαιότητα καὶ ζητεῖτε .. ψεῦδος; ,,

οε. Μέγα τι τὰ παρόντα ὑπολαμβάνοντες, καὶ τοῖς φθαρτοῖς καὶ ἐπικήροις τὸ πᾶν τῆς ζωῆς περικλείοντες, πόθεν σοι ἡ μικρὰ ἐκείνη ἐφ' ᾗ μέγα φρονεῖς εὐημερία, καὶ ὅθεν σοι τὰ ὤνια ἐπηύξετο; εἴ σοι οὐ τραχὺς ὁ λόγος, ἀκούων ἐπίγνωθι, ὁ μισοχριστότατος καὶ φιλοχρυσότατος τύραννος, τὸ τοῦ χρυσοῦ ἀνδράποδον, ὁ τὸν λύδιον ἐκεῖνον τῇ φιλοχρύσῳ μανίᾳ ὑπερβαλόμενος (1), καὶ θεὸν τὸν χρυσὸν μετὰ τῆς κοιλίας ἡγούμενος· ὁ βαρύτατος φορολόγος, καὶ ἀπαραίτητος, τὸν κλοιὸν τῶν ὑποφόρων εἰς ὅτι μάλιστα κατεβάρυνε, συχναῖς καὶ ἐτησίοις προσθήκαις τῶν τελεσμάτων, τοὺς τῆς γεωργίας ἅπαντας πιέζων καὶ ἀποθλίβων παρανομώτατα, ὡς ἑνὸς χρυσίνου τὴν περιουσίαν ἀνδρὸς γεωργοῦ ἅπασαν, εὐχερῶς ἄν τις ἐξωνήσατο· εἶδον ἔγωγε τῶν τελεσμάτων χάριν ἀνθρώπους ἀθλίους, δένδρεσιν ὑψηλοῖς τε καὶ εὐμήκεσι, χειρῶν ἐξημμένους ἐκκρεμεῖς, ὡς ἐπὶ τὸν ἀέρα ἐπὶ πολὺ μετεωρίζεσθαι. καὶ ταύτην πικρὰν καὶ βιαίαν διαφερόντως τιμωρίαν, ἀπορίᾳ τῶν δημοσίων φόρων· σὺ δὲ οὐκ αἰσχύ-

1) Etiam Theophanes chron. ed. paris. p. 373. Copronymum Midae comparat.

νῃ καὶ καταδύῃ τῶν πέλας τὴν ζωὴν ἐκκαρπούμενος, καὶ τὰς σάρκας τῶν ὁμοφύλων, μᾶλλον δὲ ψυχὰς αὐτὰς, μικροῖς σταθμίοις ἐμπορευόμενος· καὶ τρυφὴν ἰδίαν, καὶ κέρδος ἐπιζήμιον, τὰς ἀλλοτρίας συμφορὰς ἐργαζόμενος (1);

ος. Διὰ τοῦτο ἐπαγάλλῃ τοῖς χρόνοις καὶ ταῖς εὐημερίαις; μεγάλα σοι τὰ παρόντα καὶ τοῦ παντὸς θαύματος ἄξια; κίνει λοιπὸν κατὰ τοῦ κτίστου τὴν γλῶσσαν· ὅπλιζε κατὰ τῆς τοῦ μονογενοῦς δόξης τὰς χεῖρας· ἐξουδένου Χριστὸν, ὅτι ἐπὶ γῆς ἐλθὼν ταπεινὸς ὤφθη καὶ εὐτελὴς τὸ φαινόμενον, καὶ πάντων πενέστερος, καὶ οὐκ ἔχων ὅποι τὴν κεφαλὴν κλίνῃ, ἀλωπέκων καὶ πετεινῶν ἀπορώτερος, ἀριθμῷ βραχεῖς μαθητὰς ἐπαγόμενος, καὶ τούτους ἀπόρους καὶ πένητας· θανάτῳ τὲ αἰσχίστῳ οἷά τινα κακοῦργον καὶ ὑπεύθυνον καταδίκαζε· χλεύαζε τὸν σταυρὸν καὶ τὸ πάθος, ὃ σοῦ γε εἵνεκεν κατεδέξατο· ταῖς θεοσημίαις ἀπίστει, διάπτυε τὰ θαύματα, κωμῴδει μετὰ ἰουδαίων τὴν ἀνάστασιν (2), ὕβριζε τῶν μαθητῶν τὴν ἀκτησίαν, ὡς ἀχάλκους καὶ ἀράβδους καὶ μονοχίτωνας πανταχῇ περιϊόντας εὐτέλιζε, καὶ τοὺς ὡραίους τῶν εὐαγγελιζομένων πόδας ἀποτροπαίους ἡγοῦ· ἀπόσκωπτε τῶν μαρτύρων τῆς ἀληθείας τὸ δυσπαθὲς καὶ δυσήμερον· τὴν τῶν ὑπαρχόντων ἁπάντων ἀποβολὴν ἐπιτώθαζε, καὶ τὸ πρὸς ἅπαν δεινὸν αὐτόμολον, τὴν κατὰ τῶν κινδύνων καὶ τοῦ θανάτου αὐτοῦ τόλμαν ὀνείδιζε· διὰ τοῦτό σοι φευκτοὶ οἱ ἅγιοι, ἐπευκτοὶ δὲ οἱ διώκοντες, ὅτι οἱ μὲν ἡττήθησαν, καὶ οὐδέν τι τῶν παρόντων ἀπώναντο· οἱ δὲ τῆς ἐνυπαρχούσης δόξης οὐ διήμαρτον· ἀγνοεῖς γὰρ ὅτι ἕτερα μὲν τῶν ἁγίων τὰ κατορθώματα, τῆς ὄντως πίστεως καὶ τῆς ἐλπίδος τῆς κατ' αὐτοὺς ἄξια, ἀΐδιον ὡς ἀληθῶς τὴν δόξαν καὶ τὴν λαμπρότητα κεκτημένα καὶ διαιωνίζουσαν· τῶν διωκόντων δὲ φαῦλα τὰ ἔργα καὶ ἀνόσια, καὶ τῆς ἐκείνων ἀθεότητος ἴδια· ἃ μετὰ τῆς μνήμης αὐτῶν εὐθὺς ἀπέσβη, ὥσπερ καπνὸς ὑπὸ λαίλαπος τάχιστα σκεδαννύμενα, καὶ σοί γε θαυμάζεται τοῖς παροῦσι μόνον προσηλωμένῳ, καὶ οὐδαμῶς τῶν ἀποκειμένων ἐν τῷ μέλλοντι τοῖς ἀξίοις ἀγαθῶν ἐν ἐλπίσιν ὑπάρχοντι.

οζ. Γέλως σοι προκείσθω τῶν ὁσίων καὶ ἀσκητῶν ἀνδρῶν ὁ βίος (3), οἷς ἐν σώματι τὸ ἀγγελικὸν καὶ ἄσαρκον ἐπιδείκνυται· διάσυρε τὴν ἐγκράτειαν, τὴν ταπεινοφροσύνην, τὸ πρᾷον, τὸ ἥσυχον, τὸ μακρόθυμον, τὴν χαμευνίαν, τὴν ἀκτησίαν, τὴν ἐρημίαν, τὸ κόσμου καὶ τῶν ἐν κόσμῳ χωρίζεσθαι, καὶ τἄλλα οἷς Θεὸς εὐαρεστεῖται καὶ ἥδεται· ἄνοιγε τὸ στόμα κατὰ τοῦ ἀγγελικοῦ καὶ ἀποστολικοῦ σχήματος· ἀποβιάζου τοὺς ἐν τῷ μονήρει διαπρέποντας βίῳ, τὰς πρὸς Θεὸν ἀθετεῖν ὁμολογίας, τὸν βίον μεταῤῥυθμίζεσθαι, τὸ σχῆμα μεταμφιέννυσθαι, τὸ μέλαν καὶ τραχὺ καὶ ῥακῶδες ἱμάτιον ἀποτίθεσθαι, καὶ τὸ λευκὸν καὶ λαμπρὸν μετενδιδύσκεσθαι· δημοσίευε, ἐπὶ θεάτρων ἄγε, καταγόρευε, πλέκε διαβολὰς, αἰσχρουργίας ἐπινόει· οἷς εἰ μὴ βούλοιντο τῶν πρὸς

(1) Copronymi avaritiam et subditorum spoliationes memorat Cedrenus p. 462.

(2) Caesaris huius impietatem ac prope atheismum non exaggerat heic Nicephorus, sed cum aliis historicis vere adfirmat.

(3) Singulare Copronymi adversus monachos odium et persecutionem narrant passim byzantini historici.

θεὸν συνθηκῶν παραβάται γίνεσθαι, κατακρινέσθωσαν οἱ ἀθῷοι καὶ ἀναίτιοι· ἀμνημονεύτους ὀνόμαζε· ἐπεὶ καὶ Χριστὸς, τὸ παρὰ σοὶ, ὡς θεὸς ἀθετούμενος, ὡς ψιλὸς δὲ ἄνθρωπος προσαγορευόμενος· ταῦτα ὁ σὸς Χριστὸς (1) καὶ διδάσκαλος, ὁ ἐμὸς διώκτης καὶ τῶν τοῦ Χριστοῦ, μᾶλλον δὲ αὐτοῦ Χριστοῦ ἀντίθετος· εὐπάθειαν τὴν κατὰ τὸν τῇδε βίον ἐπιζητεῖς; πίστιν δοκιμαζομένην, καὶ πράξεων τὸ λαμπρὸν καὶ περίοπτον, ταύτῃ βούλει παραμετρεῖν; ἔξεστί σοι εἴπερ ἀληθείας ὁπωσοῦν πεφρόντικας, τὴν τῶν πραγμάτων ἐπεσκεμμένῳ φύσιν, τὰ τῶν ὅρων τῆς θεοσεβείας πόῤῥω που κείμενα, ὡς σφαλερὰ καὶ ἀπόπτυστα δόγματα, καὶ τὸν περὶ ψυχῆς φέροντα κίνδυνον, καὶ τοὺς τούτων εἰσηγητὰς καὶ πατέρας, διακρούεσθαί τε καὶ ἀποπέμπεσθαι.

οη. Τῶν δὲ προβεβασιλευκότων πιστῶν, καὶ μέγα τὸ εὐδόκιμον τῆς ἐπ' εὐσεβείᾳ σπουδῆς κληρωσαμένων, τήν τε ὁμολογίαν, καὶ ἣν περὶ τὴν οἰκονομίαν τοῦ Χριστοῦ δόξαν εἶχον, ἀποδέχεσθαί τε καὶ ἀσπάζεσθαι, καὶ τούτων περινοεῖν τὰς μεγαλοπρεπείας τὲ καὶ λαμπρότητας, καὶ τὸ θερμὸν ὃ περὶ τὴν ἀμώμητον καὶ ακίβδηλον ἡμῶν θρησκείαν ἐπεδείξαντο, τὴν τῶν ὀρθῶν δογμάτων συντηροῦντες φυλακὴν καὶ ἀσφάλειαν· ὁ Κωνσταντῖνος ὁ μέγας ἐνταῦθα προκείσθω, οἷα δὴ κορυφὴ καὶ ἀκρόπολις εὐσεβείας σοι προφαινόμενος· ἵνα ἐξ ἐκείνου τοῦ λόγου κατάρξωμαι, ἐκείνῳ τούτου τῷ χρόνῳ κατάρξαντος, καὶ σκόπει ὡς πιστὸς τῷ θεῷ καὶ φανεὶς καὶ γενόμενος, οἷα κατήνυσεν ἄρξας· τὴν μὲν γὰρ τῶν εἰδώλων πλάνην, φροῦδον αὐτίκα πεποίηκε· βωμούς τε αὐ. καὶ τεμένη, ἐν οἷς τῶν βδελυρῶν δαιμονίων ἐπετελεῖτο ἡ θεράπεια, ἐκ βάθρων αὐτῶν καταστρεψάμενος, θυσίας τὲ αὐτῶν καὶ τελετὰς πάμπαν ἐκ ποδῶν ἐργαζόμενος, τὰς δὲ πρὸς θεὸν κρατύνων ὁμολογίας, τοὺς καθ' ἡμᾶς ἱεροὺς ναοὺς ἀνεστήσατο καὶ ἐφαίδρυνε, φιλοτιμίαις ὡς πλείσταις καὶ μεγαλοψυχίαις εἰς αὐτοὺς ὅτι μάλιστα χρώμενος, καὶ τήν τε ἐλευθερίαν καὶ παῤῥησίαν χριστιανοῖς ἐχαρίσατο· οὐ μὴν δὲ ἀλλὰ καὶ κατὰ τοὺς σεβασμίους οἴκους, οὓς αὐτὸς τῷ θεῷ ἐκ θεμελίων ἀνίστη· τὰ ἱερὰ σύμβολα τῆς μεγάλης τοῦ θεοῦ οἰκονομίας, θαύματά τε καὶ θεοσημίας καὶ παθήματα, πρὸς δέ γε καὶ τὰ τῶν ἁγίων αὐτοῦ, σαφῶς καὶ πολυτελῶς ἐξεικονίζων διέγραφεν, ἔν τε τοῖς ἱεροῖς σκεύεσι καὶ ἑτέρωθι πράττων τετίμηκεν, ἐντεῦθεν τε οἴκων τὸν καλλωπισμὸν καὶ τὴν ὡραιότητα ἐργαζόμενος, ὁμοῦ καὶ τὴν τοῦ θείου μυστηρίου ἐξαπλῶν καὶ διατρανῶν δύναμιν, καὶ τοὺς θεωμένους πρὸς εὐσεβείας ἐνάγων ὑπόμνησιν· καθάπερ ὑπαγορεύει τὰ εὐαγγέλια, καὶ μάρτυρες τούτων ἀπαράγραπτοι· αὐτοί τε οἱ ναοὶ μέγα καὶ διαπρύσιον τὴν ἐκείνου βοῶντες ὀρθοδοξίαν· οὐδὲν δὲ ἧττον καὶ εἰς ἔτι καὶ νῦν διασωζόμενοι, τὸν πρὸς αὐτοῦ κεχαραγμένων νομισμάτων οἱ τύποι (2)· ἐντεῦθεν οὖν δέχου τὰ κατορθώματα οἷα καὶ ὅσας κατὰ παντὸς

(1) Confer cap. 80, ubi intelligendam cognosces mamonam seu avaritiam et luxuriam, in cuius se disciplinam tradiderat Copronymus.

(2) Puta magni Constantini nummos cum labaro seu Christi monogrammate. Nummos toto orbe romano diffusos, in quibus magnus Constantinus habitu orantis cudi se iusserat, memorat Eusebius vit. Const. lib. IV. 15.

ὀθνείου ἀνεδήσατο νίκας· ὅπως τε αὐτῷ τὰ τῆς ἀρχῆς ἐπευρύνετο, καὶ τὰ τῆς ζωῆς εὖ ἔσχε, καὶ ὁ χρόνος ὅσον εἰς ἀνθρωπίνης ζωῆς μέτρον ἱκανώτατος· καὶ τί χρὴ λέγειν οἷος λαμπρὸς καὶ περίβλεπτος ἐν τῷ βίῳ ἐχρημάτισεν; εἰ δὲ κτίσεων ἔργα θαυμάζειν σοι πάρεστιν, ὅρα παρελθὼν τὸ Βυζάντιον εἰς ὅσον αὐτὸ ἐπῆρε δόξης καὶ εὐκοσμίας, τοσοῦτον αὐξήσας καὶ καλλωπίσας τείχεσί τε καὶ περιβόλοις, ὅσον ἐπιτήδειον δέξασθαι τὰ Ῥωμαίων βασίλεια· τί δεῖ ἀπαριθμεῖσθαι κτισμάτων πλῆθος καὶ μέγεθος, ἐξ ὧν πάντων ὑπερήνεγκεν, ἃ μήτε τοῖς ὁρῶσι καταλήψεσθαι ῥᾴδια, μὴ δὲ γράφουσι δυνατὸν ἀνατάξασθαι; κάτιθι ὁδῷ βαδίζων ἐπὶ τὰ κάτω, καὶ μάνθανε οἷα οἱ μετ᾽ ἐκεῖνον εὐθύτητι δογμάτων ἐμπρέψαντες ἔδρασαν· θέα μοι εἰ βούλει τὸν Θεοδόσιον, ἵνα τὸ συνεχὲς τοῦ λόγου συμφυλαχθείη τῆς κτίσεως, ἐφ᾽ ὅσον τὴν αὐτὴν πόλιν Κωνσταντίνου ἐξαπλῶν καὶ ἀπευρύνων διάστημα ἐμεγάλυνε, καὶ οἷα τὰ ἱερὰ, ἅπερ τὸν αὐτὸν τοῖς προλαβοῦσι τῆς ὀρθοδοξίας ζηλώσας τρόπον ἐδείματο· λογίζου τὸν ἀριθμὸν τῶν χρόνων, ὅς σοι φίλος καὶ περισπούδαστος, τῆς ἐκείνου βασιλείας τὸ μήκιστον, ὦ φιλόχρονε σὺ καὶ φιλόκοσμε, καὶ τῶν ῥεόντων ἐρῶν ἐκτοπώτατα· δυσὶ γὰρ πρὸς τοῖς τεσσαράκοντα ἔτεσιν εἰς τὸν θρόνον διέπρεψε τὸν βασίλειον (1).

οθ. Τί ταῦτα; θαύμαζε εἴ σοι πεπίσταται τῶν ἀμεινόνων ἡ κρίσις, τὴν τοῦ πάππου τούτου Θεοδοσίου τοῦ μεγάλου, περί τε τὸ θεῖον καὶ τοὺς τοῦ θείου θεράποντας εὐλάβειαν· ἣν γὰρ περὶ τὴν τοῦ σωτῆρος ἡμῶν οἰκονομίαν, σπουδὴν καὶ πίστιν ἐκέκτητο, οἵ τε ἐνταῦθα ἱεροὶ οἶκοι παρ᾽ αὐτοῦ κατασκευασθέντες, οἵ τε κατὰ τὴν ἑσπερίαν (2) ἱδρυμένοι κηρύσσουσι· τά τε κατὰ βαρβάρων ὡς πλεῖστα, δεδωρημένα ἄνωθεν νικητήρια, αἱ βίβλοι περιαγγέλλουσιν· ὧν ἑνὸς διακούσας, εἰ μή σοι τὰ τῆς ψυχῆς πεπώρωται καὶ ἀπηχρείωται αἰσθητήρια, εὐγνωμονήσαις ἂν περὶ τἄλλα τοῦ ἀνδρὸς ἀνδραγαθήματα· ἐθνῶν γάρ ποτε πολεμίων εἰς πλῆθος ἀξιολογώτατον συμφραξαμένων, καὶ πόλεμον ἐπ᾽ αὐτῷ κινούντων καὶ ἐπαναγεινομένων τὸν φρικωδέστατον, ὁ δὲ οἷα τὸν τρόπον φιλόθεος, καὶ τὴν εἰς θεὸν πίστιν θερμότατος, ὅπερ ἦν αὐτῷ τῶν βουλευμάτων ἄριστον ἐπὶ ταῖς τοιαύταις συμβάσεσι, τῇ μὲν ἐκ τῶν ὅπλων παρασκευῇ ἥκιστα θαῤῥεῖν, καὶ τῇ ἐκ τῶν στρατευμάτων μὴ ἐπαυχεῖν πολυπληθείᾳ, τῷ μὴ πάνυ τι τὸ ἀσφαλὲς εἰς τὸ ἀνδραγαθίζεσθαι ἔχειν, ἐπὶ τὴν θείαν δὲ συμμαχίαν καταφεύγειν ἀεὶ, τοῦτο καὶ τηνικαῦτα ποιεῖ, ἄμαχον ἕξειν ταύτην ἐπικούρημα πεποιθώς· ἀποστέλλει τοίνυν πρός τινα τῶν κατ᾽ Αἴγυπτον θεοφόρων ἀνδρῶν, ἐπ᾽ ἔργοις παραδόξοις τεθαυμασμένον, ὡς αὐτὸν ἥκειν προτρέπων, ὡς ἂν ταῖς ἐκείνου εὐχαῖς ἐφοδιαζόμενος, τῆς πρὸς τοὺς ἀντιπάλους κατάρξειε μάχης· ὁ δὲ τὴν μὲν παρουσίαν ὑπὸ εὐλαβείας ἀνεβάλετο, εὐχὴν δὲ ἐπὶ τῇ βακτηρίᾳ καθ᾽ ἣν ἐπεστήρικτο, καὶ τῷ περιβολαίῳ ὃ δὴ περιαυχένιον ἔφερε

(1) Loquitur de Theodosio minore, qui reapse annis XLII. imperavit, et Constatinopolim moenibus aedificiisque plurimis amplificavit.

(2) Intellige apprime divi Pauli templum extra Romae muros decreto seu lege Theodosii senioris aedificatum.

ποιησάμενος, ταῦτα ἐκπέμπει πρὸς Θεοδόσιον· καὶ ὅ γε πιστός τε καὶ εὐλαβῶς δεξάμενος, θαρσήσας τὲ ἐπ' αὐτοῖς, τὸ μὲν περιβόλαιον, ἀντὶ κόρυθος ἐπὶ τῆς κεφαλῆς, καθάπερ αὐτῷ ἐντέταλτο περιβάλλεται, τῷ δὲ βάκτρῳ ἀντὶ δόρατος τὴν δεξιὰν καθοπλίζεται· πρώτιστος δὴ οὖν τοῦ κατ' αὐτὸν στρατιωτικοῦ παντὸς προαφορμήσας, πρὸς τοὺς ἐναντίους χωρεῖ· ἐπεὶ οὖν τοῦτον οἱ βάρβαροι ἐθεάσαντο, αὐτίκα δὴ μάλα οἵ γε πρὸς φυγὴν ἐτράποντο ἅπαντες, ὑπ' ἀλλήλων τὲ βαλλόμενοι εἰς μέγα κακὸν ὀλέθρου ἧκον, καὶ ταῦτα μηδενὸς τῶν ἀντιπαρατεταγμένων, μήτε πλησιάσαντος μήτε βαλόντος· οὕτως οὖν λαμπρὸν τρόπαιον ἐν τῷ τότε καιρῷ κατὰ τῶν δυσμενῶν ἐστήσατο· ἐξ ἐκείνου τοίνυν καὶ μέχρι βίου παντὸς, ἐπὶ τοῖς θαυμαστοῖς ὅπλοις καὶ νικοποιοῖς στεφόμενος ὑπὲρ διάδημα βασιλικὸν ἐσεμνύνετο, ἀντὶ παντὸς ὅπλου τούτοις ἀεὶ κοσμούμενός τε καὶ χρώμενος· ταύτης τῆς παραδόξου νίκης ἁπανταχόθι βεβοημένης, οἱ τὴν Ἀλεξάνδρου προσοικοῦντες μεγαλόπολιν, πάνδημον ἑορτὴν καὶ πανήγυριν ἀνὰ πᾶν ἔτος ἐπὶ ταύτῃ ἦγον, καὶ εἰκόνιον προσηγόρευον· καὶ γὰρ τοῦ βασιλέως εἰκόνα διέγραψαν, αὐτοῖς ὅπλοις οἷς καθώπλιστο ἀνιστορήσαντες, δι' ἧς τὸ γεγονὸς περὶ αὐτὸν ἐκηρύσσετο θαῦμα (1).

π. Ἀλλ' οὐχ' ὁ σὸς διδάσκαλος μαμωνᾶς τοιαῦτα, οὐδὲ εὐλάβεια καὶ πίστις ἦν ἐν αὐτῷ, ἀπηναισχύντησε δὲ κατά τε τοῦ θεοῦ μανεὶς καὶ τῶν ἱερῶν ἀνδρῶν, τῶν ὥσπερ αὐτῷ ἀνάθημα προσηκόντων· καὶ τὸ ἀποστολικὸν δὴ τοῦτο καὶ ἀγγελικὸν τοῦ μοναστικοῦ βίου σχῆμα βδελυσσόμενος, ἐπώνυμον τῆς θεοσεβείας, τὸ ἀμνημόνευτον αὐτοῖς ἐπέγραψεν ὄνομα· βδέλυγμα γὰρ ἁμαρτωλῷ θεοσέβεια· οἷα δὲ εἰς αὐτοὺς τυραννίδι ἐπιὼν ὁ τύραννος ἔδρασε, τάς τε πρὸς θεὸν ἐπηγγελμένας αὐτοῖς ὁμολογίας καὶ συνθήκας ἀθετεῖν ἐκβιαζόμενος, καὶ τὸ σχῆμα τὸ ἱερὸν ἀποῤῥίψαντας, τὸ τῶν λαϊκῶν μεταμφίσκεσθαι· ἔτι δὲ οὓς καὶ γυναιξὶ συζυγῆναι ἐξηνάγκασεν, ἐπί τε τῆς ἱππικῆς ἁμίλλης αὐτούς τε τοὺς μοναχοὺς καὶ τὰς μοναζούσας σεμνὰς παρθένους, κατὰ συζυγίαν συνδέων καὶ ἄγων ἐθριάμβευεν (2), ἀθεώτατα καὶ παρανομώτατα, καὶ παρὰ πάντα τὸν τῶν χριστιανῶν νόμον διαπραττόμενος, καὶ τἄλλα ὁπόσα δὴ καὶ ὁποῖα εἰς αὐτοὺς κατεπράξατο ἄθεσμα καὶ ἀνόσια, κρείττονος ἢ τοῦ παρόντος λόγου ἐστὶν ἐκδιηγεῖσθαι.

πα. Ἀλλ' ἄγε δὴ ἐντεῦθεν μετάβηθι, καὶ τῶν μεταγενεστέρων εἰ βούλει περιεργάζου τοὺς τῆς ζωῆς χρόνους καὶ τὴν εὐπάθειαν, ἐπεί σοι κριτήριον πίστεως αἱ κατ' ἐχθρῶν νῖκαι, καὶ τοῦ παρόντος κόσμου αἱ περιφάνειαι· ὁ τῆς νέας πίστεως, μᾶλλον δὲ τῆς νέας κατατομῆς καὶ ἀπιστίας, τὸ τῆς ἀχαριστίας κτίσμα καὶ τῆς ἀκολασίας ἀνδράποδον, τὸν πάλαι Ἰουστινιανὸν περιάθρει, ὃς δὴ θερμῶς τε καὶ περιφανῶς τιμήσας τὰ τῆς ἐνανθρωπήσεως τοῦ λόγου ἀπεικονίσματα, τὸν τεσσαρακοντούτην δυοῖν δεόντοιν χρόνον, κατὰ τὴν ῥωμαϊκὴν

(1) Eandem hanc narrationem habemus diversis verbis apud S. Sophronium in historia sanctorum Cyri et Iohannis Spicil. rom. T. IV. p. 237-240.

(2) Legatur Theophanes in chron. ad an. 757, quem exscribit Cedrenus p. 466.

ἀρχὴν διετέλεσε· τὸ δὲ ὅπως κατὰ βαρβάρων ἐθνῶν τὸ εὔδαιμον ἀπηνέγκατο, αἱ περὶ αὐτῶν ἱστορίαι πλεῖσταί τε οὖσαι καὶ ἀξιολογώτατοι φέρουσι, καὶ ἴσασι ταῦτα οἱ ἐντετυχηκότες ἐπιμελέστερον. Ἐπὶ κτίσμασι μέγα φρονεῖς, καὶ πίστεως τοῦτο παραλαμβάνεις μαρτύριον; τὰ μὲν ἄλλα σοι παρετέα πλεῖστα ὅσα καὶ μέγιστα καὶ ἀριθμοῦ κρείττονα, ἐν οἷς πολυειδῶς καὶ ποικίλως τά τε τῆς τοῦ λόγου ἐνσωματώσεως καὶ τῶν ἁγίων τοὺς ἄθλους ἀνιστόρησε, θείοις ναοῖς τε καὶ ἄλλοις δομήμασιν· ἓν δέ σοι ἀντὶ πάντων ἀρκέσει, τὸ τῆς σοφίας τοῦ θεοῦ λόγου ἐπώνυμον ἱερόν· τοῦτο δὴ τῶν θαυμάτων τὸ ἀξιάγαστον, ὃ ἀνὰ πᾶσαν τὴν οἰκουμένην βεβοημένον θαυμάζεται, πάντων τῶν πώποτε μνημονευομένων καὶ ἱστορουμένων, τῷ ἀπειροπλασίονι μεγέθει καὶ τῷ ὑπεραίροντι κάλλει, παραδοξότατόν τε καὶ ἀξιοθέατον. Ἡρακλείῳ δὲ, ἵνα τοὺς ἐν μέσῳ παραδράμωμεν, οὐδὲ παραστῆσαι ῥᾴδιον ὁπόσος ὁ περὶ τὰ ἱερὰ ταῦτα σεβάσματα πόθος καὶ ἡ προσκύνησις, μέγα σαλπίζουσιν οἱ παρ' ἐκείνου ἀναστάντες ναοί· οὗ καὶ τὰς λεγομένας ἀχειροποιήτους τοῦ σωτῆρος ἡμῶν Χριστοῦ εἰκόνας (1), ὁ χρόνος διέσωζεν, ὑφ' ὧν μάλιστα τῷ πόθῳ καὶ τῷ σεβάσματι περιεφλέγετο ὡς μὴ δὲ ἀπαίρειν μὴ δὲ κατάρχειν ὁδοῦ, τούτων χωρὶς, βούλεσθαι, ἀλλ' ὡς συνεκδήμων καὶ ἡγεμόνων ἀπλανῶν περιέχεσθαι· τῶν πρεσβειῶν δὲ τῆς παναχράντου δεσποίνης ἡμῶν θεομήτορος, καὶ τῶν ἁγίων ἡ μνήμη καὶ ἡ ἐπίκλησις πόση; οὐδὲ ἀναπνεῖν αὐτῷ ὑπῆν ὅσον ταύτας αἰτεῖν· οἷαι δὲ αὐτοῦ αἱ πράξεις; μετὰ τῆς τοιαύτης πίστεως καὶ τοῦ σεβάσματος, αἱ πόλεις καὶ αἱ χῶραι κεκράξονται, αἳ δὴ ὑπὸ Πέρσας τηνικαῦτα τυγχάνουσαι, πίστει τῇ ἐκείνου καὶ ἱδρῶσι πλείοσιν ἀποκαθίστανται, Ῥωμαίους ἀνασωζόμεναι· ταύτας γὰρ ἀπροσεξία καὶ ῥᾳθυμία τῶν προαρξάντων, μᾶλλον δὲ ἁμαρτία ἡ τῶν πολλῶν, τοῖς ἐχθροῖς ἐνεχείρισε· χρόνος δὲ αὐτῷ ὑπὲρ τὰ τριάκοντα κατὰ τὴν ἀρχὴν διήλασεν ἔτη, καὶ ὁ πᾶς τῆς ζωῆς αὐτῷ βίος ὑπὲρ τὰ τούτων διπλάσια περιεγένετο· καὶ οὕτως οἵ τε πρότεροι, καὶ οἱ καθεξῆς βασιλεῖς τε καὶ ἄρχοντες ἐπ' εὐσεβείᾳ ἐμπρέποντες, καὶ ἐβίωσαν καὶ τὰ καθ' ἑαυτοὺς διῴκησαν· τί πρὸς ταῦτα φής; ποῦ τὰ τοῦ σοῦ διδασκάλου; εἴ σοι δόξειε τὰ παρὰ σοῦ θαυμαζόμενα, μέτρῳ πρὸς τὰ ἱστορούμενα κρίνειν, τί συμβήσεται; σταγὼν πρὸς ὠκεανὸν τὰ τῆς σῆς μεγαλαυχίας πρὸς ἐκεῖνα νομισθήσεται.

πβ. Ἀλλ' ἐκεῖνοι μὲν οὔτε εὐημεροῦντες τῇ τοῦ καθ' ἡμᾶς εὐαγγελικοῦ κηρύγματος ἱστορίᾳ προσέπταισαν, οὔτε δυσπραγοῦντες χεῖρας κατὰ τῶν ἱερῶν ἀγαλμάτων ἐπέβαλον· οὔτε γὰρ τὴν χριστιανῶν θρησκείαν τῇ φορᾷ τῶν τῇδε πραγμάτων παρέβαλον· οὐδαμοῦ γὰρ τὸ ἑδραῖον καὶ στάσιμον ὁ βίος ἔχων φαίνεται, ἄλλοτε δὲ ἄλλως μεταβαλλόμενος, καὶ οὔ ποτε ἐν τοῖς αὐτοῖς μένων, ποτὲ μὲν εὖ τοῖς πράγμασι φερόμενος, ποτὲ δὲ εἰς τοὐναντίον περιϊστάμενος· ἕως ὁ καιρὸς τῆς ἀποστασίας ἐφέστηκε, καὶ οἱ τῆς εὐαγοῦς ἡμῶν πίστεως κατήγοροι καὶ ἀποστάται, οἷα θῆρες τινὲς τὴν τοῦ Χριστοῦ ποίμνην καταδραμόν-

(1) De Christi domini imagine non manufacta, quam secum circumferebat Heraclius imperator, legesis Theophanem in chron. ad eiusdem Heraclii annum 12.

τες, ἅπαν τὸ εὐσεβὲς ἐλυμήναντο, τοὺς τῆς ἱερᾶς ἐκκλησίας ἀρχαιοτάτους καὶ θειοτάτους ὅρους καὶ θεσμοὺς, ἀθέσμως καὶ ἀνοσίως διὰ τὰς ἁμαρτίας ἡμῶν καταστρεφόμενοι, τὴν οἰκείαν δόξαν ἢ αἰσχύνην εἰπεῖν οἰκειότερον, τῆς τοῦ θεοῦ προκεκρικότες δόξης· ἀλλὰ σὺ μὲν τὴν πίστιν τὴν καθ' ἡμᾶς δοκιμάζων, ἄπιστος ὤφθης καὶ ἀδόκιμος· οὐ γὰρ δοκιμὴ ἐν ταύτῃ ἐπιζητεῖται, ἀπιστίας γὰρ τοῦτο, ἀλλὰ ψυχῆς ἁπλότης, καὶ λογισμῶν καθαρῶν συγκατάθεσις ἀπερίεργος· τὸν πιστὸν γὰρ ταῦτα χαρακτηρίζειν ἐπίσταται· ἡμεῖς δὲ ἀπιστίαν τῷ ὄντι ἐξετάζοντες, καὶ ταῖς τῶν πραγμάτων ἐκβάσεσιν ἐπιστήσαντες, καὶ κριτηρίῳ ἀσφαλεῖ τῇ ἀληθείᾳ χρώμενοι λέγομεν, ὅτι διὰ τὴν τῶν σῶν διδασκάλων ἀπιστίαν, καὶ τὴν εἰς Χριστὸν, καὶ τὴν ἐκκλησίαν ὕβριν πλεῖσται ὅσαι χῶραι καὶ πόλεις μεγάλαι καὶ λαοὶ, οἷς τὸ εἰς τὴν καθ' ἡμᾶς πίστιν εὐσεβὲς τετήρηται, καὶ τούτων μάλιστα τὰ πρὸς ἥλιον καταδυόμενον πρόσοικα γένη πρὸς ἀπόστασιν εἶδον (1)· ἐξ ὧν ἤδη παρὰ πολὺ διαιρούμενα, κεκακῶσθαι τὰ τῆς Ῥωμαίων ἀρχῆς καὶ ἠλαττῶσθαι συμβέβηκε.

πγ. Πολὺ γοῦν τῶν ἐν τῷ τότε ἐνακμασάντων ἀνθρώπων αἱ ψυχαὶ τὸ σφαλερὸν καὶ ἐπιβλαβὲς νοσήσασαι, κατακρίσεσιν αἰωνίαις παραδίδονται· πρόκειται οὖν σοι τὰ τῶν ἐπ' εὐσεβείᾳ ἀρξάντων ἔργα τὲ καὶ κατορθώματα καὶ οἱ χρόνοι, εἴ σοι ἡ πίστις ἐν τούτοις παρέξεσται σαφὲς διδασκάλιον, ὁδηγοῦντά σε πρὸς πᾶσαν ὁδὸν σωτήριον, ἄν περ διὰ φροντίδος σοι ἡ τῆς ψυχῆς σωτηρία ποτὲ γένοιτο, τούτων ζήλου τὴν πίστιν, τῇ εἰς θεὸν ἐλπίδι βεβαιούμενος, καὶ ἀποδέχου τὰς εὐσεβεῖς καὶ ἀρίστους πράξεις, καὶ τῶν παρόντων ὑπερόρα, καὶ πρὸς τὸ μέλλον ἐπείγου, καὶ θεὸν τῶν πεπραγμένων ἐκδέχου κριτὴν δικαιότατον, ἵνα μὴ τοῖς ἐγκοσμίοις μόνον ἐναπομένων, τοῖς ἀγνοήσασι ταῦτα κατὰ τὸ ἀδέκαστον ἐκεῖνο καὶ φρικωδέστατον κριτήριον, τῇ γεέννῃ συμπαραληφθῇς ἀθάνατα κολασθησόμενος· ἔνθα οὐκ ἔνι βασιλεὺς καὶ ἰδιώτης, πλούσιός τε καὶ πένης, οὐ φίλος, οὐ συγγενὴς, ὃς ἑτέρῳ βοηθεῖν δυνήσεται· ἕκαστος γὰρ τοῖς ἰδίοις ἔργοις ἐξετασθήσεται, ἢ δοξασθησόμενος ἢ αἰσχυνθησόμενος· ἀλλ' εἰ μὴ τοσοῦτον προκατεσχέθης τῇ ἀπιστίᾳ, ἐκπονηθήσεταί σοι τῇ πλάνῃ καταδυέντι ποτὲ ἀνανήξασθαι, καὶ πρὸς τὴν τῆς ἀληθείας ἀποσκοπῆσαι εὐθύτητα. Ἵνα (2) σοι τὸ λυσιτελοῦν καὶ εὖ γεγονέναι ὑπάρξῃ ἐπ' ἐξουσίας, πρόκειται ἀκοῦσαι ὅθεν τὲ καὶ ὅπως τὰ τῆς αἱρέσεως ταύτης, μᾶλλον δὲ ἀποστασίας, τὴν ἀρχὴν καὶ τὴν πρόοδον εἴληφεν· ἵνα σοι εὔγνωστον γένηται, ὡς οὐ βασιλικὸν ἀλλ' ἰουδαϊκὸν τὸ φρόνημα τοῦτο καὶ κακούργημα (3)· πρὸς γὰρ ταῖς λοιπαῖς ἁπάσαις αἱρέσεσιν, αἳ τῇ τοῦ Χριστοῦ ἐκκλησίᾳ παρὰ τοῦ ἐχθροῦ ἐνσπαρεῖσαι κακῶς παρεφύησαν, καὶ αὕτη ἡ πικρὰ δυσσεβῶς συμπαρεβλάστησεν ἄκανθα· ἐκείναις γοῦν συντεταγμένη παρέπεται, ἑκατοστὴ δευτέρα ταῖς προκατειλεγμέναις ἐπαριθμουμένη· ἔχει δὲ ὧδε.

(1) Reapse ob Iconoclastarum haeresim defecit romana urbs ab obedientia Caesarum byzantinorum.

(2) Ab hoc loco usque ad operis ferme finem, edidit hunc Nicephori tractum ex parisiaco codice Lequinius in adnotationibus ad S. Ioh. damascenum de haeresibus Opp. T. I. p. 115.

(3) Apud Lequinium κατηγόρημα.

ΑΙΡΕΣΙΣ ΕΚΑΤΟΣΤΗ ΔΕΥΤΕΡΑ ΧΡΙΣΤΙΑΝΟΚΑΤΗΓΟΡΟΙ ΗΓΟΥΝ ΕΙΚΟΝΟΚΛΑΣΤΑΙ.

πδ. Χριστιανοκατήγοροι ἐκλήθησαν, ἐπείπερ τῶν χριστιανῶν λατρευόντων ἑνὶ θεῷ ζῶντι καὶ ἀληθινῷ ἐν τριάδι προσκυνουμένῳ, κατηγόρησαν φάσκοντες, ὅτι ταῖς σεπταῖς εἰκόσι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τῆς τε ἀχράντου δεσποίνης ἡμῶν καὶ παναγίας θεομήτορος, καὶ τῶν ἁγίων ὡς θεοῖς καθάπερ ἕλληνες λελατρεύκασι, καὶ ὡς εἰδώλοις δῆθεν ἀπεχθανόμενοι, τὴν Χριστοῦ ἐκκλησίαν αἰσχρῶς καθύβρισαν· ταύτας τε καταστρεψάμενοι, καὶ τοὺς σέβοντας κατὰ τὸ παραδοθὲν ἀρχῆθεν χριστιανοῖς ἔθος, πικρῶς αἰκιζόμενοι. Ἰουδαϊκὸν δὲ καὶ θεοστυγὲς τὸ φρόνημα· οὕτω γὰρ φασὶ τῶν πρεσβυτέρων τινὲς βλαστῆσαι τὴν αἵρεσιν· ὡς κατὰ τὴν Τιβεριάδα (1) τῶν ἰουδαίων τῆς θρησκείας ὑπῆρχε τίς γνωριζόμενος, προὔχων δὲ ἐν τῷ κατ' αὐτὸν ἔθνει, ᾧ ἐπώνυμον τεσσαρακοντάπηχυς· ὄργανον δὲ τοῦ πονηροῦ τυγχάνων δαίμονος, καὶ ὅλον αὐτὸν εἰσδεδεγμένος, φαρμακείας καὶ γοητείας οἷα τέχνην τινὰ μετήρχετο· οὗτος δυσμενὴς χριστιανοῖς καθίστατο, καὶ τῇ Χριστοῦ ἐκκλησίᾳ ἐβάσκαινε, καὶ δὴ ἐπετήρει καιρὸν, καθ' ὃν ἐπιθέμενος λωβήσαιτο τὴν εὐσέβειαν· εὑρίσκει τοίνυν τοῦ τηνικάδε τοῦ φύλου τῶν Σαρακηνῶν κρατοῦντος τὴν εὐχέρειαν, ᾧ Ἰέζιδος ἦν ὄνομα, οἰκειοῦταί τε αὐτῷ, καὶ οἷα εἰκὸς τὰ τῆς εὐνοίας ἐπιδεικνύμενος, τῶν καταθυμίων αὐτῷ τινὰ προὐμαντεύετο, καὶ ἅμα ὑπισχνούμενος, ὡς εἴπερ ταῖς αὐτοῦ ὑποθήκαις εἴξειε, τὸ μακρόβιον ἕξει ἐν τῇ ἀρχῇ, καὶ τὸν τριακονταέτην ἐν αὐτῇ διανύσειε χρόνον· ὁ δὲ ἀναπτερωθεὶς τῇ κουφότητι, ἅ τε τὸν ἀκόλαστον ἀσπαζόμενος βίον, καὶ ἐπὶ μήκιστον τὰ τῆς φιλοσαρκίας (2) ἐπεκτείνεσθαι αὐτῷ πρὸς ἡδονὴν ἀποδεχόμενος, τῷ λόγῳ τοῦ δυσσεβοῦς συνετίθετο· ὁ δὲ ἦν κελεύειν ὅτι τάχιστα τοῖς ἀνὰ πᾶσαν αὐτοῦ τὴν ἀρχὴν, τὴν ὁπωσοῦν ἀνεστηλωμένην εἰκόνα, καὶ ὅλως παντὸς ζώου ὁμοίωμα καθαιρεῖσθαι καὶ ἀφανίζεσθαι· διαβολικὸν δὲ τοῦ θεομάχου τὸ κακούργημα, τὸν δόλον ἐγκρύψαντος, ὡς δὴ καὶ λανθανόντως διὰ τοῦ πᾶν ὁμοίωμα καθαιρεῖσθαι, συγκαταβληθῆναι καὶ τῆς καθ' ἡμᾶς ἱερογραφίας τὴν εὐκοσμίαν· καὶ ἐπεὶ τὸ ἀνόσιον τοῦτο δόγμα περιήγγελτο, συγκαθῃρεῖτο εὐθὺς τοῖς ἄλλοις ὁμοιώμασι καὶ ἀγάλμασι, καὶ ὁ κατὰ τὰς Χριστοῦ ἐκκλησίας τῶν ἱερῶν εἰκονισμάτων διάκοσμος· τούτων γὰρ τὰ μὲν ἀπέξεον, τὰ δὲ κονίζοντες ἐξηφάνιζον, ἔστι δὲ ἃ καὶ σὺν αὐτοῖς τοῖς ἱεροῖς οἴκοις τε καὶ σκεύεσι καὶ ἐσθήμασι, τῷ πυρὶ παρεδίδοσαν· καὶ ταῦτα χερσὶ βεβήλοις καὶ ἀνοσίοις ἐτολμᾶτο· οἱ γὰρ εἰς τοῦτο πεμφθέντες, χριστομάχους ἰουδαίους καὶ σαρακηνοὺς τὰ δεδογμένα πράττειν συνηνάγκαζον· χριστιανοὶ δὲ καίτοι συνωθούμενοι καὶ βιαζόμενοι, τοῦ τηλικούτου μιάσματος ἐφάψασθαι οὐκ ἐπείθοντο· ἐντεῦθεν φυὲν καὶ αὐξηθὲν, τῇ

(1) Iudaeum hunc Iconoclastarum coryphaeum non Tiberiade, sed Laodicea Syriae, oriundum dicit Theophanes in chron. ad Christi annum 715, nec non Cedrenus p. 450. Neque tamen mendum esse codicis romani hanc Nicephori lectionem, demonstrat codex parisiacus, ubi pariter legitur Τιβεριάδα.

(2) Male apud Lequinium φιλοσοφίας.

Ῥωμαίων ἀρχῇ τὸ κακὸν ἐπεκώμασεν· οὐ τὴν λώβην οὐ τῶν τυχόντων τινὲς, ἀλλ' αὐτοὶ ἐδέξαντο τῆς ἱερωσύνης οἱ ἔξαρχοι, ποιμένες μὲν ὀνομαζόμενοι, λύκοι δὲ τὸν τρόπον καὶ τὴν προαίρεσιν καθιστάμενοι, ὧν ἐτύγχανε, καὶ ὁ τηνικαῦτα τῆς Νακωλείας ἐπίσκοπος (1)· τὰ αὐτὰ γὰρ τοῖς θεομάχοις καὶ φρονήσαντες καὶ διαπραξάμενοι, τὴν τοῦ θεοῦ καθύβρισαν ἐκκλησίαν.

Οἷον δὲ τέλος ὁ τῆς κακίας ταύτης εἰσηγητὴς, ὁ παμμίαρος οὗτος ἑβραῖος ἐδέξατο, παραδραμεῖν οὐ δίκαιον· ὁ γὰρ Ἰέζιδος ἐκεῖνος, οὐ πλείονας ἢ δύο ἐνιαυτοὺς πρὸς μησὶν ἓξ ἐπιβιοὺς, τοῦ ζῆν κακῶς ἀποῤῥήγνυται· ὁ δὲ τούτου υἱὸς Οὔλιδος τὴν προσηγορίαν, τὴν ἀρχὴν τὴν τοῦ πατρὸς διαδεξάμενος, οἷα τὸν τεκόντα ἐξαπατήσαντα, πικροτάτῳ καὶ ἐξαισίῳ θανάτῳ ἀναιρεθῆναι τὸν γόητα ἐπέτρεψεν, ἄξια τῆς κακίας τἀπίχειρα κομισάμενον· εὐθὺς δὲ ἡ ἀνὰ τὴν ἕω ἐκκλησία τὸν ἑαυτῆς ἐστολίζετο κόσμον, καὶ τὸν καινισμὸν τῶν ἱερῶν εἰκόνων ἐδέξατο· ἅπαξ δὲ τῆς πικρίας ἐκείνης ἡ ῥίζα τῇ ῥωμαϊκῇ ἐμφυεῖσα πολιτείᾳ, φθάνει καὶ μέχρι τοῦ τότε κρατοῦντος· Λέων δὲ ἦν καὶ τὴν προσηγορίαν καὶ τὴν διάθεσιν, ὃς τοῖς ἴσοις τῷ βαρβάρῳ τῆς ἀκολασίας καὶ φιλοσαρκίας κέντροις νυττόμενος ἐπιμανεὶς κατὰ τῆς εὐσεβείας, τῶν θείων ναῶν τὴν ἱερογραφίαν ἐξορύττειν ἐσπούδαζεν· οὗ καὶ τὴν ἀξίαν καὶ τὴν δυσσέβειαν ὁ υἱὸς Κωνσταντῖνος διαδεξάμενος, ἄσπονδον ἀνεῤῥίπισε κατὰ τῶν εὐσεβούντων τὸν πόλεμον· σύνοδόν τε ἱερέων ἀνοσίων συνεκρότησε, καὶ τὸ ἀσεβὲς τῆς ἑαυτοῦ ἀθεΐας δόγμα ἐξέθετο· τέλεον μὲν τὰς ἱερὰς εἰκόνας ἐξαφανίζεσθαι, τοὺς δὲ προσκυνοῦντας ἢ τὸν ὑπὲρ αὐτῶν λόγον πρεσβεύοντας, βασάνοις πικραῖς καὶ αἰκίαις παραδίδοσθαι· ἔγκλημα τούτοις εἰδωλολατρίας ἐπάγων, ὅτι ὡς θεοῖς ταύταις τὴν προσκύνησιν νέμουσι· τὸ δὲ ἱερὸν τοῦ μοναστικοῦ βίου σχῆμα τέλεον ἀπελαύνεσθαι καὶ καθυβρίζεσθαι, καὶ ἢ μεταμφιέννυσθαι τὴν στολὴν τοὺς μονάζοντας, ἢ ποικίλαις τιμωρίαις καθυποβάλλεσθαι (2). Ἔγνωσται οὖν ὑμῖν διὰ τούτων τὸ ἰουδαϊκὸν φρόνημα, καὶ τὸ χριστιανικὸν οὐκ ἠγνόηται κήρυγμα· ἐφ' ὑμῖν λοιπὸν κεῖται αὐτεξουσίοις γε οὖσι, τὸ ἀγαθὸν καὶ σῶζον, ἢ τὸ φαῦλον καὶ βλάπτον ἑλέσθαι.

(1) Ita narrat etiam S. Germanus I. patriarcha in opusculo apud nos Spicil. rom. T. VII. p. 58.
(2) Hactenus fragmentum apud Lequinium.

ΤΕΛΟΣ.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΚΑΙ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΓΕΝΟΜΕΝΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

ΝΙΚΗΦΟΡΟΥ

ΛΟΓΟΣ ΥΠΕΡ ΤΗΣ ΑΜΩΜΗΤΟΥ ΚΑΙ ΚΑΘΑΡΑΣ ΚΑΙ ΕΙΛΙΚΡΙΝΟΥΣ

ΗΜΩΝ ΤΩΝ ΧΡΙΣΤΙΑΝΩΝ ΠΙΣΤΕΩΣ

ΚΑΙ ΚΑΤΑ ΤΩΝ ΔΟΞΑΖΟΝΤΩΝ ΕΙΔΩΛΟΙΣ ΠΡΟΣΚΕΚΥΝΗΚΕΝΑΙ.

α. Καιρὸν εἶναι τῷ παντὶ πράγματι τὸ σολομώντειον ἡμᾶς ἐκεῖνο καὶ σοφὸν ἐμπεδοῖ λόγιον, τὸν βίον ἐντεῦθεν ῥυθμίζον, καὶ στοιχειοῦν πρὸς τὸ εὖ ἔχον καὶ λυσιτελοῦν τὸν ἀνθρώπειον, ὡς ἂν μὴ πάντα θαρροῖεν εἰς τὴν τῶν πρακτέων ἐγχείρησιν, ἀλόγως καὶ οὐκ ἐν καιρῷ πράττοντες ἄνθρωποι, μὴ δὲ περιπετῶς καὶ οὐκ ἐν κόσμῳ εἰς τὰ κατὰ γνώμην χρώμενοι, πολλοῖς ἀβούλως τῶν ἀδοκήτων καὶ σφαλερῶν περιπίπτοιεν· καιρὸς δέ, φησι, τοῦ σιγᾶν καὶ καιρὸς τοῦ λαλεῖν, τοῖς κατειλεγμένοις τῷ παιδοτριβοῦντι τῷ λόγῳ συγκατηρίθμηται, ἵνα μὴ μόνον ἐν δέοντι πράττειν ἤδη δὲ καὶ λέγειν εὐκαίρως παιδευώμεθα, ἀλλὰ μὴν καὶ μέτρον εἰδέναι τῶν ἐφ᾽ ἑκάστῳ ἡμῖν πραττομένων ἢ λεγομένων· εἴπερ τὸ πᾶν μέτρον ἄριστον καλῶς ἔχειν ὑπείληπται, τῶν δεόντων εἶναι δοκεῖ· ἐπιστατοῦντος ἐν πᾶσι τοῦ λογισμοῦ συνετῶς τε καὶ ἐμμελέστατα, καὶ φυλοκρινοῦντος ἀεὶ τῶν συνοισόντων καὶ μή, τὸ δοκοῦν καὶ φαινόμενον· τούτοις οὖν καὶ ἡμεῖς ἠγμένοι, καὶ οἷα ὀνησιφόροις καὶ εὐαγέσι νουθετήμασιν εἴκοντες, τοῖς τε ἄλλοις τῶν θείων διδαγμάτων παιδεύμασιν ἐντρεφόμενοι, διελέσθαι ὡς ἄριστα ἐπιστημονικῶς τε καὶ λογισμῷ τῷ καθήκοντι, εὖ νενομίκαμεν· καὶ ἄλλον μὲν εἶναι καιρὸν σιωπῆς, ἕτερον δὲ διαλέξεως ἐπιστάμενοι, καὶ μήτε οὕτως ἀμαθίας ἢ αὐθαδείας ἔχοντες, ὡς ἐν οἷς τιθέναι φυλακὴν προσῆκε τῷ στόματι, γλῶσσαν ἀσχέτως προΐεσθαι· μὴ δ᾽ αὖ πάλιν ἐξὸν λέγειν, σιωπῇ παρατρέχειν ἃ μὴ σιωπᾶσθαι μὴ δὲ ὀδόντων εἴσω καθείργνυσθαι δίκαιον· διὰ ταῦτα τοίνυν εἰς τούσδε τοὺς θορύβους περιπεπτωκότες τὰ νῦν, καὶ τὸν κατὰ τῆς ἐκκλησίας τοῦ θεοῦ κοινὸν ἐνορῶντες ἐπανιστάμενον κίνδυνον, καὶ πολὺ μάλιστα τῷ ὀρθοδοξοῦντι μέρει περιζέον τῆς δυσσεβείας καταθεώμενοι τὸ κλυδώνιον εἰσαεὶ τὸ κακὸν, ἐκ προσαγωγῆς τε καὶ ἐπὶ προήκοντι τῷ χρόνῳ δεχόμενον τὴν ἐπίδοσιν, νῦν ἐπαφεῖναι τὴν γλῶσσαν καὶ παραθῆξαι τὸν κάλαμον δεῖν ᾠήθημεν, ἵνα οἷον στήλη τις καὶ θρίαμβος τῶν αἱρετιζόντων τὸ δυσσεβὲς, καὶ εἰς δεῦρο καὶ ταῖς μετέπειτα γενεαῖς λογογραφούμενον ἐμφανίζηται·

ἀσφάλειά τε καὶ ἑδραίωμα τῶν πιστῶν καὶ εὐσεβούντων, θεοπρεπῶς διαδεικνύηται τὸ ἐγχείρημα· οὔκουν οὐδὲ ἄλλοτε περὶ τῶν τοιούτων σιγήσαντες, ἵνα μὴ γραφὴν σιωπῆς ἀπενεγκοίμεθα, καὶ ἅμα τὴν ἐκ τοῦ ὑποστέλλεσθαι τοῖς προεστῶσι τοῦ λόγου ἐπηρτημένην κατάκρισιν ὑφορώμενοι· μέλλοντες δὲ τῶν προκειμένων ἀγώνων ἐφάπτεσθαι, πρότερον ἐκεῖνο, ὃ δὴ χρησιμώτατόν τε καὶ ἀναγκαῖον ἐν τῷ παρόντι λελόγισται, διὰ βραχέων εἰπεῖν πειρασόμεθα, καὶ οὕτω κατάρξαι ὡς οἷοί τε ἐσμὲν τῆς ἐν χερσὶν ὑποθέσεως, θεοῦ διδόντος λόγον ἐν ἀνοίξει τοῦ στόματος ἡμῶν, ὑπὲρ οὗ ὁ πᾶς λόγος κεκίνηται, καὶ δι' ὃν εὐσεβοῦντες τὰ νῦν πολεμούμεθα.

β. Ἐχρῆν οὖν ὑμᾶς, ὦ ἄνθρωποι, τοὺς πρὸς τὴν ὥραν τὴν ἐσχάτην ἐλάσαντας, καὶ ἐφ' οὓς τὰ τέλη τῶν αἰώνων κατὰ τὴν ἀποστολικὴν ῥῆσιν κατήντηκε, κοινὸς γὰρ ἡμῖν ὁ λόγος πρὸς ἅπαντας, ὅσοι τὲ τούτων δι' ἀπροσεξίαν ἢ φιλαυτίαν πόῤῥω που θέοντες ἀποπεπτώκατε, μὴ ἂν ἄλλό τι ἐν μελέτῃ καὶ λογισμῷ τίθεσθαι, ἢ τὴν τελευταίαν ἐκείνην καὶ μεγίστην ἡμέραν, καθ' ἣν τοῦδε τοῦ παντὸς ἥξει τὰ πέρατα, καὶ ὡς ἤδη παρεστηκυῖαν περιαθρεῖν, καὶ τὴν μεγάλην ἐκείνην καὶ φοβερὰν προσεγγίζουσαν ἐννοεῖν σάλπιγγα, ἄνωθεν ὥσπερ τρανῶς ταῖς ἁπάντων ἀκοαῖς ἐνηχοῦσαν, φρικτόν τι καὶ ἐξαίσιον· μεθ' ἣν τὸν ἁπάντων κριτὴν καὶ δεσπότην καὶ τῶν ὅλων θεὸν ἀπεκδέχεσθαι, ἅμα τῇ πληθύϊ τῶν μακαρίων καὶ ἀσωμάτων δυνάμεων, μετὰ δόξης τῆς πατρικῆς ἐξ οὐρανῶν ὡς δὴ κηρύσσεται κατερχόμενον, καὶ ἄξοντα εἰς κρίσιν σύμπαν τὸ ποίημα, καὶ ἀποδώσοντα ἑκάστῳ καθὰ ἐβιότευσεν· εἴτε σαρκὸς μόνον πάθεσι δουλούμενός τις ὑπενήνεκται, καὶ μηδὲν τῶν ὁρωμένων λογισάμενος ὑψηλότερον εἰς γῆν ἀπονένευκεν, εἴτε τῷ πνεύματι συνεπαιρόμενος, τοῖς μέλλουσι καὶ πρὶν ἐνθένδε μεταναστῆναι, ὡς ἤδη παροῦσι, συνεγένετο, καὶ τῷ θείῳ πόθῳ πτερούμενος, τῶν ἄνω λήξεων τὸ μακάριον κατοπτρίζεται· προσέχειν τὲ ἑαυτοῖς μάλιστα, καὶ τῶν ἐν ἡμῖν ὁρμημάτων καὶ κινημάτων αἱρεῖσθαι τὰ βελτίω τὲ καὶ συμφέροντα· νήψει δὲ νοὸς, καὶ λογισμῶν καθαρότητι, καὶ τῶν τῆς ψυχῆς ὀμμάτων ἐγρηγόρσει πᾶν ὁτιοῦν εἰς δόξαν θεοῦ καὶ εὐαρέστησιν κατεργάζεσθαι· καὶ συνελόντα εἰπεῖν, ὅσα εἰς σωτηρίαν ψυχῆς ἥκε, πᾶσαν σπουδὴν τιθεμένους, διὰ τῆς τῶν ἐντολῶν τηρήσεως διαπράττεσθαι· δι' ὧν προσάγεσθαι τὲ αὐτῷ καὶ οἰκειοῦσθαι, τοῖς ταῦτα κατορθωκόσιν ἀξιοπρεπῶς περιγίνεται· μιμουμένους τὰς φρονίμους τῶν παρθένων ἐκείνας, καὶ τὰς λαμπάδας δαψιλεῖ τῷ ἐλαίῳ κοσμουμένας ἀνάπτοντας, ὡς δὴ ὑπαντήσοντας ηὐτρεπισμένους τῷ νυμφίῳ ἀωρὶ τῶν νυκτῶν ἥκοντι, κἀντεῦθεν ἀνενδύαστον κεκτημένους τὸ εὔελπι, εἰς τοὺς ὀρεκτοὺς ἐκείνους καὶ ἀναπεπταμένους τῶν πατριαρχῶν κόλπους, τὰς μακαρίας ἐκείνας μονὰς καὶ ἀποκληρώσεις, αἵ τινές ποτέ εἰσιν, ἀνακλιθήσεσθαι· ταῦτα στέργειν, ἐν τούτοις ἀπασχολεῖσθαι τὸν νοῦν, καὶ μηδὲν τῶν ἐπισφαλῶν καὶ βλαπτόντων περιεργάζεσθαι· ἂν οὕτω φιλοσοφῶμεν καὶ οὕτω βιοῦν ἑλοίμεθα, καὶ μελέτην θανάτου τὴν παροῦσαν ζωὴν ἡγώμεθα, τευξόμεθα τῶν παρὰ τοῦ ἀψευδοῦς ἐπηγγελμένων, καὶ τῆς ἀποκειμένης τοῖς τηρή-

σασιν αὐτοῦ τὸν λόγον, εὖ οἶδα, μακαριότητος· περὶ μὲν δὴ τούτων εἰ καὶ βραχὺς ὁ λόγος, ὅμως ἱκανῶς καὶ ἀποχρώντως ἔχων· οὐ γὰρ ἐπὶ πλέον διεξιέναι χρὴ, ἐπεὶ μὴ τοῦτο τῶν πάνυ κατεπειγόντων τῷ καιρῷ πρόσεστι· περὶ δέ γε τῶν νῦν ἐπιφυομένων, παρὰ τοῦ μισοκάλου ἐχθροῦ καὶ ἀεὶ τὰ καλὰ βασκαίνοντος, καὶ τὴν εἰρήνην τῆς Χριστοῦ ποίμνης μὴ φέροντος, καὶ τῷ καθαρῷ τῆς ἐκκλησιαστικῆς ἀρούρας σίτῳ, ὃν λόγος εὐαγγελικὸς καὶ πατρικὸς ἐξέθρεψέ τε καὶ ηὔξησε, παρεσπαρμένων ζιζανίων καὶ ἀκανθοφορούντων ἤδη. καὶ τοὺς ἐν τῇ ὁδῷ τοῦ βίου παριόντας, τοῖς κέντροις τῆς δυσσεβείας ἀνηλεῶς κατατιτρώσκειν ὑπαρξαμένων διαλεξόμεθα.

γ. Ὁ τῆς εὐαγοῦς καὶ μόνης ἀληθινῆς ἡμῶν τῶν χριστιανῶν θρησκείας λόγος ἤδη πάλαι κατώρθωτο· καὶ παρὰ μὲν τοῖς σοφοῖς τῆς πίστεως ἡμῶν ἀρχιτέκτοσι καὶ τῆς ἀληθείας κήρυξι, τοὺς θείους δὴ λέγω καὶ θεσπεσίους ἀποστόλους, προκαταβέβληται ὁ θεμέλιος· οἷα περ ἐν τῷ νόμῳ καὶ τοῖς προφήταις πρόπαλαι σκιαγραφούμενος καὶ προχαρασσόμενος, ὄντος ἀκρογωνιαίου λίθου Χριστοῦ τοῦ θεοῦ ἡμῶν, κἂν λίθος προσκόμματος καὶ πέτρα σκανδάλου, τοῖς νῦν κατασείειν αὐτὸν πειρωμένοις προκέηται· ἡμῖν δὲ τοῖς ἐπὶ ταύτῃ τῇ πέτρᾳ ᾠκοδομημένοις, ὡς τῶν μαθητῶν τοῦ λόγου ὁ Κορυφαῖος μακαριζόμενος ἤκουε, λίθος ἀκρογωνιαῖος ἔντιμος, ἐφ' ᾧ πιστεύοντες, οὔποτε καταισχυνθησόμεθα· ἐπῳκοδόμηται δὲ τῆς σοφίας ὁ οἶκος, ὥσπερ ἐκ χρυσοῦ καὶ λίθων τιμίων, τῶν ἱερῶν καὶ θείων δογμάτων, ἃ παρὰ τῶν ἀοιδίμων καὶ θεοφόρων ἡμῶν πατέρων ἐκπεπόνηταί τε καὶ ἐκπεφώνηται, ὅσοι τὲ κατὰ τοὺς ἱεροὺς ἐκείνους καὶ θεολέκτους συλλόγους, θαυμάσιοι καὶ θεοφιλεῖς ἄνδρες, θείῳ ἀγόμενοι πνεύματι συναθροισθέντες διέλαμψαν, ὅσοι τὲ καθ' ἑαυτοὺς κεκαθαρμένοι, καὶ λαμπροὶ τὸν βίον, καὶ ὑψηλοὶ τὸν λόγον καὶ τὴν διάνοιαν, θρόνων ἱερῶν προκαθεζόμενοι, καὶ τοῦ ὀρθοῦ λόγου τῆς ἀληθείας, ὡς ἔνι, μάλιστα ἀντεχόμενοι ἐπέπρεψάν τε, καὶ πανταχοῦ τῆς οἰκουμένης τῆς εὐσεβείας τὰ διδάγματα ἐγκατέσπειράν τε καὶ διετράνωσαν, τῆς ἀσεβείας δὲ τὰς ἀκάνθας προῤῥίζους ἐξέτεμον, καὶ τῶν αἱρετιζόντων τὰ στόματα, ὡς ἀδικίαν κατὰ τοῦ ὕψους λαλούντων καὶ μελετώντων, ἀπέφραξαν καὶ ἀπέῤῥαψαν· ἐντεῦθεν μία πίστις καὶ ὁμολογία ἡ αὐτὴ παρὰ πᾶσι χριστιανοῖς συνεκροτεῖτο καὶ ἐφυλάσσετο· καὶ τί γὰρ ἐν τῷ μακρῷ καὶ ἀπείρῳ τοῦ διελάσαντος χρόνου, ὅσον ἧκεν εἰς εὐεργεσίαν καὶ συντήρησιν τῆς ἀνθρωπίνης ζωῆς, ἔν τε δόγμασιν ἔν τε πράξεσιν, ἀνεξέταστον καὶ ἀδοκίμαστον ὑπολέλειπται; οὕτω σοφῶς καὶ φιλανθρώπως τὰ περὶ ἡμᾶς, κατὰ καιροὺς τῆς θείας οἰκονομούσης προνοίας, οὕτως ὁ νόμος εἰς βοήθειαν πάλαι τοῖς ἀρχαιοτέροις ἐδίδοτο, οἷά τις παιδοκόμος ἄριστος, ὡς διὰ στοιχείων τινῶν προσάγων τοὺς νηπιώδεις ἔτι καὶ τὴν ἕξιν ἀτελεστέρους, καὶ ποδηγῶν πρὸς τὴν θείαν ἐπίγνωσιν, ὡς τοῦ τελεωτέρου λόγου τοῖς τὸ τηνικάδε τὸ εὐπαράδεκτον τέως οὐκ ἔχοντος· οὕτως οἱ μετὰ τὸν νόμον τοῦ θείου πνεύματος κάτοχοι προφῆται καὶ ἄνδρες θεόληπτοι, πολυμερεῖς καὶ πολυτρόπους τῶν πρακτέων ἐποιοῦντο τὰς εἰσηγήσεις, καθὰ τὸ πνεῦμα

ἐνεργοῦν ἀπεκάλυπτε πρὸς τὴν τῶν ἀκουόντων βελτίωσιν· ἀλλ᾽ ἐπείπερ οὐκ ἴσχυε ταῦτα τελειῶσαι τὸν ἄνθρωπον, ἐδεῖτο δὲ βοηθείας τῆς μείζονος, ἔτυχεν ἀφῖχθαι τοῦ νόμου καὶ τῶν προφητῶν τὸ κεφάλαιον· " τὸ γὰρ ἀδύνατον, φησὶ, „ τοῦ νόμου ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκὸς, ὁ θεὸς τὸν ἑαυτοῦ υἱὸν πέμψας ἐν „ ὁμοιώματι σαρκὸς ἁμαρτίας καὶ περὶ ἁμαρτίας, κατέκρινε τὴν ἁμαρτίαν ἐν „ τῇ σαρκὶ, ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν τοῖς μὴ κατὰ σάρκα „ περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα· „ ἁμαρτίας δὲ ἔκγονον πρῶτον κακὸν καὶ ἔσχατον εἰδωλολατρία, καὶ τῆς προσκυνήσεως ἡ μετάθεσις ἀπὸ τοῦ πεποιηκότος ἐπὶ τὰ κτίσματα.

Οὕτως ὁ τοῦ θεοῦ λόγος τὸ τῆς πατρικῆς δόξης ἀπαύγασμα, συγκαταβάσει χρησάμενος, εὐδοκίᾳ τε πατρικῇ καὶ συνεργίᾳ τοῦ ζωαρχικοῦ πνεύματος, τὴν καθ᾽ ἡμᾶς πτωχείαν ὑποδὺς, οὐ γὰρ ἔφερε δι᾽ ἄφατον ἀγαθότητα, χειρὸς οἰκείας ζημιωθήσεσθαι τὸ ποίημα, καὶ ἄνθρωπος κατὰ πάντα κἂν οἱ χριστομάχοι μὴ βούλωνται, ὥσπερ δὴ καὶ θεὸς ὢν ὁ αὐτὸς πληρέστατος, ἁμαρτίας χωρὶς ἐχρημάτισε, καὶ διὰ σταυροῦ καὶ πάθους καὶ ἀναστάσεως τῶν δεσμῶν τῆς κατακρίσεως ἡμᾶς ἠλευθέρωσε, καὶ τῶν παθῶν τῆς ἁμαρτίας ἀπήλλαξε· τῆς καθ᾽ ἡμῶν πλεονεξίας ἐκβεβληκὼς τὸν ἀόρατον τύραννον, καὶ εἰς τὸ ἀρχαῖον τῆς εὐκληρίας ἐπανήγαγεν· ἵνα ὁ τὴν φύσιν εἰς τὸ εἶναι παραγαγὼν, καὶ τὸ εὖ εἶναι ὑπερβλύσει φιλανθρωπίας ταύτῃ χαρίσηται, καὶ τέλειος ᾖ καὶ ἄρτιος ὁ κατὰ θεὸν κτιζόμενος ἄνθρωπος· ταῦτα προφῆται ἄνωθεν προανακεκράγεσαν, ἀπόστολοι εὐηγγελίσαντο, μάρτυρες ἀνδρισάμενοι ἐπαῤῥησιάσαντο, οἱ τούτων ὀπαδοὶ καὶ συνεργοὶ τῆς ἐκκλησίας διδάσκαλοι εἰς μέγα κατευρύνοντες συνδιηγωνίσαντο· διὰ τούτων πάντων οὓς ὁ θεὸς ἐν τῇ ἐκκλησίᾳ ἑαυτοῦ ἔθετο, τὰ τῆς ζωῆς ἡμῶν ἐν πᾶσι πραγματευσάμενος ἠσφαλίσατο, ἵνα οἷς τι μέλει τῆς σωτηρίας τῆς ἑαυτῶν, ἐντεῦθεν ἐπιγινώσκηται τὰ βελτίω τε καὶ συμφέροντα· τί γὰρ ἂν ζητήσαις, ἄνθρωπε, κἂν τῶν λίαν ᾖς ἐξεταστικῶν τε καὶ θεωρητικῶν τὴν διάνοιαν, καὶ οὐκ εὐθὺς ἂν καταλάβοις κεκριμένον καὶ πεφασμένον ἐν πνεύματι; οὐ θεολογίας τὸ ὑψηλὸν καὶ ἐπηρμένον ἐν δόγμασιν; οὐ τῆς θείας οἰκονομίας τὸν πλοῦτον τῆς χρηστότητος; ἀλλὰ τῶν τοῦ θεοῦ κριμάτων τὸ ἀνεξερεύνητον; ἀλλὰ τῶν αἱρετέων τὰς ὑποθήκας; οὐχὶ τὰς τῶν φευκτέων ἀπαγορεύσεις; ἢ τῶν τοῖς ἀξίοις ἡτοιμασμένων ἀγαθῶν τὰς ἐπαγγέλσεις; καὶ τῶν εὖ βιούντων καὶ ἐν φόβῳ θεοῦ καὶ ἐντολῶν τηρήσει τὴν μέλλουσαν δόξαν ἀποκαλύπτεσθαι; τῶν τε αἰσχρῶς καὶ ἀνοσίως διαζώντων, τὴν ἠπειλημένην τιμωρίαν καὶ κόλασιν; καὶ ἵνα μὴ τοῖς καθ᾽ ἕκαστον ἐπεξιόντες, τῷ λόγῳ ἐνδιατρίβοιμεν, οὐ πάσης θεωρίας καὶ πράξεως τὰ τῶν θεοσόφων λόγια, τὸ φιλοσοφόν τε καὶ ἔνθεον κομῶντα ὑπεραστράπτουσι;

δ. Τίς οὖν ἔτι χρεία ἐπὶ κενοφωνίαις καὶ ζητήσεσιν ἐκτόποις ἑαυτοὺς ἐπιῤῥίπτειν, καὶ δόξας ἀνακινεῖν τερατώδεις, καὶ πολὺ τὸ βλαβερὸν νοσούσας καὶ μάταιον ἀνθρώποις ἐξευρημένας τοῖς σφῶν αὐτῶν δουλουμένοις πάθεσι καὶ θελήμασι, κατεφθαρμένοις τὸ σῶμα καὶ τὴν ψυχὴν, καὶ διεστραμμένοις τὴν

γνώμην καὶ τὴν διάνοιαν, καὶ διὰ τοῦτο ἐκ πλείονος καλῶς σεσιγημένας, καὶ τοῖς δοκίμοις τῆς ἐκκλησίας ἐνδίκως ἀπεληλαμένας, καὶ ὡς κονιορτὸν ὑπὸ λαίλαπος ῥᾳδίως σκεδαννυμένας, καὶ λήθῃ τοῖς ἐρασταῖς τοῦ καλοῦ καὶ τῆς ἀληθείας παραπεμφθείσας, ὡς λήθης ὄντως ὑπαρχούσας ἀξίας· οὐ δεῖ τοίνυν ξέναις καὶ ἀλλοτρίαις φωναῖς παρασύρεσθαι, καὶ ἀνδρῶν ἀσεβῶν διδασκαλίαις, τῶν χρόνοις πολλοῖς πρότερον ὑπὸ συνόδων τῶν ἐκκλησιαστικῶν ὡς αἱρετικῶν καὶ ἀντιπάλων τῆς ὀρθῆς πίστεως ἐκβεβλημένων, καὶ τοῖς ἀναθέμασι παρ' αὐτοῖς παραπεμφθέντων ὑπάγεσθαι· οὐδὲ προσέχειν τὸν νοῦν τοῖς στρεβλοῦσι τὰς θείας γραφὰς πρὸς τὸ ἑαυτῶν θεοστυγὲς φρόνημα· ἀλλὰ χαίρειν φράσαντας ταῖς τούτων τερθρείαις ἐκτρέπεσθαι, μακρὰ γὰρ ληροῦσι, σφᾶς τὲ ἑαυτοὺς παραλογιζόμενοι μᾶλλον, ἢ οὓς φενακίζειν οἴονται, καὶ τὰς τῶν προσεχόντων ἀκοὰς εἰς μάτην ἀποκναίοντες· ὄντως κενολογοῦσι καὶ ἀποσφάλλονται εἰς τὰ καίρια οἱ ταῦτα ἐκζητοῦντες· οὐδὲν γὰρ ὑπὲρ τῆς δόξης τοῦ θεοῦ κατεργάζονται, αὐτοί τε καὶ οἱ τούτων ἐξακολουθοῦντες τῇ πλάνῃ· τὴν δόξαν δὲ τὴν ἰδίαν συνιστάνειν κακῶς καὶ ἀνοήτως ἐν τῇ ἑαυτῶν αἰσχύνῃ διαγωνίζονται· ἕως μὲν οὖν ἡ ἀσέβεια εἰς τοὺς ἑαυτῆς ἐνδῦσα φωλεοὺς ἀπεκέκρυπτο, εἰρήνη βαθεῖα τῇ ἐκκλησίᾳ τοῦ θεοῦ ἐνεπολιτεύετο, καὶ πᾶν ὅσον ὀρθόδοξον ἐν εὐθυμίᾳ καὶ εὐσταθείᾳ καθιστάμενον διετέλει· καὶ ὃ φιλεῖ ἐν τοῖς τοιούτοις ἕπεσθαι, εὐλάβεια ὡς τὸ εἰκὸς καὶ σεμνότης βίου, καὶ ἡ περὶ τοὺς ἱεροὺς οἴκους σπουδὴ καὶ προσεδρεία· οἷς ἀκόλουθον, καὶ ἡ περὶ τὸ θεῖον θεραπεία, ἑκάστοτε προσετίθεντο ἐπαυξόμενα· ἀλλ' οὐκ ἔσθενε ταῦτα φέρειν ὁρῶν ὁ δράκων ὁ βύθιος, ὁ τῆς φύσεως ἡμῶν κοινὸς ἐχθρὸς καὶ πολέμιος διάβολος, ὁ βάσκανος τῶν καλῶν καὶ ἀντίθετος· διὰ τοῦτο εἰς σκεύη αὐτῷ ἡτοιμασμένα καὶ εἰς κακίας ὄργανα χρηματίσαντα παραδύεται, δι' ὧν ἐκπορθεῖν ἐκμεμηχάνηται τῆς ἀκιβδήλου ἡμῶν πίστεως τὴν ἀκρόπολιν· ὅπερ δὴ καὶ πάλαι διὰ τοῦ ὄφεως, πρὸς τὴν ἐξαπάτην τῆς προμήτορος ἐτεχνάσατο· τί οὖν; ἀναπνεῖ τὸ κακὸν, καὶ τῆς ἀσεβείας ἡ λαῖλαψ ἐπαιγίζουσα εἰς μέγα αἴρεται καὶ ἀνάπτεται, καὶ οἱ πονηροὶ παῤῥησιάζονται· οἱ κακοὶ ἐργάται, οἱ τῆς κατατομῆς τῆς φευκτέας, ὥσπερ ἐξ ἀδύτων τινῶν τῆς ἀπιστίας προανακύψαντες, ὃ δὲ λέγεται, γυμνῇ τῇ κεφαλῇ κατὰ τῶν ἱερῶν ἡμῶν δογμάτων χωροῦσι παραταττόμενοι· καὶ ὅπερ πάλαι ἐν ταῖς ἑαυτῶν ψυχαῖς τῆς ἀσεβείας εἶχον ἐμφωλεῦον ἐμπύρευμα, καιροῦ λαβόμενοι, καθάπερ πῦρ εὐκαταπρήστου ὕλης ἐπιδραξάμενον, νῦν εἰς φλόγα μεγάλην ἐκκαύσαντες ἀνεῤῥίπισαν.

ε. Ἀλλὰ τίς ἂν ἐντεῦθεν ἀξίως, ἢ τῶν ἀθετούντων τὴν πίστιν τὸν ψυχικὸν ὄλεθρον ἀποδύραιτο, ἢ τῶν ὑπὲρ τῆς ἀληθείας διωκομένων, τὰς συμφορὰς ἐκτραγῳδήσειεν; ἄξιον δὲ, ὡς ἔγωγε οἶμαι, μὴ δὲ τοῦτο σιωπῇ παρατρέχειν, ὡς εἰδεῖεν ἅπαντες ἐξ οἵας ῥίζης, οἷα ἐξέφυ βλαστήματα· οὗτοι γὰρ, περὶ ὧν ὁ λόγος, ὁποῖοι μὲν τὸν βίον αἰσχροὶ καὶ κατάπτυστοι, ἐμπαθεῖς τε καὶ διεφθαρμένοι τὴν ψυχὴν, καὶ τὸν νοῦν ἐνδιάστροφον ἔχοντες καὶ πρὸς κακίαν εὐπαρακόμιστον, πλείονας μὲν ἄχρι τοῦ δεῦρο, ὅπερ ἐν πολλοῖς πολλάκις

συμβαῖνον εὑρεῖν ἐστιν, ἐλάνθανον· τὸ γὰρ δολερόν τε καὶ ὕπουλον κατεσκίαζεν αὐτῶν ἔτι τὴν κακοήθειαν· εἰσὶ δὲ οὓς καὶ ἐκ μακρᾶς τῆς ὁμιλίας εἰς πεῖραν τῶν πεπολιτευμένων αὐτοῖς ἀφιγμένους, ἥκιστα ταῦτα διέφυγεν· ἐῶμεν τἄλλα λέγειν, ἃ καὶ εἰδότων καὶ λεγόντων τὲ καὶ σκαιῶν ἔργων, ἐπὶ τὸ σχῆμα τὸ μοναχικὸν, ἐν λαϊκοῖς τὸ πρὶν τελοῦντες, μετέθεντο· ὅπως τὲ εἰς τὴν ἱερωσύνην καὶ τοὺς ἐκκλησιαστικοὺς καταλόγους, λανθάνοντες εἰσεφθάρησαν· ἔδει τοίνυν ἄρα τὸν τρόπον ἄσεμνον καὶ φευκτὸν σχόντας, ἀναλόγους καὶ τὰς περὶ πίστεως κεκτῆσθαι ὑπολήψεις· εἴωθε γάρ πως ἀκόλουθον εἶναι τὸν λόγον ταῖς πράξεσιν, ἵνα δι' ἑκατέρου χαρακτηρίζηται θάτερον· ἑπομένως δὲ τούτοις, καὶ δόξης κενῆς ἐρᾷν· τοῦτο γὰρ ἦν αὐτοῖς ἐκ πλείονος σπουδαζόμενον· καὶ γὰρ εὐφώρατα καὶ ἔκδηλά τισι τὰ τῆς γνώμης αὐτῶν γέγονεν· ἐν ᾧ τοιαύτην ἀφιέντες φωνὴν ἑάλωσαν, ὡς εἴπερ δέοι καὶ τὴν ψυχὴν αὐτὴν ἀπεμπολῆσαι, παῤῥησιαζομένους κωμάζειν εἰς τὰ βασίλεια, καὶ ἅμα τὸ γαστρίζεσθαι αὐτοῖς ἐκεῖθεν ἠλπικότες περιγενήσεσθαι, ἐπείπερ οὕτως εἶχον σκέψεώς τε καὶ γνώμης ἐκ πλείονος· ἀνδράρια γὰρ κρεατραφῆ καὶ ἀκρατέστατα, γαστριζόμενα καὶ ταῖς συβαριτικαῖς τραπέζαις εἰσάγαν προσκρτημένα, θῆτες ὥσπέρ τινες καὶ παράσιτοι μισθοφοροῦσι τῇ κοιλίᾳ· " ὧν ὁ θεὸς ἡ κοιλία, καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ· ,, οἱ κοιλιόδουλοι καὶ ταῖς σαρκικαῖς ἡδοναῖς αἰχμαλωτιζόμενοι, σαρκικῶν τῶν θελημάτων τυγχάνουσι· καὶ γὰρ τοῖς ἐκ τοῦ δημοσίου σιτηρεσίοις σιτοῦνται, λιπαρῶς εὐωχούμενοι· καὶ τῷ ὄντι τὰ τῆς σαρκὸς φρονοῦντες, καὶ κατὰ σάρκα ζῶντες, καὶ τῇ δεσποίνῃ γαστρὶ, ὥσπερ ἄλλῃ Βάαλ, γόνυ κάμψαντες ὑποκατακλίνονται· κἀντεῦθεν ἐκκαρποῦνται τῆς ἁμαρτίας οἱ τάλανες τὰ ὀψώνια· εἰς τοσοῦτον κακοῦ προΐασι, παθῶν ἐντρύφημα τὸ τῆς πίστεως εὑρηκότες καινούργημα, οὕτω τοῦ θείου φόβου καὶ τῆς ἐντολῆς κατολιγωρήσαντες· τῇ τε γαστρὶ καὶ τῷ λαιμῷ χαριζόμενοι, καὶ ταῖς δυναστείαις ὡς οἴονται, ἃς εὐφραίνειν ἐν ταῖς ἑαυτῶν κακίαις καθὰ γέγραπται προῄρηνται, καὶ κατὰ τὸν θεομισῆ καὶ βέβηλον ἐκεῖνον Ἠσαῦ, ὃς βρώσεως μιᾶς ἕνεκεν τὰ πρωτοτόκια ἑτέρῳ ἀπέδοτο, τὴν ἐλευθερίαν τῆς πίστεως καὶ τῆς ἱερωσύνης προὔδωκαν, οὐδὲν ἧττον· καὶ τῶν γε χάριν τὸ ἀποστολικὸν προαναπεφώνηται λόγιον, τοιούτοις κέρδεσι τὰς πρὸς θεὸν ἐπηγγελμένας αὐτοῖς συνθήκας καὶ τὸ εὐθὺ τῆς ὁμολογίας ἡμῶν, ἀφρόνως καὶ σφαλερῶς διαμειψαμένων· " οὐαὶ αὐτοῖς, ὅτι τῇ ὁδῷ τοῦ ,, Κάϊν ἐπορεύθησαν, καὶ τῇ πλάνῃ τοῦ Βαλαὰμ μισθοῦ ἐξεχύθησαν· ,, τοιγάρτοι τὴν ἀρίστην καὶ βασιλικὴν ἰέναι τρίβον οὐκ ἀνεχόμενοι, οἷα δή τινες πῶλοι ἀγέρωχοι καὶ δυσκάθεκτοι, ἐπὶ κρημνοὺς καὶ ἀκάνθας φέρονται, καὶ ὥσπερ ἑαυτῶν ἐκλαθόμενοι, μὴ δ' ὅτι τὸ θνητὸν περικείμενοι ἐννοοῦντες οἱ δείλαιοι· ἐφ' οἷς ἂν δικαίως μάλα ἡ παροιμιακὴ ῥῆσις ἐπιστυγνάζουσα φθέγξαιτο· " ὦ οἱ ἐγκαταλείποντες ὁδοὺς εὐθείας, τοῦ πορευθῆναι ἐν ὁδοῖς σκό- ,, τους· οἱ εὐφραινόμενοι ἐπὶ κακοῖς, καὶ χαίροντες ἐπὶ διαστροφῇ κακῇ· ὧν ,, αἱ τρίβοι σκολιαὶ, καὶ καμπύλαι αἱ τροχιαὶ αὐτῶν· ἐπείπερ ἥδιστον αὐτοῖς ,, καὶ ἐπίχαρι τὸ μακρὰν ποιεῖσθαι ἑαυτούς τε καὶ ἄλλους ἀπὸ ὁδοῦ εὐθείας,

,, καὶ ἀλλοτρίους τῆς δικαίας γνώμης· εἰ γὰρ ἐπορεύοντό, φησι, τρίβους ἀγα- ,, θάς, εὗρον ἂν τρίβους τὰς τῶν δικαίων λείους. ,,

ϛ. Ἐπεὶ οὖν καὶ αὐτοὶ τοῖς προφητικοῖς ἐλέγχοις ἁλίσκονται, ἀκούσονται ἃ τοῖς ὁμόφροσιν αὐτοῖς ἰουδαίοις πάλαι ὀνειδιζομένοις ἐλέγετο· “ ὄψις πόρ- ,, νης ἐγένετό σοι, ἀπηναισχύντησας πρὸς πάντας· ,, τῷ δὲ τῆς ἀναισχυντίας κακῷ φυσώμενοί τε καὶ διαιρόμενοι, καὶ τὰ πρὸς κύριον ἀπειθοῦντες “ ἐροῦσί ,, που πάντως ἀπόστα ἀφ’ ἡμῶν, ὁδούς σου εἰδέναι οὐ βουλόμεθα· ,, ἀναιδεῖ προσώπῳ καὶ ἀπηρυθριασμένῳ ὑφιστάμενοι, ὡς ἂν φήσειεν ὁ σοφὸς ὁ αὐσίτης, ὁ τῆς ἀνδρείας ἀκατάσειστος πύργος καὶ ἀκαθαίρετος, τῶν ἐν τῷ βίῳ εὐθη- νουμένων ἀσεβῶν στηλιτεύων τὸ μοχθηρὸν καὶ ἠλίθιον· ἵνα γὰρ ταῦτα δι’ ὧν δρῶσιν ἀνοσίως βεβαιώσωνται, τὸν μὲν τοῦ θεοῦ φόβον ἀπώσαντο, πᾶσαν δὲ κανονικὴν καὶ ἔνθεον θεσμοθεσίας διδασκάλων εὖ τεθειμένην διὰ τοῦ πνεύ- ματος ἀτιμάσαντες, καὶ τῶν συνθηκῶν ἃς ἐν τῷ θείῳ θυσιαστηρίῳ καθωμο- λόγησαν ἀμνημονήσαντες· τῆς τε ὁμολογίας, μεθ’ ἧς οὐκ οἶδα ὅπως τοῦτο τοῦ θεοῦ παραβλέψαντος ἀναξίως ἐχρίσθησαν, καὶ τὸ τῆς ἱερωσύνης αὐτοῖς ἐπικεκήρυκται ἀξίωμα ἄπαρνοι γενόμενοι· καὶ συλλήβδην εἰπεῖν, τὴν πίστιν ἡμῶν τὴν εὐκλεᾶ καὶ ἀμώμητον καταπροέμενοι, τοῦ μεγάλου καὶ ἀτμήτου τῆς ἐκκλησίας σώματος. ὡς σεσηπότα καὶ διεφθαρμένα μέλη ἑαυτοὺς ἀποῤῥηγνύ- ουσι, καὶ τῇ τῶν ἑτεροδοξούντων μοίρᾳ, καὶ πάλαί ποτε πρὸς τὸν ὀρθὸν λό- γον ἀσυνέτως μεμαχημένων προσέθεντο· ὧν πολλὰ μὲν πρότερον κατεγνωκότες τῆς δυσσεβείας, πολλὰ δὲ τῆς ἀπανθρωπίας αὐτοὺς καὶ ἀσελγείας καταμεμ- ψάμενοι, εἰς ταὐτὸν ἐκείνοις τῆς ἀπωλείας περιπεπτώκασι βάραθρον· οὐδὲ τὴν ἐκ θείας ἐπιπνοίας κεκινημένην ἁγίαν καὶ σεπτὴν ἐν Νικαίᾳ τὸ δεύτερον σύν- οδον, ἣ τὸ προῦχον κατὰ Βιθυνοὺς ἔλαχεν, εἰ μή τι ἄλλο τῶν πάντων αἰδε- σθέντες, καὶ τὸν παρ’ αὐτῇ ἐκπεφωνημένον θεῖον ὅρον, καὶ πάσης εὐθύτητος καὶ ὀρθοδοξίας γέμοντα ἔναυλον ἤδη ἔχοντες, καὶ οὕτω πυκνὰ τοῖς ὠσὶν ἐνη- χούμενον, τά τε οἰκεῖα χειρόγραφα καὶ τοὺς τύπους τοῦ ζωοποιοῦ σταυροῦ, οὓς ἐν αὐτῷ κατεσημήναντο ἐξομνύμενοι· “ ἐξ ἡμῶν ἐξῆλθον, ἀλλ’ οὐκ ἦσαν ,, ἐξ ἡμῶν· εἰ γὰρ ἦσαν ἐξ ἡμῶν, μεμενήκεισαν ἂν μεθ’ ἡμῶν· ,, εἴποι ἂν ἐν- θέως ὑποφωνοῦσα ἡ σάλπιγξ τῆς θεολογίας ἡ μεγαλόφωνος· τί οὖν; ἔδει λοι- πὸν αὐτοὺς, ὥσπερ τὴν ὁμολογίαν ἀπεσείσαντο, οὕτως ἀμοιρῆσαι καὶ τῆς τοῦ πνεύματος χρίσεως, ὡς οὐκ ἐνὸν τὴν μὲν πίστιν μεθ’ ἧς ἐχρίσθησαν παραγρά- φεσθαι, ἐνεργεῖν δὲ τὰ τῆς χρίσεως· τοιγαροῦν καὶ μάλα ἐνθέσμως, ἐπείπερ τὸ ἀνεπίστροφον καὶ ἀνιάτρευτον αὐτῶν τῆς νόσου, ὁ ἱερὸς τῆς ἐκκλησίας ἑώ- ρακε σύλλογος, πολλάκις γὰρ τὸ πιστὸν ἐκεῖνοι παρασχόντες τῇ ἐκκλησίᾳ, τοσαυτάκις τῷ πνεύματι τῷ ἁγίῳ ψευδόμενοι διηλέγχοντο, ἀποκηρύκτους τῆς ἱερωσύνης πεποίηκε, πάσης αὐτοὺς ἀπρακτεῖν ἱερατικῆς καθορίσας ἐγχειρήσεως· ἔγγραφόν τε αὐτῶν τὴν καθαίρεσιν καταστησάμενος, ὡς δὴ ἐκ τῶν ἱερῶν κα- νόνων ὁρμώμενοι· ἐπεὶ τοίνυν τοῦ ἱερατεύειν θεῷ ἐξώσθησαν, κατὰ δὴ τὰ βα- σίλεια περιαγείρονται συνεχέστατα, καὶ σκηνὴν ἑαυτοῖς οἷα σκηνικοὶ ἀποσχε-

διάσαντες ἀπετέμοντο· ἐνταῦθα τὰ τῆς παρανομίας καὶ ματαιότητος συγκροτοῦσι συνέδρια, ἔνθα δὴ τὰ δράματα τῆς ἀσεβείας ἐπιδεικτικῶς ἐκπομπεύουσι, καὶ τά τε θεῖα παίζουσι, καὶ τὴν τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ οἰκονομίαν, κωμῳδίαν δραματουργοῦντες θεατρικῶς οὐ καταπεφρίκασι, τό τε αἷμα τῆς καινῆς διαθήκης δι' οὗ ἐξηγοράσθησαν κοινὸν ἡγησάμενοι, καὶ τῶν ἱερῶν ταύτης συμβόλων, οἷα βακχεύοντες ὡς ἐκ μέθης τῆς ἀπάτης καὶ ἀπιστίας, μανικῶς κατορχούμενοι.

ζ. Ἐπεὶ οὖν ἀσεβεῖν αὐτοὺς ἔδει καὶ λόγῳ καὶ πράγματι, ὅσα μὲν αὐτοῖς αἱρετὰ τὰ πρὸς θεὸν ἀθετοῦσι, τῇ γλώσσῃ ἀσελγαίνουσιν· ὅσα δὲ δυνατὰ βεβήλοις χερσὶ τὰ ἅγια χραίνουσιν· οὕτω γὰρ αὐτοῖς ἢ ἑτέρωθεν ἢ ἑκατέρωθεν, ἢ ἑνί γε τῷ τρόπῳ πάντως τὸ ἐξαμαρτάνειν περισπούδαστον· διὰ ταῦτα ἐπὶ τὴν ἐκκλησίαν τοῦ Χριστοῦ κατεπανουργεύσαντο γνώμην, καὶ ἐβουλεύσαντο, μᾶλλον δὲ κατεπράξαντο, κατὰ τῶν ἁγίων αὐτοῦ· ὡς πολὺ τὸ πλῆθος τῆς τοῦ θεοῦ μακροθυμίας καὶ τῆς ἀνοχῆς καὶ χρηστότητος· πῶς τὴν κτίσιν μαιμῶσαν καὶ βρέμουσαν τῶν χριστομαχούντων ἐπεξιέναι τὴν τόλμαν, πεδήσας οὐκ ἠνέσχετο; πῶς παθεῖν ἃ παθεῖν δίκαιον; τὰ στοιχεῖα τὰ περικόσμια οὐδαμῶς συνεχώρησε; τὸ τόξον ἐντείνεται, καὶ κατέχεται, ὃ τοῖς τοῦ θανάτου σκεύεσιν ἑτοιμάζεται; ἡ τεθηγμένη καὶ ἀστράπτουσα μάχαιρα, καὶ τὰ ἠκονημένα βέλη ὡς ἀφ' αἵματος τῶν ἀσεβῶν μεθυσθησόμενα καὶ πλησθησόμενα, οὐκ ἐπαφίεται; οἱ φωστῆρες τὸ φῶς οὐ συστέλλονται, οὐδὲ τὸν δρόμον ἐπέχονται, ἀλλ' ὑπὸ τῆς τοῦ θεοῦ φιλανθρωπίας καὶ χρηστότητος ταμιευόμενα, οὔτε βελτίους τοὺς ἠλιθίους ἐργάζεται, οὔτε εἰς συναίσθησιν τῶν τολμωμένων ἄγει, ἀφορμὴ δὲ μᾶλλον καὶ ὑπόθεσις τοῦ δρᾶν ἀνοσίως ἐγγίνεται· τί οὖν τις τῶν ἐχεφρόνων καὶ νοῦν ἐχόντων, τὸ ἄθεον σύνταγμα τοῦτο καλέσειε; τί δὲ ἄλλο γε, ἢ τὸ Καϊάφα συνέδριον, καὶ τὸν πάλαι κατὰ Χριστοῦ ἰουδαϊκὸν δῆμον μαινόμενον; καὶ νῦν γὰρ "ἄρχοντες λαῶν συνήχθησαν, κατὰ τοῦ κυρίου καὶ κατὰ τοῦ „ Χριστοῦ αὐτοῦ· „ πάλιν ἱερεῖς καὶ γραμματεῖς καὶ φαρισαῖοι καὶ ἄλλα συμβούλια ἐφ' ὁμοίαις ταῖς ἐγχειρήσεσι· πάλιν Χριστὸς καθυβρίζεται καὶ μαστίζεται· ὥσπερ τὸ πρότερον ἐν σαρκὶ πεφηνὼς ὁ φιλάνθρωπος, οὕτω καὶ νῦν ἐν εἰκόνι τυπούμενος ὁ μακρόθυμος.

η. Σκοπείσθω γὰρ ἀκριβῶς τε καὶ ἐμμελέστατα, ὅτι καθόσον νῦν τὰ ὑβριζόμενά τε καὶ καθαιρούμενα χαρακτηρίζει τὸν κύριον, κατὰ τοσοῦτον καὶ αὐτοὶ τοὺς σταυρώσαντας ἰουδαίους, καὶ τὴν ἐκείνων μιαιφονίαν περιφανῶς εἰκονίζουσιν· ὡς γὰρ ἐκεῖνοι τὸν δημιουργὸν ἀνελεῖν πάντα τρόπον ἐκμηχανῶνται, οὕτω καὶ οὗτοι τὰ ἐκείνου ἀπεικονίσματα ἐξαφανίζειν, πᾶσαν σπουδὴν τίθενται· ἐπίσης τοιγαροῦν ἐπ' ἀμφοῖν τὰ τῆς μιμήσεως ἀκραιφνῶς διαδείκνυται· ὡς γοῦν ἐπὶ τοῖς ἀνόμοις ἐκείνοις τολμήμασι τὸ ἐμφανὲς ἤδη συντεθεώρηται, οὕτω δή που καὶ τῶν προσώπων καὶ τῶν γνωμῶν αἱ ποιότητες, ἀκόλουθοι συναναφανήσονται· καὶ οὐκ ἄν τις ταῦτα ἑτέρως ἔχειν οἰηθεὶς κρίνειεν, εἴπερ ὀρθὴν καὶ ἀδιάστροφον τῶν πραγμάτων τὴν κρίσιν κέκτηται, καὶ τὸν λογισμὸν

ἐῤῥωμένον ἔχειν πεπίστευται· τὸ γὰρ ἀπαραίτητον ὁ λόγος ἔξει πᾶσα ἀνάγκη, εἴ γε ὡς ἀληθῶς οἱ λόγοι τοῖς πράγμασιν ἕπονται· τοσοῦτον μὲν ὡς ἐν βραχεῖ τῶν ἀσεβῶν παραστῆσαι τὸ δύστροπον καὶ κακόηθες· καὶ τρίτον ἤδη τοῦτο πάθος ἐπὶ τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ πεφανέρωται· πρὸς γὰρ τῷ πρωτίστῳ καὶ ὡς ἄν τις εἴποι ἀρχετύπῳ πάθει, καὶ δεύτερον ἔτι, καὶ τρίτον ἐπὶ τούτῳ παρὰ τῶν ὁμοτρόπων τοῖς ἰουδαίοις, διὰ τῶν ἱερῶν τῆς σωτηρίου αὐτοῦ ἐνσωματώσεως συμβόλων, ἐπὶ τῆς καθ' ἡμᾶς γενεᾶς ἠνέγκατο· ἢ οὐχὶ δὴ τὸν ἐν πεδίῳ Σενναὰρ οἰκοδομούμενον πύργον εὐκαίρως ἂν ὀνομάσειεν; ἢ κἀκεῖνον κακῶς ᾠκοδόμητο, ἐπεὶ οὐδαμῆ ἤθελε θεὸς οὐδὲ ἤδετο· καλῶς δὲ τῶν συνηγμένων αἱ γλῶσσαι ἐνταῦθα συνεχέοντο, καθὰ δὴ τὸ θεῖον ἐκεκρίκει προβούλιον, καὶ διῃρεῖτο ἤδη αὐτοῖς τὸ ὁμόφωνον· ὡς ἀνηκουστεῖν τοὺς πέλας τῆς φωνῆς τῶν ὁμογνωμονούντων ἕκαστον, καὶ ταύτῃ διαλύεσθαι τὸ ἐγχείρημα, καὶ τοὺς πονουμένους τῷ ἔργῳ καθ' ὅλης γῆς διασπείρεσθαι.

θ. Ὁ δὲ νῦν τοῖς νεωτερίζουσι τῆς ἀσεβείας πυργούμενος κολωνὸς, πολλῷ δή που ἀπευκτότερος καὶ ἀθεώτερος· οὐ πλίνθοις πυρὶ κατοπτωμέναις, καὶ ἀσφάλτῳ δομούμενος, φωναῖς δὲ παλιμφήμοις καὶ θεομάχοις σκέμμασι κατὰ τῆς δόξης τοῦ μονογενοῦς τεχνιτευόμενος, καὶ τῶν καλῶς καὶ ἐνθέως ἡγμένων καὶ ἡνωμένων εἰς μίαν ὁμολογίαν καὶ σύμπνοιαν πίστεως, καθ' ἣν συμβαίνομεν ἀλλήλοις ἐν πνεύματι, τὴν συμφωνίαν διαλύειν καὶ σκεδαννύειν ἐκμηχανώμενος· οὓς ἂν καὶ μάλα θεοφρόνως ἐν πνεύματι κινούμενος ὁ μέγας Δαβὶδ ἐπαράσαιτο, " καταπόντισον, κύριε, καταδίελε τὰς γλώσσας αὐτῶν, λέγων· ὅτι „ εἶδον ἀνομίαν καὶ ἀντιλογίαν ἐν τῇ πόλει, ὅτι ἠγάπησαν πάντα ῥήματα „ καταποντισμοῦ, γλῶσσαν δολίαν· διὰ τοῦτο ὁ θεὸς καθελεῖ αὐτοὺς εἰς τέ„ λος, καὶ τὸ ῥίζωμα αὐτῶν ἐκ γῆς ζώντων ἐκτίλλων μεταναστεύσειε· „ ταῦτα οἱ νέοι Ἰαννὴς καὶ Ἰαμβρὴς, τῆς πονηρᾶς συζυγίας ἐκείνης ἀπεικονίσματα· ἢ Ὑμέναιος καὶ Ἀλέξανδρος, περὶ τὴν ἀλήθειαν μάλιστα διασφαλλόμενοι· ἄλλη μοχθηρά τις καὶ ὁμότροπος εἰς κακίαν ξυνωρὶς περιβόητος, ταῖς μὲν τοῦ διαβόλου ἡνίαις καταζευγμένοι, ταῖς ἐκείνου δὲ χερσὶν ἡνιοχούμενοι, ἡ κατὰ τοὺς υἱοὺς Κορὲ συντεταγμένη φρατρία, οἱ τῆς κατὰ Χριστὸν διαθήκης ἀντίθετοι, τὰς δολίας γλώσσας πρὸς ἀντιλογίαν τῆς ἀληθείας, τῷ ψεύδει προκαταθήξαντες· οὐ τῷ Μωσῇ τῷ πάλαι, καὶ τῷ σκιώδει καὶ ἐν γράμμασι νόμῳ κειμένῳ, καὶ πλαξὶ λιθίναις χαρασσομένῳ προσπταίοντες, δι' ὃν γνόφος καὶ σκότος καὶ θύελλα, καὶ ὄρος καπνιζόμενον, καὶ σάλπιγγες φοβερὸν ἀπηχοῦσαι, καὶ τοὺς ἀνιόντας ἐκδειματοῦσαι καὶ ψαύοντας· ἀλλ' αὐτῷ Χριστῷ τῷ νομοθέτῃ, καὶ τὴν νέαν ἡμῖν καὶ θείαν θεσμοθεσίαν ἐγκαινίζοντι ἀνέδην ἀντεπεξάγοντες, καὶ νόμῳ πνεύματι τυπουμένῳ καὶ πλαξὶ διανοίας οὐκ ἐπιπόλαιον ἀλλὰ κατὰ βάθος ἐνσημαινομένῳ, καὶ τὸν νοητὸν Ἰσραὴλ τελοῦντι καὶ μυσταγωγοῦντι ἐπὶ τὰ κρείττω καὶ ὑψηλότερα· καὶ θεσμοὺς καθαιροῦντες ἐξ αὐτῶν τῶν οὐρανῶν κατιόντας, καὶ τῆς τοῦ βασιλέως τῶν οὐρανῶν εἰς κένωσιν καθιγμένου οἰκονομίας ἡμῖν ἐμφανίζοντας τὸ μυστήριον, καὶ τοὺς δι' ὧν ἡ κένωσις κηρύσ-

σεται καὶ γνωρίζεται τύπους συγκαταβάλλοντες, καὶ ὅσον αὐτοῖς τὸ κατάκριμα ἡ ἀποστολικὴ ψῆφος γνωρίσειεν· " ἀθετήσας τίς νόμον Μωσέως, χωρὶς „ οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει· πόσῳ δοκεῖτε χείρονος „ ἀξιωθήσεται τιμωρίας, ὁ τὸν υἱὸν τοῦ θεοῦ εἰκόνι σεπτῇ καταπατήσας γραφόμενον; καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος, ἐν ᾧ ἡγιάσθη; καὶ „ τὸ πνεῦμα τῆς χάριτος ἐνυβρίσας, ἐν ᾧ δὴ ἡ τῆς εἰκόνος τιμὴ, ἐπὶ τὸ ἀρχέτυπον ἀναβαίνει; „ οὐκοῦν ἔδονται τῶν ἑαυτῶν πόνων τοὺς καρποὺς, καὶ παρὰ τῆς θείας δίκης ἄξια εὖ οἶδα τἀπίχειρα οἱ τάλανες δρέψονται.

Ὁρᾶτε τὴν ἐφ' ἡμῶν Βαβυλῶνα, καὶ τὰ ἐν αὐτῇ παρανομούμενα· πάλιν πρεσβύτεροι βαβυλώνιοι, καὶ φρονήματα βαβυλώνια, καὶ χαλδαϊκὰ σοβαρεύματα, καὶ πάλιν ἐξῆλθεν ἀνομία ἐκ Βαβυλῶνος, ἐκ πρεσβυτέρων κριτῶν οἳ ἐδόκουν κυβερνᾷν τὸν λαόν· καὶ πολὺ τὸ ὁμότροπον τὰ νῦν τεκταινόμενα ἐπιδείκνυσι· καὶ οὗτοι γὰρ αἰσχραῖς ἐπιθυμίαις καὶ πάθεσιν ἐκτόποις οἰστρηλατούμενοι, πρὸς τὸ συγγενὲς ἐφορμῶσιν ἀνόμημα, καὶ κατὰ τῆς σεμνῆς Σωσάννης ἐπιμανέντες οἷα μοιχώμενοι, τῆς ἐκκλησίας δὴ τοῦ θεοῦ λέγω· ὡς δὴ καὶ αὐτοὶ θρόνοις ἀλλοτρίοις ἐπιπηδῶντες, καὶ πόλεις τὰς ὑψηλοτέρας κατὰ πολλὴν ἐξουσίαν διακληρούμενοι, καὶ μισθὸν τοῦτο τῆς εἰς θεὸν βλασφημίας διαμειβόμενοι, γραφὴν μοιχείας συντιθέντες ἐκενολόγησαν, εἰδωλολατρίαν τῆς ἀμώμου καὶ ἀσπίλου καταγορεύσαντες· καὶ ἣν ὁ ἄμωμος ἀμνὸς ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου Χριστὸς τῷ ἰδίῳ αἵματι περιεποιήσατο, καὶ τῆς εἰδωλικῆς πλάνης ῥυσάμενος ὡς ἀληθῶς ἑαυτῷ ἁγίαν καὶ ἔνδοξον παρεστήσατο, μὴ ἔχουσαν σπῖλον ἢ μῶμον ἢ ῥυτίδα, συκοφαντοῦντες οὐκ ἔφριξαν, ἀσθένειαν αὐτῷ καὶ τὸ ἀδρανὲς ἐπιφημίσαντες, ὡς οὐκ ἰσχύσαντι ἡμᾶς τῆς τῶν εἰδώλων μανίας λυτρώσασθαι· τῶν τε θείων ἀποστόλων τὸ κήρυγμα, μάταιον καὶ ψευδομυθίας ἔμπλεων ἀποδεῖξαι πειρώμενοι· καὶ τὰ τῶν ὁσίων πατέρων ἡμῶν δόγματα, κενὰ καὶ ἀπρακτοῦντα καταστῆσαι βουλόμενοι· καὶ οὐκ αὐτοὶ μόνοι δρῶσι τὰ ἄτοπα, ἀλλ' ἤδη καὶ πάντας χριστιανοὺς συμπράττειν καὶ συμφωνεῖν αὐτῶν τῇ ἀθεότητι καταβιάζονται, καὶ εἰδώλων ὡσαύτως ἐκείνοις ὀνόματι καλεῖν τὰ ἱερὰ τῆς τοῦ σωτῆρος ἡμῶν οἰκονομίας καὶ σεβάσμια σύμβολα· κἂν τὰ τούτων νεανιεύματα τὸ ἐν Δανιὴλ πνεῦμα τέως ἀναβάλλεται, ἢ μεταμελήσειν αὐτοῖς τῶν ἀθέως δρωμένων, ἢ γοῦν ἐμβαθύνοντας ἐπὶ ταῖς τοιαύταις ἀνοσιουργίαις, τῆς σφῶν αὐτῶν θρασύτητος καὶ ἀπονοίας ἀξίας ἀποτιννύναι τὰς δίκας· θαυμάσαιτο δ' ἄν τις εἰκότως, ἡλίκον αὐτῶν τῆς κακίας τὸ μέγεθος, καὶ εἰς ὅσον ἀφίκετο ἀθλιότητος, ὅπως οἱ δόξαντες ἱερεῖς εἶναι, ὥσπερ ὠμότατοι τύραννοι καὶ πικροὶ δικασταὶ, μετὰ τῆς ὀφρύος ἐπὶ σεμνοῦ τοῦ βήματος προκαθέζονται, φρονήματος γέμοντες, καὶ πνέοντες μανικόν τε καὶ ἔμπληκτον· περιέστηκε δὲ αὐτοὺς στρατιωτικὸν ξιφηφορούντων καὶ παρακρατούντων σύνταγμα, τοῖς ἀπειλουμένοις μᾶλλον ἢ τοῖς δογματιζομένοις ὑπηρετούμενον.

Ἤδη δὲ καὶ τοὺς ἐκ τῶν ἐν τοῖς δήμοις χρωμάτων τῆς ἱππικῆς ἁμίλλης προὔχοντας, καθάπερ ἦν τῆς ἀκόσμου αὐτῶν συμμορίας ἄξιον, συμπαρέδρους

αὐτοῖς, συνηγορεῖν τῇ διδασκαλίᾳ προσεποιήσαντο· τοιούτων γὰρ διδασκάλων, τοιούτων ἔδει καὶ τῶν συμμάχων, ἐπὶ τοιούτοις τοῖς δόγμασι· προσφθείρονται δὲ αὐτοῖς οἷα φιλεῖ ἐν ταῖς τοιαύταις ἀταξίαις καὶ ἀκοσμίαις γίνεσθαι, καὶ μέρος τῆς ἐκκλησίας, ὅσοι ἐπ' αἰτίαις κανονικαῖς καὶ ἐγκλήμασιν ἁλόντες ἐξώσθησαν, ἵνα γένηται αὐτοῖς καθ' ὑπερβολὴν ἁμαρτωλὸς ἡ ἁμαρτία· οὐδὲ τῶν θεατρικῶν καὶ τῶν ἀπὸ τῆς σκηνῆς οἱ προάγοντες, οὓς μίμους τῷ δημώδει καλεῖν εἴθισται λόγῳ, τῆς σεμνῆς ὁμηγύρεως ταύτης ἀπολιμπάνονται· ἔστι δὲ οὓς καὶ τῶν καπηλικῶν, καὶ τῶν ἐκ τῶν τριόδων καὶ χαμαιτυπείων ἐπικουρήσειν τοῖς πραττομένοις συνεκάλεσαν, καὶ ὅσον ἀγυρτικόν τε καὶ ἀγελαῖον καὶ βάναυσον ὀχλοποιήσαντες περιαθροίζουσι· κοσμεῖ δὲ αὐτῶν μάλιστα τὴν παράταξιν, καὶ μέρος οὐκ εὐαρίθμητον τῶν ἐν στρατιωτικοῖς τάγμασι τελούντων ποτὲ, ὧν οἱ μὲν ἅ τε παρηβηκότες τὴν ὥραν καὶ ἀφήλικες, οἱ δὲ ἐπ' αἰτίαις τισὶ πεφωραμένοι καὶ αἰσχρότησι, τῆς μοίρας τῆς ἐνοπλίου ἀπελήλανται, ὧν οἱ πλείους τῆς παλαιᾶς ἐκείνης καὶ δυσσεβοῦς διδασκαλίας τυγχάνουσιν, ἐκ πολλῆς ἄγαν κτηνωδίας καὶ ἀλογίας, ὅθεν ἤδη καὶ συνελέγησαν, ταύτης τῶν ἄλλων μᾶλλον μεταποιούμενοι· οἱ ἐπειδὴ τῶν βασιλικῶν σιτηρεσίων στερούμενοι, ἐξ ὧν αὐτοῖς μετὰ τῆς τῶν ὅπλων παρασκευῆς καὶ τὰ ἐπιτήδεια ἐπορίζετο, εἰς ἄκρον πενίας καὶ ἀπορίας τῶν ἀναγκαίων ἵκοντο· ὥστε εἰς προῦπτον καὶ δεῖσθαι τῶν παρατυγχανόντων, καὶ τῆς ἐκ τῶν ἐράνων συλλογῆς τὰ πρὸς ζωὴν ἐπαρκούμενοι, περιαθροῦντες ὅπου πότοι καὶ ἀθροίσματα γίνονται, ἐφ' οἷς ὡς ὑπόπτεροι περιθέουσιν, ὡς ἂν τὸ ἐνδεὲς καὶ πιέζον ἐντεῦθεν παραμυθήσωνται· οὗτοι δὲ ὡς ἴσμεν ἅπαντες, ἐθάδες τῶν χειρόνων ὑπάρχοντες, τοῖς μὲν καθεστῶσιν ἀεὶ δυσχεραίνουσι, ταῖς δὲ καινοτομίαις χαίρουσι, καὶ νεωτέρων πραγμάτων ἐφίενται, ὡς δὴ ἐκ τῶν τοιούτων αὐτοῖς θορύβων καὶ ἀταξιῶν, τὰ χρειώδη καὶ ἀναγκαῖα περιγίγνοιντο· τοιούτων οὖν στρατηγῶν τοιαύτης ἔδει καὶ φάλαγγος· οὕτω γὰρ ἅπαν τὸ χείριστον καὶ αἴσχιστον δι' ἑαυτῶν ἐποιήσαντο· βαβαὶ βαβαὶ, ἐπίσκοποι καὶ δῆμοι καὶ μῖμοι καὶ ὁ ἄλλος μανικὸς ὅμιλος κατὰ ταὐτὸν, τὰ τῆς ἐκκλησίας ἐποπτεύοντες μεταχειρίζονται δόγματα.

Ἐπεὶ οὖν τὸ πονηρὸν ἐκεῖνο καὶ ἄθεον ἐργαστήριον συγκεκρότηται, καὶ τὰ κατὰ γνώμην πάντα ἤδη ἐκβέβηκε, καὶ διὰ χειρὸς αὐτοῖς τῆς ἐκκλησίας ὑπάρχει τὰ πράγματα. πῶς ταῦτα καὶ τίνα τρόπον συγχωρεῖ θεός; ἐπειδὴ τὸ πῦρ ἐξεκαύθη τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ ἐπὶ μέγα φλογὸς ἐπῆρται, τῶν ἀδικημάτων ἡμῶν ἡ κάμινος, καὶ τῶν ἐγκλημάτων εὐθύνας παρὰ τῆς θείας εἰσπραττόμεθα δίκης· καὶ κινδυνεύει τὰ τῆς ἱερωσύνης δημοτικώτερον μᾶλλον ἢ πνευματικώτερον διϊθύνεσθαι· ψυχικοὶ γὰρ ὄντες οὐ δέχονται τὰ τοῦ πνεύματος, καὶ τοῖς βεβήλοις πεπίστευται καὶ ἀνεῖται τὰ τῆς ἐκκλησίας μυστήρια· τί συμβέβηκε καὶ τί ὁρᾶν ἔνεστιν; ἐπὶ τῆς Μωσέως καθέδρας ἐκάθισαν οἱ γραμματεῖς καὶ οἱ φαρισαῖοι, τοῖς πάθεσι τῆς φιλοσαρκίας ἐπεντρυφῶντες, καὶ ταῖς κεναῖς δόξαις καὶ πλάσμασι φιλοτιμούμενοι, τῷ τε κόμπῳ τῷ φαρισαϊκῷ καταλαζονευόμενοι, καὶ μέγα φυσῶντες ταῖς προεδρίαις, καὶ τῷ καλεῖσθαι ῥαββὶ,

καὶ τῷ ὄγκῳ καὶ τῇ ὀφρύϊ τῶν γραμματέων καταβαρευόμενοι· πλήν γε δὴ, ὅτι ἐκεῖνοι μὲν ἃ τῷ νόμῳ ἐγέγραπτο, τῷ λαῷ διεσήμαινον· ἃ δὲ ἔλεγον, πράττειν οὐκ ἤθελον· διὸ καὶ ὁ Χριστὸς τὰ μὲν λεγόμενα ποιεῖν ἐκέλευεν, ἀπηγόρευε δὲ τὰ πραττόμενα· οὗτοι δὲ οὔτε λέγουσιν οὔτε πράττουσιν, ἃ ἡ ἀλήθεια παραδέδωκεν· ἄντικρυς δὲ, καὶ λόγῳ καὶ πράγμασι τῇ χάριτι ἀπομάχονται· σκεπτέον οὖν ὁποτέροις χαλεπώτερα τὰ ἐγκλήματα· ἐντεῦθεν οἱ εὐφημοῦντες, ὡς ἐγγυτάτω προθύμως τὰς ἀσέμνους ἐκείνας καὶ δυσηχεῖς φωνὰς, ἢ δυσσεβεῖς εἰπεῖν οἰκειότερον, ἐκ τῆς δυσώδους αὐτῶν καὶ μυσαρᾶς καρδίας ἐξερευγόμενοι, οἱ δορυφοροῦντες μετ᾽ εὐλαβείας καὶ συνεσταλμένου τοῦ φρονήματος, διακονούμενοι ὡς τάχιστα τοῖς διατάγμασιν, οὓς μὲν τῶν ἐξεταζομένων, εἰς μέσους παράγειν, οὓς δὲ ἀνθυπεξάγειν τοῦ δικαστηρίου, ὢ τῆς ἐπηρείας, φεῦ τῆς ἀναιδείας, ἢ προσδεχθησομένους σὺν εὐμενείᾳ, ἢ ἐκπεμφθησομένους σὺν ἀδοξίᾳ, καὶ τἄλλα ὅσα τοῦ ἐμπλήκτου καὶ φαρισαϊκοῦ ἐκείνου βήματος ἄξια· ἀλλὰ καὶ τοὺς ὁσίους πατέρας ἡμῶν καὶ διδασκάλους τῆς ἐκκλησίας κατευτελίζουσι καὶ φαυλίζουσι, κατὰ μηδὲν τῶν ἄλλων ἀνθρώπων πρός τε ἀρετὴν καὶ τὴν εἰς θεὸν οἰκείωσιν διενηνοχέναι, ἀλλ᾽ ὡσεί τινα καὶ τῶν πολλῶν ἕνα, αὐτῶν ἕκαστον εἶναι περιθρυλοῦντες· ὧν καὶ τὰς ἱερὰς βίβλους, αἳ τὰς ἐνθέους αὐτῶν διδασκαλίας φέρουσιν, ὑπὸ πόδας ἄγουσιν, εἰς βάθρων ὑπηρεσίαν αὐταῖς ἀποχρώμενοι, τὸ παρανομώτατον· σοφοὺς δὲ χειροτονοῦσιν ἑαυτοὺς οἱ σαρκοφιλόσοφοι, καὶ παρὰ τῶν σπουδαστῶν ἀξιοῦσι καλεῖσθαι θεολόγοι οἱ κενολόγοι, καὶ χρυσόστομοι οἱ αἰσχρόστομοι· σκοπῶμεν δὲ ταῦτα ὅθεν καὶ οὕτως· τὴν μὲν κελεύουσαν ἐντολὴν, μὴ μέταιρε ὅρια αἰώνια ἃ ἔθεντο οἱ πατέρες σου, οὐδὲ ὅσον εἰς νοῦν βαλέσθαι δόξαν τοῖς ἀθλίοις· πρὸς δὲ τὰς εὐαγγελικὰς τοῦ κυρίου φωνὰς, πρὸς ὃν καὶ ἡ μάχη καὶ τὰ τῆς ὕβρεως, παραπλησίως ἀσπίδι κωφῇ καὶ βυούσῃ τὰ ὦτα, καθὰ λέγεται, τοῖς ἐπᾴδουσι τὰς ἀκοὰς ἀποβύουσιν· αἳ δὴ καὶ τοῦ ἕνα τῶν μικρῶν τῶν ἤδη πεπιστευκότων σκανδαλίζοντος, ὡς βαρυτάτην τὴν δίκην καθορίζουσι λυσιτελεῖν αὐτῷ μᾶλλον ὀνικῷ μύλῳ κατ᾽ αὐχένος ἐπηρτημένῳ, θαλασσίοις καταποντοῦσθαι πελάγεσι.

Τί οὖν; οὐκ ἂν αὐτοὶ δεινότερον πείσωνται; τοσαύτην πληθὺν μεθοδείαις ἀπατηλαῖς κατασοφιζόμενοι καὶ παρακρουόμενοι, ἥ τις καὶ ἐν ἴσῳ θαλάσσης ἄμμῳ παρεικασθήσεται· οὐ γὰρ ἕνα ἢ δύο ἢ τρεῖς, πάντα δὲ ἄνθρωπον τὸν ὑπὸ σκήπτροις Ῥωμαίων, κατὰ ψυχὴν τὴν σηπεδόνα τῶν φθοροποιῶν αὐτῶν λόγων εἰσδέχεσθαι διασπουδάζουσι· πῶς γὰρ ἔμελλον ἀλλοτρίων ψυχῶν φείδεσθαι, οἵ γε τῶν ἰδίων ἠφειδηκότες ἀπογνόντες παντάπασι; καὶ καλῶς γε μετὰ τῶν γραμματέων καὶ φαρισαίων ἀκούσονται· „ οὐαὶ ὑμῖν ὅτι κλείετε τὴν „ βασιλείαν τῶν οὐρανῶν ἔμπροσθεν τῶν ἀνθρώπων· ὑμεῖς γὰρ οὐκ εἰσέρχε- „ σθε, οὐδὲ τοὺς εἰσερχομένους ἀφίετε εἰσελθεῖν· „ οὕτω πάντα τῆς ἐκκλησίας κατασείοντες ἔθη τε καὶ νόμους καὶ μυστήρια, τὰς ὁδοὺς κυρίου τὰς εὐθείας διαστρέφουσιν· εἰ δὲ καὶ ὑπὲρ ἀργοῦ ῥήματος λόγον ὑφέξομεν ἐν ἡμέρᾳ κρί-

σεως, ποίαν ποτε ἄρα τῶν παρ' αὐτοῖς ἐνεργουμένων ἐνδιαστρόφων καὶ πονηρῶν διδαγμάτων οὐκ οἴσουσι δίκην; ὅπου γε καὶ τοῖς ἔξωθεν συντηρεῖν τὸ ἀπρόσκοπον ἡ Παύλου παρεγγυᾷ μεγαλόνοια· ὧν ὡς ἀληθῶς τὸ κατάκριμα ἔνδικον ἄνωθεν προεσήμηνεν· ὄντως πάντα τολμῶσι κακοὶ, καλῶς εἴρηται· εἶτα εἰς μέσους ἠγμένα καὶ ὑπ' ὄψιν ἐκκείμενα, τῶν ψυχῶν τῶν ἀνθρωπείων τὰ θήρατρα, αἱ διὰ χρόνου συχνοῦ προεκμελετηθεῖσαι αὐτοῖς καὶ εἰς τοῦτο παρασκευασθεῖσαι βίβλοι.

ι. Ἐπειδὴ καὶ πρὸς τῇ προτέρᾳ κατὰ Χριστοῦ δυσφημίᾳ, καὶ ἑτέραν οὐκ ἐλάττω ταύτης, τὸ ἀπερίγραπτον αὐτὸν ἀνειληφέναι σῶμα, ὥσπερ ὀνειροπολοῦντες, οἱ χριστομαχοῦντες προσεπάγουσιν· ἃς δὴ κρατύνειν ἀποπειρῶνται, ἐκ τῶν τοῦ εὑρετοῦ καὶ πατρὸς τῆς ἀποστασίας ἀφορμῶν, τὸ πᾶν τῆς ἐναγοῦς αὐτῶν εἰληφότες διδασκαλίας· ἐκεῖνος γὰρ τῇ μὲν προηγουμένῃ τῶν ἀσεβειῶν παριστάμενος, φωνὰς συναγήγερκε, παρά τε τῶν τοῦ πνεύματος λογίων συγγραφείσας παρασπασάμενος, πρὸς δὲ καὶ τῶν μακαρίων πατέρων ἡμῶν σοφῶς ἐκπονηθείσας, πρὸς ἔλεγχον μὲν τῆς τῶν βδελυρῶν εἰδώλων ἀπάτης, κατηγορίαν δὲ τῆς τῶν ἀγνοούντων τὸν τῶν ὅλων θεὸν ἐθνῶν, ἀπιστίας καὶ ἀπονοίας παρατεμόμενος· ἃς δὴ κακῶς καὶ ἀνοήτως ἐξειληφὼς, καὶ ὡς ἀληθῶς εἰπεῖν εἰδωλικαῖς μυσαρότησι τὴν ψυχὴν καταχραίνων τὴν ἑαυτοῦ, ταῖς ἱεραῖς εἰκόσιν ἐφήρμοσε· τῇ δ' αὖ ἑπομένῃ τὸ κῦρος δίδωσιν, ἐκ τῆς ἐμμανοῦς τῶν Ἀρειανῶν δόξης, καὶ τῆς Μανιχαίων λυσσώδους θρησκείας ὁ ἔκφρων ὁρμώμενος.

ια. Τούτοις πρὸς σύστασιν τῶν ἑαυτῶν οἱ γεννάδαι ἀποχρῶνται δογμάτων· ἐπειδὴ γὰρ οἰκεῖόν τι κατασκευάσαι οὐκ ἔχουσιν, οὐδὲ γὰρ ἂν πρὸς τὴν αἴγλην τῆς ἀληθείας ἀντωπεῖν δύναιντο, οὐκ αἰσχύνονται οἱ ἐν ἱερεῦσι τετάχθαι νομίζοντες, τῶν ἐν λαϊκοῖς τελούντων καὶ ταῦτα βεβήλων καὶ ἀκαθάρτων ξένα καὶ ἔκφυλα τοῦ τῶν χριστιανῶν φρονήματος διδάγματα παραδέχεσθαι· οὕτω τῆς τοῦ θεοῦ δόξης ἀποπεπτωκότες, τῇ ἀνθρωπίνῃ ματαιότητι ἐξανδραποδιζόμενοι κατεσύρησαν· διὰ τοῦτο τῇ εἰκόνι τῇ χρυσῇ καθάπαξ ὑποκύψαντες, τῇ εἰκόνι τοῦ Χριστοῦ προσκυνεῖν οὐκ ἀνέχονται· ἀλλὰ τὸν μὲν περὶ τῶν εἰδώλων λόγον, τίς τέ ἐστι, καὶ ἐπὶ τίσιν ἐφαρμόζεται, καὶ τοῦτον προφανῆ καὶ δεδημοσιευμένον ὑπάρχοντα, οὐκ οἶμαι τινὰ λανθάνειν τῶν ἐρώντων τοῦ κρείττονος, καὶ μικρὸν γοῦν ἐπῃσθημένων τῆς τῶν πραγμάτων φύσεως· ἡ δὲ τῶν συντεταγμένων τούτῳ Ἀρειανῶν ἀθεότης, ἀποκεκρυμμένον πως καὶ οὐ πάνυ καταφανῆ τὸν δόλον τῆς ἀσεβείας κέκτηται, καὶ ταύτῃ οὐ ῥαδίως τοῖς πολλοῖς καταλαμβάνεται· σεσοφισμένοις γὰρ τοῖς ῥήμασι καὶ πολυπλόκοις ἐπινοίαις εἰς τοῦτο αὐτοῖς ἐκμεμηχανημέναις, τῇ τῶν παραλογισμῶν ἀχλύϊ καὶ ταῖς ἐκ τῶν τῆς εὐγλωττίας στροφῶν πιθανότησι, συναρπάζειν καὶ ὑποσύρειν τοὺς ἁπλουστέρους ἐπὶ τὸ ἴδιον φρόνημα ἱκανῶς ἔχουσι· διὰ τοῦτο μικρά τινα περὶ αὐτοῦ τε καὶ τῶν προσηκότων εἰπεῖν, πρὸς τὴν τῶν ἀγνοούντων εἴδησιν καὶ ὠφέλειαν, ἄξιον ὑπείληφα· τίνες δὲ αἱ βίβλοι αὗται, καὶ τῆς ποίας διδασκαλίας, ἐρῶν ἔρχομαι.

ιβ. Τίς οὐκ οἶδε τὴν θεομάχον τῶν δυσωνύμων Ἀρειανῶν ἀθεωτάτην αἵρεσιν, ἣν ὁ τῆς μανίας ὄντως ἐπώνυμος Ἄρειος ἐξεγέννησε, καὶ τοὺς τὸν μαινόλην τουτονὶ καὶ ἔκφρονα συναπαρτίζοντας θίασον; οἳ τὴν θεότητα τοῦ ζῶντος καὶ ὑφεστῶτος καὶ ἐνυποστάτου θεοῦ λόγου ἀθετοῦσιν ἀνοητότατα, ἑτεροφυᾶ τῆς τοῦ θεοῦ καὶ πατρὸς οὐσίας αὐτὸν ἀποφαίνειν πειρώμενοι, καὶ τῆς δόξης τῆς πατρικῆς ἀποσχίζειν ἀθέσμως οἰόμενοι. καὶ τὰς τῆς δεσποτίδος φύσεως ἀσυγκρίτους ὑπεροχὰς, ἐπὶ τὴν τῆς δούλης κτίσεως περιπέζιον τάξιν καταξιβάζοντες· οὐ μὴν δὲ ἀλλὰ καὶ τὴν θείαν καὶ ὑπερφυᾶ τοῦ λόγου συκοφαντοῦσι σάρκωσιν, καὶ ὡς ἐν σκιαῖς καὶ ψιλαῖς φαντασίαις αὐτὴν πεφηνέναι ἀπισχυρίζονται φαντασιούμενοι, συνῳδὰ τῇ μανιχαϊκῇ λύσσῃ, καὶ τοῖς ἀπὸ τῆς τοῦ Βαλεντίνου βακχείας καὶ αὐτοὶ δογματίζοντες· τίς οὐ μεμάθηκεν, ᾧ καὶ κατὰ βραχὺ γοῦν λόγου μέτεστι, καὶ ἱστορίας εἰς πεῖραν ἀφίκετο, τὴν τούτων κορυφὴν καὶ ἀκρόπολιν; ὁ καισαρεὺς δ' οὗτός ἐστι δυσσεβὴς ὄντως Εὐσέβιος, ὅς γε πολλὰ μὲν κατὰ τῆς τοῦ λόγου θεότητος δεδυσφημηκὼς πεφλυάρηκε, πολλὰ δὲ κατὰ τῆς θείας τοῦ σωτῆρος οἰκονομίας ματαιοπονῶν δεδυσσέβηκεν· οὗ τὰ συγγράμματα μέχρι καὶ τήμερον τῶν ἐξαγίστων αὐτοῦ δογμάτων ὑπάρχει κατάπλεα· οὐ γὰρ Ἄρειον μόνον τὸν ἑαυτοῦ διδάσκαλον, καὶ τῆς ἀποστασίας ταύτης εἰσηγητὴν, ἀλλ' ἤδη καὶ πάντας τοὺς εἰς τὴν δόξαν τοῦ μονογενοῦς προσκεκρουκότας ὑπερβαλέσθαι ἐφιλονείκησε· κτίσμασι γὰρ προσκυνῶν, καὶ τῇ κτίσει τὸ μόνῳ πρέπον θεῷ σέβας ἀνάπτων ἐλέγχεται, λάτρις εἰδώλων ἐντεῦθεν σαφῶς ἐκδεικνύμενος, καθὰ καὶ παρὰ τῶν ἐκκρίτων τῶν θεοφόρων πατέρων ἡμῶν μεμαρτύρηται· ἀναγκαίως οὖν καὶ οἱ προσκείμενοι αὐτῷ καὶ μαθητευόμενοι, τὴν τοῦ διδασκάλου δόξαν ἀποφερέσθωσαν· οὗτος γὰρ αὐτοῖς τὸ κατὰ Χριστὸν σῶμα, μὴ οἷόν τε εἶναι γράφεσθαι εἰσηγήσατο, ὡς ἀληθῶς φαντασιούμενος, καὶ ὠνείρωξε· τίνα δὲ τῶν ἁπάντων τὰ κατ' αὐτὸν διαπέφευγε; μᾶλλον δὲ τίνι οὐκ ἔνδηλα καὶ καταφανῆ, κἂν ἀγροικικός τις ᾖ καὶ ἀπαιδοτρίβητος; ὡς πεντακοσίοις πρότερον ἔτεσι, καὶ μικρόν τι πρὸς, ἡ πολυάνθρωπος ἐκείνη καὶ θεόλεκτος ὁμήγυρις, ἡ κατὰ Νίκαιαν φημὶ ἱερὰ τῶν θεοφόρων καὶ θαυμασίων ἀνδρῶν σύνοδος, πάντα ἐκ πνεύματος θείου καὶ κινουμένη καὶ πράττουσα, τοὺς ἀντεχομένους τῆς ἀρειανικῆς αἱρέσεως, τῆς ἐκκλησίας κατελοῦσα ἐξώθησεν, ἐκκηρύκτους αὐτοὺς σὺν πᾶσι τοῖς ἐκφύλοις καὶ ὀθνείοις αὐτῶν δόγμασι καταστήσασα· κἂν που Εὐσέβιος μετὰ τοῦ πεπλασμένου ἤθους τῇ ὀρθῇ συνετίθετο δόξῃ, λανθάνειν βουλόμενος· καὶ πάλιν εἰς ἑαυτὸν ἐπανιὼν, καθάπερ οἱ ἑτεροκλινεῖς τῶν ὁρπήκων τῆς ἀντιπεριελκούσης χειρὸς ἐλευθεριάζοντες· ὁποῖον δή τι καὶ ὁ δυσδαίμων ἐσοφίζετο Ἄρειος, ὡς καὶ χρόνοις πλείοσιν ὕστερον, ἐπεὶ τὸ δολερὸν τῆς γνώμης τισὶν ἐκέκρυπτο, καὶ μνήμην αὐτοῦ ποιεῖσθαι ἠξίουν, τοῦ τῶν ὀρθοδόξων χοροῦ τυγχάνειν ὑπολαμβάνοντες· τούτους ἡ κατὰ τὴν Ἀλεξάνδρου μεγαλόπολιν συνελθοῦσα σύνοδος, κανονικοῖς δεσμοῖς ὑποβάλλει, μηδενὶ ἐξεῖναι τῶν εὐσεβούντων χριστιανῶν εἰς μνήμην Εὐσεβίου ἰέναι καθορίσασα.

Τί δ' ἄν τις εἴποι περί γε τῶν μετ' ἐκείνους θεοφόρων πατέρων, καὶ τῆς ὀρθῆς πίστεως καὶ διδασκαλίας εἰσηγητῶν, ὅπως γενναίως καὶ ἀνδρικῶς ἄγαν κατὰ τῆς πλάνης ταύτης ἐνστάντες καὶ ἀποδυσάμενοι διηγωνίσαντο; ὧν τὰ συγγράμματα καὶ τὰς βίβλους, καὶ ἀριθμῷ διαλαμβάνειν, πολλῆς ἂν δεήσειε σχολῆς καὶ χρόνου· οὕτως μὲν οὖν τῷ ἀπείρῳ χρόνῳ, ἐκτὸς τῆς καθ' ἡμᾶς ἱερᾶς αὐλῆς διεῤῥιμμένος Εὐσέβιος, σήμερον αὐτοῖς τῆς διδασκαλίας, ἢ ματαιοφροσύνης εἰπεῖν ἀληθέστερον, ἔξαρχος προκαθέζεται· καὶ τοῖς τούτου δόγμασι μέγα φρονοῦσι καὶ βρενθύονται οἱ ταλαίπωροι, καὶ αὐτῷ γε τούτῳ καττυθείσας χρήσεις προτίθενταί τινας ἀλλοκότους, μὴ δὲ τῇ ἀληθείᾳ μὴ δὲ ἀλλήλαις συμβαινούσας· τοιοῦτον γὰρ τοῦ ψεύδους τὸ ἴδιον· ἐνίων γὰρ ὁλοκλήρων βιβλίων ἕως τοῦ νῦν ἠμοιρηκότες τυγχάνουσι παντάπασιν, οὓς δὴ καὶ πατέρας χειροτονεῖν ὥσπερ ἐξ ἐπιτάγματος οὐ δεδίασι, καὶ πρωτάρχους τῆς φλυαρίας αὐτῶν ἀνακηρύσσουσιν· ὧν τὸ ληρῶδες καὶ φαῦλον τῆς ἀπιστίας, ἐν τοῖς μετέπειτα ἐξελέγξομεν, εἴπερ εὐδοκοίη θεὸς, καὶ τῷ πόνῳ συνεφάπτηται καὶ συναίρηται, ὃς οἶδε γλῶσσαν τρανοῦν μογιλάλου, καὶ τῶν μελῶν ἐπιῤῥωννύειν τὰ παρειμένα καὶ ἄῤῥωστα, ἵνα ἐξάλληται ὥσπερ ἔλαφος ὁ χωλὸς, καὶ οἱ πόδες ὡραῖοι καὶ ἄρτιοι τῶν εὐαγγελιζομένων τῆς τοῦ θεοῦ ἡμῶν ἐκκλησίας τὴν εἰρήνην διαφαίνοιντο· ἐπεὶ δὲ τὸ προκείμενον ἴωμεν.

ιγ. Ἐπεὶ οὖν αὐτοῖς δυσήνυστα ἐδόκει καὶ δυσκατόρθωτα τὰ βουλεύματα, μή ποτε ἐκ μόνης τῆς τῶν ἔξωθεν τῆς ἐκκλησίας διδασκαλίας ὁρμώμενοι, ἀπίθανα τοῖς πολλοῖς λέγειν δόξαιεν, καὶ περὶ τὸν σκοπὸν ἀπρακτήσαιεν, τί δρῶσι; καὶ ποῖ τὰ τῆς πανουργίας αὐτοῖς ἐξοίχεται; τῷ θολερῷ καὶ πικρῷ τῶν αἱρετιζόντων ῥεύματι, τὸ γλυκὺ καὶ καθαρὸν τῆς ἀληθείας νᾶμα παραμιγνύουσιν, ὅπερ πάλαι οἱ κακοὶ κάπηλοι τὸν οἶνον ὕδατι μίσγοντες ὀνειδίζονται· καὶ τῶν θεολόγων πατέρων ἡμῶν, οἳ τῷ κόσμῳ τὸ φῶς τῆς ἀληθείας ἐπύρσευσαν, ῥήσεις τινὰς τοῦ ὅλου σώματος τῶν βίβλων ἀποσπαράξαντες, τῇ ἐκείνων συγκατηρίθμησαν πλάνῃ· ἢ οὐδὲ συνεῖναι τάχα ἰσχύσαντες τὴν ἐγκειμένην τοῖς λόγοις διάνοιαν, ἡνίκα τὴν λήμην τῶν τῆς ψυχῆς ὀμμάτων ἀποκαθήρασθαι οὐ προείλοντο, ἢ κατὰ τὸ δοκοῦν ἐπ' ἀπωλείᾳ ἑαυτῶν τε καὶ τῶν ἀπατωμένων, ταῦτα προϊσχόμενοί τε καὶ παρεξηγούμενοι, τὸν λόγον τῆς ἀληθείας δολοῦσι καὶ καπηλεύουσι, τῷ χαλκῷ τὸ δέλεαρ ἐνσκευασάμενοι, ἵνα τῷ ἀξιοπίστῳ τῶν προσώπων, τοὺς ἁπλουστέρους τῶν ἀκροωμένων βουκολοῦντες οἱ βωμολόχοι ἐπαγάγωνται, τῷ κεκρυμμένῳ δόλῳ τῆς ἀσεβείας περιπαρέντας· τὰς δὲ ἐμφανῶς καὶ ἀντιῤῥήτως καὶ εἰς γνῶσιν ἅπασιν ἐκκειμένας περιξέοντες καὶ περιγράφοντες, καὶ τοῖς εἰς πεῖραν αὐτῶν ἀχθεῖσι δολίως ἀποκρυπτόμενοι, ὢ τῆς τυφλώσεως, ὢ τῆς πωρώσεως, οὐκ ἔγνωσαν οὐδὲ συνῆκαν· διὰ τοῦτο ἐν σκότῳ βαθεῖ διαπορεύονται, καὶ πρὸς τὰς αὐγὰς τῆς ἀληθείας ἀναβλέψαι οὐ βούλονται· εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐξουθένησαν.

ιδ. Τί τούτων τῶν ἐγχειρημάτων χαλεπώτερον ἢ βλαβερώτερον; τί ταύτης τῆς διαιρέσεως δυσαχθέστερον ἢ ἀπηχέστερον; πάλαι καλῶς τεθνηκυῖαν αἵρε-

σιν, καὶ φροῦδον ἐκ τῆς τῶν χριστιανῶν γλώσσης γεγενημένην νῦν ἀναζωπυρεῖν καὶ τεθηλέναι οἱ παράφρονες ἐκβιάζονται· τοῦτο γὰρ αὐτῆς τοῖς σπουδασταῖς ἔργον τὲ καὶ ἀγώνισμα· καὶ τῷ ἐχθρῷ πάροδον τῆς καθ' ἡμῶν ἐπηρείας διδόασιν, ἵνα ὅπερ πάλαι συμμάχους καὶ ὑπηρέτας τῆς ἑαυτοῦ κακίας εὑρηκὼς ἀπετέλεσε, κἂν διὰ τῶν σταυρωσάντων τὸν κύριον ποιῆσαι οὐκ ἴσχυσε, τοῦτο ἐφ' ἡμῶν αὐτῶν ἀπεργάσηται· ἤδη γὰρ καὶ νῦν ὁ ἄνωθεν καὶ δι' ὅλου τῷ τιμίῳ αἵματι Χριστοῦ ἐξυφασμένος χιτὼν περιῤῥήγνυται καὶ μερίζεται, καὶ τὸ κράτιστον τῶν ἐν ἡμῖν καλῶν, ἡ εἰρήνη καὶ ὁμόνοια λέλυται καὶ διόλωλε. Δεινὸν μὲν τὰ πάλαι ἱστορούμενά τε καὶ ἀκουόμενα, ἡ βασιλεία Δαβὶδ καθ' ἑαυτὴν μεριζομένη καὶ σχιζομένη, καὶ τῶν φυλῶν ἡ διάστασις, θρασύτητι καὶ αὐστηρίᾳ τοῦ ἐκγόνου γεγενημένη, καὶ Ἰσραὴλ ἀποτρέχων εἰς τὰ ἑαυτοῦ σκηνώματα, καὶ Ἱεροβοὰμ ἐν σκήπτροις ὁ δοῦλος καὶ ἀποστάτης ἐνθρονιζόμενος, τὸ παραδοξότατον· καὶ τῆς Ἱερουσαλὴμ ἀντιδιαιρουμένη Σαμάρεια, ὅθεν τῶν κακῶν ἡ κρηπὶς καταβέβληται, καὶ ὁ λαὸς ἀναπεπεισμένος προσκυνεῖν τῇ κτίσει παρὰ τὸν κτίσαντα, ἐπὶ τὴν εἰδωλομανίαν ἀθέως ἐξεκυλίσθη· δεινότερον δὲ τὰ νῦν τελούμενα καὶ δρώμενα, ἐπείπερ ἡ Χριστοῦ βασιλεία τέμνεται καὶ διΐσταται, καὶ τὰ μέλη τοῦ κατὰ Χριστὸν σώματος καὶ τῆς αὐτῆς κεφαλῆς, καθ' ἑαυτὰ διαστασιάζει, καὶ τὸ ἔθνος τὸ ἅγιον, τὸ βασίλειον ἱεράτευμα, ὁ λαὸς ὁ εἰς περιποίησιν ἐξαγγέλλειν τὰς θείας ἀρετὰς κατάχρεως. καὶ τὸ μεγαλεῖον τῆς θείας οἰκονομίας λαμπρᾷ τῇ φωνῇ καὶ διαπρυσίῳ βοᾷν κηρύγματι, καὶ τὴν χάριν τῆς ἐλευθερίας ὁμολογεῖν καὶ ἀπολυτρώσεως, εἰς τοὐναντίον περιετράπησαν, καὶ κατὰ πλείονας τοῖς τῆς κακίας ὑπηρέταις δελεαζόμενοι, ὡς οὐδὲν ὠφελημένοι, ἀνατολῇ ἐξ ὕψους ἐπισκεφθέντες οἱ ἐσκοτισμένοι, τῷ κρημνῷ τῆς ἀπιστίας περιπίπτουσι, τὰ ἀχάριστα κτίσματα, οἱ νέοι ἰουδαῖοι καὶ ἀγνώμονες· ὁπόσον δ' ἂν τὸ ἐν μέσῳ τούτων, κατίδοι ἄν τις διασκοπούμενος· ὅτι ἐκεῖνα μὲν τῶν γηΐνων καὶ χαμερπῶν, καὶ ἀρχὴν ἐχόντων ἐπίκηρον, καὶ ἥκιστα ὑπομενόντων ἕνεκεν, εἶχε τὸ ἀμφήριστον, καὶ τῶν γνωμῶν ἐπρυτάνευε τὸ ἀντίῤῥοπον· ταῦτα δὲ τῶν οὐρανίων αὐτῶν, καὶ τῆς ἄνω βασιλείας τὲ καὶ λαμπρότητος, καὶ ὧν οὐκ ἄξια τὰ βλεπόμενα, εἴπερ ἡμῖν ταῦτα πίστις εὐσεβὴς κατεπαγγέλλεται, συμπαρομαρτούντων ἤδη τῶν οἰκείων ἔργων τῆς πίστεως.

Οὕτω δὴ καὶ τοιαῦτα τὰ παρόντα εἶναι συμβέβηκεν, ἡνίκα τὸ καινὸν τοῦτο καὶ ἄθεσμον ἄθροισμα, ὥσπερ ἄλλη Σαμάρεια, τῆς νέας Ἱερουσαλὴμ τῆς ἐκκλησίας, ἀπονοσφίζεται· καὶ κάθηνταί γε ἐφ' ὕβρει καὶ ὑψηλῇ καρδίᾳ, καὶ ταῖς χρυσαῖς ἡττῶνται δαμάλεσι· ταύτῃ δὴ τῇ δευτέρᾳ εἰδωλολατρίᾳ, τῇ φιλαργύρῳ γνώμῃ, οἱ τῇ ματαίᾳ δόξῃ τοῦ κόσμου δουλούμενοι· καὶ λαὸς τοῦ Ἐφραὶμ χρηματίζειν οὐ καταδύονται, καὶ τῷ ὄρει Σιὼν, τῇ καθ' ἡμᾶς ὑψηλῇ καὶ ἐπηρμένῃ θεολογίᾳ ἐπανίστανται, τὴν κενολογίαν αὐτῶν καὶ τὸ χαμαιπετὲς καὶ ἐπισεσυρμένον ἀντεπεξάγοντες φρόνημα, ἐξ οὗ πολλοὺς σοφιζόμενοι καὶ παραλογιζόμενοι, ἐπὶ τὸ ἴδιον ἕλκουσι βάραθρον· ὅσοι μὲν γὰρ βλακώδεις, καὶ τὴν διάνοιαν εὐπαράφοροι, τήν τε πίστιν ἀστήρικτοι, καὶ πρὸς τὰ παρόντα

μόνον κεχήνατι. καὶ περὶ τὴν δόξαν τοῦ κόσμου ἐπτόηνται, εὐδαιμονίαν τὰ τῇδε τιθέμενοι. ἐκεῖθεν ὡς ἀνδράποδα αἰχμαλωτιζόμενοι. τὴν Ἱερουσαλὴμ ἀπολιμπάνουσι, καὶ πρὸς τοὺς βωμοὺς τοῦ γέλωτος ἴενται, καὶ τὸ λῃστρικὸν ἐκεῖνο ἄντρον ὑποδύονται τῶν τῆς αἰσχύνης ἱερέων· ἐνταῦθα πυθόμενοι, καὶ τὴν λώβην τῆς ψυχῆς ἐκ τοῦ παραχρῆμα παραδεχόμενοι· καὶ ὁ βουλόμενος πληροῖ τὴν χεῖρα ἢ τὴν ψυχὴν ἄγους παντὸς καὶ μιάσματος, ἢ τῶν ὑψηλῶν ἱερεὺς κακῶς προχειριζόμενος, ἢ τῇ Ἀστάρτῃ τῆς φιλοσαρκίας ὑποκύπτειν ἀναπειθόμενος· οὓς ἐπειδὰν ἐντὸς ἀρκύων οἱ θηρεύοντες λάβοιεν, ἆθλά τε προτίθενται, καὶ τὴν εἰς τὰ βασίλεια ὑπισχνοῦνται πρόοδον καὶ οἰκείωσιν, λαμπρὰς αὐτοῖς ὑποτείνοντες τὰς ἐλπίδας· κατακροτοῦσί τε ταῖς εὐφημίαις καὶ γεραίρουσι, καὶ ὡς οἰκείους ἤδη εἰσποιούμενοι καὶ ὁμογνώμονας, τὸ λοιπὸν περιέπουσιν.

ιε. Ὅσοι δὲ ἀνδρικοὶ τὴν γνώμην σφριγῶντες περὶ τὴν εὐσέβειαν, καὶ ζηλωταὶ καλῶν ἔργων ὑπάρχουσιν, οἷα δὴ τὸ ἀκλινὲς καὶ ἐρηρεισμένον περὶ τὸ καλὸν ἔχοντες, ὑπερόπται τούτων ἐφάνησαν· καὶ μικρὰ τῆς ὀρχήστρας φροντίσαντες, ὡς πολὺ τὸ ἀπατηλὸν καὶ εἰκαῖον ἐχόντων, βίᾳ περιελκόμενοι καὶ διωθούμενοι καὶ οὐκ ἐθέλοντες, καθάπερ δεσμῶταί τινες καὶ κατάκριτοι συλλαμβάνονται· καὶ εἶτα κατεγνωκότες αὐτῶν τῆς σκηνῆς, καὶ τὴν πεπλαστουργημένην εἰκαιομυθίαν ὡς ὕθλον βδελυττόμενοι, οὕτω μὲν τῆς τοῦ κακοῦ φορᾶς οὐκ ἀνίενται, ἀλλὰ διὰ τῆς πρώτης πείρας λόγων πιθανότησιν ὑποσαίνοντες οἱ ἐπηρεάζοντες καὶ θωπεύοντες, δωρεῶν τε πλείστων ὑποσχέσεσιν ὑποκλέπτειν ἐπιχειροῦσι, καὶ πρό γε τῶν ἄλλων χειρογραφεῖν τὴν ἀσέβειαν τὸ πλέον ἐκβιαζόμενοι, καὶ τὰ χρηστὰ ἐν ἐπαγγελίαις ὁμοῦ καὶ τὰ δυσχερῆ ἐν ἀπειλαῖς κείμενα, ὁπότερον ἂν τούτων τις ἕλοιτο· ἡνίκα δ' ἂν τὸ ἑδραῖον καὶ βεβηκὸς τῆς πίστεως ἴδοιεν, καὶ ὡς οὐδὲν τῶν κατὰ γνώμην ἀνύσειαν, ἐπὶ τὰς τῶν βεβιωμένων ἐρεύνας χωροῦσι, γράφονταί τε αὐτοὺς ἐπικλημάτων, ἃ μὴ δὲ ἀκοῇ οἱ συκοφαντούμενοι παρεδέξαντο πώποτε· καὶ οὐκ ἐν ἐλπίσιν ἔτι λοιπὸν, ἀλλ' ἐν πείρᾳ τὰ δεινά· τὸ ἐντεῦθεν γὰρ δεσμὰ καὶ φρουραὶ χαλεπώταται διαδέχονται, λιμοί τε καὶ δειναὶ κακοπάθειαι· εἰσὶ δὲ οἳ καὶ πληγαῖς τὰ νῶτα καταξεόμενοι, καὶ οὐ μικραῖς αἰκίαις ἐκτιμωρούμενοι, τὸ τελευταῖον ὑπερορίαις μακραῖς τε καὶ ἀφορήτοις καταδικάζονται, ἐν χωρίοις ὧν τῷ πικρῷ καὶ δυσοίστῳ, καὶ πρὸς τὴν ζωὴν τὴν ἀνθρωπίνην τραχεῖ καὶ σκληρῷ καὶ ἀπεστενωμένῳ, δοκοῦν ἐστιν αὐτοῖς βιαζομένους τοὺς δεινοπαθοῦντας ἁλώσεσθαι, τῶν συνεργούντων εἰς τοῦτο προηυτρεπισμένων· καὶ γὰρ παρεδρεύει ἀπόμοιρά τις τῆς δημοσίας δυνάμεως αὐτοῖς, καὶ ὡς τάχιστα ὑπηρετησομένων τοῖς δόξασι· ταῦτα μὲν οἱ τὰ πρῶτα ἐν ἐπισκόποις ἔχοντες, καὶ τῆς ὀρθῆς ὑπερμαχοῦντες καὶ ἀντεχόμενοι δόξης· εἰσὶ δὲ καὶ οἱ μετ' ἐκείνους τεταγμένοι, σὺν ἐκείνοις τῆς ὁμοτίμου μεταλαχόντες πίστεως, εὐαρίθμητοι μὲν, ὅσον σπινθῆρα καταλειφθῆναι τῇ ἐκκλησίᾳ τοῦ θεοῦ, εὐκαίρως θείαις ἐπιφανείαις εἰς πυρσὸν ἀναφθησομένους περιφανῆ τε καὶ ἔνθεον, πρὸς τὴν λάμψιν τοῦ πνεύματος τοὺς ἐν τῷ ζόφῳ τῆς ἀπιστίας κατειλημμένους καθοδηγήσοντας· ἵνα ἐξῇ καὶ ἡμῖν

ταῖς προφητικαῖς συμφθέγγεσθαι φωναῖς· " εἰ μὴ κύριος σαβαὼθ ἐγκατέλιπεν „ ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν, καὶ ὡς Γόμοῤῥα ἂν ὡμοιώθημεν. „

ις. Τὸ γὰρ ὅσον ἐν ἱερωσύνῃ φέρει τὰ δεύτερα, ἤδη φιλοψυχοῦν καὶ μεταβαλλόμενον ὁρᾶται, καὶ τῷ καιρῷ καὶ τοῖς πράγμασι συμμορφαζόμενον, καὶ μετασχηματιζόμενον, οἷον φασὶ τὸν χαμαιλέοντα ῥαδίως μεταχρωννύμενον καὶ τῇ ὁρμῇ τοῦ κινήματος σύνδρομον ἔχοντα τὴν ταχύτητα τῆς φύσεως, ὡς ἂν λανθάνοι τῷ ποικίλῳ τῆς θέας τοὺς παρατυγχάνοντας· οὕτως πρὸς τὸ ὑπερτεροῦν ὑποκύπτοντες, ὥσπερ οὐκ ἐν ἐλευθερίᾳ γνώμης, ἀλλ' ἐν ἐξουσίᾳ τῶν ἀγόντων γενόμενοι· ὧν τινὲς ἐπὶ τοσοῦτον ἐμπαθείας καὶ φιλαυτίας ἤλασαν, καὶ οἷον ἐκ νηπιώδους φρενὸς ὁρμώμενοι, κλυδωνιζόμενοί τε καὶ περιφερόμενοι παντὶ ἀνέμῳ τῆς διδασκαλίας, ἐν τῇ κυβείᾳ τῶν ἀνθρώπων τῇ πανουργίᾳ πρὸς τὴν μεθοδείαν τῆς πλάνης καθὰ γέγραπται· ὡς δυοῖν τὸ ἕτερον, ψυχὴν ζημιωθήσεσθαι, ἢ θρόνων ἐκπεσεῖσθαι προκειμένου, ἑλέσθαι τὸ πρότερον, φάναι, τολμῆσαι, καὶ εἰς αὐτὸ τὸ καίριον κινδυνεύειν, καὶ μηδὲν τῶν δεινῶν πείσεσθαι δόξαι· ταῦτα ποίων δακρύων οὐκ ἄξια; ποίας κατηφείας καὶ θρήνων οὐκ ἔμπλεα; κἂν ἄνθρωποι ἐπὶ τούτοις οὐ κλαύσωνται, ἀλλ' ἥ γε κτίσις αὐτὴ συνωδινήσει καὶ συστενάξει ἡ ἄψυχος· ποίας γὰρ οὐκ εἰσὶν ὑπεύθυνοι κρίσεως; " εἰ γὰρ τὰς πρὸς ἀνθρώπους ὁμολογίας, φησὶν ἡ θεολόγος γλῶσσα, ἐμπεδοῖ „ θεὸς μέσος παραληφθεὶς, πόσος ὁ κίνδυνος, ὧν πρὸς αὐτὸν ἐθέμεθα τὸν „ θεὸν συνθηκῶν, τούτων παραβάτας εὑρίσκεσθαι; καὶ μὴ μόνων τῶν ἄλλων „ ἁμαρτημάτων, ἀλλὰ καὶ αὐτοῦ τοῦ ψεύδους ὑποδίκους εἶναι τῇ ἀληθείᾳ; „ Παῦλος δὲ, ἐῶμεν λέγειν ὅσα τῇ εἰς Χριστὸν ἀγάπῃ συνδούμενος, φέρειν ἀπισχυρίσατο, θλίψεων καὶ διωγμῶν καὶ κινδύνων παντοδαπῶν ἀνεχόμενος, ὃν μὴ δ' ἂν τὰ ἐνεστῶτα ἢ μέλλοντα ἢ κτίσις ἑτέρα, ταύτης ἀφέλκειν δυνήσοιτο· τοσοῦτον τὸ θερμὸν τοῦ φίλτρου καὶ διάπυρον· καὶ ἀνάθεμα εἶναι τὸ μετριώτερον ἀπὸ Χριστοῦ, εὔχεσθαι ἀπετόλμα· οὗτοι δὲ οὐδὲ μέχρι ψιλῆς ὕβρεως ὑπὲρ εὐσεβείας κακοπαθῆσαι προείλοντο· ἀλλὰ τούτοις πᾶσι χαίρειν εἰπόντες, τῇ ὕλῃ μόνον παρακάθηνται, καὶ τοῖς τῆς φιλοσαρκίας βεβαπτισμένοι πάθεσιν, ἥκιστά γε τὴν φρένα τοῖς ἄνω ἐρείδουσιν· ὡς τάχιστα οἴκαδε ἀποδραμούμενοι, τάχα τοὺς ἀγροὺς καὶ τὰς κτήσεις τὰς πολυτελεῖς ἐπισκεψόμενοι, ἢ τὴν ἄμπελον τὴν ἐπιθυμητὴν, ἢ τὴν ὅση αὐτοῖς γῆ θελητὴ, ἀρόσιμός τε καὶ ἀνειμένη, καὶ τοὺς ἐκεῖθεν πορισμοὺς, πυκναῖς τῶν δακτύλων κινήσεσι λογιστεύσοντες, ἢ τῶν ἐκλεκτῶν ἵππων καὶ ἡμιόνων τὸ εὔχρουν καὶ εὔσαρκον κατοψόμενοι, εἰ καλῶς τοῖς πωλοδάμναις ἠσκήθησαν, τό τε πορεύσιμον καὶ εὐκάθεδρον ἐποχουμένοις, καὶ πρὸς ῥαστώνην ἐπιτήδειον· ἢ τῶν βοῶν τῶν ἀροτήρων τὸ εὐσταθὲς καὶ τῶν ἄλλων θρεμμάτων, ὅσα τῶν νομαίων καὶ ἀγελαίων ὄντα τυγχάνει· οὐκ ἄκομψον δὲ εἰπεῖν, εἰ μὴ καὶ τῆς ἐφεστρίδος καὶ τοῦ χιτῶνος καὶ τῶν ἄλλων περιβολαίων διασπουδασθήσεται τὸ εὐπάρυφον καὶ φιλόκαλον· καὶ τὸ πᾶν εἰπεῖν, τῆς παρούσης καὶ κενῆς δόξης τὸ φιλότιμον καὶ φιλόκομπον· οἱ φρενὸς οὐκ ἐν καλῷ γενόμενοι, τῷ ἔρωτι τῶν οὐδαμῆ ἱσταμένων καὶ

ῥεόντων σχεθέντες, ᾧ γάρ τις ἥττηται τούτῳ καὶ δεδούλωται, πίστει εὐσεβεῖ καὶ σωτηρίῳ, μικρὰ μεγίστων ἠλλάξαντο· οὕτως οἵ γε ῥᾷστα ταῖς πάγαις τῶν παρανόμων ἑάλωσαν, ταὐτὸν πεπονθότες καθάπερ καὶ τῶν ζώων τὰ εἰς ἄγραν ἁλώσιμα, τοῖς βρόχοις τῶν θηρευόντων ῥᾳδίως συλλαμβανόμενα· εἰ δὲ ἐξῆ Παύλῳ θαυμάζειν, ἐπὶ τούτοις μᾶλλον ἢ Γαλάταις θαυμάσεται, πῶς οὕτω ταχέως μετατίθενται ἐκ τῶν ἅπαξ ἡμῖν παραδοθέντων, καὶ ἄνωθέν τε καὶ ἐκ πατέρων κατιόντων θείων καὶ ἱερῶν δογμάτων, κἀκ τῆς ἐπὶ χρόνον ἄπλετον κεκρατηκυίας καὶ διαμενούσης συνηθείας καὶ τύπου· ἀλλ' οὐδ' ἂν εἰς μνήμην τῶν μετὰ ταῦτα εἰρημένων ἤεσαν· "εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, „ ἀνάθεμα ἔστω·„ ἀλλὰ τὰ μὲν τούτων τοιαῦτα, καὶ οὕτως ἀθλίως ἔχοντα.

ιζ. Ἐπὶ δὲ τοὺς προεστῶτας τῆς ἀσεβείας τὸν λόγον ἐπανακτέον· σκοπεῖν δὲ χρεὼν, εἰ μὴ καὶ τοῖς ἄλλοις ὡσαύτως ἁρμόσεται· ἐπειδὴ τοίνυν καθάπαξ τῆς ἀληθείας ἀποσφαλέντες, τοῖς εἰκαίοις αὐτῶν λογισμοῖς τηνάλλως ἐπερειδόμενοι, καὶ ὅσον ἧκεν αὐτοῖς εἰς δύναμιν τὰ ψευδῆ συμπλάσσονται, καθῆκαν ἑαυτοὺς ἐπὶ ζητήσεις μωρὰς καὶ ἀλλοκότους, καὶ μύθους γραώδεις καὶ βρεφοπρεπεῖς ἀνελίσσουσι, καὶ πολὺ τὸ ἀσύμβατον πρός τε ἑαυτοὺς καὶ τὴν ἀλήθειαν ἔχοντες, ἐξερευνῶντες ἐξερευνήσεις οὐδὲν αὐτοῖς προσηκούσας, μήτε ἃ λέγουσι νοοῦντες, μήτε περὶ τίνων διαβεβαιοῦνται, ἐπ' ὀλέθρῳ δὲ τῶν ἑαυτῶν ψυχῶν καὶ τῶν ἀκροωμένων ἐξευρημένας, ὅπως μὴ τῆς οἰκείας ἀπωλείας μόνον, ἀλλὰ κἀκείνων τῆς βλάβης ἀποτίσωσι δίκας· ὧν τήν τε κακίαν καὶ τὴν ἀπώλειαν τὰ ἱερὰ προανεκρούσατο λόγια· ἁρμόσαιτο γὰρ ἄν τις αὐτοῖς καὶ λίαν ἐνδίκως, ὧδέ πως ἔχοντα· ὁπηνίκα γὰρ ὁ τοῦ εὐαγγελίου κήρυξ καὶ τῶν θείων μυσταγωγὸς, τῶν τοιούτων προεώρα τὴν κακίαν ἐν πνεύματι, προφητικῇ προανεφώνησε χάριτι· ὅτι "εἰσελεύσονται λύκοι βαρεῖς εἰς ὑμᾶς, μὴ φειδό-„ μενοι τοῦ ποιμνίου, καὶ ἐξ ὑμῶν αὐτῶν ἀναστήσονται ἄνδρες λαλοῦντες „ διεστραμμένα, τοῦ ἀποσπᾷν τοὺς μαθητὰς ὀπίσω αὐτῶν.„ Καὶ πάλιν ἑτέρωθί που φησὶν, ὅτι "οἱ τοιοῦτοι ψευδοδιδάσκαλοι, ἐργάται δόλιοι, μετα-„ σχηματιζόμενοι εἰς ἀποστόλους Χριστοῦ· καὶ οὐ θαυμαστὸν, αὐτὸς γὰρ ὁ „ σατανᾶς μετασχηματίζεται εἰς ἄγγελον φωτός.„ Οὐ μέγα οὖν εἰ καὶ οἱ διάκονοι αὐτοῦ μετασχηματίζονται ὡς διάκονοι δικαιοσύνης, ὧν τὸ τέλος ἔσται κατὰ τὰ ἔργα αὐτῶν· "ἢ οὐχὶ καὶ τὸ πνεῦμα, φησὶ, ῥητῶς λέγει, ὅτι ἐν „ ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως, προσέχοντες πνεύμασι „ πλάνης, καὶ διδασκαλίαις δαιμονίων, ἐν ὑποκρίσει ψευδολόγων, κεκαυτηριασμένων τὴν ἰδίαν συνείδησιν;„ Καὶ αὖθις· "ὅτι ἐν ἐσχάταις ἡμέραις ἐν-„ στήσονται καιροὶ χαλεποί· ἔσονται γὰρ οἱ ἄνθρωποι φίλαυτοι, φιλάργυροι, „ ἀλαζόνες, ὑπερήφανοι, βλάσφημοι, γονεῦσιν ἀπειθεῖς, ἀχάριστοι, ἀνόσιοι, „ ἄστοργοι, ἄσπονδοι, διάβολοι, ἀκρατεῖς, ἀνήμεροι, ἀφιλάγαθοι, προδόται, „ προπετεῖς, τετυφωμένοι, φιλήδονοι μᾶλλον ἢ φιλόθεοι, ἔχοντες μόρφωσιν „ εὐσεβείας, τὴν δὲ δύναμιν αὐτῆς ἠρνημένοι· ὃν τρόπον δὲ Ἰαννὴς καὶ Ἰαμβρὴς „ ἀντέστησαν τῷ Μωσῇ, οὕτω καὶ οὗτοι ἀντέστησαν τῇ ἀληθείᾳ· ἄνθρωποι κα-

„ τεφθαρμένοι τὸν νοῦν, ἀδόκιμοι περὶ πίστιν· ἀλλ' οὐ προκόψουσιν ἐπὶ πλεῖον· „ ἡ γὰρ ἄνοια αὐτῶν ἔκδηλος ἔσται πᾶσιν, ὡς κἀκείνων ἐγένετο. „ Καὶ πάλιν ἀλλαχόθι· "Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται, βδελυροὶ „ καὶ ἀπειθεῖς, καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν ἀδόκιμοι „. Εἰ δὲ καὶ συγχωροίη καὶ παρίδοι Θεὸς προκόψειν ἀσεβεῖς "καὶ ὁ λόγος αὐτῶν ὡς γάγγραινα νομὴν ἕξει, „ καὶ ἀνατρέπουσι τὴν τινῶν πίστιν· ὁ μέν τοι στερεὸς θεμέλιος τοῦ θεοῦ ἕστη- „ κεν ἔχων τὴν σφραγῖδα ταύτην· ἔγνω κύριος τοὺς ὄντας αὐτοῦ· καὶ, ἀποστήτω „ ἀπὸ ἀδικίας πᾶς ὁ ὀνομάζων τὸ ὄνομα κυρίου· καὶ, πονηροὶ δὲ ἄνθρωποι καὶ „ γόητες προκόψουσιν ἐπὶ τὸ χεῖρον, πλανῶντες καὶ πλανώμενοι. „ Ἐφ' οἷς τὸν Θεὸν χρηστευόμενον οἴδαμεν, τὰ τῆς μακροθυμίας ἐνδεικνύμενον, ὡς ὀψὲ γοῦν ἀνανήψαντας, ἀμείνους ἑαυτῶν φανῆναι· ὥσπερ οὖν πιστῶν καὶ ἀγαθῶν καὶ κατὰ Χριστὸν ζώντων, καὶ ὑπὲρ εὐσεβείας διωκομένων τὸ ἐν ὑπομονῇ καὶ ἐλπί- σιν εὐσταθὲς δοκιμάζοντα· ὡς μὴ ἐκκακοῦντας ταῖς θλίψεσι, δοκιμωτέρους καὶ λαμπροτέρους γενήσεσθαι. Ἑξῆς δὲ κατοψόμεθα ὅπως αὐτῶν στηλιτεύει τὸ μοχθηρὸν καὶ ἀπόπληκτον, τῶν τοῦ σωτῆρος μαθητῶν Ο ΠΡΟΕΔΡΟΣ ΠΕΤΡΟΣ Ο ΘΕΙΟΤΑΤΟΣ, Η ΤΗΣ ΘΕΟΛΟΓΙΑΣ ΑΚΡΩΡΕΙΑ, ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ Η ΚΡΗΠΙΣ ΚΑΙ ΤΟ ΣΤΗΡΙΓΜΑ, ὡδὶ γεγραφώς· "ἐγένοντο δὲ καὶ ψευδοπροφῆται ἐν τῷ λαῷ, ὡς καὶ ἐν ὑμῖν „ ἔσονται ψευδοδιδάσκαλοι· οἵτινες παρεισάξουσιν αἱρέσεις ἀπωλείας, καὶ „ τὸν ἀγοράσαντα αὐτοὺς δεσπότην ἀρνούμενοι, ἐπάγοντες ἑαυτοῖς ταχινὴν „ ἀπώλειαν· καὶ πολλοὶ ἐξακολουθήσουσιν αὐτῶν ταῖς ἀσελγείαις, δι' οὓς ἡ „ ὁδὸς τῆς ἀληθείας βλασφημηθήσεται, καὶ ἐν πλεονεξίᾳ πλαστοῖς λόγοις „ ὑμᾶς ἐμπορεύσονται· οἷς τὸ κρίμα ἔκπαλαι οὐκ ἀργεῖ, καὶ ἡ ἀπώλεια αὐτῶν „ οὐ νυστάζει. Καὶ, παρεισέδυσαν τινὲς ἄνθρωποι, ἄλλος τῶν τοῦ Χριστοῦ „ μαθητῶν ἔφησεν, οἱ πάλαι προγεγραμμένοι εἰς τοῦτο τὸ κρίμα ἀσεβεῖς, τὴν „ τοῦ θεοῦ ἡμῶν χάριν μετατιθέντες εἰς ἀσέβειαν, καὶ τὸν μόνον δεσπότην „ καὶ κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀρνούμενοι· „ οὓς καὶ ταλανίζων ὁ αὐτὸς „ ἀποφαίνεται· "οὐαὶ αὐτοῖς ὅτι τῇ ὁδῷ τοῦ Κάϊν ἐπορεύθησαν, καὶ τῇ πλάνῃ „ τοῦ Βαλαὰμ μισθοῦ ἐξεχύθησαν, καὶ τῇ ἀντιλογίᾳ τοῦ Κορὲ ἀπώλοντο. „

Ἀκουόντων δὲ οἷα περὶ αὐτῶν καὶ ὁ προφητικὸς λόγος ἐν πνεύματι προ- ανακέκραγε· "σὺ ἐπίγνωσιν ἀπώσω, φησὶν ὁ θεῖος Ὠσηὲ, κἀγὼ ἀπώσομαί σε „ τοῦ ἱερατεύειν μοι· καὶ, παγὶς ἐγενήθητε τῇ σκοπιᾷ, καὶ ὡς δίκτυον ἐκτε- „ ταμένον ἐπὶ τὸ Ἰταβύριον, ὃ οἱ ἀγρεύοντες τὴν θήραν κατέπηξαν· καὶ ἐγέ- „ νοντο ὡς μετατιθέντες ὅρια· ἐπ' αὐτοὺς ἐκχεῶ ὡς ὕδωρ τὸ ὅρμημά μου. „ Τί δὲ Ἀμβακοὺμ ὁ θαυμάσιος; "ὦ ὁ ποτίζων τὸν πλησίον αὐτοῦ ἀνατροπὴν „ θολερὰν, καὶ μεθύσκων, ὅπως ἐπιβλέψῃ ἐπὶ τὰ σπήλαια αὐτῶν πλησμονὴν „ ἀτιμίας ἐκ δόξης· „ Ὁ δέ γε μακάριος Σοφονίας· "οἱ ἱερεῖς αὐτῆς βεβη- „ λοῦσι τὰ ἅγια, καὶ ἀσεβοῦσι νόμον· ὁ δὲ κύριος δίκαιος ἐν μέσῳ αὐτῆς, καὶ „ οὐ μὴ ποιήσῃ ἄδικον· πρωῒ πρωῒ δώσει τὸ κρίμα αὐτοῦ, καὶ οὐκ εἰς νῖκος „ ἀδικίαν. „ Ἐφ' οἷς Ζαχαρίας ὁ θεσπέσιος· "καὶ ἠπείθησαν τοῦ προσέχειν, „ καὶ ἔδωκαν νῶτον παραφρονοῦντα, καὶ τὰ ὦτα αὐτῶν ἐβάρυναν τοῦ μὴ εἰσ-

,, ακούειν, καὶ τὴν καρδίαν αὐτῶν ἔταξαν ἀπειθεῖν τοῦ μὴ εἰσακούειν τοῦ νό-
,, μου μου· καὶ, ἐπὶ τοὺς ποιμένας παρωξύνθη ὁ θυμός μου, καὶ ἐπὶ τοὺς ἀμ-
,, νοὺς ἐπισκέψομαι· καὶ, ἐπισκέψεται κύριος ὁ θεὸς ὁ παντοκράτωρ τὸ ποίμνιον
,, αὐτοῦ τὸν οἶκον Ἰούδα· ὦ οἱ ποιμαίνοντες τὰ μάταια, καὶ οἱ καταλελοιπό-
,, τες τὰ πρόβατα· καὶ ἐπάξω τὴν χεῖρα μου ἐπὶ τοὺς ποιμένας· ,, καὶ τὰ ἑξῆς
ὡς ἀργαλεώτερα καὶ ἐπιπονώτερα. Φαυλίζοντας δὲ αὐτοὺς τὸ ὄνομα κυρίου ὁ
ἀοίδιμος καὶ θεοειδὴς Μαλαχίας ἐξελέγχει, καὶ ἐν ποίοις καὶ τίσιν ἀπειθοῦσι
δείκνυσι· " καὶ ἐὰν μὴ ἀκούσητε, καὶ ἐὰν μὴ θῆσθε εἰς τὴν καρδίαν ὑμῶν, τοῦ
,, δοῦναι δόξαν τῷ ὀνόματί μου, λέγει κύριος παντοκράτωρ, καὶ ἐξαποστελῶ
,, ἐφ' ὑμᾶς τὴν κατάραν, καὶ ἐπικαταράσομαι τὴν εὐλογίαν ὑμῶν· ,, καὶ ἃ τού-
τοις ἐπάγεται ἀνιαρώτερα καὶ τραχύτερα. " Καὶ ὑμεῖς ἐξεκλίνατε ἐκ τῆς ὁδοῦ,
,, καὶ πολλοὺς ἠσθενήσατε ἐν νόμῳ, διεφθείρατε τὴν διαθήκην τοῦ Λευΐ, λέγει
,, κύριος παντοκράτωρ. ,, Μέγα περὶ αὐτῶν ἐμβοάτω τῶν προφητῶν ὁ μεγα-
λοφωνότατος, ὁ τῷ ἄνθρακι καὶ τοῖς σεραφὶμ καθαιρόμενος ἱερεὺς καὶ προφή-
της· " ἐξέστησαν διὰ τὸν οἶνον, ἐσείσθησαν ἀπὸ τῆς μέθης τοῦ σίκερα, ἐπλα-
,, νήθησαν· τοῦτό ἐστι φάσμα· ἀρᾷ ἔδεται ταύτην τὴν βουλὴν, αὕτη γὰρ ἡ
,, βουλὴ ἕνεκεν πλεονεξίας. Οἱ ἱερεῖς οὐκ εἶπαν ποῦ ἐστὶν ὁ κύριος, τῶν προ-
,, φητῶν ὁ συμπαθέστατος περὶ αὐτῶν ἐρεῖ, καὶ οἱ ἀντεχόμενοι τοῦ νόμου
,, μου οὐκ ἠπίσταντό με, καὶ οἱ ποιμαίνοντες ἠσέβουν εἰς ἐμὲ, καὶ οὐκ ἔστι
,, τόπος ἔτι τῆς σκηνῆς μου· ὅτι οἱ ποιμένες ἠφρονεύσαντο καὶ τὸν κύριον οὐκ
,, ἐξεζήτησαν, καὶ ποιμένες πολλοὶ διέφθειραν τὸν ἀμπελῶνα μου, ἐμόλυναν
,, τὴν μερίδα μου, ἔδωκαν μερίδα ἐπιθυμητήν μου εἰς ἄβατον ἔρημον. Καὶ
,, αὖθις· ὦ οἱ ποιμαίνοντες καὶ διασκορπίζοντες καὶ ἀπολλύντες τὰ πρόβατα
,, τῆς νομῆς αὐτῶν· διὰ τοῦτο τάδε λέγει κύριος ἐπὶ τοὺς ποιμαίνοντας τὸν
,, λαόν μου· ὑμεῖς διεσκορπίσατε τὰ πρόβατά μου, καὶ ἐξώσατε αὐτὰ, καὶ οὐκ
,, ἐπεσκέψασθε αὐτά· ἰδοὺ ἐγὼ ἐκδικῶ ἐφ' ὑμᾶς κατὰ τὰ πονηρὰ ἐπιτηδεύ-
,, ματα ὑμῶν· κἀγὼ εἰσδέξομαι τοὺς καταλοίπους τοῦ λαοῦ μου, οὗ διέσπειρα
,, αὐτοὺς ἀπὸ πάσης τῆς γῆς, καὶ καταστήσω αὐτοὺς εἰς τὴν νομὴν αὐτῶν,
,, καὶ αὐξηθήσονται. ,, Τούτων δὲ τὸ ἀκάθαρτον καὶ ἀσύνετον θριαμβεύων,
ὁ τῶν ὑπερφυῶν ἐκείνων καὶ οὐρανίων θεαμάτων ἐπόπτης, Ἰεζεκιὴλ ὁ θειότατος·
" οἱ ἱερεῖς, ἔφησεν, ἠθέτησαν νόμον μου, ἐβεβήλουν τὰ ἅγιά μου, ἀνὰ μέσον
,, ἁγίου καὶ βεβήλου οὐ διέστελλον, καὶ ἀνὰ μέσον ἀκαθάρτου καὶ καθαροῦ
,, οὐ διέστελλον, καὶ ἐβεβηλούμην ἐν μέσῳ αὐτῶν. ,, Ἐπὶ τούτοις ὁ τῶν ἐπι-
θυμιῶν ἔνθεος ἀνὴρ, τελευταῖος εἰστρεχέτω, τὴν βαβυλώνιον αὐτῶν γνώμην
καὶ τὴν κατεφθαρμένην στηλιτεύων κρίσιν, καὶ δὴ καὶ λέξει· " ὅτι ἐξῆλθεν ἀνο-
,, μία ἐκ Βαβυλῶνος, ἐκ πρεσβυτέρων κριτῶν οἳ ἐδόκουν κυβερνᾷν τὸν λαόν. ,,
Τοιαῦται πρὸς αὐτοὺς καὶ περὶ αὐτῶν αἱ τῶν ἁγίων φωναί.

Τί οὖν οἱ μυσταγωγοὶ τῆς πλάνης φασί; δοκῶ γάρ μοι ἀκμαῖον ἔτι τὸν
πρὸς αὐτοὺς ἀγῶνα παρίστασθαι. Εἰδώλοις λελατρεύκαμεν χριστιανοὶ, καὶ
τοῦτο μέχρι τῶν τῆς Κωνσταντίνου βασιλείας χρόνων. Σφίσι τε αὐτοῖς,

καὶ τοῖς ἄλλοις χριστιανοῖς ἅπασι, τὸ μῦσος ἐπιγράφονται· ἐξέστη ὁ οὐρανὸς ἐπὶ τούτῳ, καὶ σφόδρα ἐπὶ πλεῖον ἔφριξεν ἡ γῆ· τίς γὰρ τοιαῦτα οἴσει ἀκούων; πότερον τῆς βλασφημίας τὴν ὑπερβολὴν καταπλαγείη, ἢ τῆς ἀφροσύνης τὸ ὑπεραῖρον; οὐκ ἔχοντες δὲ ὅθεν τῆς τοσαύτης ἀσεβείας καὶ τοῦ ψεύδους παραστήσονται τὸ ὑπέρογκον, ἐπὶ τὸ ἀθέως καὶ παρὰ πάντα κανονικὸν λόγον ἀθροισθὲν ὑπ' ἐκείνου θεοστυγὲς καὶ ἀνίερον συνέδριον καταφεύγουσι, προσόμοιόν τι ποιοῦντες ὥπέρ ποτε τῶν καθ' ἕλληνας παλαιτέρων τινὲς, ἐπὶ τὸ αὐτὸς ἔφα περιελκόμενοι, τῷ διδασκάλῳ τὸ γέρας ἐκνέμοντες· ὃ καὶ σύνοδον ὀνομάζειν οἱ ἀνόητοι οὐκ ἐγκαλύπτονται· εἰ γὰρ ἐχρῆν τοῦτο λέγειν, τῆς προφητικῆς φωνῆς τί φησιν ἀκουσόμεθα· " σύνοδος ἀθετούντων, ἐνέτειναν τὴν γλῶσ- ,, σαν αὐτῶν ὡς τόξον· ψεῦδος καὶ οὐ πίστις ἐνίσχυσεν ἐπὶ τῆς γῆς· ,, ἀστειότερον δ' ἄν τις αὐτὴν κοπροσύνοδον καλέσας, οὐκ ἂν ἁμάρτοι τοῦ πρέποντος, διὰ τὸ τοῦ συναγαγόντος φιλόκοπρον, ὡς πολὺ μὲν τὸ δυσῶδες ἐν τῇ φλυαρίᾳ τῶν λόγων αὐτῶν συλλέξασαν, πολλὴν δὲ ἀδικίαν εἰς τὸ ὕψος λαλήσασάν τε καὶ μελετήσασαν, πολλὰ δὲ κατὰ τῆς τοῦ μονογενοῦς δόξης καθυλακτήσασαν· ὧν οὐδ' αὐτὸς ὁ δι' ἐκείνων φθεγγόμενος σατανᾶς, πλεῖον τί δυσφημῆσαι τετόλμηκε, πλείστην δὲ τῶν τῆς ἐκκλησίας δογμάτων καὶ τῶν καθ' ἡμᾶς μυστηρίων ποιήσασαν τὴν κατάῤῥησιν· οὕτως ἡ τῇ ἀσεβείᾳ καὶ τῷ ψεύδει συναθλοῦσα φρατρία, σύνοδος παρ' αὐτῶν προσηγόρευται· ἧς δὴ τὸν φορυτὸν τῶν δογμάτων ἀσπασάμενοι, καὶ τῷ φθοροποιῷ ἑπόμενοι φρονήματι, εἰς τὴν καθ' ἡμᾶς καθαρὰν καὶ ἀκίβδηλον πίστιν καθυβρίσαι οὐ δεδίασιν οἱ παράφρονες, οὐ συνέντες ὅσα κατὰ τῶν ἁγίων ἐβουλεύσαντο· " ὅτι ἠκόνησαν γλῶσσαν αὐτῶν ὡσεὶ ,, ὄφεως· ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν, καὶ ἀνομίαν ὅλην τὴν ἡμέραν ,, ἀδικίαν ἐλογίσατο ἡ γλῶσσα αὐτῶν, ὅτι τὰ ῥήματα τοῦ στόματος αὐτῶν ,, ἀνομία καὶ δόλος. ,,

ιη. Ὁποία δὲ ἡμῶν τῶν χριστιανῶν ἡ ὁμολογία, καὶ ἥτίς ποτέ ἐστι, καιρὸς ὡς οἷόν τε ἐπιτεμόμενον φράσαι· ἡμεῖς τοίνυν, καθὰ παρέδοσαν ἡμῖν οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται τοῦ λόγου, οἵ τε μετ' ἐκείνους τὰ ἐκείνων διαδεξάμενοι θεοφάντορες καὶ θεῖοι ἡμῶν διδάσκαλοι,

Πιστεύομεν εἰς ἕνα θεὸν πατέρα παντοκράτορα, πάντων ὁρωμένων καὶ ἀοράτων ποιητήν τε καὶ κύριον, ἄναρχον, ἀόρατον, ἀκατάληπτον, ἀναλλοίωτον, ἀτελεύτητον· καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν, τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ, ἀνάρχως καὶ ἀχρόνως καὶ πρὸ πάντων τῶν αἰώνων τῆς πατρικῆς οὐσίας ἐκλάμψαντα· καὶ εἰς ἓν πνεῦμα ἅγιον, ἐκ τοῦ θεοῦ καὶ πατρὸς προϊὸν, καὶ πατρὶ καὶ υἱῷ συνθεολογούμενόν τε καὶ συνδοξαζόμενον, ὡς συμφυὲς καὶ συναΐδιον· τριάδα μὲν δοξάζοντες ὑποστάσεσιν ἤτοι προσώποις, καὶ ἑκάστῳ τῶν εἰρημένων ἀμιγεῖς καὶ ἀσυγχύτους τηροῦντες τὰς ἀφοριστικὰς ἰδιότητας, ὡς οὐδαμῶς μεταπιπτούσας ἢ κινουμένας· πατρὶ μὲν τὴν ἀγεννησίαν καὶ τὸ αἴτιον τῶν ἐξ αὐτοῦ νέμοντες· υἱῷ δὲ τὴν γέννησιν· πνεύματι δὲ τὴν ἐκπόρευσιν· καὶ ὡς ἐξ αἰτίου τοῦ πατρὸς, τό τε γεννώμενον καὶ τὸ ἐκπορευόμενον νοοῦντες

ἀπαυγάσαντα, καὶ ὡς φῶς ἑκάτερον ἐκ φωτὸς προελθὸν, ἐν ὑπερκόσμιον τρισοφεγγὲς καὶ τρισήλιον φῶς· μονάδα δὲ οὐσίᾳ καὶ φύσει προσκυνοῦντες, εἰς ἓν ὑπερούσιον καὶ ὑπερφυὲς θεότητος ὕψος συνιοῦσαν, τὴν αὐτὴν ἀμέριστον καὶ ἀδιάσπαστον τήν τε δόξαν καὶ τὸ κράτος κεκτημένην· ἐν ταυτοβουλίᾳ καὶ θελήσει, καὶ μιᾷ δυνάμει καὶ ἐνεργείᾳ γνωριζομένην, καὶ οἷα πάντων βασιλίδα καὶ τῶν ὅλων δεσποτεύουσαν, παρὰ πάσης τῆς ὁρατῆς καὶ ἀοράτου κτίσεως, ὡς ὁμότιμόν τε καὶ σύνθρονον, προσκυνουμένην τὲ καὶ λατρευομένην· μίαν μὲν γὰρ ἐν τοῖς τρισὶ θεωροῦμεν θεότητα, τῷ ταὐτῷ τῆς οὐσίας ἑνιζομένην, τρεῖς δὲ ὑποστάσεις ἐν τῇ μιᾷ θεότητι, τῷ ἑτεροίῳ τῶν περὶ ἑκάστην ἐνυπαρχουσῶν ἰδιοτήτων, ἀμερίστως διαιρουμένας· οὔτε τὸν υἱὸν τῆς τοῦ ἀγεννήτου πατρὸς οὐσίας ἀλλοτριοῦντες διὰ τὴν γέννησιν, οὔτε τὸ πνεῦμα πατρὸς καὶ υἱοῦ διὰ τὴν ἐκπόρευσιν, οὔτε σύγχυσιν εἰδότες διὰ τὸ ἑνιαῖον τῆς συμφυΐας καὶ ἄτμητον, ἀλλ' ἐν τῇ κοινωνίᾳ τῆς φύσεως τὸ διακεκριμένον ἑνοῦντες τοῦ ἰδιάζοντος· “ διαιρεῖται γὰρ ἀδιαιρέτως, καὶ συνάπτεται διῃρημένως· „ ἓν γὰρ ἐν τρισὶν ἡ θεότης, καὶ τὰ τρία ἕν· τὰ ἐν οἷς ἡ θεότης, ἢ τό γε „ ἀκριβέστερον εἰπεῖν, ἃ ἡ θεότης· „, καθὰ μεμυσταγώγηκεν ἡμᾶς τῶν θεολόγων ὁ κράτιστος.

Θεὸν οὖν τὸν πατέρα σέβομεν, ἐξ οὗ τὰ πάντα ἐκ μὴ ὄντων παρῆκται πρὸς ὕπαρξιν· θεὸν τὸν υἱὸν δοξάζομεν, δι' οὗ τὰ πάντα γεγένηται, καὶ πρὸς οὐσιώδη διαμονὴν διασώζεται· θεὸν τὸ πνεῦμα τὸ ἅγιον προσκυνοῦμεν, ἐν ᾧ τὰ τρία σέβοντες, οὐκ εἰς τρεῖς θεοὺς τὴν μίαν διϊστάντες θεότητα, ἵν' ἐκκλίνωμεν τῆς τριθεΐας, μᾶλλον δὲ πολυθεΐας, τὸ ἀθεώτατον· καὶ τέλειον τούτων ἕκαστον ἐπιστάμεθα· οὐ γὰρ ἐκ τριῶν ἀτελῶν ἕν τι ὁμολογοῦμεν τέλειον· ἀλλ' ἐκ τριῶν τελείων, ἓν ὑπερτελὲς καὶ προτέλειον, ὡς ἡ τῶν θεομυστῶν πατέρων εἰσηγεῖται θεολογία· οὔτε οὖν τὰς ὑποστάσεις ὡς φύσεις ἐκφύλους καὶ διαφόρους, ἀνισότησί τε καὶ ἀνωμαλότησι τέμνοντες προχειριζόμεθα, ἀλλὰ διαιροῦμεν τῷ λόγῳ τῶν ἰδιοτήτων, πρὸς τὴν ἑνάδα τῆς οὐσίας συνάπτοντες, τὸ ὑπερβάλλον ἐν τούτοις ἢ μειονεκτούμενον ἀποπεμπόμενοι· τὸ γὰρ μεῖζον ἢ ἔλαττον ὥσπερ ἐν τῇ οὐσίᾳ θεωρῆσαι οὐκ ἐνὸν, οὐδὲ ἐν τῇ τριάδι κατὰ τὴν οὐσίαν ἢ τὴν θεότητα, ἵνα τὴν ἀρειανικὴν λύσσαν, ἐξ ἧς καὶ πρὸς ἣν ἡμῖν ὁ νῦν πόλεμος, κατασβέσωμεν· οὔτε μὴν εἰς μίαν ὑπόστασιν συγχέοντες ἢ συναλείφοντες, ἀλλὰ προσώποις ὑφεστῶσι καὶ πράγμασι καὶ ὀνόμασι τὸ διῃρημένον συνημμένως κατὰ τὴν οὐσίαν εἰσφέροντες, ἵνα τὴν σαβελλιανὴν μανίαν ἐξαμαυρώσωμεν· τὰ ἀντίθετα κακὰ καὶ σύνδρομα τὴν ἀσέβειαν, καὶ συλλαβόντα εἰπεῖν, συνάπτομεν διαιροῦντες εὐσεβῶς, καὶ διαιροῦμεν συνάπτοντες θεοπρεπῶς· ταύτῃ τοι τὸ μὲν διῃρημένον ταῖς ὑποστάσεσι, τῇ κοινωνίᾳ ἑνοῦμεν τῆς φύσεως· τὸ δὲ ἡνωμένον τῇ οὐσίᾳ καὶ θεότητι, τῇ διαφορᾷ γνωρίζομεν τῶν ὑποστάσεων, κατ' ἄμφω περὶ τὸ μέγα καὶ θειότατον καὶ ὑπέρτατον τῆς καθ' ἡμᾶς θεοσοφίας μυστήριον, εὐσεβοῦντές τε καὶ ὑγιαίνοντες· οὕτω προσκυνηταὶ τῆς παναγίας καὶ ὑπερουσίου τριάδος ἐν πνεύματι καὶ ἀληθείᾳ ὑπάρχοντες

λατρεύομεν αὐτῇ ἐν ὁσιότητι καὶ δικαιοσύνῃ πίστεως, ἐν καθαρᾷ καὶ ἀμωμήτῳ δόξῃ πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν.

ιθ. Οὕτω δὴ περὶ τὴν συντετμημένην ταύτην καὶ ἀπέριττον ἐρηρεισμένοι καὶ ἡδρασμένοι θεολογίαν, ἑπομένως ὁμολογοῦμεν καὶ τὸν ἕνα τῆς ὁμοουσίου καὶ ὑπερθέου τριάδος, τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν υἱὸν τοῦ θεοῦ καὶ θεὸν ἡμῶν, τὸ τῆς πατρικῆς δόξης ἀπαύγασμα, τὸ ἐκ τοῦ φωτὸς φῶς, τὴν ἀπαράλλακτον τοῦ πατρὸς εἰκόνα, τὸν χαρακτῆρα τῆς ὑποστάσεως αὐτοῦ, ἐν σαρκὶ ἐληλυθέναι ἐπὶ τῆς γῆς, καὶ τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν γεγονότα καθ' ἡμᾶς ἐπιτελέσαι· ἀφράστῳ γὰρ αὐτὸς διὰ σπλάγχνα ἐλέους καὶ οἰκτιρμῶν φιλανθρωπίᾳ κινούμενος, οὐκ ἔφερε μέχρι τέλους τὴν ἡμέτεραν φύσιν τῷ πικρῷ τυράννῳ δουλουμένην ἐφορᾷν· ἀλλ' εὐδοκοῦντος τοῦ πατρὸς, καὶ τοῦ παναγίου καὶ ζωαρχικοῦ συνεργοῦντος πνεύματος, τῆς πατρικῆς δόξης μηδαμῶς ἀπολειπόμενος, οὐδὲ τῶν οἰκείων καὶ θεοπρεπῶν ἀξιωμάτων κατά τι γοῦν ἐλαττούμενος, καθῆκεν ἑαυτὸν εἰς κένωσιν ἑκούσιον· καὶ σαρκωθεὶς ἐκ πνεύματος ἁγίου, καὶ ἐκ τῆς παναγίας ἐνδόξου καὶ ἀληθῶς θεοτόκου ἀειπαρθένου Μαρίας, καὶ ψυχὴν καὶ σάρκα προκαθαρθείσης τῷ πνεύματι· καὶ ἄνθρωπος κατὰ πάντα χωρὶς ἁμαρτίας πεφηνὼς, τὴν θνητὴν ταύτην δὴ καὶ φθαρτὴν, ἁπτήν τε καὶ περιγραπτὴν φύσιν περιβαλόμενος, εἷς τε ἐξ ἀμφοῖν προελθὼν ὁ αὐτὸς, ἔκ τε θεότητος καὶ ἀνθρωπότητος· καὶ τέλειος κατὰ πάντα καὶ ἀναλλοίωτος μεμενηκὼς θεότητι, καὶ τέλειος ὡσαύτως καὶ ἄτρεπτος ἀνθρωπότητι· καθ' ἣν ἡμῖν συμπολιτευσάμενος, τὴν μὲν ἐξ Ἀδὰμ παράβασιν, διὰ τῆς ἑαυτοῦ ἀναμαρτησίας ἐξιάσατο· τὴν δὲ ἐκ τῆς ἁμαρτίας φθορὰν, πάθει σαρκὸς ἑκουσίῳ, καὶ θανάτῳ ζωοποιῷ, καὶ ἀναστάσει θεοπρεπεῖ καθελὼν, τὴν ἀφθαρσίαν ἡμῖν ἐχαρίσατο· ἀνεβίω γὰρ τριήμερος σκυλεύσας τὸν θάνατον, καὶ πρωτότοκος ἐκ τῶν νεκρῶν ἐγένετο, ὁδοποιήσας τὲ τῇ ἀνθρωπίνῃ φύσει τὴν εἰς ἀφθαρσίαν ὁδὸν, ἐξεῖλε τὸν ἀόρατον ἐχθρὸν τῆς καθ' ἡμῶν δυναστείας· πάντα δράσας καὶ παθὼν, ὅσα ἐν τοῖς ἱεροῖς εὐαγγελίοις κηρύσσεται καὶ παρ' ἡμῶν πιστεύεται· δι' ὧν τόν τε παλαιὸν Ἀδὰμ ἀνεπλάσατο, καὶ τὴν ἡμετέραν ἐκαινούργησε φύσιν, καὶ εἰς τὸ ἐν ἀρχαῖς τῆς εὐμοιρίας ἐπανεκόμισε, καὶ ἀναληφθεὶς εἰς οὐρανοὺς, συμπάρεδρον τῷ θρόνῳ τῷ πατρικῷ τὴν ἀπαρχὴν τοῦ καθ' ἡμᾶς φυράματος ἐποιήσατο· οὕτω γὰρ ὡς συνοπτικώτερον εἰπεῖν, τὸ μέγα καὶ σεβάσμιον τῆς θείας οἰκονομίας ὁμολογοῦντες γεγενῆσθαι, πρεσβεύομεν μυστήριον.

κ. Εἰ δὲ χρὴ καὶ διεξοδικώτερόν πως περὶ τούτου διὰ τοὺς ἐπιφυομένους, καί τινας καινοτομίας νῦν κατὰ τῆς σωτηρίου τοῦ θεοῦ λόγου ἐπινοοῦντας ἐνσωματώσεως διαλαβεῖν, καὶ αὖθις ἐροῦμεν· ὅτι φύσει ὑπάρχων θεὸς ὁ μονογενὴς τοῦ θεοῦ καὶ πατρὸς υἱὸς καὶ λόγος, ὁ πρὸ αἰώνων ἐξ αὐτοῦ ἀφράστως καὶ ἀχρόνως γεννηθεὶς, οὐκ ἀποβαλὼν τὸ εἶναι ὃ ἦν· φύσει θεὸς, ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς, φύσιν ἀνθρωπίνην ἀνέλαβε, καὶ σαρκὸς καὶ αἵματος παραπλησίως ἡμῖν κεκοινώνηκεν· ὁ λόγος γὰρ σὰρξ ἐγένετο καὶ ἐσκή-

νωσεν ἐν ἡμῖν, οὐχ᾽ ἁπλῶς σάρκα ἀνειληφὼς, ἀλλὰ ψυχῇ λογικῇ τε καὶ νοερᾷ ἐψυχωμένην· ὁ αὐτὸς εἷς υἱὸς καὶ μετὰ τὴν σάρκωσιν ὑπάρχων, ὁμοούσιος μὲν τῷ θεῷ καὶ πατρὶ κατὰ τὴν θεότητα, ὁμοούσιος δὲ καὶ ἡμῖν κατὰ τὴν ἀνθρωπότητα, φυλάσσων καὶ διασώζων ἐν ἑκατέρᾳ τῶν συνδραμουσῶν ἐν τῇ αὐτῇ καὶ μιᾷ ὑποστάσει φύσεων, κἂν τῇ ἑνώσει, ἀπαραΤρέπτους καὶ ἀμεταβλήτους καὶ ἀσυγχύτους τὰς ἐνούσας αὐταῖς φυσικὰς ἐν ποιότησι διαφοράς· τοῦτο γὰρ ἡ καινὴ καὶ παράδοξος μίξις τῆς κενωθείσης θεότητος, καὶ τῆς προσληφθείσης ἀνθρωπότητος, ἐξ ὧν ἡ καθ᾽ ὑπόστασιν ἕνωσις ἡμῖν ἀποτελεσθεῖσα γνωρίζεται· τίκτεται γὰρ θεὸς μετὰ τοῦ προσλήμματος, τὸ παραδοξότατον· ὅλος γὰρ ὢν θεὸς ὁ λόγος, ὅλῳ ἀνθρώπῳ ἥνωται, εἰς μίαν σύνθετον κατὰ ταὐτὸν συνελθὼν ὑπόστασιν· διὰ τοῦτο καὶ ἡ τεκοῦσα, κυρίως καὶ ἀληθῶς θεοτόκος πρὸς ἡμῶν ὁμολογεῖται· ὁ γὰρ ἀμήτωρ ἐκ πατρὸς ἀνάρχως γεννηθεὶς τὸ πρότερον, ἀπάτωρ ἐξ αὐτῆς προῆλθε τὸ δεύτερον· οὐ τῆς θεότητος αὐτοῦ ἐντεῦθεν εἰς τὸ εἶναι ἀρχὴν λαβούσης, ἀλλὰ μείνας ὅπερ ἦν, ὃ οὐκ ἦν προσειληφὼς ᾠκειώσατο· καὶ γέγονε μεσίτης θεοῦ καὶ ἀνθρώπων, ἑκατέρᾳ κεκοινωνηκὼς τῶν ἑτεροφυῶν οὐσιῶν, θεότητός τέ φημι καὶ ἀνθρωπότητος, τῷ μοναδικῷ τοῦ προσώπου συναπτόμενος· καὶ γὰρ αἱ εἰς ἓν συνδραμοῦσαι φύσεις τὸν ἕνα Χριστὸν καὶ υἱὸν καὶ κύριον ἀπετέλεσαν· εἷς γὰρ ἐξ ἀμφοῖν προελθὼν νοεῖται Χριστὸς, κατά τε τὸ νοούμενον καὶ τὸ φαινόμενον· τέλειος ὥσπερ καὶ ἀναλλοίωτος μεμενηκὼς θεότητι, οὕτω καὶ τέλειος καὶ ἄτρεπτος χρηματίσας κατὰ τὴν ἀνθρωπότητα· ἀπαθὴς μὲν ὁ αὐτὸς κατὰ τὴν θεότητα, ὅτι καὶ ἀσώματος, καθ᾽ ἣν ὑπερφυῶς ἐτερατούργει τὰ θαύματα, ἄφθαρτός τε ὡσαύτως, ἀπερίγραπτός τε καὶ ἀθάνατος· παθητὸς δὲ κατὰ τὴν ἀνθρωπότητα, σεσωμάτωται γὰρ, καθ᾽ ἣν φυσικῶς τὰ πάθη διέφερε· καὶ θνητὸς ὁ αὐτὸς, γραπτός τε καὶ περιγραπτὸς, καθ᾽ ὃ πέφηνεν ἐκ σπέρματος Δαβὶδ ἄνθρωπος· οἰκειοῦται δὲ τὰ τοῦ ἰδίου ναοῦ πάθη ὁ λόγος, σταυρόν τε καὶ θάνατον καὶ τἄλλα ὅσα οἰκονομικῶς δι᾽ ἡμᾶς παθεῖν κατηξίωσε· τῷ γὰρ αἵματι αὐτοῦ τῷ τιμίῳ ἐξηγοράσθημεν οἱ πεπραμένοι τῇ ἁμαρτίᾳ, δι᾽ οὗ τὸ μεσότοιχον τοῦ φραγμοῦ ἔλυσε τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ, ἀποκαταλλάξας τὰ ἐπουράνια τοῖς ἐπιγείοις, καὶ μίαν ἐκκλησίαν καὶ πανήγυριν ἀγγέλων καὶ ἀνθρώπων ἐν οὐρανῷ καὶ ἐπὶ γῆς καταστησάμενος· εἷς τοιγαροῦν ἐστι τὸ συναμφότερον· καίτοι πάσχων οὐδὲν εἰς ἰδίαν φύσιν, αὐτὸς λέγεται παθεῖν ὑπὲρ ἡμῶν, οὐ θεότητι ἀλλὰ τῇ χοϊκῇ φύσει· ἴδιον γὰρ αὐτοῦ τὸ πεπονθὸς σῶμα· διὰ πάντων τὸ τῆς θείας φύσεως ἀξίωμα, καὶ τῆς ἀνθρωπίνης πτωχείας τὸ ταπεινὸν πιστούμενος, ἵνα μὴ φαντασία ἡ οἰκονομία νομισθῇ· καὶ μεμένηκε καθάπερ θεὸς ἐν ἀνθρωπότητι, οὕτω καὶ ἐν θεότητος ἀξιώματι ἄνθρωπος οὐδὲν ἧττον ἐστίν· ἄμφω δὴ οὖν εἷς ὁμοῦ θεὸς καὶ ἄνθρωπος ὁ Ἐμμανουήλ.

κα. Ἐπεὶ οὖν οὕτως ἐν ὅροις τῆς εὐσεβείας ἱστάμεθα, οὕτω περὶ τούτων δοξάζομεν· τὴν μὲν διπλόην τῶν ἐπ᾽ αὐτῷ συνελθουσῶν οὐσιῶν, μετὰ τῶν ἰδιωμάτων, τελεία γὰρ καὶ ἀνελλιπὴς τούτων ἑκατέρα, κηρύττομεν· τὴν δὲ ἐκ τού-

των εἰς ἑνότητα προσώπου τῇ καθ' ὑπόστασιν ἑνώσει οὐσιωδῶς γεγενημένην συνδρομὴν ὡσαύτως ἐξαγγέλλομεν· οὐ τέμνομεν, οὐ διαιροῦμεν εἰς δυάδα υἱῶν τὸν ἕνα κύριον Ἰησοῦν Χριστὸν, εἰς ἄνθρωπον ἰδικῶς καὶ εἰς θεὸν ἰδικῶς καὶ ἀνὰ μέρος, ἵνα τὴν τοῦ φρενοβλαβοῦς καὶ ἀνθρωπολάτρου Νεστορίου ματαίαν διαίρεσιν καθέλωμεν· οὔτε μὴν συγχέομεν ἢ ἀλλοιοῦμεν εἰς ταὐτὸν μιᾶς φύσεως ἄγοντες, τὴν τοῦ ἑνὸς προσώπου μονότητα, ἀλλ' ἀσυγχύτους καὶ ἀσυμφύρτους φυλάσσομεν τὰς ἐν ἑκατέρᾳ φύσει προσούσας διαφοράς· ἵνα τὴν τοῦ ματαιόφρονος Εὐτυχοῦς συναίρεσιν συγκαταβάλλωμεν, ἅμα τοῖς περὶ Σευῆρον καλῶς ὀνομασθεῖσιν Ἀκεφάλοις· καὶ οὗτοι γὰρ συναιροῦσι κακῶς, κἀκεῖνος διαιρεῖ ἀσεβῶς· ὥστε ταὐτὸν πέπονθε περὶ τὴν οἰκονομίαν Εὐτυχὴς πρὸς Νεστόριον, ὅπερ περὶ τὴν θεολογίαν Σαβέλλιος πρὸς τὸν Ἄρειον.

κβ. Τῶν τοίνυν κατὰ Χριστὸν δύο φύσεων τελείων ὁμολογουμένων ὑπάρξει τε καὶ ταῖς κατ' αὐτὰς φυσικαῖς ποιότησι, συνομολογεῖν ἀκολούθως δεήσει, καὶ τὰ καθ' ἑκατέραν φύσιν ἐνυπάρχοντα φυσικὰ θελήματα καὶ τὰς ἐνεργείας· ἀνάγκη γὰρ διπλῶν πιστευομένων τῶν οὐσιῶν, διπλᾶ καὶ ταῦτα συγκηρύσσεσθαι· οὐδὲ γάρ πως ἑτέρως τὸ ἐν τελειότητι ἀκραιφνὲς ἐν ταύταις περισωθήσεται· ἐπείπερ χαρακτηριστικὰ ταῦτα τῶν φύσεων, καὶ οὐκ ἔστιν ἐξευρεῖν φύσιν ἀνεθέλητον ἢ ἀνενέργητον· ὥσπερ οὖν καθ' ὃ θεὸς ἤθελέ τε καὶ ἐνήργει, οὕτω καὶ καθ' ὃ ἄνθρωπος, ἤθελέ τε καὶ ἐνήργει, ἐπί τε τῶν θεοσημειῶν, ἐπί τε τῶν ἑτέρων τῆς οἰκονομίας πραγμάτων· οὐχ' ὑπεναντία δὲ ταῦτα ἀλλήλοις ἐκέκτητο, ὑπεῖκε γὰρ καὶ ὑπετάττετο τοῖς τοῦ προσειληφότος τὰ τοῦ προσλήμματος· ὥσπερ οὖν οὐδὲν αὐτῷ πρὸς ἐναντίωσιν καὶ ἀντίθεσιν ἐκ τῶν συνελθουσῶν φύσεων, καίτοι ἐναντίων οὐσῶν, τεθεώρηται· τεκμήριον δὲ, καὶ γὰρ ὧν αἱ οὐσίαι ἐξηλλαγμέναι, καὶ ὁ τοῦ πῶς εἶναι λόγος διάφορος, ὃ δὴ ἐπὶ τῶν ἑτεροφυῶν διαφαίνεται, ἀνάγκη καὶ τὰς κατὰ θέλησιν καὶ ἐνέργειαν οὐσιώδεις ποιότητας ἑτεροίως ἔχειν· δι' αὐτῶν γὰρ καὶ τὴν τῶν φύσεων ἐπιστήμην μεταχειριζόμεθα· ἐπείπερ καὶ ὧν αἱ ἐνέργειαι αἱ αὐταὶ, καὶ αἱ φύσεις ὁμότιμοι· οὕτως οὖν καὶ ὁ τῆς κατὰ Χριστὸν θεανδρικῆς ἐνεργείας καθ' ὃν ἐν ἡμῖν ἐπολιτεύσατο, ἀνακαθαρθήσεται τρόπος, περιφραστικῶς ἤδη νοούμενος, τῇ καταλλήλῳ κλήσει τῆς δυάδος τῶν φύσεων, τὸ διττὸν ἑρμηνεύων τῆς ἐνεργείας· ὁ γὰρ τῆς ἑνώσεως τρόπος, τὸν τῆς διαφορᾶς λόγον ἐν ἑαυτῷ ἔχει σωζόμενον· ταύτῃ γὰρ ἂν δοίη τις καὶ ἐνεργεῖν ἑκατέραν μορφὴν μετὰ τῆς θατέρου κοινωνίας· οὐ τοίνυν μίαν θέλησιν καὶ ἐνέργειαν ἐπὶ τῆς θείας οἰκονομίας κηρύσσομεν, ἀποστεροῦντες τὰ θατέρᾳ τῶν οὐσιῶν προσπεφυκότα· εἰ μὴ μέλλοιμεν καὶ τὴν φύσιν αὐτὴν τέλεον ἀποσκευάζεσθαι, ὡς ἂν μὴ τὰ τοῦ ἀνοήτου καὶ ἐμμανοῦς Ἀπολιναρίου νοσήσωμεν· συγκαθαιρήσωμεν δὲ αὐτῷ καὶ τὴν ἀμφὶ Σέργιον καὶ Πύῤῥον περὶ τὴν τοῦ ὀρθοῦ λόγου ἀνενέργετον καὶ ἀνεθέλητον ὀφθεῖσαν συμμορίαν. Κατὰ ταῦτα ἡμῖν τὸ τῆς σεπτῆς καὶ σωτηρίου οἰκονομίας δοξάζεται μυστήριον, ὃ καὶ νοούμενον κατὰ τὸν εἰρηκότα θεοφόρον, ἄῤῥητον μένει, καὶ λεγόμενον ἄγνωστον· δι' αὐτῆς τοίνυν ἐπισκεφθέντες, σε-

σῶσθαι ὁμολογοῦμεν· καὶ μετὰ πάντων τῶν ἐν ἡμῖν ἱερῶν σεβασμάτων, καὶ τὰ ταύτης ἅγια καὶ σεβάσμια σύμβολα καὶ γνωρίσματα τιμῶμεν καὶ κατασπαζόμεθα, δι' ὧν ἡμῖν καθ' ὁμοιότητα τῆς εὐαγγελικῆς ἱστορίας καὶ ἀνιστόρηται καὶ σημαίνεται, εἴ γε εἰς μνήμην ἡμᾶς τῆς πεπραγματευμένης τῷ σωτῆρι ὑπὲρ ἡμῶν συγκαταβάσεως διανίστησι, καθάπερ ἄνωθέν τε καὶ ἐξ ἀρχῆς, παῖδες παρὰ πατέρων διαδεξάμενοι, εὐσεβῶς παρειλήφαμεν.

κγ. Ταῦτα περιέποντες, τὸ κατὰ τιμὴν σέβας νέμομεν· οὐ μὴν τήν γε κατὰ λατρείαν προσκύνησιν προσφέρομεν, ἄπαγε, ἣ μόνῳ πρέπει τῷ πάντων κατεξουσιάζοντι θεῷ· πάντες γὰρ, ὅσοι διδακτοὶ θεοῦ ἐν πνεύματι, ἴσασι τὸ ἐν σεβάσματι διάφορον, καὶ ὁποίαν δεῖ καὶ τῷ Χριστῷ καὶ θεῷ ἡμῶν τὴν προσκύνησιν ἀποδιδόναι, καὶ ταῖς ἱεραῖς εἰκόσι τὸ προσῆκον ἐκνέμειν σέβας, καὶ δι' αὐτῶν ἐπὶ τὸ ἀρχέτυπον τὴν τιμὴν ἀναφέρειν· πρὸς τούτοις τιμῶμεν τὰς σεβασμίας εἰκόνας τῆς παναγίας ἀχράντου δεσποίνης ἡμῶν καὶ ἀληθινῆς προστασίας ἀειπαρθένου θεοτόκου, τῆς κατὰ σάρκα τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν θεὸν ἀσπόρως καὶ ἀφράστως καὶ ὑπερφυῶς τεκούσης· ὡσαύτως καὶ τῶν ἁγίων ἀγγέλων, καὶ τῶν ἄλλων ἁπάντων ἁγίων τῶν ἀπ' αἰῶνος αὐτῷ εὐαρεστησάντων· ὧν καὶ τὰς μνήμας εὐσεβοῦντες γεραίρομεν, καὶ τὰς πρεσβείας ἐξαιτοῦμεν· ζῶσι γὰρ ἐν θεῷ, καὶ ἐνεργοῦσιν ἐν αὐτῷ, καὶ τοῖς προστρέχουσι καὶ δεομένοις ἐπικουρεῖν καὶ βοηθεῖν τῇ ἐνούσῃ αὐτοῖς παρὰ θεοῦ δυνάμει καὶ χάριτι δύνανται· ταύτης τοίνυν τῆς ὁμολογίας καὶ πίστεως, τί ἂν εἴη ὑψηλότερον ἢ σεβασμιώτερον; οὐδὲ γάρ ἐστιν ἑτέρα παρὰ ταύτην πίστις, ... ὅλως ἔσται, ἣν δὴ καὶ μόνην ὁ ἀποστολικὸς λόγος οἶδε καλεῖν πίστιν· περὶ ταύτης γάρ φησι· " πρὸ τοῦ δὲ ἐλθεῖν τὴν πίστιν, ὑπὸ νόμον ἐφρουρούμεθα, „ συγκεκλεισμένοι εἰς τὴν μέλλουσαν πίστιν ἀποκαλυφθῆναι· ὥστε ὁ νόμος „ παιδαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστὸν, ἵνα ἐκ πίστεως δικαιωθῶμεν· ἐλ„ θούσης δὲ τῆς πίστεως, οὐκέτι ὑπὸ παιδαγωγόν ἐσμέν· πάντες γὰρ υἱοὶ „ θεοῦ ἐστὲ διὰ πίστεως Ἰησοῦ Χριστοῦ, ἣν ὡς ἄγκυραν ἔχομεν τῆς ψυχῆς „ ἀσφαλῆ τε καὶ βεβαίαν, καὶ εἰσερχομένην εἰς τὸ ἐσώτερον τοῦ καταπετά„ σματος, ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθε Χριστός. „ Τί οὖν πρὸς ταῦτα φήσουσιν, οἱ τῆς εὐσεβείας ἐχθροὶ καὶ τῆς ἀληθείας κατήγοροι; ἡμεῖς γὰρ προσκυνοῦμεν ὃ οἴδαμεν, αὐτοὶ δὲ ὃ προσκυνοῦμεν οὐκ οἴδασιν. ☞ Εἰδώλοις ☞ προσκεκυνήκασι χριστιανοί. ☞ Ὢ τῆς τόλμας, ὢ τῆς μανίας· τί ταύτης τῆς φωνῆς ἀθεώτερον ἢ δυσσεβέστερον, εἰς ὅσον αὐτοῖς ἀτοπίας ὁ λόγος ἐκφέρεται, συνιδεῖν ἔξεστι· δεῖ γὰρ τὰ τῆς βλασφημίας αὐτῶν ἀνιχνεύοντας, οὕτως συλλογισαμένους ἀποφήνασθαι· ἐπειδὴ ἀθετοῦντες τὰ πρὸς τὸν θεὸν, λέγουσιν εἰδώλοις ἀναθέσθαι τὸ σέβας χριστιανοὺς, ὁ δὲ εἰδώλοις προσκυνῶν, τοῖς μὴ οὖσι προσκυνεῖ, καθ' ὃ εἴρηται· " καὶ ἐδούλευσαν τοῖς φύσει „ μὴ οὖσι θεοῖς· „ συμπεραίνει ὁ λόγος αὐτοῖς, ἐπειδὴ θεῷ προσκυνοῦμεν ἡμεῖς ζῶντι καὶ ἀληθινῷ, μηδὲν ἕτερον ὁμολογεῖν αὐτοὺς, ἢ τὸν θεὸν ἡμῶν μὴ εἶναι θεόν.

κδ. Πρὸς οὖν τοὺς οὕτως θεομαχοῦντας, τί ἕτερον εἰπεῖν ἐστι πρὸς τῆς
ἀληθείας αὐτῆς, ἢ τῷ μεγάλῳ Δαβὶδ συμφθέγξασθαι, τῷ ἐν αὐτῷ λαλοῦντι
πνεύματι τὰς γλώσσας χρήσαντας: " εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔστι
,, θεός. Ἀλλὰ καὶ, ἐχθρὸς ὠνείδισε τὸν κύριον· καὶ, λαὸς ἄφρων παρώξυνε
,, τὸ ὄνομα αὐτοῦ. Καὶ, οἱ ἐχθροὶ κυρίου ἐψεύσαντο αὐτόν. Καὶ, ἔσται ὁ και-
,, ρὸς αὐτῶν εἰς τὸν αἰῶνα. Καὶ, υἱοὶ ἀλλότριοι ἐψεύσαντο αὐτὸν, καὶ ἐπα-
,, λαιώθησαν καὶ ἐχώλαναν ἀπὸ τῶν τρίβων αὐτῶν· οὐκ ἔστιν αὐτοῖς ἀντάλ-
,, λαγμα, ὅτι οὐκ ἐφοβήθησαν τὸν θεόν. Καὶ, κατελάλησαν καὶ αὐτοὶ τοῦ
,, θεοῦ καὶ εἶπον· μὴ δυνήσεται ὁ θεός; ἢ ἠδυνήθη ἑτοιμάσαι τὴν ἐλευθερίαν
,, τῷ λαῷ αὐτοῦ: δουλείας τε καὶ φθορᾶς ἀπαλλάξαι, καὶ λυτρώσασθαι τῆς
,, ἐξουσίας τοῦ σκότους, καὶ καλέσαι εἰς τὸ θαυμαστὸν αὐτοῦ φῶς· ἢ δῆσαι
,, τὸν ἰσχυρὸν καὶ διαρπάσαι αὐτοῦ τὰ σκεύη, ἢ ἀναβῆναι εἰς ὕψος καὶ αἰχ-
,, μαλωτεῦσαι αἰχμαλωσίαν; ,, ταῦτα οἱ τῆς ἀληθείας ἀντίθετοι καὶ ἀνόητοι·
" ἀνὴρ γὰρ ἄφρων οὐ γνώσεται, καὶ ἀσύνετος οὐ συνήσει ταῦτα· ,, οὐ γὰρ
ἠθέλησαν δέξασθαι παιδείαν κυρίου, οὐδὲ τὸ οὖς αὐτῶν εἰς θεῖα παραβαλεῖν
λόγια καὶ ἀκοῦσαι, ὡς διὰ φωνῆς προφητῶν ὁ τῶν ὅλων διακέκραγε θεός·
" μὴ οὐκ ἰσχύει ἡ χείρ μου τοῦ ῥύσασθαι; ἢ οὐκ ἰσχύω τοῦ ἐξελέσθαι ὑμᾶς;
,, ἰδοὺ τῇ ἀπειλῇ μου ἐξερημώσω τὴν θάλασσαν, καὶ θήσω ποταμοὺς ἐρήμους.
,, Καὶ, ἐγώ εἰμι ὁ ἐξαλείφων τὰς ἀνομίας σου καὶ τὰς ἁμαρτίας σου, καὶ
,, οὐ μὴ μνησθήσομαι· ,, μακάριον δὲ καὶ μόνον δυνάστην αὐτὸν διὰ τῆς ἀπο-
στολικῆς διδασκαλίας σαφῶς ἐκμανθάνομεν· ἴοι δ' ἂν ἡμῖν ὁ λόγος δι' εὐστι-
βοῦς ὥσπερ καὶ βασιλικῆς ἕρπων ὁδοῦ, καὶ ὀψόμεθα, εἰ δοκεῖ, ὁποῖά ποτ' ἂν
εἴη, ἃ τοῖς ἐν νόμῳ ποιμέσι καὶ ἱερεῦσιν οὐκ ἐννόμως βιοῦσι, διά τινος τῶν
ἁγίων ἐγκαλεῖ θεός· φησὶ γάρ· " οἱ ἱερεῖς οὐκ εἶπαν, ποῦ ἐστιν ὁ κύριος· καὶ,
,, οἱ ἀντεχόμενοι τοῦ νόμου μου οὐκ ἠπίσταντό με· καὶ οἱ ποιμένες ἠσέβουν
,, εἰς ἐμέ· καὶ, οἱ προφῆται προεφήτευον τῇ Βάαλ, καὶ ὀπίσω ἀνωφελοῦς ἐπο-
,, ρεύθησαν· ,, ἐφ' οἷς καὶ θεῖον κριτήριον διαγραφόμενον ἰδεῖν ἐστι, καὶ αὐτὸν
τὸν θεὸν πρὸς αὐτοὺς κριθησόμενον μονονουχὶ, καὶ ἐμβριθέστατα περὶ αὐτῶν
ἐντελλόμενον· " διέλθετε εἰς νήσους Χεττιεὶμ καὶ ἴδετε, καὶ εἰς Κηδὰρ ἀπο-
,, στείλατε καὶ νοήσατε, καὶ ἴδετε εἰ γέγονε τοιαῦτα, εἰ ἀλλάξονται ἔθνη
,, θεοὺς αὐτῶν, καὶ οὗτοι οὐκ εἰσὶ θεοί· ὁ δὲ λαός μου ἠλλάξατο τὴν δόξαν
,, αὐτοῦ, ἐξ ἧς οὐκ ὠφεληθήσονται. ,,

κε. Τί δὲ ἄρα περὶ τῶν δοκούντων ἐν χάριτι ποιμένων ἀπειλῶν ἐπισκή-
ψειεν; ἢ οὐχὶ σαφῶς ἀκουσόμεθα, διέλθετε εἰς τὰς συναγωγὰς τῶν ἐπισκό-
πων λέγοντος, καὶ εἰς τοὺς συλλόγους τῶν ἱερέων ἀποστείλατε καὶ ἴδετε, εἰ
ἑστήκασιν ἐν τῇ πατρῴᾳ πίστει· εἰ μὴ τὴν ἄνωθεν κατιοῦσαν οἵ γε εἰς αὐτοὺς
εὐσεβῆ ὁμολογίαν ἠλλάξαντο, καὶ κατήγοροι αὐτῶν αὐτοί· καὶ εἰ μὴ βού-
λοιντο, τοῖς γε πράγμασιν αὐτοῖς συναναγκαζόμενοί τε καὶ συνωθούμενοι φα-
νήσονται· οὐδὲ γὰρ τῶν ἔξωθεν κατηγόρων οὐδὲ τινῶν ἐλέγχων δεήσονται· καὶ
ἀποκριθήσονται καὶ ἐροῦσι· καὶ ἠλλαξάμεθα τὴν δόξαν ἡμῶν, καὶ οὐκ ἐνε-

μείναμεν ἐν τῇ ὁμολογίᾳ ἡμῶν, οὐδὲ τὸ θεῖον καταπεφρίκαμεν θυσιαστήριον, ἐν ᾧ τὰ ἱερὰ καὶ εὐαγγελικὰ λόγια κατ' αὐχένος ἐφέρομεν ἐποχούμενα, ἢ τὰς ἐν αὐτοῖς ἐνταῦθα δεδομένας ἡμῖν συνθήκας τετηρήκαμεν, ἀλλὰ πάντων παραβάται γενηθέντες ἐξέστημεν, καὶ τῆς ὁδοῦ τῆς εὐθείας ἐξεκλίναμεν, καὶ ἐσμὲν δίψυχοι, ἀκατάστατοι ἐν πάσαις ταῖς ὁδοῖς ἡμῶν, καὶ ἐοίκαμεν κλύδωνι θαλάσσης ἀνεμιζομένῳ καὶ ῥιπιζομένῳ· τοιοῦτον γὰρ ἡ κακία τῆς ἀπιστίας, οὐδαμοῦ τὸ ἑδραῖον καὶ βάσιμον ἔχουσα, ἀλλ' ἀεὶ μεταπίπτουσα, καὶ ἄλλοτε ἄλλως φερομένη καὶ μεταβάλλουσα· καὶ τὸ ὅλον εἰπεῖν, ἀνθρώποις ἀρέσαι σπουδάσαντες, τοῦ εἶναι θεοῦ δοῦλοι ἀποπεπτώκαμεν· ἃ μὴ θεμιτὸν μὴ δ' ἐννοῆσαι χρὴ, εἰπεῖν οὐκ ἀπoναρκήσαντες, καὶ ἀπεναντίας ἢ Παύλῳ δοκεῖ καὶ φρονήσαντες καὶ διαθέμενοι· δίκαιον δ' ἂν εἴη καὶ ἀκόλουθον, προειδομένους τὴν ἐφ' οἷς δεδυσφημήκαμεν, ἐπικρεμαμένην ἡμῖν θεήλατον δίκην, κἀκεῖνα τοῖς εἰρημένοις προσθεῖναι· "ὅτι ἐκ μὲν Κάϊν ἑπτάκις ἐκδικηθήσεται, ἐκ δὲ Λάμεχ „ ἑβδομηκοντάκις ἑπτὰ, καθὰ γέγραπται· „ ἐφ' οἷς τις ἐνδέον τί συνθεωρήσας, οὐκ ἀπεικότως φήσειεν· ὡς τάχα μὲν τὸ προάγον ἐν ἁμαρτίᾳ, ἐν μείοσι μέτροις τῶν δικασμάτων κείσεται, διά τε τὸ τῆς πράξεως ἄπειρον καὶ τὸ ἀνεξέλεγκτον τοῦ κακοῦ, ἐν ἀγνοίᾳ ἔτι κειμένου, ἐκ τοῦ ἀπείρως ἔχειν τὸν δρῶντα τῆς ἀδελφοκτονίας τοῦ ἄγους, καὶ οἷον ἐν προθύροις τῆς ἁμαρτίας ἐφαλλομένης· τὸ δ' αὖ ἑπόμενον, ἐν πλείοσί τε καὶ εἰς τὸ ἀπειροπλάσιον ἐκφερόμενον, ὅτι μετὰ τὴν ἐπίγνωσιν τοῦ παραπτώματος τὸ τολμώμενον· ὅπερ παρεδήλου σαφῶς, ἐγγύθέν τε καὶ ἐν ὀφθαλμοῖς προφαινόμενον τὸ παράδειγμα, καὶ ταῖς ψήφοις ταῖς θεοκρίτοις βεβαιούμενον, ὃ δὴ σημεῖον ἦν παρὰ θεοῦ διδόμενον, μηδαμῶς ἀναιρεῖσθαι τὸν ἐν δίκῃ κολασθησόμενον, ζήσειν δὲ μᾶλλον πικρῶς συντηρούμενον.

Τοιαῦτα δή τινα καὶ ἐν τοῖς ἐφ' ἡμῶν χρόνοις συνενεχθέντα ὁρῶμεν· ἀλλὰ τούτων τὸ μὲν πρότερον, ἐπὶ τῶν προειληφότων συμβὰν εὕρηται· ἧττον γὰρ ἂν ἦν αὐτοῖς τὸ ἀδίκημα, καί πως ἤδη καὶ συγγνώμονα θεὸν τῶν ἠγνοημένων ἤλπισαν ἔσεσθαι, καί που καὶ ἀπολογίας, κἂν μὴ λίαν εὐπρόσωπος περιστήσεται τρόπος, ὡς ὅτι ἀνεξέταστον αὐτοῖς καὶ οὐ πάνυ κατειλημμένον τὸ τῆς ἐκκλησίας δόγμα καὶ φρόνημα· τὸ δὲ ἐπὶ τούτῳ, οὐ γὰρ ἂν ἀρνηθείημεν, ἐφ' ἡμῶν αὐτῶν σαφῶς ἐκβαῖνον καταλαμβάνεται, ὅτι μὴ ἰδίᾳ καὶ ἐν παραβύστῳ καὶ μικρῷ μέρει τῆς οἰκουμένης, ἀλλὰ δημοσίᾳ καὶ ἐν μέσῳ καὶ κοινῷ θεάτρῳ ἀγγέλων καὶ ἀνθρώπων, καὶ πάσης ὅση τὲ λογικὴ καὶ ἀναίσθητος κτίσεως, καὶ θεοῦ τοῦ πάντα ἐν τῇ χειρὶ περιδρασσομένου, ἐφορῶντος καὶ κατοπτεύοντος, πάντα τὰ ὡμολογημένα ἡμῖν ἠθετήκαμεν· διὰ δὴ ταῦτα, καὶ περὶ τῶν ἐσχάτων ἡμῖν ὁ κίνδυνος, καὶ ἀπειροπλάσιον τὸ κατάκριμα, ὅτι δὴ μετὰ τὴν πολλὴν ἐκείνην ἐξέτασιν καὶ τὴν ἄφατον ἔρευναν, ἀθλίως ἑάλωμεν, δόγματος ἡμῖν ἤδη λαμπρῶς τε καὶ ὡς ἐμφανῶς ὑπ' ὄψεσιν ἐκκειμένου· ὅπερ δὴ τὸ κατὰ Νίκαιαν, ὃ τῆς Βιθυνῶν προκαθέζεται ἀεὶ θεοσεβείᾳ στηριζόμενον καλλίνικον ἄστυ, εὐαγῶς ἀθροισθὲν τὸ δεύτερον θεῖον συνέδριον, ἤ τοι ἱερὰ καὶ οἰκου-

μενικὴ σύνοδος, πλείσταις ὅσαις ψήφοις ἔκ τε τῶν θεοπνεύστων γραμμάτων καὶ πατρικῶν διδαγμάτων ὁρμώμενον, ἐπεκράτυνεν· ἀξιολογώτατον δ' ἂν εἴη, καὶ ἀποχρώντως εἰς πληροφορίας πίστιν, ἅ τε οἰκουμενικὸν ὄν, καὶ τῷ ἐλευθεριάζοντι πλεονεκτοῦν ἐν ἅπασι, καὶ πάσης ἐκτὸς ὑπάρχον διαβολῆς τε καὶ μέμψεως, καὶ πάντων τῶν ἀπεμφαινόντων ἀνεύθυνόν τε καὶ ἀκαταιτίατον· ΣΥΓΚΕΚΡΟΤΗΤΟ ΓΑΡ ΤΟΥΤΟ ΜΑΛΙΣΤΑ ΕΝΔΙΚΩΣ ΚΑΙ ΕΝΝΟΜΩΤΑΤΑ· ΕΠΕΙΠΕΡ ΗΔΗ, ΚΑΤΑ ΤΟΥΣ ΑΡΧΗΘΕΝ ΤΕΤΥΠΩΜΕΝΟΥΣ ΘΕΙΟΥΣ ΘΕΣΜΟΥΣ, ΠΡΟΗΓΕ ΚΑΤ' ΑΥΤΗΝ ΚΑΙ ΠΡΟΗΔΡΕΥΕΝ, ΟΣΟΝ ΤΕ ΤΗΣ ΕΣΠΕΡΙΑΣ ΛΗΞΕΩΣ, ΗΤΟΙ ΤΗΣ ΠΡΕΣΒΥΤΙΔΟΣ ΡΩΜΗΣ, ΜΕΡΟΣ ΟΥΚ ΑΣΗΜΟΝ· ΩΝ ΑΝΕΥ ΔΟΓΜΑ ΚΑΤΑ ΤΗΝ ΕΚΚΛΗΣΙΑΝ ΚΙΝΟΥΜΕΝΟΝ, ΘΕΣΜΟΙΣ ΚΑΝΟΝΙΚΟΙΣ ΚΑΙ ΙΕΡΑΤΙΚΟΙΣ ΕΘΕΣΙ ΝΕΝΟΜΙΣΜΕΝΟΝ ΑΝΩΘΕΝ, ΤΗΝ ΔΟΚΙΜΑΣΙΑΝ ΟΥ ΣΧΟΙΗ, Η ΔΕΞΑΙΤ' ΑΝ ΠΟΤΕ ΤΗΝ ΠΕΡΑΙΩΣΙΝ, ΩΣ ΔΗ ΛΑΧΟΝΤΩΝ ΚΑΤΑ ΤΗΝ ΙΕΡΩΣΥΝΗΝ ΕΞΑΡΧΕΙΝ, ΚΑΙ ΤΩΝ ΚΟΡΥΦΑΙΩΝ ΕΝ ΑΠΟΣΤΟΛΟΙΣ ΕΓΚΕΧΕΙΡΙΣΜΕΝΩΝ ΤΟ ΑΞΙΩΜΑ.

Ἔτι, καὶ ὅ περ ἐκ Βύζαντος ἦν, ταυτὸν δὲ εἰπεῖν τῆς νεωτέρας Ῥώμης τῆς νῦν ἐνταῦθα προκαθεζομένης καὶ βασιλείοις ὑπεροχαῖς τὰ πρώτιστα φερούσης πόλεως, τῶν ἐν θώκοις ἱεροῖς καθιδρυμένων ἡγεμονοῦν καὶ τοῖς τῆς ἀρετῆς ἐμπρέπον αὐχήμασιν, οὗτοι ἐκ τῆς μοίρας συγκεκλημένοι τῆς ἑωσφόρου, τῶν προεδρευόντων ἐν τοῖς ἀποστολικοῖς θρόνοις, τόν τε τόπον καὶ τὸν λόγον τὸν ὑπὲρ τῶν θείων ἡμῶν δογμάτων ἀποπληροῦντες, ἱερώτατοι ἄνδρες, βίῳ καὶ λόγῳ ἐξηλεγμένοι, καὶ ὅσον συνήδρευε τῆς ὑφ' ἡλίῳ σχεδὸν καὶ πανταχόθεν γῆς συνειλεγμένον, πρὸς ἕνα τὲ τὸν τῆς ἀληθείας ἀπευθυνόμενοι σκοπὸν, τὸ σύμφωνόν τε αὐτοῖς καὶ ὁμόγνωμον, ἐκ τῆς ἄνωθεν ἐπιλάμπει χάριτος· Χριστὸν γὰρ εἶχε τὸν τὴν εἰρήνην βραβεύοντα· οὕτω γὰρ δὴ νόμος ἐκκλησιαστικὸς ἄνωθεν ἐγκελεύεται, τὰ κατὰ τὴν ἐκκλησίαν τοῦ θεοῦ ἀμφίβολα καὶ ἀμφήριστα, συνόδοις οἰκουμενικαῖς λύεσθαι καὶ ὁρίζεσθαι, συμφωνίᾳ καὶ ἐπικρίσει τῶν ἐν τοῖς ἀποστολικοῖς θρόνοις διαπρεπόντων ἀρχιερέων· ἐντεῦθεν τὴν πρὶν τῆς πλάνης σκοτόμαιναν ἤλασαν· τῷ πνεύματι δὲ τῷ ἁγίῳ περιφραχθέντες, καὶ τοῖς ὅπλοις ἐναρμοσθέντες τῆς εὐσεβείας, κεφαλὰς ἐχθρῶν ἀνόμων διέκοψαν· τὸ δὲ ἐν χριστιανοῖς διαιωνίζον καὶ ἀρχαιότητι τῇ ἐκκλησίᾳ διαφέρον δόγμα, καὶ διὰ τοῦτο αἰδέσιμον καὶ τίμιον τυγχάνον, ἐκπρεπῶς ἐκρατύναντο, οὐδὲν νεωτερίσαντες, οὐδὲν καινὸν ἢ περίεργον ἐπινοήσαντες· ἄνωθεν γοῦν καὶ ἐκ θείας ἐπιπνοίας κινούμενοι, τὸ ἀσφαλὲς καὶ ἀναμφήριστον κέκτηνται, τὸ κράτος τῆς ἀληθείας περιφανῶς ἀναδησάμενοι· τοῦτο τὸ δόγμα καὶ οἱ μετὰ ταῦτα ἱερεῖς ἅπαντες, ἅ τε θεόφρονες καὶ ὀρθοδοξίᾳ κεκοσμημένοι ἐπεσφράγισαν, καὶ βασιλέων οἱ εὐσεβεῖς καὶ πιστοὶ ᾑρέτισαν καὶ ἠσπάσαντο, καὶ ὁ σύμπας τῶν χριστιανῶν λαὸς περιεπτύξατο, καὶ περιέπων διετέλει, καὶ ὁ παριππεύσας μικροῦ τριακοντούτης χρόνος, συλλαβὼν ἐβεβαίωσε, καὶ ἡμεῖς γε ὡς πλῆρες εὐσεβείας ὑπάρχον, ἀπεδεξάμεθα καὶ καθυπεγράψαμεν, ἐξ οὗ τάς τε χειροτονίας καὶ καθιδρύσεις ἐν τοῖς ἱερατικοῖς θρόνοις ἔχομεν· ἵλεως δὲ ἡμῖν εἴη κύριος, ὅτι καὶ τῶν ἄνωθεν ἱερῶς τεθειμένων κανόνων κατεφρονήσαμεν, καὶ τῶν ὡμολογημένων ἀγνώμονες ὤφθημεν, ὧν τοὺς δεσμοὺς καὶ τὸ κρῖμα ἐν ταῖς ἑαυτῶν

ψυχαῖς φέρομεν, ἀνοσίως καὶ ἀνιέρως φρονήσαντες· ταῦτα τυχὸν, εἴ γε τῆς μέθης τῆς ἀπιστίας ποτὲ ἀνανήψαιεν, καὶ ἑαυτῶν γενόμενοι πρὸς τὴν ἀλήθειαν ἀποβλέψαιεν, τὰς ψυχικὰς ἐκτραγῳδοῦντες συμφορὰς, εἰκότως εἴποιεν· ἡμεῖς δὲ ἐπὶ τὸ ἑξῆς τοῦ λόγου τρεψώμεθα βαδιούμενοι, καὶ τῶν προκειμένων ἤδη ἐχώμεθα.

κϛ. Οἱ ἱερεῖς σου, φησὶν, ἐνδύσονται δικαιοσύνην· οἱ δὲ ἀλλότριοι τί περιβαλοῦνται αἰσχύνην; ἐπειδὴ εἰδώλοις προσκεκυνηκέναι δοξάζουσι. Ταῦτα οἱ τὸ ἱερατικὸν προβεβλημένοι σχῆμα, τὸ δὲ χριστιανικὸν ἠρνημένοι δόγμα, καὶ τὸ εἰδωλικὸν ἀνθηρημένοι πτῶμα· ἐν ᾧ περιπεπτωκέναι διαθρυλοῦσιν, οἱ μὲν αὐθαίρετοι πρὸς τὴν λάμψιν τῆς ἀληθείας τὸ ὀπτικὸν ἀπομύσαντες, οἱ δὲ ἀκούσιον τὴν πήρωσιν ὑπομείναντες· εἴ ποτε ταῖς ἱεραῖς εἰκόσι, καθὰ χριστιανοῖς ἅπασιν εὐσεβοῦσιν ὁμολογεῖται καὶ πράσσεται, καὶ αὐτοὶ τὸ σέβας προσφέροντες ἔνεμον, αἳ δὴ τοῦ σωματωθέντος δι' ἡμᾶς θεοῦ λόγου τὸ ἀνθρώπειον, ὁρατόν τε ὂν καὶ γραπτὸν χαρακτηρίζουσι, καὶ τῶν ἁγίων καὶ ἐκλεκτῶν αὐτοῦ τάς τε ἀνδραγαθίας καὶ τοὺς ἄθλους, οὓς ὑπὲρ τῆς εἰς αὐτὸν ἀγάπης κατὰ τῶν δυσμενῶν ἐνεστήσαντο διασημαίνουσιν· ὑφ' ὧν ἑώρων ἐκπρεπῶς τὰ τῆς ἁγιστείας σκεύη περικοσμούμενα, καὶ τὴν ἱερὰν ἐσθῆτα ὅση κατὰ τὴν θείαν ὑφήπλωται τράπεζαν καὶ τοῖς ἄλλοις τόποις, ἔν τε παραπετάσμασι καὶ προβλήμασιν ἐναγλαϊζομένην, τό τε ἱερὸν τέμενος ἱστορίαις σεμναῖς διειλημμένον, καὶ ἐν κύκλῳ ταύταις περιστεφόμενον· ἐπειδὴ δὲ πρὸς ἱερεῖς ἡμῖν οὐκ οἶδα ὧν τινων καὶ ὁποίους ὁ λόγος, εὐκαιρότατα ἂν πυθοίμην αὐτῶν, τίς ποτε ἄρα ἡ παρ' αὐτοῖς τελετή ἐστι καὶ τὰ ἱερουργούμενα μυστήρια; καὶ εἰ μὲν ἑτέραν τινὰ ἐσχηκέναι μύησιν εἴποιεν, καὶ ἄλλα μυστήρια τῶν καθ' ἡμᾶς ἀλλότρια, εἰδεῖεν ἂν αὐτοί· εἰ δὲ ταῦτα δὴ τὰ ἡμέτερα ὄντως ὑψηλὰ καὶ οὐράνια, καὶ εἰς ἃ μετ' εὐλαβείας καὶ πολλοῦ τοῦ σεβάσματος παρακύπτουσιν ἄγγελοι, ὅτου δὴ ἕνεκεν καὶ τίς ὁ τρόπος; ὅτε μὲν ἐντὸς τῶν ἀδύτων τοῦ ἱεροῦ γενομένους, πρὸς τὸν τῶν ὅλων θεὸν πατέρα ἱερολογοῦντας ἐπὶ τῇ τῆς θυσίας εὐχαριστίᾳ λέγειν· " ἀποστήσας ἡμᾶς τῆς πλάνης τῶν εἰδώλων· δῆλον „ δὲ περὶ τοῦ μονογενοῦς· προσήγαγεν ἡμᾶς τῇ ἐπιγνώσει σοῦ τοῦ μόνου ἀλη„ θινοῦ θεοῦ καὶ πατρὸς, κτησάμενος ἡμᾶς ἑαυτῷ λαὸν περιούσιον· „ καὶ τἄλλα δὴ ὁπόσα ἐκεῖσε τούτοις ἑπομένως ὑμνεῖσθαι μυσταγωγούμενα.

κζ. Ὅτε δ' αὖ πάλιν ληρῳδοῦντας καὶ φρενὸς ἔξω γενομένους, ὡς ἐξεστηκότας τινὰς καὶ ἐμπλήκτους παραφθέγγεσθαι· εἰ μὴ Κωνσταντῖνος ἡμᾶς τῆς εἰδωλομανίας ἐῤῥύσατο, Χριστὸς κατ' οὐδένα τρόπον ὠφελῆσαι δεδύνηται. Πῶς τοίνυν ὁμολογοῦντες εἰδώλων ἀπηλλάχθαι διὰ Χριστοῦ, πάλιν εἰδώλοις κατὰ τὸ θεῖον προσκυνοῦσι θυσιαστήριον; καὶ ὅτι μὲν ἐκ τοῦ πατρὸς τοῦ ψεύδους ἐμπνεόμενοι ταῦτα περιλαλοῦσι, παντίτω σαφὲς, ὥς γε ἐμαυτὸν πείθω, ἐκ δύο τῶν ἐναντίων καὶ ἀλλήλοις εἰς ἄκρον μαχομένων, τῶν τε ψευδῶν φημι καὶ τῶν ἀληθῶν, εἰς ἕν τι ὁμολογίας φρόνημα ἰέναι οἰόμενοι ἐπὶ τοσοῦτον τὰ τῆς ἀνοίας αὐτοῖς καὶ ἐμπληξίας διήλασεν, ὡς ἑαυτοὺς

λεληθέναι, κενεμβατοῦντας ἐπὶ λογισμοῖς εἰκαίοις, καὶ ἀνηνύτοις ἐπιχειρήμασιν· εἴπερ γὰρ κατ᾽ ἄμφω ἀληθεύειν ἀνοήτως οἴονται, ὥρα αὐτοῖς καὶ ψευδηγορίας κατὰ τοῦ εὐαγγελίου οἴσειν γραφήν· τοῦ γὰρ Χριστοῦ λέγοντος· " οὐ δύνασθε δυσὶ κυρίοις δουλεύειν, θεῷ τε καὶ μαμωνᾷ ,, οὗτοι ἐκ τῶν οἰκείων ὁρμώμενοι δοξῶν, ἀναγκασθήσονται καὶ Χριστῷ καὶ τῷ μαμωνᾷ Κωνσταντίνῳ δουλεύειν, ἓν ἐξ ἀμφοῖν, ὥσπερ οἱ τοὺς ἱπποκενταύρους συντιθέντες, ἀναπλάσσοντες σέβας· ταῦτα τινὲς, οἱ κατήγοροι τῶν ἐπαινουμένων, οἱ σκοτεινοὶ περὶ τὸ φῶς, οἱ περὶ τὴν σοφίαν ἀπαίδευτοι, τὰ ἀχάριστα κτίσματα, τὰ τοῦ πονηροῦ πλάσματα, τοιαῦτα τὸν εὐεργέτην ἀμειβόμενοι· ἁρμόσει γὰρ καὶ αὐτοῖς καὶ λίαν εὐκαίρως, ἃ παρὰ τῆς θεηγόρου γλώσσης ἐκείνης προαναπεφώνηται· τὰ γὰρ πάντη ἀσύμβατα καὶ ἀσύγκριτα, καὶ τῷ ἀπείρῳ ἀλλήλων διεστηκότα, καθόσον ἡλίου μαρμαρυγαὶ, πρὸς τὸν ἀφεγγῆ καὶ ὑποχθόνιον χῶρον, εἰ καὶ μικρὸν τὸ παράδειγμα, εἰς ταὐτὸν ἰέναι ὑπολαμβάνουσιν.

Εἶτα πάλιν ἐρομένοις ἡμῖν ἀποκρινέσθωσαν, πότερον τραπέζῃ θείᾳ παρίστασθαι οἴονται, ἀχράντους τὲ καὶ ἀναιμάκτους θυσίας ἱερουργοῦντες, ἢ τραπέζῃ δαιμονίων, κνίσσαις χαιρόντων καὶ αἵμασι; τοῦτο γὰρ ταῖς αὐτῶν δόξαις, μᾶλλον δὲ οἰκειότερον εἰπεῖν, ἀβελτερίαις ἀκόλουθον φαινόμενον ἀπολύσασθαι χρὴ, ναοῖς τε θείοις ἢ βωμοῖς εἰδώλων ἐπιχωριάζειν ὑποτοπάζουσιν· εὐΐλατος δὲ ἡμῖν γένοιτο θεὸς, τὰ ἐκείνων στηλιτεύουσι, τοῖς ἐκείνων συγχραινομένοις καὶ οὐκ ἐθέλουσιν· ἀλλὰ ποίας αὐτοῖς ἀπολογίας ἐπινοηθήσεται τρόπος; τί δὲ πρὸς ταῦτα φήσαιεν οἱ μιγνύντες τὰ ἄμικτα, οἱ τιθέντες τὸ φῶς σκότος καὶ τὸ σκότος φῶς, ὧν ἡ κοινωνία ἀμήχανος καὶ ἀνεπινόητος; Χριστοῦ γὰρ ὑπηρεσίαν καὶ θεραπείαν, καὶ ἀκαθάρτων δαιμονίων εἰς ταὐτὸν συνιέναι, τίς τῶν ἐῤῥωμένον τὸν λογισμὸν κεκτημένων φάναι τολμήσειεν; οὐδὲ γὰρ σκότος, ἡλιακοῦ φωτὸς παρουσίαν ὑφίστασθαι πέφυκε· σκοπείσθω δὲ κἀνταῦθα τὰ τῆς ἀσεβείας αὐτῶν· ἐν ταῖς καθιερώσεσι καὶ τοῖς ἐγκαινισμοῖς τῶν ἱερῶν οἴκων, εὐχαὶ τῷ θεῷ παρὰ τῶν ὑπηρετουμένων ἱερέων καὶ δεήσεις προσάγονται, δι᾽ ὧν αἰτοῦσι τὸ πανάγιον πνεῦμα καταπεμφθῆναι, καὶ ἁγιασθῆναι τὸν οἶκον, καὶ πληρωθῆναι φωτὸς ἀϊδίου· αἱρετίσαί τε τὸν ναὸν εἰς κατοίκησιν, καὶ τόπον σκηνώματος δόξης ἀπεργάσασθαι, κοσμεῖν τε αὐτὸν τοῖς θείοις χαρίσμασιν· ἰατρεῖον τὲ καθιστάνειν παθῶν, καὶ δαιμόνων φυγαδευτήριον, καὶ ἅγιον ἁγίων ἀναδείκνυσθαι· ἐφ᾽ οἷς ἡ τοῦ θείου μύρου ἐν ἐνίοις τοῦ ναοῦ τόποις χρίσις, καὶ τῶν ἱερῶν τῶν ἁγίων λειψάνων κατάθεσις· ἆρ᾽ οὖν τούτοις κατάλληλον οἱ τῆς ἐναντίας μοίρας, τὸ παρ᾽ αὐτοῖς δογματιζόμενον τίθενται; τά τε ἐνταῦθα ἱερολογούμενα καὶ τὰ παρ᾽ αὐτοῖς τερατολογούμενα, σύμφωνα καὶ ἀκόλουθα ἀλλήλοις καθέστηκε; καὶ τίς οὕτως ἔκφρων καὶ ἀνούστατος, ὥστε τὸν αὐτὸν οἶκον λέγειν δαιμόνων φυγαδευτήριον, καὶ δαιμόνων οἰκητήριον; ἅγιον τὸν αὐτὸν, καὶ ἐναγῆ δείκνυσθαι; ἢ τὸ θεῖον πνεῦμα ἐπισκιάζειν ἐν αὐτῷ, καὶ τὸ ἐναντίον ἐπιχωριάζειν, ὅπερ οὗτοι πάσης ἀνοίας καὶ φρενοβλαβείας ἐπέκεινα προϊόντες δοξάζουσιν; οἳ δὲ, οὐδὲ γὰρ μέχρι τούτων τῶν ἀσεβημάτων ἐστή-

κασιν, ἀλλὰ γὰρ καὶ τὰ τῶν ὑπὲρ Χριστοῦ ἠθληκότων, καὶ μέχρις αἵματος διηγωνισμένων ἁγίων, ἅγια καὶ ἱερὰ λείψανα, ἐν τοῖς καθιερουμένοις θυσιαστηρίοις κατατίθεσθαι παρῃτήσαντο· ὧν καὶ τὰς πρεσβείας διαπτύουσί τε καὶ ἀπαναίνονται, κατά γε τὸ παρ' αὐτοῖς συγκροτούμενον δόγμα· " ἔδοξαν γὰρ „ καὶ νῦν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος „ αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ· „ διὸ ἐν πᾶσι τούτοις οἱ δείλαιοι, ἀνομοῦντες διὰ κενῆς λαμπρῶς ἐφωράθησαν.

Οἱ αὐτοὶ δέ μοι δοκοῦσι καὶ φαυλίζειν καὶ βεβηλοῦν τὸ ὄνομα κυρίου, καὶ προσάγειν τῷ θυσιαστηρίῳ ἄρτους ἠλισγημένους, λέγειν τε τολμᾶν· " τρά- „ πεζα κυρίου ἠλισγημένη ἐστὶ, καὶ τὰ ἐπιτιθέμενα βρώματα αὐτοῦ ἐξουθε- „ νημένα· „ ὅπερ τὸ πρὶν τοῖς τῆς ἐν νόμῳ λατρείας ἱερεῦσιν, ἐγκαλούμενον ἴσμεν· πολλοῦ δ' ἂν ἄξιοι φανοῦνται, εἰ κατὰ τὸν πάλαι Ἰσραὴλ ἐκεῖνον ἀκούσειαν· " ἕως πότε χωλανεῖτε ἐπ' ἀμφοτέραις ταῖς ἰγνύαις: „ τὴν θρησκείαν ἐκείνοις παραβαλλόμενοι, τοῦ θείου νόμου καταλιγωρήσασι, καὶ πρὸς τὰ τῶν ὁμόρων ἐθνῶν ἀποτρέχειν σεβάσματα διασπουδάζουσιν· ἢ τὰ Σαμαρειτῶν ἐγνώκεισαν διατίθεσθαι, οἳ καὶ τὸν κύριον ἐφοβοῦντο, καὶ τοῖς θεοῖς αὐτῶν ἐλάτρευον, κακῶς μὲν, ὅμως δ' οὖν τάχα πως τοῖς προσκυνουμένοις ἰδικῶς τὴν λατρείαν προσφέροντες· οὗτοι γὰρ συγχέοντες καὶ συμφύροντες καὶ κατὰ ταὐτὸν ἄγοντες τὰ πάντη ἀσυνδύαστα καὶ ἀσυνύπαρκτα, ὃ καὶ μόνον ἐννοεῖν βλασφημίας τῆς ἀνωτάτω, μίαν καὶ τὴν αὐτὴν δόξαν καὶ τὸ σέβας αὐτοῖς ἀπαιδεύτως καὶ ἀθέως προσάγεσθαι βούλονται. Κορινθίοις γὰρ ἄρτι τῆς τῶν εἰδώλων ἀνανεύσασι μέθης, καὶ ἔτι σαρκικοῖς οὖσι καὶ νηπίοις ἐν Χριστῷ, γάλα ποτίζεσθαι καὶ οὐ βρῶμα δεομένοις, παρεξετάζεσθαι, πολλοῦ γε καὶ δεῖ, διά τε τοῦ χρόνου τὸ ἔσχατον, καὶ τὸ ἐν δόγμασι καὶ θεωρίαις ἰσχνόν τε καὶ κατεξητασμένον· πρὸς ὃ οὐχ' οἷοί τέ εἰσιν ἀντιτείνειν, ἢ ἀπολογίας ἡστινοσοῦν ἀφορμὴν προΐσχεσθαι, ἢ ἑβραίοις τῆς ἰουδαϊκῆς καὶ πατροπαραδότου ἀναστροφῆς μεταποιουμένοις, ὡς χρείαν ἔχειν διδάσκεσθαι, τίνα τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων τοῦ θεοῦ, δεῖσθαι τε γάλακτος, οὐ στερεᾶς τροφῆς· εἰ δὲ τοσοῦτον ἐσκοτίσθησαν τοῖς διαλογισμοῖς, καὶ ἐμωράνθη ἡ ἀσύνετος αὐτῶν καρδία, καὶ πρὸς τὰς τοῦ εὐαγγελικοῦ κηρύγματος ἀκτῖνας ἀμβλυώττουσι, καὶ τὸ διαστελλόμενον συνιδεῖν οὐκ ἰσχύουσιν, ἐπὶ τοῖς εἰς ἄπειρον διῳκισμένοις, καὶ πᾶσαν ὑπεραναβεβηκόσι σύγκρισιν, ἐπειδὴ ἀνὰ μέσον ἁγίου καὶ βεβήλου διαστέλλειν οὐκ ἴσασιν, ἀκουσόνται τί πρὸς αὐτοὺς ὁ τοῦ εὐαγγελίου ἱερουργὸς ἀποφανεῖται, τὴν ἐπαχλύζουσαν αὐτῶν ταῖς ψυχαῖς παραδεικνὺς σκοτόμαιναν· " ὅτι εἰ ἔστι κεκαλυμμένον τὸ εὐαγγέλιον ἡμῶν, ἐν τοῖς ἀπολ- „ λυμένοις ἐστὶ κεκαλυμμένον· ἐν οἷς ὁ θεὸς τοῦ αἰῶνος τούτου, ἐτύφλωσε τὰ „ νοήματα τῶν ἀπίστων, εἰς τὸ μὴ ἐναυγάσαι αὐτοῖς τὸν φωτισμὸν τῆς δόξης „ τοῦ εὐαγγελίου τοῦ Χριστοῦ· προσέτι δὲ οὐ θέλω ὑμᾶς κοινωνοὺς τῶν δαι- „ μονίων γενέσθαι· οὐ δύνασθε ποτήριον κυρίου πίνειν καὶ ποτήριον δαιμονίων· „ οὐ δύνασθε τραπέζης κυρίου μετέχειν, καὶ τραπέζης δαιμονίων. „

Οἰήσονταί με ἴσως πικρὸν φανεῖσθαι κατήγορον, περιεργότερον τῆς πολυσχιδοῦς πλάνης τὰς παρεκτροπὰς ἀνιχνεύοντα· ἀλλ' οὐκ ἂν τῆς ἀληθείας ἀφέξωμαι, ἕως ὁ τῆς σωτηρίας ἡμῶν ἀρχηγὸς ταῖς γλωσσαλγίαις τῶν ἀθετούντων βάλλεται καὶ τοξεύεται, ἐπὶ πλεῖον τε ἡ ἐκκλησία πολιορκουμένη καταλαμβάνεται· " ζηλῶν γὰρ ἐζήλωκα τῷ κυρίῳ· καὶ, ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ „ με· καὶ, οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσον ἐπ' ἐμέ· „ αἱ τῶν ἁγίων ἡμῖν φωναὶ συνᾳδέτωσαν, φιλοπευστοῦντι δέ μοι καὶ ταῦτα σαφέστατα φράζειν μὴ ἀπαναίνοντο· τίνος σῶμα καὶ αἷμα ἱερουργοῦντες καταθύουσιν; εἰ μὲν τοῦ Χριστοῦ φήσουσι, τίς ἂν αὐτοῖς πιστεύσειε τὴν θαυμασίαν ἐκείνην καὶ σωτήριον ἡμῖν οἰκονομίαν ἀναιροῦσιν, ἀπὸ τοῦ ἀμαθῶς καὶ ἀνοσίως δοξάζειν, μὴ τοιοῦτον ἀνειληφέναι τὸν λόγον σῶμα, οἷόν περ ἂν εἴη καὶ τὸ ἡμέτερον, τῷ ἀπεριγράπτῳ καὶ ἀγράπτῳ ἀσεμνῶς ἀποσεμνύνοντες, κατὰ τοὺς Μανιχαίων λήρους φαντασιούμενοι; εἰ δὲ καὶ τοῦτο δώσουσι, πῶς ἅμα τὸ αὐτὸ καὶ ἀναιροῦσι καὶ ἱερουργοῦσιν; ἀλλ' εὖ εἰδότες ἥτωσαν· ὅτι ἃ δὴ αὐτοῖς κενολογεῖν ἀμαθαίνουσιν εἴθισται, ταῦτα ὡς φλυαρίας καὶ ἀτοπίας ἀνάμεστα διαπτύομεν· ὡς γὰρ παράνομοι ἀδολεσχίας ἡμῖν διηγοῦνται· " ἀλλ' οὐχ' ὡς ὁ νόμος κυ„ ρίου· καὶ, ζητήσεις σοφίαν παρὰ κακοῖς καὶ οὐχ' εὑρήσεις· καὶ, βδέλυγμα „ κυρίῳ λογισμὸς ἄδικος „ σοφῶν λεγόντων ἀκούομεν· τί οὖν πρὸς ταῦτα φήσει ὁ τῶν ἀποῤῥήτων μυστηρίων μέτοχος; οὐδὲ γὰρ ἂν ἄλλοθεν ἁρμόσασθαι χρεὼν τοῖς ἀπὸ καρδίας κενοφωνοῦσι, κᾀκ τοῦ ἐναντίου ἀποφθεγγομένοις πνεύματος· " τὸ ποτήριον τῆς εὐλογίας ὃ εὐλογοῦμεν, οὐχὶ κοινωνία τοῦ αἵματος „ τοῦ κυρίου ἐστί; τὸν δὲ ἄρτον ὃν κλῶμεν, οὐχὶ κοινωνία τοῦ σώματος τοῦ „ Χριστοῦ ἐστι; τίς οὖν μετοχὴ δικαιοσύνῃ καὶ ἀνομίᾳ; τίς κοινωνία φωτὶ „ πρὸς σκότος; τίς δὲ συμφώνησις Χριστῷ πρὸς Βελίαρ; τίς μερὶς πιστῷ μετὰ „ ἀπίστου; τίς δὲ συγκατάθεσις ναῷ θεοῦ μετὰ εἰδώλων; „ τί δὴ δήποτέ ἐστιν εἴδωλον ἢ εἰδωλόθυτον, αὐτὸς ὁριεῖται, ἀλλ' ἢ ἃ θύει τὰ ἔθνη, δαιμονίοις θύει καὶ οὐ θεῷ λέγων.

Ταῦτα μὲν ὁ τῆς ἄνωθεν ἡμῖν τρανῶς ἐκκαλύπτων θεορημοσύνης τὴν μύησιν· ἡμεῖς δὲ ἐφ' ἑτέραν τῶν καθ' ἡμᾶς μυστηρίων τελετὴν τῷ λόγῳ καὶ νῦν μέτιμεν. Ὅτε ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ θεὸς τὴν κατὰ τοῦ θανάτου νίκην ἀράμενος, καὶ τρόπαιον λαμπρὸν κατὰ τῆς τοῦ ᾅδου τυραννίδος στησάμενος, καὶ τὸ μέγα χειρωσάμενος κῆτος, τριήμερος ἐκ νεκρῶν ἐγήγερται, τοῖς μαθηταῖς ἐμφανιζόμενος ἐνεκελεύετο· " πορευθέντες μαθητεύσατε πάντα τὰ „ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ „ ἁγίου πνεύματος· „ αὐτίκα οἵ γε ἀνὰ πᾶσαν ὅσην ἥλιος ἐφορᾷ γῆν ἐξεχύθησαν, εἰς ἣν ὁ φθόγγος αὐτῶν ἐξελήλυθε, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα διέδραμεν· οὕτως οἱ τῶν ἐθνῶν ἁλιεῖς τοὺς ἄρτι τῆς ἁλμυρᾶς ἀπιστίας ἀνανεύοντας, τῇ σαγήνῃ τοῦ λόγου ἐζώγρησαν· καὶ πρῶτοι μὲν τῷ κηρύγματι καὶ τῇ μυήσει οἱ ἐκ περιτομῆς προσδραμόντες, τὰς τῆς χάριτος εὐλογίας προϋφήρπασαν· ὅσοι γὰρ ἐκ τῆς ἰουδαϊκῆς ἀπιστίας ἐπεστραμμένοι,

τῶν πατερίων ἐθῶν ἀπανιστάμενοι, καὶ τῆς τοῦ ζυγοῦ ἀχθηδόνος ἠλευθερώθησαν, καθ᾽ ἣν τῷ νόμῳ ἐδούλευον ἕως τῷ γράμματι παρεκάθηντο, τὴν ἐν πνεύματι καὶ ἀληθείᾳ ἀντὶ τῆς νομικῆς λατρείας τῷ θεῷ τῶν ὅλων προσάγουσιν· ἔπειτα οἱ ἐκ τῆς ἑλληνικῆς δεισιδαιμονίας, τῶν βωμῶν καὶ τῆς κνίσσης ἀναρπαζόμενοι, τῆς εἰδωλικῆς μανίας εὐθὺς ἀπηλλάττοντο· ἄλλοι τῆς βαρβάρου καὶ ἀλλοκότου θρησκείας ἀποπηδῶντες, τῆς τοῦ κατεξουσιάζοντος ἔτι διαβόλου ἐπηρείας ἐῤῥύσθησαν· ἐξ ὧν εἰς μίαν ὁμολογίας πίστιν συνιόντων ἡ τοῦ Χριστοῦ καθολικὴ ἐκκλησία ἀπήρτισταί τε καὶ συγκεκρότηται· καὶ δὴ πρὸς τὴν τῆς τριάδος ὁμοῦ πάντες ἐπίγνωσιν ποδηγούμενοι ἐν ᾗ ἐβαπτίσαντο, οὐδενὸς οὐδαμοῦ παρεισδύντος· οὐ γὰρ οὖν θέμις εἰπεῖν ἐστι, κατονομαζομένου ἔν τε οὐρανῷ καὶ ἐπὶ γῆς ὀνόματος· οὔτ᾽ οὖν ποτε τοῖς μυστηρίοις ἡμῶν ὡς ἀνιέροις προσελεύσονται, οὐδ᾽ ὡς μετασχόντες μιασμάτων τῶν ἀκαθάρτων δαιμόνων ὑπολήψονταί ποθεν· καὶ διὰ ταῦτα ἐν πνεύματι θεοῦ λαλοῦντες, οὐκ ἂν εἴποιεν ἀνάθεμα Ἰησοῦν· οὗτοι δὲ οἱ ἀνιερώτατοι καὶ ἀπιστότατοι, εἰ μὴ εἰς τὸ ὄνομα Κωνσταντίνου ἀλλ᾽ εἰς τὴν τριάδα ἐβαπτίσθησαν, οἶμαι δὲ ὡς οὐκ ἂν ἀποφήσειαν· ἦ γὰρ ἂν οὐδὲν ἐδέησεν ἡμῖν τῶν νῦν ἀγωνισμάτων τε καὶ σκαμμάτων, οὐδ᾽ ἂν ὄχλον ἡμῖν πραγμάτων τοσοῦτον ἐπεσώρευον· πόθεν αὐτοῖς ἡ τῶν εἰδώλων παρείσδυσις; λεγέτωσαν ἡμῖν τρανέστατα· καὶ εἰ τὴν σφραγῖδα τῆς ὁμολογίας ταύτης, ἄσυλόν τε καὶ ἀνεπιβούλευτον τηροῦντες διατελοῦσι, πῶς αὐτοῖς διὰ γλώσσης καὶ πρόχειρον τὸ τῶν εἰδώλων ὄνομα;

κη. Εἰ γὰρ εἰς τὸν θάνατον τοῦ Χριστοῦ βαπτισθέντας οὐδὲν Χριστὸς ὀνίνησι, πῶς οὐχὶ καὶ ἰουδαίων ἀγνωμονέστεροι, καὶ ἑλλήνων ἀπιστότεροι, καὶ βαρβάρων ἀθεώτεροι; οὐδεὶς γὰρ τούτων οὐδέπω τῆς ἐκκλησίας τοῦ θεοῦ καταγορεῦσαι τετόλμηκε· τοῦτο ποίας ἀσεβείας ὑπερβολὴν καταλείπει; τίς ἱκανὸς λόγος παραστῆσαι τῆς ἀτοπίας τὸ μέγεθος; τίς γὰρ ἂν εἴη ἄλλος, ὅς τις αὐτοὺς ἐκ τῆς τοιαύτης πλάνης διὰ τοῦ ἰδίου ἐξαγοράσειεν αἵματος; πῶς ἂν αὐτοὺς μὴ ὅτι γε ἐπισκόπους, ἀλλ᾽ οὐδὲ χριστιανοὺς ἁπλῶς τις ὀνομάσειεν; ἀναγκασθήσονται οὖν ἕτερον ἐπιζητεῖν βάπτισμα, ἐν ᾧ τελεσθήσονται ἢ συντελεσθήσονται· " ἀνασταυροῦντες ἑαυτοῖς τὸν υἱὸν τοῦ θεοῦ καὶ παραδειγ-
„ ματίζοντες· εἴ γέ ποτε ἅπαξ ἐφωτίσθησαν, ἐγεύσαντό τε τῆς δωρεᾶς τῆς
„ ἐπουρανίου, καὶ μέτοχοι ἐγενήθησαν πνεύματος ἁγίου· „ οὕτως οὖν ἑτέρας μυήσεως χρῄζοντες, καὶ ἑτέρας χρίσεως ἤτοι χειροτονίας δεήσονται, καθάπαξ ἠρνημένοι τὰ πρότερα καὶ ἀποπεμπόμενοι· πῶς γὰρ ἂν μεταδοῖεν μυήσεως, ἥνπερ αὐτοὶ οὐδαμῶς διεσώσαντο; ἢ πῶς οἵ γε ἑαυτοὺς ἀποχειροτονήσαντες, βαπτίζειν ἢ δογματίζειν ἐπιχειρήσαιεν; πόθεν αὐτοῖς τὸ δόγμα καὶ βάπτισμα τὸ εὐπαράδεκτον σχοίη ἢ ἀξιόπιστον;

κθ. Προσθείην δ᾽ ἂν κἀκεῖνο τοῖς εἰρημένοις, ὅπερ καὶ αὐτοί μοι οἱ πάντα περιτρέποντες καὶ πρὸς πάντα ῥᾳδίως μεταβαλλόμενοι καὶ οὐδαμοῦ τὸ στάσιμον ἔχοντες, συμφήσαιεν· ἐπειδάν τις τῶν ἐκ τῆς ἡμετέρας πίστεως πρὸς ἑτέραν θρησκείαν ἑκὼν ἢ βιασθεὶς μετάθοιτο, ἔθνεσί τε ἀπίστοις συμμιαινόμενος,

καὶ τῶν ἐβδελυγμένων τῆς ἐδωδῆς ἀπογευόμενος, ἢ κατά τι γοῦν τῶν καθ' ἡμᾶς ἐθῶν παραμείψειεν, οἱ θεῖοι τῆς ἐκκλησίας θεσμοὶ κελεύουσιν, τοῦτον συναισθόμενον τῆς ἁμαρτίας, καὶ μεταμελόμενον ἐφ' οἷς κακῶς ἔπραξε, προστρέχοντά τε ἐν μετανοίᾳ τῇ ἐκκλησίᾳ, καὶ τῶν ἀτόπως καὶ ἀνοσίως αὐτῷ πεπραγμένων ἐπιστρέφειν ἐπαγγελλόμενον, οὐδῶν τοῦ θείου νεὼ ἥκιστα ἐπιβαίνειν, ἀλλὰ πόῤῥω που τῶν ἡμετέρων συλλόγων αὐλίζεσθαι, καὶ τῆς κοινωνίας τῶν θείων μυστηρίων ἀπείργεσθαι· καὶ χρόνος ἐπ' αὐτῷ τεταγμένος ἀφώρισται, ἕως ἂν καρδίᾳ συντετριμμένῃ καὶ πνεύματι ταπεινώσεως, διὰ θερμῆς καὶ ἐπιπόνου ἐξομολογήσεως τῶν προειληφότων παραπτωμάτων τὸ ἄγος ἀποτρίψαιτο· καὶ οὕτω τῶν ἁγιασμάτων τῆς μετοχῆς ἀξιωθήσεται, καὶ τοῖς πιστοῖς συγκαταλεγήσεται· εἰπάτωσαν οὖν ἡμῖν οἱ τοῖς εἰδώλοις προσκεκυνηκέναι φάσκοντες, εἰ βούλοιντο χριστιανοῖς ἐναρίθμιοι εἶναι, τίς ποτε αὐτοῖς ἄρα ὁ τῆς ἐπιστροφῆς τρόπος καὶ χρόνος δεδοκίμασται: τίνες οἱ τὰς ἐξαγορεύσεις τῆς ἀσεβείας δεξάμενοι; ποίοις κανόσιν ὑπήκουσαν; πόθεν αὐτοῖς τῶν ἀλόγως καὶ ἀσεβῶς δεδογμένων καὶ πεπραγμένων ἡ διόρθωσις; καὶ οὕτω δοκιμαζέσθωσαν, εἰ ἄξιοι τῆς ἱερᾶς ἀγέλης τυγχάνοιεν· ἕως δ' ἂν τοῦ χριστομαχεῖν οὐκ ἀπόσχοιντο, πόῤῥω που καὶ ἐκτὸς τῶν ἱερῶν περιβόλων ἀποτρεχέτωσαν, καὶ ὡς μέλη σεσηπότα καὶ ἄχρηστα τῆς ποίμνης Χριστοῦ ἀποτεμνέσθωσαν, μή ποτε καὶ τὰ ὑγιαίνοντα, καὶ περὶ τὴν καλὴν ὁμολογίαν ἐῤῥωμένως ἱστάμενα, τῇ ψυχοφθόρῳ νόσῳ διαλυμήναιντο.

λ. Διττοῦ δὲ ὄντος τοῦ περὶ τῶν εἰδώλων καὶ τῆς ἐπ' αὐτοῖς τῶν πλανωμένων προσκυνήσεως λόγου, τῶν μὲν γὰρ ὅσοι παχεῖς καὶ ὑλικοὶ τὴν διάνοιαν, πρὸς τὸ φαινόμενον μόνον ἐναπομένοντες, καὶ οὐδὲν πλέον ἐννοεῖν δυνάμενοι, αὐτὸ μόνον λίθοις καὶ ξύλοις καὶ τῇ λοιπῇ ἀψύχῳ ὕλῃ τὸν νοῦν προσέχοντες ὑποκύπτουσιν· οἱ δὲ ὅσοι δοκοῦσι λογικώτερον καὶ φιλοσοφώτερόν πως ἐπιβάλλειν, καὶ δυνάμεις τινὰς ἐνοικεῖν τοῖς ξοάνοις δοξάζουσιν· ἃς δὴ καὶ θεούς, ὥσπερ κἀκεῖνα εἰκόνας θεῶν καλεῖν εἰώθασι· ποτέροις δὴ τούτων οἱ νέοι τῶν εἰδώλων θεραπευταὶ προστίθενται; εἰ μὲν γὰρ ἀγροικιζόμενοι τῇ χείρονι μοίρᾳ προσέχοιεν, εἰς προὖπτον κτηνωδίας καὶ ἀβουλίας κατῴχοντο· εἰ δὲ δὴ ἀστειζόμενοι τῆς ἑτέρας μεταλαγχάνοιεν, εἰς ἄκρον δυσσεβείας καὶ ἀθεΐας ἐξώλισθον· καὶ πότερον τῷ τῶν ἀῤῥένων εἴδει, καὶ τούτων ἀποκεκληρωμένως τινὶ, οἷον Κρόνῳ καὶ Διῒ καὶ Ἀπόλλωνι; ἢ τῷ τῶν θηλειῶν, οἷον Ῥέᾳ καὶ Ἥρᾳ καὶ Ἀρτέμιδι χαίρουσι; καὶ εἰ τάξεις ἐν αὐτοῖς πρώτην καὶ δευτέραν θεῶν, καὶ ὑπεροχάς δή τινας, καὶ μέτρα, καὶ ἀξιωμάτων διαφορὰς νέμουσιν· ἵνα εἴπερ ἑλληνίζειν αὐτοὺς δέοι, τῶν ὑπερφερόντων αὐτοὶ μὴ ἀποτυγχάνοιεν· ὑπεραγάσαιτο δ' ἄν τις τῆς ἀναισθησίας αὐτούς, ὡς συνιδεῖν οὐκ ἐθέλουσιν, εἰ μή τι οὖν ἄλλο, τὸ γοῦν ἰδιάζον ἐν ἑκατέρᾳ τῶν θρησκειῶν, τῶν τε ναῶν, τῶν τε θυσιῶν τὸ ἐξηλλαγμένον, καὶ τῶν εἰκονιζομένων ὁπόσον ἐστὶ τὸ διάφορον· ὅτι καθάπερ τὰ προσκυνούμενα, τὸ διῳκισμένον ἀσυγκρίτως εἰσάπαν ἔχουσι, τὰ μὲν γὰρ θεῖα καὶ σεβάσμια, τὰ δὲ βδελυκτὰ καὶ δαιμό-

για, οὕτω δὴ καὶ τῶν ἐν οἷς ἡ θεραπεία τούτων τελεῖται τόπων, προσέτι δὲ καὶ τοῦ τρόπου τὸ ἀποκεκριμένον περιφανέστατα κέκτηνται· ἐκεῖνα μὲν γὰρ, ἐπειδὴ σκοτεινὰ καὶ σκότους εἰσὶν ἄξια, ἐν σκότῳ πολλάκις ἐπιτελούμενα, ὑποχθονίοις ἀδύτοις καὶ ἄντροις συγκατακλείει τὰ τελεστήρια· τὰ δὲ ἡμέτερα, ἐπειδὴ ἐν τῷ φωτὶ τοῦ προσώπου κυρίου πορευόμεθα, τῷ φωτισμῷ τῆς θείας ἐλλάμψεως καὶ ἐν φωτὶ ἐκκαλύπτεται ἡμῶν τὰ μυστήρια, ὅτι φῶς εἰσι.

λα. Τῶν δὲ εἰκονιζομένων, ἡνίκα πολυσχιδὴς ἡ πλάνη, πολλοὶ γὰρ παρ' αὐτοῖς θεοί τε καὶ δαίμονες, ἀνάγκη πλείους εἶναι καὶ τὰς μορφὰς, καὶ τὰ ἐκτυπώματα ποικίλα καὶ πεπληθυσμένα, καὶ τοῖς εἴδεσι διαφέροντα, καὶ ἀνομοίων ἀνόμοια, καὶ τὸ βρέτας ἑκάστῳ ἀλλόκοτον ἀνατιθέμενον· παρ' ἡμῖν δὲ τοῖς χριστιανοῖς ἁπλῆς οὔσης καὶ ἀσκεδάστου τῆς ἀληθείας, ἐπειδὴ εἷς ἐστιν ὁ Χριστὸς, μία τῷ εἴδει καὶ ἡ τούτου εἰκὼν, καὶ ὁ χαρακτὴρ ὅμοιος, ἐξ ἑνὸς ἀρχετύπου ἀεὶ προερχόμενος· ὡς φέρε εἰπεῖν ἀφ' ἑνὸς δακτυλίου πολλὰ γίνεται ἐκτυπώματα, εἰ καὶ ταῖς ἡλικίαις ἔσθ' ὅτε καὶ τοῖς τῶν τόπων ἐν οἷς ἐνδιῃτᾶτο ἰδιώμασι, κατά τε τὸ σχῆμα καὶ τὴν μορφὴν, βραχύ τί παραμείβεται, πληθύεται δὲ εἷς καὶ ὁ αὐτὸς μένων· ὥσπερ ἐκ μιᾶς λαμπάδος πολλῶν ἀναπτομένων, ἑνὸς καὶ τοῦ αὐτοῦ πυρὸς μένοντος, τῷ πόθῳ καὶ τῇ πίστει τῶν δεομένων τῆς ἐντεῦθεν ὠφελείας καὶ χάριτος, τῶν δὲ θυσιῶν ὁπόσον τὸ διάφορον, οὐδὲ παραστῆσαι ῥᾴδιον· τίς γὰρ κοινωνία πρὸς τὴν καθ' ἡμᾶς ἀναίμακτον καὶ ἱερωτάτην θυσίαν, τῶν μυσαρῶν ἐκείνων καὶ ἀνοσίων βδελυγμάτων;

λβ. Εἰ δὲ ἅπαξ ὥς φασιν εἰδώλοις προσκεκυνήκασι, πῶς οὐκ ἂν αὐτοῖς δι' ὀργῆς οἱ προσκυνούμενοι γένοιντο, ὅτι γε δὴ ἐν ἀλλοτρίοις ναοῖς αὐτοὺς θεραπεύουσι; πῶς δὲ οἴσουσιν αὐτῶν τὰ μηνίματα; χαλεπαίνειν γὰρ αὐτοὺς εἰκὸς, ὅτι οὓς πάλαι ποτὲ διέλαχον, οὐκ ἀνιστῶσι ναοὺς καὶ καινίζουσιν, ἠδαφισμένους γε ὄντας τῷ ἀπείρῳ χρόνῳ καὶ εἰς γῆν κατερριμμένους, ὧν οὐδὲ ἴχνη ἐν πολλοῖς φέρεται· αὐτόθι δὲ ἀποτρέχοντας, σέβειν αὐτῶν ἀναγκαίως κοσμοῦντας τὰ ἀφιδρύματα, καὶ τὰς πρεπούσας αὐτοῖς προσφέρειν θυσίας· εἴ πως αὐτῶν ὡς ἔθος καὶ ἀπογεύσαιντο, τὸ στέαρ τῶν θυσιῶν αὐτῶν ἐσθίοντες, καὶ τὸν οἶνον πίνοντες τῶν σπονδῶν αὐτῶν, ἐμφυρέντες τῷ καπνῷ καὶ τῇ κνίσσῃ, καὶ τοῖς ἐπιβωμίοις λύθροις ἐμμολυνόμενοι· εἴ γε ἀνάσχοιντο τοῦ δυσσώδους τῶν μιασμάτων, ἅπερ ἀεὶ ἀνιᾷν οἶδε τὴν αἴσθησιν, πῶς οὖν οὐ φρίσσουσι καὶ ψυχὴν καὶ γλῶσσαν οἱ δείλαιοι, τὰ τοσούτοις διατειχίσμασι διειργόμενα, μιγνύειν καὶ συνείρειν ἀθεώτατα; πῶς οὖν οἴσει ταῦτα θεὸς ὑβριζόμενος; σκοπεῖν δὲ καὶ τοῦτο πάρεστιν, ὡς διπλοῦν αὐτοῖς τῆς καθ' ἡμῶν κατηγορίας τὸ ἀδίκημα καὶ ὁ κατὰ τῆς εὐσεβείας ἀγὼν, καὶ πολὺ τὸ φίλερι καὶ ἀμφισβητήσιμον ἐκ τοῦ ψεύδους προερχόμενος ὁ λόγος αὐτοῖς ἔχει, ὁπότερον θατέρου τῶν ληρῳδουμένων κρατήσειε.

λγ. Καὶ γὰρ εἴδωλον ὀνομάσαι τὸ τοῦ σωτῆρος ἡμῶν Χριστοῦ καὶ θεοῦ σεβάσμιον ἀπεικόνισμα, οἱ χριστομαχοῦντες οὐ κατηρυθρίασαν· πρὸς δὲ καὶ χριστιανῶν καταρραψῳδῆσαι, ὅτι δὴ ὡς θεοῖς ταῖς ἱεραῖς προσῆλθον εἰκόσιν,

ἐπὶ τοσοῦτον παραπληξίας καὶ ἀνοίας ἥκοντες, ὡς μήτε τῶν προσκυνουμένων ἐπιγνῶναι τὸν λόγον, μήτε μὴν τῶν προσκυνούντων κατειληφέναι τὴν γνώμην, καὶ ταῦτα φωτὶ ὁμοίως διαφαινομένων ἐναργέστατα· ὅμως δ' οὖν εἰς ἕνα κρημνὸν ἀσεβείας αὐτοὺς ἑκατέρωθεν συνελαύνει τὸ βλάσφημον· ἡμῶν γὰρ τῶν ἐπὶ τὸν θεμέλιον ἀσφαλῶς ἡδρασμένων τῆς εὐσεβείας, ὁποία ἡ δόξα περὶ τούτων καὶ ἡ προσκύνησις, φανερωτάτη καθέστηκε, τοῖς γε ὡς ἀληθῶς σωφρονεῖν ᾑρημένοις, καὶ τὸ ἀκέραιον τοῦ λογισμοῦ διασώζουσιν· ἔστω δὲ, αὐτοὶ μὲν ὡς ἄλογα ζῶα φασὶ πεπλάνηνται, ταὐτὸν εἶναι τῷ ἀκαθάρτῳ τὸ ἅγιον ὑπολαμβάνοντες· καὶ οὐκ οἶδα ὅπως τὸ αἶσχος τοῦ προσώπου αὐτῶν ἀπονίψαιντο, μέχρι τέλους συμπαρομαρτοῦν αὐτοῖς ἀναπότριπτον· τίνι τρόπῳ χριστιανῶν ἀλόγως καὶ ἀμαθῶς οὕτω καταγορεύουσιν, ὡσαύτως ἐκείνοις περὶ τὴν τῶν ἱερῶν ἀπομανῆναι σεβασμιότητα, καὶ τοῦτο παρὰ τὴν οἰκείαν ἀγνωμοσύνην τε καὶ ἀθέτησιν, ἐκ τῶν καθ' ἑαυτοὺς σταθμώμενοι τὰ ἀλλότρια· οὐδέν τι μᾶλλον φευκτοὶ ἀποτρόπαιοι τὴν ἀσέβειαν, ἢ ἐλεεινοὶ καὶ ἄθλιοι τὸ ἀσύνετον καὶ ἀναίσθητον· ταῦτα οὐδ' ἂν ἰουδαίων ἢ ἑλλήνων τινὲς οἱ ἀεὶ τῆς ἀμωμήτου ἡμῶν πίστεως καταφλυαροῦντες ἐκενολόγησαν.

λδ. Ἀλλὰ τὰ μὲν τούτων ἄτοπα τοσαῦτα καὶ οὕτως ἔχοντα· ἐμοὶ δὲ ἐπὶ τοὺς ἐλέγχους τοῦ ψεύδους καὶ ταύτῃ ἰτέον, καὶ ἐκ τῶν λογίων τοῦ πνεύματος οἷς πειθαρχεῖν παντὶ τρόπῳ χρῆναί φημι, ὡς ἔχουσιν ὀρθότητος ἢ σαθρότητος οἱ τῶν ματαίων λόγοι δοκιμαστέον· θεσμὸς τοίνυν ἀποστολικὸς ἡμῖν διακελεύεται· " μὴ παντὶ πιστεύειν πνεύματι, ἀλλὰ δοκιμάζειν εἰ ἐκ θεοῦ „ ἐστὶν, ἐπειδὴ καὶ νῦν πολλοὶ ψευδοδιδάσκαλοι, φησὶν, ἐξεληλύθεισαν· „ ἴδωμεν οὖν εἰ ἐν πνεύματι θεοῦ καὶ αὐτοὶ ἄγονται, συνῳδά τε φρονοῦσι καὶ σύμφωνα τοῖς ἐν πνεύματι θεοῦ λαλήσασι· καὶ εἰ μὴ ὡσαύτως ἐκείνοις ἔχοντας καταληψόμεθα, καὶ εἰσόμεθα ὅτι οὐ τοῦ θεοῦ εἰσὶν, ἀλλὰ τοῦ ἀντιχρίστου· καὶ πρότερόν γε, εἰ δοκεῖ, οἱ χρόνῳ πρεσβύτεροι προαγέσθωσαν· ἐφεξῆς δὲ οἱ τῇ ἀξίᾳ κατὰ τὴν ἐκκλησίαν ἡγεμονεύοντες, αὐτοῖς ἐπιζευγνύμενοι ἐπαγέσθωσαν· αὐτῶν δὲ τούτων τὰ κοινῇ πᾶσιν ἐκκείμενα καὶ δεδημοσιευμένα παρὰ τοῦ πνεύματος λόγια προηγείσθωσαν· καὶ τούτων πάλιν ἐκ πολλῶν ὀλίγιστα· ἐπειδὴ τὸ ἀδρανὲς καὶ ἀνίσχυρον Χριστοῦ τοῦ θεοῦ ἡμῶν καταψηφίσαντο, ὡς οὔτε τῆς ἑλληνικῆς πλάνης ἀπαλλάξαι κατίσχυσε τοὺς ἀνθρώπους, καὶ μάτην τὸ διὰ σταυροῦ πάθος, ὅλος τε ὁ τῆς οἰκονομίας αὐτῷ πεπραγμάτευται τρόπος, μάταιόν τε ἀποφαίνειν τὸ θεῖον κήρυγμα ἐν τῇ ἀπάτῃ τῶν λογισμῶν φαντασιούμενοι, καὶ ψευδομυθίας ἐπίκλημα τοῖς τῆς ἀληθείας κήρυξιν ἐπέγραψαν.

λε. Οὐκοῦν ψαλλέτω Δαβὶδ ὁ μακάριος τὴν θείαν λύραν ἀνακρουόμενος ἡρμοσμένην ἐν πνεύματι· " ὅτι θεὸς μέγας κύριος, ὑψηλός τε καὶ φοβερὸς, „ βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν· καὶ μὴν, καὶ ἐβασίλευσεν ὁ θεὸς ἐπὶ „ τὰ ἔθνη· καὶ, σχολάσατε καὶ γνῶτε ὅτι ἐγώ εἰμι ὁ θεὸς, καὶ ὑψωθήσομαι „ ἐν τοῖς ἔθνεσιν, ὑψωθήσομαι ἐν τῇ γῇ· καὶ, ἐγνώρισε κύριος τὸ σωτήριον „ αὐτοῦ, ἐναντίον τῶν ἐθνῶν ἀπεκάλυψε τὴν δικαιοσύνην αὐτοῦ· καὶ εἴδοσαν

„ πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτήριον τοῦ θεοῦ ἡμῶν· „ πῶς οὖν, καὶ πότε, καὶ ἐπὶ τίσι θεὸς μέγας καὶ βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν ὁ τῶν ὅλων θεὸς ἔγνωσται, ἐγνώρισέ τε τὸ σωτήριον αὐτοῦ, καὶ ἐναντίον τῶν ἐθνῶν ἀπεκάλυψε τὴν δικαιοσύνην αὐτοῦ, ἐντεῦθεν συνιδεῖν ἔξεστι τοῖς γε ἀληθῶς ἀρτιόφροσιν, ὀρθόν τε καὶ ἀδιάστροφον πρὸς τὰ θεοπαράδοτα λόγια τὸν νοῦν ἀπευθύνουσιν· εἰ μὲν γὰρ ὡς θεὸς τῶν ὅλων ἁπλῶς καὶ δημιουργὸς νοοῖτο, ἤδη πάντων βασιλεύει καὶ κατεξουσιάζει· “ ὁ δεσπόζων ἐν τῇ δυναστείᾳ αὐτοῦ „ τοῦ αἰῶνος· ὅτι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς, καὶ τὰ σύμπαντα „ δοῦλα αὐτῷ· „ εἰ δὲ ὡς πρὸς οἰκείους τινὰς καὶ ἀποκεκριμένως αὐτῷ ἀνατεθειμένους λέγοιτο, γινώσκοντάς τε αὐτὸν εἶναι μόνον θεὸν ἀληθινὸν, καὶ αὐτῷ μόνῳ τὴν λατρείαν προσάγοντας, λέγεται γὰρ καὶ κατὰ τοῦτον τὸν τρόπον βασιλεὺς τινῶν καὶ θεὸς ὁ θεὸς, τοῦτο ἐπὶ τῶν ἐξ αἵματος Ἰσραὴλ μόνων τὸ παλαιὸν ἐγνωρίζετο, καθὸ εἴρηται· “ ὅτε διεμέριζεν ὁ ὕψιστος ἔθνη, ὡς „ διέσπειρεν υἱοὺς Ἀδὰμ, ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων θεοῦ· „ καὶ, ἐγενήθη μερὶς κυρίου λαὸς αὐτοῦ Ἰακὼβ, σχοίνισμα κληρονομίας αὐ„ τοῦ Ἰσραήλ· καὶ, ὅτι ἐκ πάντων τῶν ἐθνῶν ἐξελεξάμην ὑμᾶς· καὶ, λαός „ μου, οἱ πράκτορες ὑμῶν καλαμῶνται ὑμᾶς· καὶ, ἡμεῖς ἐσμὲν λαός σου, καὶ „ πρόβατα νομῆς σου· „ καὶ ὅσα τοιαῦτα ἐν τοῖς ἱεροῖς λογίοις περὶ αὐτῶν λέγεται, ἃ οὐκ ἄν τις τοῦ εἰκότος ἀποτεύξοιτο παραστατικὰ ἰδιώματα φήσας, τῆς τῶν ἄλλων ἐθνῶν ἀπιστίας καὶ ἀθεΐας αὐτοὺς διϊστάντα καὶ ἀφορίζοντα, καὶ τῷ θεῷ προσοικειοῦντα τε καὶ προσάγοντα· ἐφ' ὧν οὐκ ἂν ταῦτα ῥηθείη ποτέ που· οἱ γὰρ ἐκείνων τῶν ἐθνῶν βασιλεῖς, ἥ τε ὑπ' αὐτοῖς τελοῦσα κατήκοος πληθὺς, τῷ ἀλόγῳ τῆς ψυχῆς ἐπιτρέποντες, καὶ διὰ τοῦτο ὡς ἄλογα ζῶα ἀποπλανώμενοι, τὸν μὲν φύσει καὶ ἀληθῶς ὄντα θεὸν ἠγνόησαν, τὸν κτίσαντα καὶ διδόντα αὐτοῖς πνοὴν ζωῆς, καὶ τὴν ἐπ' αὐτοῖς τιθέμενον πρόνοιαν· ἐπεγράφοντο δὲ βασιλέα τὸν σατανᾶν, καὶ θεοῖς ὡς ἕκαστοι καὶ δαίμοσιν ὀλεθρίοις κατὰ διαφόρους δόξας σχιζόμενοί τε καὶ σκεδαννύμενοι προσκυνοῦντες, θρησκείας ἰδίας ἑαυτοῖς ἀπετέμοντο· ἐπεὶ οὖν οὐδὲ οὗτοι τὸν τῶν ὅλων θεὸν βασιλέα ᾔδεσαν, οὐδὲ λαὸς αὐτοῦ κατ' οἰκείωσιν ἐχρημάτιζον, καίτοι γε ἄλλως ὑπάρχοντες ὡς κτίσμα αὐτοῦ καὶ ποίημα· οὔτε δὲ πάντα τὰ ἔθνη, Ἰσραήλ· οὐδὲ πᾶσα ἡ γῆ, Ἰουδαία· οὐ τεθεώρηται ἐπ' αὐτοῖς τὰ προφητικὰ ἐκβαίνοντα λόγια.

Λείπεται οὖν περὶ ἡμῶν τῶν ἐξ ἐθνῶν πρὸς τὴν θείαν κεκλημένων ἐπίγνωσιν, ἤτοι τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, τῆς ἁπανταχοῦ περάτων γῆς ὑπερηπλωμένης, καὶ τὸν ἕνα θεὸν καὶ τῶν ὅλων δεσπότην βασιλέα μέγαν καὶ κύριον συμφώνως ὁμολογούσης καὶ προσκυνούσης, ταῦτα καὶ νοεῖσθαι καὶ λέγεσθαι· πότε δὲ ταῦτα; “ ὅτε ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἤγγικε δὲ καὶ „ ἡ βασιλεία τῶν οὐρανῶν· ἐξαπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ τὸν μονογε„ νῆ, γενόμενον ἐκ γυναικὸς ἄνθρωπον καθ' ἡμᾶς, ἁμαρτίας ἐκτὸς πεφηνότα· „ καὶ συνεκάλεσε πάντα τὰ ἔθνη εἰς τὴν ἑαυτοῦ γνῶσιν, καὶ ἐρρύσατο ἡμᾶς τῆς

τοῦ δυναστεύοντος ἐχθροῦ πικρᾶς δουλείας· τότε δὴ τότε καὶ ἡμεῖς οἱ ἐξ ἐθνῶν, ἐξ οὐ λαοῦ, λαὸς Θεοῦ κεχρηματίκαμεν, καὶ πεπλουτήκαμεν ἐν αὐτῷ τὸ καινὸν ὄνομα· τοῖς γὰρ δουλεύουσί μοι, κληθήσεται ὄνομα καινὸν, γέγραπται· ὃ εὐλογηθήσεται εἰς τοὺς αἰῶνας, τῷ εἶναι τε ἀπ' αὐτοῦ καὶ λέγεσθαι χριστιανούς· καὶ, τὸ τῆς θεογνωσίας ἡμῖν ἐνήστραψε φῶς, ἐπειδὴ εἰς φῶς ἐθνῶν τέθεικά σε, φησίν· οὕτως ἡμεῖς ὁ λαὸς ὁ κτιζόμενος αἰνοῦμεν τὸν κύριον, μετὰ τοῦ Δαβὶδ λέγοντες· " ὅτι βασιλεὺς ἡμῶν μέγας ὁ κύριος, καὶ Θεὸν ,, πάντες αὐτὸν ἐπιγραφόμεθα, καὶ τῆς ἐκκλησίας κεφαλὴν ὁμολογοῦμεν, ἣν ,, ἐκ τῶν ἐθνῶν τῷ ἰδίῳ αἵματι ἐξηγοράσατο· ὅτι ἐκτήσατο ἡμᾶς ἑαυτῷ λαὸν ,, περιούσιον, ἔθνος ἅγιον, βασίλειον ἱεράτευμα, ἀναγγέλλειν τὰς ἀρετὰς καὶ ,, τὴν δόξαν αὐτοῦ· ὅτι πάντα τὰ ἔθνη νῦν δουλεύουσιν αὐτῷ, καὶ ἐνευλογοῦνται ἐν αὐτῷ πᾶσαι αἱ φυλαὶ τῆς γῆς, καὶ προσκυνοῦσιν ἐνώπιον αὐτοῦ πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν, καὶ πάντα τὰ ἔθνη ἥκουσι καὶ προσκυνοῦσιν ἐνώπιον αὐτοῦ, καὶ προσκυνοῦσιν αὐτῷ πάντες οἱ βασιλεῖς τῆς γῆς ,, τῶν μὲν πατρίων ἐθῶν καὶ θεῶν, καὶ τῆς κρατούσης ἀθεΐας ἐπ' αὐτοῖς ἀποθρώσκοντες, πρὸς δὲ τὴν καθαρὰν καὶ ἀμώμητον προστρέχοντες πίστιν ὡς προθυμότατα· τί οὖν πρὸς ταῦτα τοῖς τῷ ἁγίῳ διαμαχομένοις δοκεῖ πνεύματι; εἰ μὲν περὶ Ἰουδαίων εἰρῆσθαι ταῦτα ὥσπερ παραφρονήσαντες εἴποιεν, ἀλλὰ γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ Θεὸς, καὶ ἐν τῷ Ἰσραὴλ μέγα τὸ ὄνομα αὐτοῦ· ἐν τούτοις γὰρ τηνικαῦτα τό τε ἔθνος καὶ ἡ λατρεία καὶ ἡ προσκύνησις περιεγέγραπτο· ἐν Ἱεροσολύμοις γὰρ δεῖ προσκυνεῖν, καθὰ πάλαι νενόμισται· ταύτῃ τοι καὶ οἱ εἰς Βαβυλῶνα ποτὲ ἀπαχθέντες δορυάλωτοι, πῶς ᾄσομεν, ἔλεγον, τὴν ᾠδὴν κυρίου ἐπὶ γῆς ἀλλοτρίας, κωφῶν τῶν ὀργάνων ταῖς ἰτέαις ἐκκρεμαμένων; εἰ δὲ δὴ τοῖς παρ' Ἕλλησιν ἀμαθαίνοντες ὑπολήψονται ἀναθεῖναι τὸ κλέος " ἀλλ' ,, ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν, καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐ- ,, τῶν καρδία· ,, διότι γνόντες τὸν Θεὸν, οὐχ' ὡς Θεὸν ἐδόξασαν ἢ ηὐχαρίστησαν· τοῖς ἔργοις δὲ τῶν χειρῶν αὐτῶν ταπεινωθέντες ὑπέκυψαν, καὶ τῇ κτίσει παρὰ ἀκαθάρτοις δαίμοσι τὸ πρέπον Θεῷ σέβας ἀνέθεσαν, ἀλλὰ τοῖς ἄλλοις ταῦτα φιλοτιμήσονται ἔθνεσιν; " ἀλλὰ τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον ,, καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων· ,, ἃ οὐ λαλήσουσιν οὐδὲ ὄψονται, οὐδ' ὁπωστιοῦν κινηθήσονται.

Πάντοθεν οὖν συνάγεται, κἂν μὴ θέλωσιν οἱ τῆς ἀληθείας ἐχθροὶ, ἡμᾶς τοὺς χριστιανοὺς τὴν νικῶσαν ἐνέγκασθαι· ἡμῖν γὰρ κελεύει τὸ πνεῦμα ᾄδειν τῷ κυρίῳ ᾆσμα καινὸν, οὐκ ἐν Ἱεροσολύμοις μόνον οὐδὲ ἐν τῇ Ἰουδαίᾳ, μικροῖς τῆς οἰκουμένης τμήμασιν, " ἀλλ' ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ ,, ἐπαίροντας ὁσίους χεῖρας, λατρεύειν αὐτῷ ἐν ὁσιότητι καὶ δικαιοσύνῃ· ἡνίκα ἐπέφανεν ἡμῖν ἀνατολὴ ἐξ ὕψους, καὶ ἔδωκεν ἡμῖν τῷ λαῷ αὐτοῦ σωτηρίας τὴν γνῶσιν ἐν ἀφέσει ἁμαρτιῶν ἡμῶν· ,, οὕτως ἡμεῖς ὡς λαὸς αὐτοῦ, γινώσκομεν ἀλαλαγμὸν, καὶ ἐν τῷ φωτὶ τοῦ προσώπου αὐτοῦ πορευόμεθα, καὶ ἐλπίζομεν ἐπ' αὐτῷ πᾶσα συναγωγὴ λαῶν, καὶ οὐκ ἔστιν ἐν τοῖς χρι-

στιανοῖς θεὸς πρόσφατος, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν ἀεὶ θεὸν γινώσκομεν· " ἐγὼ „ γάρ, φησι, θεὸς πρῶτος καὶ εἰς τὰ ἐπερχόμενα, καὶ ἐκτός σου ἄλλον θεὸν „ οὐκ οἴδαμεν „ πρὸς αὐτὸν λέγομεν· ἐγνώρισεν οὖν κύριος τὸ σωτήριον αὐτοῦ, ἐναντίον τῶν ἐθνῶν ἀπεκάλυψε τὴν δικαιοσύνην αὐτοῦ· τίς δὲ αὕτη, Παύλου λέγοντος ἄκουε, ὃς ἐγενήθη ἡμῖν σοφία ἀπὸ θεοῦ καὶ δικαιοσύνη καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις· ὁ Ἐμμανουὴλ δὲ οὗτος ἐστίν· εἰ τοίνυν οἱ ἐν αὐτῷ ἐν πίστει δικαιούμενοι, δι' αὐτοῦ λελυτρώμεθα, εἴδοσαν γὰρ πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτήριον τοῦ θεοῦ ἡμῶν, φανερὸν ὅτι οἱ ἀπὸ κοιλίας λαλοῦντες καὶ οὐκ ἀπὸ στόματος κυρίου, ἀπόλυτον δὲ ταῖς ἐπὶ τῷ μονογενεῖ δυσφημίαις ἀνοιγνύντες τὸ στόμα, ἐκ τοῦ ἀντιχρίστου λαλοῦσιν, ὡς τῷ μεγάλῳ Ἰωάννῃ καὶ τῇ ἀληθείᾳ δοκεῖ· ἑτεροίως γὰρ ἢ ὡς αἱ τοῦ θείου πνεύματος ῥήσεις, ἀφρονέστατα παραφθέγγονται· οὗτοι οὖν εἰ μὲν οὐκ ἦσαν ᾠδὴν κυρίου πώποτε, ἢ καὶ γεωργοῖς καὶ ἐμπόροις καὶ πλωτῆρσι, πάσῃ τὲ ἀξίᾳ καὶ ἡλικίᾳ καὶ τύχῃ ἀνεῖται τὲ καὶ ἐξήπλωται, πάντων ἀμαθέστεροι καὶ ἀνοητότεροι ἐν δίκῃ νομισθήσονται· καὶ ταύτῃ οὐδὲ ἱερεῖς εἰκότως κεκλήσονται. οὐδὲ ἱερέως τὸ ὕστατον ἀπήχημα, ἀγνοίας δὲ καὶ ἀλογίας. οὐ γέλωτα ὀφλήσουσιν, ἐσχάτην δὲ δίκην ἀποίσονται; εἰ δὲ θεῖα λόγια ἅ τε ἱερεῖς ἐπιστεύθησαν, οὐκ ἐφρόνησαν δὲ συνιέναι αὐτά· " ἀνὴρ γὰρ ἄφρων οὐ γνώσεται. „ καὶ ἀσύνετος οὐ συνήσει ταῦτα· „ διὰ τοῦτο δοκιμασθέντες ὡς οὐ λαλοῦσιν ἐκ τοῦ θείου πνεύματος, ἐκ τοῦ ἐναντίου ἄρα λαλοῦντες ὀφθήσονται.

λϛ. Προσαδέσθω δὲ τῷ προφήτῃ τοῖς εἰρημένοις ἀκόλουθα, αὐτὸ δὴ τὸ ἐν θεῷ ἱδρύσθαι τὴν ἐκκλησίαν καὶ διαμένειν ἀκράδαντον· " ὁ θεὸς ἐν μέσῳ „ αὐτῆς καὶ οὐ σαλευθήσεται, βοηθήσει αὐτῇ ὁ θεὸς τὸ προσπρωῒ πρωΐ· „ κἂν μυριάκις τῶν ἀνομούντων αἱ κακεργάτιδες ἀπειλαὶ, ἐπομβρίαις ἐν ἴσῳ κατασκήψειαν, καὶ τὰ πνεύματα τῆς πονηρίας προσπνεύσειαν ῥαγδαιότερον, οἱ χείμαρροί τε καχλάζοντες τῆς ἀσεβείας τῷ ῥεύματι καὶ μέγα μορμύροντες ἐπικυμαίνοιεν· τεθεμελίωται γὰρ ἐπὶ τὴν πέτραν τὴν ἄσειστον, ἥ τις ἐστὶν ὁ Χριστός· " πάντα γὰρ ὅσα ἠθέλησεν ὁ κύριος ἐποίησεν ἔν τε οὐρανῷ καὶ ἐπὶ „ τῆς γῆς, αἰσχυνέσθωσαν οἱ παράνομοι. „ Ἑξῆς δ' ἂν εἴη καὶ τῶν ἄλλων θεοφόρων ἀνδρῶν τὰς φωνὰς, μᾶλλον δὲ τοῦ ἐν αὐτοῖς λαλήσαντος πνεύματος, εἰς μέσους ἀγαγεῖν ἐξετάζοντας· ὡς ἂν γνοίημεν, οἷα, περὶ ὧν ἡμῖν λέγειν πρόκειται, φθέγγονται, καὶ εἰ δὴ συνθέουσιν αὐτοῖς τῶν δι' ἐναντίας οἱ λόγοι, καὶ νῦν ἐμφανὲς κατασταθήσεται· ἀρκτέον οὖν ἐντεῦθεν. " Ἔσται, φη- „ σὶν, ἐν τῷ τόπῳ οὗ ἐρρέθη αὐτοῖς οὐ λαός μου ὑμεῖς, ἐκεῖ κληθήσονται „ υἱοὶ θεοῦ ζῶντος. „ Τίνες δ' ἂν εἶεν οὗτοι, καὶ περὶ τίνων, ἡμῖν ὁ προφητικὸς πρόεισι λόγος, ὁ τῶν μακαρισμῶν ἐκείνων ἠξιωμένος, καὶ ΤΑΣ ΚΛΕΙΣ ΤΗΣ ΟΥΡΑΝΩΝ ΒΑΣΙΛΕΙΑΣ ΕΓΚΕΧΕΙΡΙΣΜΕΝΟΣ, ΠΕΤΡΟΣ ΤΗΣ ΠΙΣΤΕΩΣ ΗΜΩΝ ΤΟ ΕΔΡΑΙΩΜΑ ΚΑΙ ΣΤΗΡΙΓΜΑ, διδάξει λέγων· " ὑμεῖς δὲ γένος ἐκλεκτὸν, βασίλειον ἱεράτευμα, ἔθ- „ νος ἅγιον, λαὸς εἰς περιποίησιν· ὅπως τὰς ἀρετὰς ἐξαγγείλητε τοῦ ἐκ σκό- „ τους ὑμᾶς καλέσαντος εἰς τὸ θαυμαστὸν αὐτοῦ φῶς· οἱ ποτὲ οὐ λαὸς, νῦν

„ δὲ λαὸς θεοῦ· οἱ οὐκ ἠλεημένοι, νῦν δὲ ἐλεηθέντες. „ Σύμφωνα δὲ τούτοις καὶ Παῦλος, ὁ τῆς αὐτῆς χάριτος καὶ δόξης μέτοχος καὶ τῶν Χριστοῦ μυστηρίων ταμίας, φθεγγέσθω· " ἵνα γνωρίσῃ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ, „ λέγων, ἐπὶ σκεύη ἐλέους ἃ προητοίμασεν εἰς δόξαν αὐτοῦ, οὓς καὶ ἐκάλεσεν ἡμᾶς, οὐ μόνον ἐξ ἰουδαίων ἀλλὰ καὶ ἐξ ἐθνῶν· ὡς καὶ ἐν τῷ Ὡσηὲ „ λέγει· καλέσω τὸν οὐ λαόν μου, λαόν μου· καὶ τὴν οὐκ ἠγαπημένην ἠγαπημένην· καὶ ἔσται ἐν τῷ τόπῳ οὗ ἐῤῥήθη αὐτοῖς οὐ λαός μου ὑμεῖς, αὐτοὶ „ κληθήσονται υἱοὶ θεοῦ ζῶντος. „

Οὕτω μὲν οὖν τῶν σοφῶν τῆς οἰκουμένης διδασκάλων ἡ ξυνωρὶς, μεγαλοφυῶς τεθεώρηκεν· ἀλλὰ τούτων ἀλλήλοις συνῳδὰ ἐπὶ ταῖς προφητικαῖς ῥήσεσιν ἀποφαινομένων, ὡς δὴ ἐξ ἑνὸς καὶ τοῦ αὐτοῦ πνεύματος κινουμένων, καὶ ἡμᾶς τοὺς ἐξ ἰουδαίων τὲ καὶ ἐθνῶν πρὸς ἐπίγνωσιν τοῦ θείου φωτὸς κεκλημένους, λαόν τε θεοῦ καὶ ἔθνος χρηματίζειν διαμαρτυρομένων, καὶ τοῦ σκότους τῆς ἀγνοίας καὶ τῆς παλαιᾶς ἐκείνης ἀπιστίας ἀπηλλαγμένους, ὁ τἀναντία φάναι τολμῶν πῶς οὐκ ἐκ τοῦ ἐναντίου πνεύματος λαλῶν γνωρισθήσεται; Εἶτα πάλιν ὁ αὐτὸς οὗτος θεόληπτος ἀνὴρ, ἕτερον ἐν πνεύματι ἀναφθεγγέσθω χρησμόν· " καὶ μνηστεύσομαί σε ἐν δικαιοσύνῃ, καὶ ἐν κρίματι, καὶ ἐν ἀληθείᾳ, „ καὶ ἐν οἰκτιρμοῖς, καὶ μνηστεύσομαί σε ἐμαυτῷ ἐν πίστει, καὶ ἐπιγνώσῃ „ τὸν κύριον· „ τί ἐροῦσι πρὸς ταῦτα οἱ τῷ θείῳ ἀντιταττόμενοι καὶ διαμαχόμενοι βουλήματι; εἴπερ γὰρ ὡς παχεῖς καὶ ὑλικοὶ τὴν διάνοιαν, καὶ τῷ γράμματι προσέχοντες, περὶ τοῦ δήμου τοῦ ἰουδαϊκοῦ ἐκλάβοιεν τὰ προφητευόμενα, τῷ συνήθει ψεύδει καὶ νῦν ἀποχρήσονται· ἀπίθανον γὰρ κομιδῇ τὸ χρῆμα τουτί· οὐ γὰρ εἰς τὸν αἰῶνα τὰ ἰουδαίων κρατεῖ, οὐδὲ μέχρι καὶ σήμερον αὐτοῖς τὰ τῆς ἐλευθερίας πεφύλακται· ποῦ γὰρ αὐτοῖς τὰ βασίλεια, ἥ τε περίβλεπτος πόλις, καὶ ὁ νεὼς ὁ περιώνυμος; ποῦ δὲ ἡ λατρεία καὶ τὰ νόμιμα καὶ ἡ λοιπὴ περιφάνεια; ἵνα μὴ τοῖς καθέκαστον ἐπεξίοιμεν· ἀλλ' οἴχεται πάντα, καὶ φροῦδα γέγονεν· οὐκοῦν οὐ μεμνήστευται τῷ θεῷ εἰς τὸν αἰῶνα ἡ τῶν ἰουδαίων συναγωγὴ, οὐκέτι χώραν ἔχει ἐπὶ τούτοις τὰ προφητικὰ ἐφαρμόζεσθαι· ἀναγκαίως οὖν περὶ τοῦ νέου λαοῦ καὶ τῆς κατὰ Χριστὸν ἐκκλησίας, ταῦτα καὶ νοεῖσθαι καὶ δέχεσθαι τόν γε ὡς ἀληθῶς εὐγνώμονα καὶ συνετὸν προσήκει ἀκροατὴν, ἣ καὶ τῷ Χριστῷ μνηστῆρι νενύμφευται, καὶ σύνοικον ἀεὶ τὸν νυμφίον ἐν τῇ ἑαυτῆς καρδίᾳ κέκτηται, καὶ τετρωμένη τῇ ἀγάπῃ τοῦ ἐραστοῦ· οὔτ' οὖν τοῦ πρὸς αὐτὸν ἔρωτος ἀποσταίη εἰς τὸν αἰῶνα, οὔτ' ἂν ὀπίσω ἀλλοτρίου τινός ποτε γένοιτο· ἐφ' ὧν δὴ καὶ τὸ προφητικὸν ἀληθευόμενον λόγιον κατίδοι τις ἂν καὶ μάλα ῥᾳδίως, αὐτά τε βοῶσι τὰ πράγματα, μάρτυς δὲ καὶ Παῦλος ὁ προμνήστωρ ἐξιόχρεως, ὡδί πως πρὸς τὴν ἐν Κορίνθῳ γεγραφὼς ἐκκλησίαν· " ἡρμοσάμην ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν „ παραστῆσαι τῷ Χριστῷ. „ Καὶ αὖ πάλιν Ἐφεσίοις ἐπιστέλλων· " ὅτι οὕτως ὁ Χριστὸς ἠγάπησε τὴν ἐκκλησίαν, καὶ ἑαυτὸν δέδωκεν ὑπὲρ αὐτῆς, „ ἵνα αὐτὴν καθαρίσῃ τῷ λουτρῷ τοῦ ὕδατος ἐν ῥήματι, καὶ ἵνα παραστήσῃ

„ αὐτὴν ἑαυτῷ ἔνδοξον τὴν ἐκκλησίαν, μὴ ἔχουσαν σπίλον ἢ ῥυτίδα ἤ τι τῶν
„ τοιούτων, ἀλλ᾽ ἵνα ᾖ ἁγία καὶ ἄμωμος. „

Τί λέγετε; παραγράφεσθε Παῦλον, καὶ εἰκαιόμυθον ἀποκαλεῖτε, τὸν Χριστὸν ἔχοντα ἐν ἑαυτῷ λαλοῦντα; ἢ πάντως ἀληθεύει καὶ συντηρεῖται ἡ τοῦ Χριστοῦ ἐκκλησία, παντὸς μύσους εἰδωλικοῦ καθαρεύουσα, καὶ ψεύδεσθε ὑμεῖς ὡς τοῦ ψεύδους ἐρασταὶ, καὶ ὅπέρ ἐστιν οἰκειότερον εἰπεῖν καὶ ἀκόλουθον, λαλοῦντα ἐν ἑαυτοῖς τὸν ἀντίχριστον ἔχοντες; ἐν δικαιοσύνῃ δὲ ὅπως καὶ ἐν κρίματι καὶ ἐν ἐλέει: “ ὅτι ἐῤῥύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους, καὶ
„ τῆς δουλείας τῆς φθορᾶς ἠλευθέρωσεν· ὅτι θεὸς ἦν, φησὶν, ἐν Χριστῷ κό-
„ σμον καταλλάσσων ἑαυτῷ· μὴ λογιζόμενος αὐτοῖς τὰ παραπτώματα αὐτῶν „
πότε ταῦτα; ὅτε “ ἡ φιλανθρωπία τοῦ σωτῆρος ἡμῶν ἐπεφάνη θεοῦ, οὐκ ἐξ
„ ἔργων τῶν ἐν δικαιοσύνῃ ὧν ἐποιήσαμεν, ἀλλὰ κατὰ τὸ αὐτοῦ ἔλεος ἔσωσεν
„ ἡμᾶς διὰ λουτροῦ παλιγγενεσίας, καὶ ἀνακαινώσεως πνεύματος ἁγίου, οὗ
„ ἐξέχεεν ἐφ᾽ ἡμᾶς πλουσίως διὰ Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος ἡμῶν· ἵνα δι-
„ καιωθέντες τῇ ἐκείνου χάριτι, κληρονόμοι γενώμεθα ζωῆς αἰωνίου· ἐπὶ τοσ-
„ οῦτον γὰρ ὑπερεπερίσσευσεν ὁ πλοῦτος τῆς χρηστότητος αὐτοῦ εἰς ἡμᾶς,
„ ὥστε διὰ τοῦ οἰκείου αἵματος ἀποκαταλλάξαι τῷ θεῷ καὶ πατρὶ, ἐκπεπο-
„ λεμωμένους ὄντας διὰ τῶν ἁμαρτιῶν ἡμῶν· οὐ γὰρ πρέσβυς, οὐκ ἄγγελος,
„ ἀλλ᾽ αὐτὸς ὁ κύριος ἔσωσεν ἡμᾶς· „ πίστιν δὲ ἡμεῖς καθαρὰν καὶ εἰλικρινῆ προσφέροντες, τὴν θείαν πλουτοῦμεν ἐπίγνωσιν, καὶ τῆς παρὰ θεοῦ δικαιοσύνης εἰς τὸν αἰῶνα πνευματικοὺς δρεπόμεθα τοὺς καρπούς. Ἕτερος ἡμῖν τῶν μακαρίων προφητῶν ἐπιφωνείτω ἐν πνεύματι, λέγων· “ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ,
„ λέγει κύριος, συνάξω τὴν συντετριμμένην, καὶ τὴν ἀπωσμένην εἰσδέξομαι,
„ καὶ οὓς ἀπωσάμην· καὶ θήσομαι τὴν συντετριμμένην εἰς ὑπόλειμμα, καὶ τὴν
„ ἀπωσμένην εἰς ἔθνος ἰσχυρὸν, καὶ βασιλεύσει κύριος ἐπ᾽ αὐτοὺς ἐν ὄρει
„ Σιὼν ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα· „ τί δὴ οὖν πάλιν ἐν τούτοις ὁ προφητικὸς ἡμῖν διασημαίνει λόγος, σαφὲς ἂν εἴη τοῖς γε ὡς ἀληθῶς ἀρτιόφροσι, καὶ τὰ θεῖα θεοπρεπῶς ἀλλὰ μὴ ἐμπαθῶς, πεπαιδευμένοις ἐκδέχεσθαι· ἡμέραν τοιγαροῦν εἰκότως ὑποβάλλει νοεῖν, καθ᾽ ἣν ἡ βασιλεία τῶν οὐρανῶν ἤγγικε, καὶ ὁ τῶν οὐρανῶν καὶ πάντων κατακρατῶν καὶ κυριεύων βασιλεὺς, τοῖς ἐπὶ γῆς ἐπιδεδημηκὼς προσωμίλησεν· “ ἵνα ποιήσῃ τὰ ἀμφότερα ἓν, καὶ ἀποκατ-
„ αλλάξῃ τὰ ἐν οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς διὰ τοῦ σταυροῦ αὐτοῦ, τὸ
„ μεσότοιχον τοῦ φραγμοῦ λύσας τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ· „ καθά που τῷ θείῳ εἴρηται Παύλῳ.

Ὁ τοίνυν τὸ σύντριμμα ἡμῶν ἰώμενος, ὁ τὰς νόσους ἡμῶν βαστάσας καὶ μαλακισθεὶς διὰ τὰς ἁμαρτίας ἡμῶν, ὁ κηρύξας αἰχμαλώτοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν, καὶ τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις τὸ φῶς ἐνιεὶς τῆς ἀληθοῦς γνώσεως, αὐτὸς τὴν συντετριμμένην συνήγαγε· νοοῖτο δ᾽ ἂν πάλιν εἰκότως πᾶσα ψυχὴ ἔργοις χειρῶν ἀνθρωπίνων ταπεινουμένη καὶ ὑποκύπτουσα, καὶ τούτοις τὸ ἐξαίρετον καὶ ἀνακείμενον θεῷ ἀνάπτουσα σέβα-

σμα· τὸν γὰρ ἑαυτῶν δημιουργὸν καὶ δεσπότην, οὐκ ᾔδεσαν οἱ πλανώμενοι· ὧν οἱ πόδες ὀρθὰ βαδίζειν οὐκ εἰδότες, ταῖς τραχύτησι καὶ σκολιότησι τῆς δυσσεβείας περιπταίοντες, καὶ τοῖς σκόλοψι τῆς ἁμαρτίας περιπειρόμενοι, συντρίμματι καὶ ταλαιπωρίᾳ ἐν ταῖς ὁδοῖς αὐτῶν περιέπιπτον, τὴν γὰρ ὁδὸν τῆς εἰρήνης οὐκ ἐπεγίνωσκον· εἶεν δ' ἂν οὗτοι τὰ παντοδαπὰ τῶν ἐθνῶν γένη, τῇ ἀπιστίᾳ καταψυχόμενά τε καὶ συνθραυόμενα, οὓς δὴ καὶ ἐξωσμένους ποτὲ διὰ τὴν ἄγνοιαν εἴρηκεν· ἐπειδὴ τοὺς χρόνους τῆς ἀγνοίας ὑπεριδὼν ὁ Θεὸς, καὶ τὴν μετάνοιαν πᾶσι παρεγγυῶν κατῴκτειρεν, εἰσδεξάμενος ἐπιστρέφοντας εἰς ἐπίγνωσιν αὐτοῦ διὰ τοῦ εὐαγγελικοῦ κηρύγματος, καὶ εἰσεποιήσατο, καὶ λαὸν οἰκεῖον κέκληκε, καὶ ἔθνος ἅγιον καὶ ἰσχυρὸν ἀπειργάσατο· ὡς μηδαμῶς ἔτι περὶ τὴν θεοσέβειαν ἀσθενήσοντας, ὁ γάρ τοι ἰσχυρὸν πεδήσας καὶ τὸν τύραννον καταλῃσάμενος, ὥσπερ σκῦλα τοὺς ὑπ' αὐτὸν ἔτι κατεχομένους λαφυραγωγῶν διήρπασε, καὶ οἷον πρωτόλειον λῃστὰς καὶ πόρνας καὶ τελώνας ἑαυτῷ ἐξελὼν ἀνατέθεικεν, οὔπω δὴ ὑπὸ ζυγὰ τοῦ δυσμενοῦς κατεσφιγμένους· τὸν ζυγὸν συντρίψας τοῦ παίοντος, ἑαυτῷ εἰς κλῆρον ἱερὸν καὶ συναγωγὴν ἁγίαν ὑπελίπετο· ἐφ' οὓς καὶ βασιλεύει εἰς τὸν αἰῶνα, ἐπὶ τὸ ὄρος τὸ Σιὼν τὴν ἐκκλησίαν αὐτοῦ, παντί που δῆλον· οὐ γὰρ πεπαύσεται ὁ ἅπας αἰὼν, οὐδ' ἀπολήξει πόθεν, μᾶλλον δὲ οἱ τὸν αἰῶνα καθ' ἑκάστην γενεὰν βιοτεύοντες ἄνθρωποι, Θεόν τε καὶ βασιλέα καὶ εἰδέναι καὶ προσκυνεῖν τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν, καὶ πᾶσαν εἰδωλικὴν βδελύσσεσθαι μυσαρότητα· μεθ' ἡμῶν γάρ ἐστι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος· οἱ δὲ ταῦτα οὐ συνέντες, ληρείτωσαν εἰς τὸν αἰῶνα καταισχυνόμενοι, καὶ γνώτωσαν κατὰ τῆς ἐκκλησίας Χριστοῦ φθεγγόμενοι ἀταμίευτα.

Ὅτι ἀπὸ καρδίας λαλοῦσι, καὶ ἐκ τοῦ ἐναντίου παραφωνοῦσι πνεύματος, ἄλλος τῶν θεοφόρων καλείσθω καὶ λεγέτω· " ἐνεπλήσθη ἡ σύμπασα τοῦ γνῶ-„ ναι τὴν δόξαν κυρίου, ὡς ὕδωρ πολὺ κατακαλύψαι θαλάσσας· „ ἔξεισιν ὁ φθόγγος τῆς θείας ἐπιφανείας, διαθέων τῆς οἰκουμένης τὰ πέρατα· σεσαγήνευται τῶν ἐθνῶν ἡ πληθὺς ἡ σύμπασα, καὶ ἐνεπλήσθη τῆς θείας δόξης καὶ ἐπιγνώσεως· ὡς ὕδωρ πολὺ κατακαλύψαι θαλάσσας, τὸ ὑπερπλῆρες καὶ ἄφθονον τῆς ὑπερβλυζούσης χάριτος, ἐν τῇ ἀνελαττώτῳ χύσει τῆς ἐπιχορηγουμένης τοῦ ἁγίου πνεύματος δωρεᾶς, ἧς ἐν τῷ σωτηρίῳ βαπτίσματι οἱ πεπιστευκότες ἠξίωντο· τάχα γὰρ τὴν τοῦ θείου λουτροῦ χάριν ὁ λόγος ἡμῖν ὑπανίσσεται, ἐν ᾧ οἱ φωτιζόμενοι τῶν ἐξ ἁμαρτίας κηλίδων ἀποκαθαίρονται· τῇ γὰρ τρισσῇ καταδύσει, καθ' ἣν ἡ τῆς ὑπερθέου τριάδος ἐπίκλησις, τῷ τρισσῷ τῶν ὑποστάσεων, καὶ ἑνιαίῳ τῆς ὑπερουσίου θεολογεῖται θεότητος, συγκαταδύονται, καὶ τῷ καθαρῷ καὶ ἀχράντῳ ὕδατι ἐπικλυζόμενοι συνενθάπτονται, τῷ πυρὶ τῷ τοῦ πνεύματος ἐγχωνευόμενοι· θαλαττίοις οἱ ὥσπερ ῥείθροις τῇ ἁλμυρίδι τῆς κρατούσης πρὶν ἀπιστίας παρεικαζόμενοι· οὕτω γὰρ τὸν παλαιὸν Ἀδὰμ ἀποτιθέμενοι, τὸν νέον καὶ κατὰ Χριστὸν κτιζόμενον ἐνδιδύσκονται· ἢ τῶν τῇ κλήσει τοῦ εὐαγγελίου ὡς τάχιστα ὑπεικόντων καὶ συνθεόντων

τὴν πληθὺν τὴν ἀπείρονα, ἢ καὶ τῶν ἐν θαλάσσῃ μέτρων μυστικῶς ὑπεροίσειε κατ' ἐκεῖνα δὴ ἃ τῷ πατριάρχῃ Ἀβραὰμ παρὰ θεοῦ πάλαι ποτὲ ὑπεσχημένα ἐδείκνυτο, ὡς ἐπὶ τοσοῦτον περιουσίας τὸ ἐπηγγελμένον αὐτῷ σπέρμα ἀφίξεσθαι, ἄστρασι τοῖς κατ' οὐρανὸν καὶ μὴν καὶ ἄμμῳ τῇ κατὰ γῆν παρισούμενον· οὐ γὰρ δὴ μόνην θάλασσαν, ἤδη δὲ καὶ ὅλην ἤπειρον καὶ ἐσχατιὰν καὶ οἰκουμένην ἅπασαν ἀποπληροῖ· πάντες γὰρ οἷα διδακτοὶ θεοῦ, καὶ διὰ λουτροῦ παλιγγενεσίας καὶ ἀνακαινώσεως πνεύματος ἁγίου κεκαθαρμένοι, τῆς δόξης καὶ γνώσεως αὐτοῦ ὑπερεμπίμπλανται, καὶ οὔ ποτε λόγον εἰδωλικὸν κἂν ἐν σκιαῖς γοῦν οὔτε μυηθήσονται, οὐδ' ὁπωστιοῦν ἀποφθέγξαιντο· οὐκοῦν τῆς τοῦ ἀκαθάρτου πνεύματος ἐνεργείας ἀποπλησθέντες οἱ δι' ἐναντίας, εἰκῆ φλυαροῦντες κατὰ τῆς τοῦ Χριστοῦ ἐκκλησίας ἁλώσονται.

Ἕτερος ἡμῖν τῶν θεοφόρων ἀγέσθω καὶ φραζέτω· " ἐπιφανήσεται κύριος ἐπ' ,, αὐτοὺς, καὶ ἐξολοθρεύσει πάντας τοὺς θεοὺς τῶν ἐθνῶν τῆς γῆς, καὶ προσ- ,, κυνήσουσιν αὐτῷ ἕκαστος ἐκ τοῦ τόπου αὐτοῦ, πᾶσαι αἱ νῆσοι τῶν ἐθνῶν· ,, τί τούτων λευκότερον ἢ τρανέστερον, ὡς μεγίστη καὶ ἄγαν σωτήριος ἡ τοῦ θεοῦ λόγου ἐπιφανεῖσα πρὸς ἡμᾶς συγκατάβασις; ἐῤῥύσθημεν γὰρ δι' αὐτῆς, τῆς πολυθέου πλάνης οἱ ἐξ ἐθνῶν, καὶ γινώσκομεν τὸν μόνον ἀληθινὸν θεὸν καὶ πατέρα, καὶ ὃν ἔπεμψεν Ἰησοῦν Χριστὸν, τὸν κύριον ἡμῶν καὶ θεόν· ἀλλ' ὡς ἔοικεν οἱ τὴν ἔμπληκτον ἐκείνην καὶ θεοστυγῆ διδασκαλίαν παραδεξάμενοι, ἐν τῷ ἀφεγγεῖ ζόφῳ τῆς ἀγνωσίας ἔτι περιαλώμενοι, ταῖς αὐταῖς τῆς θεογνωσίας οὐκ ἐνελάμφθησαν· ταῦτα καὶ τὴν ἰουδαίων ἀναισχυντίαν ἐπιστομίζει, κἂν ἐθελήσειαν λέγειν, ὅτι γε ἀναχθέντων αὐτῶν ἐκ τῆς Βαβυλωνίας, τῶν ἐθνῶν οἱ τὴν πίστιν πρὸς θεὸν δεξάμενοι, εἰς τὸν ἐν Ἱεροσολύμοις ναὸν τὰς ἐν νόμῳ λατρείας προσεκόμιζον· τὸ γὰρ προφητικὸν λόγιον, ἐκ τόπου αὐτοῦ ἕκαστον προσκυνεῖν προτεθέσπικε· τοῦτο δὲ οὐ τοῦ νόμου, τῆς δὲ εὐαγγελικῆς διδασκαλίας ὡς ἀληθῶς ἐστὶν, εἰς πάντα κατευρυνομένης τὰ πέρατα· ἡμῖν γὰρ τοῖς ἐν πίστει δεδικαιωμένοις " ἐπεφάνη ἡ χάρις τοῦ θεοῦ ἡ σωτήριος, παι- ,, δεύουσα ἡμᾶς, ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, ,, σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι· προσδεχόμενοι ,, τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου θεοῦ καὶ σω- ,, τῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν· ἵνα λυτρώσηται ,, ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας, καὶ καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον, ζηλωτὴν ,, καλῶν ἔργων· ,, ἀλλὰ δαίμονες μὲν, ἐπιφανέντος τοῦ σωτῆρος, καὶ τὰ θεῖα ἐπιτελοῦντος θαύματα, ἡνίκα τὸ οἰκεῖον πλάσμα κατῴκτειρεν, ἐπεὶ τὸν ἐλαύνοντα ᾔδεσαν, ἐμάνθανον γὰρ ἀφ' ὧν ἔπασχον, καὶ ἄκοντες ἐπεβόων· " τί ἡμῖν ,, καὶ σοὶ Ἰησοῦ υἱὲ τοῦ θεοῦ; ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς; ,, ἡ γὰρ τούτων τυραννὶς ἐξεβάλλετο, καὶ τὸ κράτος αὐτῶν ὁλοτρόπως κατεσείετο, καὶ τῆς ἐλπιζομένης αὐτοῖς κολάσεως καὶ γεέννης τὴν δίκην προεπῃσθάνοντο, καὶ ὡς ἄωρον αὐτῶν ἔτι τὴν βάσανον κατωλοφύροντο· οὗτοι δὲ οἱ ἐχθροὶ τοῦ σταυροῦ τοῦ Χριστοῦ, οὐδὲ τοῖς δαίμοσιν εἰς τὰ τῶν δαιμόνων συμφθέγγε-

σθαι προθύμως ἀνέχονται, καίτοι ἐκεῖνοι μὲν εἰς πεῖραν ἤδη αὐτῶν ἐληλυθότες τοῦ πτώματος, εἰ καὶ μὴ καθαρῶς οὕτω καὶ λαμπρῶς, δημοσιεύειν ἀναίσχυντοί γε ὄντες τὴν ἧτταν ἐβούλοντο· ἠναγκάζοντο δὲ καὶ οὐκ ἐθέλοντες τῇ ἐξουσίᾳ τοῦ ἐπιτάττοντος· οἱ δὲ σεμνοτέρους τῆς αὐτῶν ἐκείνων ἀποφαίνουσι καταδίκης, ὥς τι πλέον καὶ εὐγνωμονέστερον περὶ αὐτοὺς ἢ ἐκεῖνοι διακείμενοι, καὶ διὰ τοῦτο εὐνούστατοι ὄντες αὐτοῖς, οὐ στέγουσι καθῃρῆσθαι αὐτῶν τὸ κράτος λέγειν, ἢ τῆς καθ' ἡμῶν ἀπρακτῆσαι μανίας.

Καὶ ἐπειδὴ δεῖ τὰς προφητικὰς πάντως ἐκβαίνειν ῥήσεις, τῶν πιστῶν ἕκαστος προσκυνεῖ τῷ θεῷ ἐκ τοῦ τόπου αὐτοῦ, ὅτι " πᾶσα ἡ γῆ προσκυνησάτω„ σάν σοι „ γέγραπται· οὕτω βούλεται ἡμᾶς καὶ ὁ τῶν ἐθνῶν ἀπόστολος προσεύχεσθαι " ἐν παντὶ τόπῳ ἐπαίροντας ὁσίας χεῖρας „ χωρὶς ὀργῆς καὶ διαλογισμῶν· ἤδη γὰρ ἡ ἐφ' ἑνὶ τόπῳ περιγεγραμμένη προσκύνησις λέλυται, ὁπηνίκα ὁ τὸ γράμμα καταλύσας καὶ τὸν νόμον πληρώσας, καὶ τὴν χάριν ἡμῖν ἐγκαινίσας, καὶ τοῦ παντὸς κύριος παρεγέγονεν· ἢ οὐχὶ τοιαῦτα τῇ γυναικὶ τῇ σαμαρείτιδι διαλεγόμενος φαίνεται; " ὅτι οὔτε ἐν τῷ ὄρει τούτῳ οὔτε ἐν Ἱερο„ σολύμοις προσκυνήσετε τῷ πατρὶ, ἀλλ' ἔρχεται ὥρα καὶ νῦν ἐστιν, ὅτε οἱ „ ἀληθινοὶ προσκυνηταὶ, προσκυνήσουσι τῷ πατρὶ ἐν πνεύματι καὶ ἀληθείᾳ· „ καὶ γὰρ ὁ πατὴρ τοιούτους ζητεῖ τοὺς προσκυνοῦντας αὐτῷ· πνεῦμα ὁ θεὸς, „ καὶ τοὺς προσκυνοῦντας αὐτῷ ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν· „ πανταχοῦ γὰρ ἐπιλαμπούσης τῆς ἀληθείας καὶ χάριτος, οὐκέτι χώραν ἔχει ἐν τόπῳ περιορίζεσθαι ἡ προσκύνησις, οὐδὲ ἵστασθαι κατὰ τὸ παλαιὸν ἐκεῖνο καὶ σκιῶδες διάταγμα· ἀλλ' ὥσπερ τοῦ εὐαγγελίου ὁ λόγος ἀνὰ πᾶσαν τὴν γῆν ἐκχυθεὶς ἐξήχηται, οὕτω καὶ τῆς δοξολογίας καὶ προσκυνήσεως ὁ τρόπος ἐκταθεὶς ὑπερήπλωται· ἢ τάχα πως τόπος θεοῦ τῶν πεπιστευκότων ἕκαστος· καὶ οὕτω γὰρ θεωρητέον τὴν ἑαυτοῦ ψυχὴν σαρώσας διὰ πολιτείας ἐνθέου καὶ ἀρετῆς, ἡτοιμάσατο πρὸς καταγωγὴν τοῦ πνεύματος· τὴν ὕλην τε ὑπεραναβὰς, καὶ τῶν παθῶν κρείττων γενόμενος, καὶ τῶν σκεδαστῶν δὴ τούτων καὶ ἐπικήρων τὸν νοῦν ἀπολυσάμενος, ἔνοικον οὕτω τὸν τοῦ θεοῦ λόγον ἕξει, καθὸ εἴρηται· " ὅτι ναὸς θεοῦ ἐστὲ, καὶ τὸ πνεῦμα αὐτοῦ οἰκεῖ ἐν ὑμῖν· καὶ, ὅτι „ οἰκήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω, καὶ ἔσονταί μοι εἰς λαὸν, καὶ ἐγὼ „ ἔσομαι αὐτοῖς εἰς θεόν· „ αἱ νῆσοι δὲ τῶν ἐθνῶν, τί ἂν ἄλλο νοηθεῖεν, ἢ καθάπερ ἡμᾶς οἱ τῶν θείων μυστηρίων ἐδίδαξαν εἰσηγηταὶ, αἱ τῶν ἐθνῶν ἐκκλησίαι ἄρτι καθιστάμεναι, καὶ τῆς ἁλμυρᾶς ἀπιστίας ἀνακύπτουσαι, καὶ πῆξιν λαμβάνουσαι τῷ θεῷ βάσιμον; εἴποι δ' ἄν τις εἰκότως καὶ τὰς ἐν πελάγεσι κειμένας, τὰς αἰσθητὰς δὴ ταύτας νήσους τῷ λόγῳ διαγράφεσθαι, ἃς καὶ ἔθνη κατῴκουν ποτὲ ἀθεότητι συζῶντα· οὐ γὰρ οἱ τὴν ἤπειρον μόνον νεμόμενοι, ἤδη δὲ καὶ οὗτοι τὸν λόγον δεξάμενοι τὸν σωτήριον, ἕκαστος προσκυνεῖ τῷ θεῷ τῶν ὅλων ἐκ τοῦ τόπου αὐτοῦ· ἐπεὶ οὖν αὐτὸς ὁ Χριστὸς καὶ θεὸς ἡμῶν ἡ ἀλήθεια, προσκυνητὰς ἀληθινοὺς ἡμᾶς ἀποφαίνει, ἐν πνεύματι καὶ ἀληθείᾳ προσκυνοῦντας αὐτῷ διά τε τῶν εὐαγγελικῶν, διά τε τῶν προφητι-

κῶν φωνῶν· εἷς γὰρ καὶ ὁ αὐτὸς ὁ ἐν πάσαις διαλεγόμενος· πῶς ἐπιφανέντος αὐτοῦ, τῆς ἐθνικῆς ἀθεΐας οὐκ ἐῤῥύσθημεν, καὶ πάσης εἰδωλικῆς βδελυρίας ἀμέτοχοι κατέστημεν, γνήσιοι κατὰ πάντα προσκυνηταὶ αὐτοῦ γενόμενοι; ψευδεῖς οὖν οἱ τῶν δι' ἐναντίας λόγοι· καὶ σαφὲς κἀντεῦθεν ὅτι ἐκ τοῦ ἐναντίου πνεύματος καὶ τοῦ ἀντιχρίστου λαλοῦσιν.

Ἐπισκεπτέον δὲ ὁποῖα καὶ ἐν τοῖς μετέπειτα ἑαυτῷ τε καὶ τῇ ἀληθείᾳ κατακολουθοῦντι τῷ θεοφόρῳ λέγεται· “τότε οὖν μεταστρέψω ἐπὶ λαοὺς γλῶσσαν εἰς γενεὰν αὐτῶν, τοῦ ἐπικαλεῖσθαι πάντας τὸ ὄνομα κυρίου, τοῦ δουλεύειν αὐτῷ ὑπὸ ζυγὸν ἕνα· ἐκ περάτων ποταμῶν Αἰθιοπίας οἴσουσι θυσίας μοι.” Συναδέτω τούτοις Ἡσαΐας ὁ μεγαλοφυέστατος “αἱ γλῶσσαι, λέγων, αἱ ψελλίζουσαι μαθήσονται λαλεῖν εἰρήνην, καὶ μέν τοι καὶ τρανωθήσεται γλῶσσα μογιλάλου·” ἐπεὶ καὶ γλώσσαις λαλήσουσι καιναῖς, τὸ θεῖον παραδέδωκε λόγιον· τῶν οὖν λαῶν ἐκείνων τὰς γλώσσας αἳ μεμελετήκασιν ἀσεβείας ποτὲ ἀνάμεστα φθέγγεσθαι ῥήματα, πρός τε ὀνομασίας καὶ ἐπικλήσεις τῶν ἀκαθάρτων δαιμονίων κατειθισμέναι, τῆς οὕτω μυσαρᾶς διακαθαίρων μελέτης, ἐπιστρέφειν ὑπισχνεῖται θεὸς, ὡς ἐν πάσαις ταῖς γενεαῖς αὐτῶν ἀνεπάφους καὶ ἀμιγεῖς πάσης εἰδωλικῆς ἐμφάσεως γενησομένας· ὥστε καθαρὰν καὶ ἀμίαντον τὴν τῷ θεῷ προσήκουσαν λογικὴν προσφέρειν λατρείαν, δουλεύειν δὲ αὐτῷ ὑπὸ ζυγὸν ἕνα λέλεκται, ὡς δήλου ὄντος, πολλοῖς ζυγοῖς τὴν φύσιν τὴν ἀνθρωπείαν τὸ πρὶν ὑπενηνέχθαι· ἄλλοι γὰρ ἄλλοις θεοῖς κατὰ διαφόρους δόξας καὶ θρησκείας κατεζεύγνυντο, τῇ ζεύγλῃ τῆς ἀσεβείας στρεβλούμενοι· ὅτε δὲ καθίκετο πρὸς ἡμᾶς ἐξ οὐρανῶν ὁ λυτρωτὴς, τότε τῆς πολυζύγου ταύτης ἠλευθέρωσεν ἀχθηδόνος, καὶ τὸν ἑαυτοῦ ζυγὸν προὔθηκεν, πρὸς τὸ καταπειθὲς καὶ εὐήνιον τῆς πολιτείας τῆς εὐαγγελικῆς ἐφελκόμενος “ἄρατε λέγων τὸν ζυγόν μου ὅτι χρηστός ἐστι, καὶ τὸ φορτίον μου ὅτι ἐλαφρόν·” τοῦτον οὖν τὸν τῆς δικαιοσύνης ζυγὸν προθύμως ὑποτρέχοντες οἱ πιστοὶ, ἐν ἀληθείᾳ καὶ εἰλικρινείᾳ καὶ πίστει μιᾷ δουλεύομεν αὐτῷ, καὶ ἐν τούτῳ ἀγαθυνόμεθα καὶ φιλοτιμούμεθα· “διδασκόμενοι ὅτι ἀγαθὸν ἀνδρὶ ὅταν ἄρῃ ζυγὸν ἐκ νεότητος·” ἄξιον δὲ ὑπεράγασθαι τοῦ δεσπότου τῶν ὅλων τὸ μεγαλουργὸν καὶ φιλάγαθον, ὅτι δὴ ἐπὶ τοσοῦτον αὐτοῦ ὁ ἔλεος καὶ ἡ χρηστότης πλουσίως εἰς ἡμᾶς ὑπερεκκέχυται, ὡς εὐδοκῆσαι μέχρι τῶν ἐσχάτων τῆς οἰκουμένης ἀφῖχθαι τὸ σωτήριον κήρυγμα, καὶ δὴ καὶ ἐξ Αἰθιοπίας καὶ ἐκ πάντων περάτων γῆς σύμφωνος αὐτῷ αἶνος, καὶ δοξολογία παρὰ τοῖς ἐγνωκόσιν αὐτὸν ἀκατάληκτος ἀναπέμπεται· ταῦτα οἱ φρενοβλαβεῖς ἀκουέτωσαν καὶ μανθανέτωσαν, ὅτι τῷ ἁγίῳ ἀντιτάσσονται πνεύματι, τῆς Χριστοῦ ἐκκλησίας καταψευδόμενοι, καὶ γνώτωσαν ὅτι ἐκ τοῦ ἐναντίου λαλοῦσι πνεύματος.

Ἑτέρου τῶν ἁγίων λέγοντος ἀκουσώμεθα· “τέρπου καὶ εὐφραίνου, θύγατερ Σιὼν, διότι ἰδοὺ ἔρχομαι καὶ κατασκηνώσω ἐν μέσῳ σου, λέγει κύριος· καὶ καταφεύξονται ἔθνη πολλὰ ἐπὶ τὸν κύριον ἐν μέσῳ σου, καὶ ἐπιγνώσῃ ὅτι κύριος παντοκράτωρ ἀπέσταλκέ με.” Τίς οὖν ὁ ἐρχόμενος, Ἰωάννης ὁ

μέγας ὁ τοῦ σωτῆρος ἡμῶν βοάτω πρόδρομος, ἀποστείλας δύο τῶν μαθητῶν τὸν κύριον ἔρεσθαι· " σὺ εἶ ὁ ἐρχόμενος ἢ ἕτερον προσδοκῶμεν; ,, καὶ δι' ὧν ἀκήκοε κηρύσσων αὐτὸν ἀμνὸν καὶ υἱὸν θεοῦ. Καὶ μὴν καὶ Δαβὶδ ὁ ἀοίδιμος ψάλλων· " εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου. ,, Οὗτος ὁ ἐλθὼν σωτὴρ, τοῖς μύσταις τοῖς αὐτοῦ διαλέγεται· " ὅπου εἰσὶ δύο ἢ τρεῖς συνηγ- ,, μένοι ἐν τῷ ὀνόματί μου, ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν· καὶ, μεθ' ὑμῶν εἰμὶ ,, πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος. ,, Καὶ δὴ καὶ ἄλλος ἐπιφωνείτω προφήτης· " ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω· καὶ ἔσομαι ,, αὐτοῖς θεὸς, καὶ αὐτοὶ ἔσονταί μοι εἰς λαόν· ,, καταφεύξεσθαι λοιπὸν ἔθνη πολλά, φησιν, ἡ προφητικὴ ῥῆσις ἐπὶ τὸν κύριον· πότε ταῦτα; ἢ φανερὸν, ὡς ὅτε ὁ τῆς θεοφανείας ἐπέστη καιρὸς, καὶ οἱ καταπεφευγότες κράζουσι " κύριε καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ· ,, οὗτοι λαὸς κυρίου κεκλημένοι, κατασκηνοῦσιν ἐν τῇ Σιὼν, τῇ ἐκκλησίᾳ δήπου· ἣ καὶ τέρπεσθαι καὶ εὐφραίνεσθαι προστάττεται, καταθεωμένη τῶν ἑαυτῆς τέκνων τὸ παμπληθὲς καὶ ἀριθμὸν ὑπερεκπίπτον ἅπαντα. Τούτοις ἀκόλουθα καὶ τῶν ἁγίων ἕτερος ἐκ προσώπου τοῦ σωτῆρος κεκράξεται· " εὐαγγελίσασθαι πτωχοῖς ἀπέ- ,, σταλκέ με· ,, πιστεύεται δὲ παρ' ἡμῖν καὶ κηρύσσεται, ὅτι περ ὁ τοῦ θεοῦ υἱὸς καὶ θεὸς, παρὰ τοῦ πατρὸς ἀποστέλλεται οἰκονομικῶς, κατὰ τὸ ἀνθρώπινον· πρῶτον γὰρ ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν, αὐτὸν ὁ ἀποστολικὸς ἐπίσταται λόγος, ὃς ἀπεστάλη μὲν ἐπὶ τὰ ἀπολωλότα πρόβατα οἴκου Ἰσραήλ· ἀλλ' ἐπειδὴ τὸν ἀπεσταλμένον λυτρωτὴν καὶ εὐεργέτην οὔτε ἐπέγνωσαν οὔτε ἐδέξαντο, ταύτῃ τοι ἐπὶ τὰ ἔθνη οἱ μαθηταὶ ἀποστέλλονται· κἀντεῦθεν τὸ τῆς θεογνωσίας φῶς ἐπιλάμπει τῷ κόσμῳ, καὶ τοῦ ὑπεζεῦχθαι τοῖς τοῦ κόσμου στοιχείοις ἀπηλλάγμεθα, καὶ πάσης δαιμονικῆς ἐνεργείας λελυτρώμεθα· οὐκοῦν ἐμφραττέσθω πᾶν στόμα κατὰ τοῦ θεοῦ λαλοῦν ἀδικίαν· εἰ γὰρ τοὺς ἐν πνεύματι λαλοῦντας προφήτας ἀναίνονται καὶ ἀποστόλους, παντί που δῆλον, ὡς τὸν εὐαγγελιζόμενον παρ' αὐτῶν ἀθετοῦσιν, ὃ δὴ καὶ δρῶντες ἀνοσίως ἄντικρυς καταφαίνονται· ἀλλ' οὐδ' ἂν τὸν ἀποστείλαντα πατέρα καὶ θεὸν ἀκαταιτίατον καταλίποιεν, ἐλάσει γὰρ καὶ εἰς αὐτὸν τὰ τῆς δυσφημίας παράλογα· ὅτι τε ἠσθενηκὼς κατ' αὐτοὺς περὶ τὴν ἰδίαν ἀποστολὴν δείκνυται· καὶ κατήργηταί γε ἣν βεβούλευται ἀρχαίαν καὶ ἀληθινὴν βουλὴν, ἡνίκα οὐδὲν οὐδαμόθεν ἐκπεραίνειν οἷός τε ἐγένετο ὁ τῆς μεγάλης βουλῆς ἄγγελος· ἐπὶ δὲ τὰς κεφαλὰς τῶν ἀθετούντων τὸ βλάσφημον· καὶ εἴ που ἕτερον προσδοκῶσι λυτρωτὴν, τοῦτο γὰρ αὐτῶν τὸ κομψὸν καὶ χάριεν, μετὰ ἰουδαίων τετάξονται· τί γὰρ τούτων διοίσουσιν; εἰ μηδαμῆ μηδαμῶς τὸν ἐληλυθότα δοξάζουσιν, ἢ ἐπιφανέντα, μηδὲ ἀνθρώπους ὀνίναι· πρὸς ἓν γὰρ καὶ τὸ αὐτὸ τῆς βλασφημίας καταστρέφει τὸ ἄτοπον.

λζ. Ἄγε δή μοι, ὦ προφητῶν ἄριστε καὶ μακάρτατε, καὶ νῦν θεοκλυτήσας τορόν τι καὶ γεγονὸς ἐμβόησον· ἀνάκραγε δὲ διαπρύσιον, τί σοι τὸ πνεῦμα ἐνηχοῦν ἄνωθεν προθεσπίζειν διακελεύεται· φράζε δέ μοι, καὶ τόν γε λόγον

θεοφρόνως ἀπόρευε· φήσαις δ' ἂν, εὖ οἶδα τὰ θεῖα θεσπιῳδῶν· " ἔσται ἐν τῇ „ ἡμέρᾳ ἐκείνῃ, λέγει κύριος παντοκράτωρ, ἐξολοθρεύσω τὰ ὀνόματα τῶν „ εἰδώλων ἀπὸ τῆς γῆς, καὶ οὐκέτι ἔσται αὐτῶν μνεία. „ ἀλλὰ σοὶ μὲν, ὦ θεηγόρε, ῥᾷστον καὶ μυηθῆναι ταῦτα παρὰ θεοῦ, ἅτε κεκαθαρμένῳ καὶ σῶμα καὶ ψυχὴν καὶ διάνοιαν, ἄλλοις τὲ κηρύξαι, καὶ ταῖς μετέπειτα γενεαῖς γραφῇ παραδοῦναι, τῶν μυσταγωγουμένων τὸ ἀληθὲς καὶ εὐκάτοπτον· ἡμᾶς δὲ ἐνταῦθα γενομένους, πολλή τις, ὡς τὸ εἰκὸς, ἡ ἀπορία τοῦ λόγου περιστοιχίζεται, τί πρότερον εἰπεῖν, τί δὲ εἰς τὸ ἔπειτα παραλιπεῖν· τί γὰρ δὴ πρὸς ταῦτα καὶ φθεγξαίμεθα; τίς ἱκανὸς ἐπὶ τοῖς προκειμένοις λόγοις τοῦ πνεύματος, ἢ τῆς ἀληθείας ἀξίως ἀνυμνῆσαι τὸ ἀπαράγραπτον καὶ ἀπρόσιτον, ἢ τῆς σαφηνείας παραστῆσαι τὸ καθαρὸν καὶ εἰλικρινέστατον; τίς δὲ κατὰ χρέος τῶν ἀθετούντων στηλιτεῦσαι τὸ ἀσύνετον καὶ ἀνόητον; τί γὰρ τούτων τῶν λόγων φανερώτερον ἢ τηλαυγέστερον; τί δὲ εὐθυεπέστερον ἢ ἀξιολογώτερον; ταῦτα καὶ τῶν ἡλίου μαρμαρυγῶν λαμπρότερον ἀποστίλβουσιν· οὐδὲν ἐνταῦθα δεήσει λόγων ἑρμηνευτικῶν περιόδου μακρᾶς, οὐ τῆς ἐν βάθει κειμένης διανοίας ἐξερευνᾷν περιέργως καὶ ἀνιχνεύειν τὸ ἐπικεκαλυμμένον καὶ ἀδιάρθρωτον, οὐ μεταφράσεώς τινος διὰ κύκλων μακρῶν ἐκπεριθεούσης καὶ ἐξαπλούσης τὸ γριφοειδὲς καὶ ἐπικεκρυμμένον ταῖς λέξεσιν, οὐδὲ κατασκευῆς καὶ συνθέσεως ῥημάτων πρὸς ἀπόδειξιν τῶν ἐγκειμένων ἐπινενοημένης· τὸ γὰρ τοῦ λόγου ἁπλοῦν καὶ εὐθὲς καὶ ἀναπεπταμένον, οὐ συγχωρήσει τοὺς μὲν οὕτως, τοὺς δὲ ἑτέρως ἐκ περιέργου ζητήσεως ταῦτα ἐκδέχεσθαι, καὶ τῷ οἰκείῳ ἑπομένους σκοπῷ, διακρούεσθαι τὴν ἀλήθειαν, ἀποβιάζεσθαί τε τῶν ἐγκειμένων ῥητῶν τὸν νοῦν, καὶ ἀντιπεριέλκειν κακούργως, καὶ αἰχμαλωτίζειν πρὸς τὸ ἴδιον θέλημα, ὃ νῦν ποιοῦσιν οἱ τῷ κόσμῳ προστετηκότες, καὶ τοῖς τοῦ πονηροῦ κατεζευγμένοι θελήμασι.

Πρὸς οὖν ταῦτα τί ποτε ἄρα ἀκούσονται οἱ τὸ τῆς ψυχῆς ὀπτικὸν πεπηρωμένοι, καὶ τὰς ἀκοὰς πρὸς τὰς τοῦ θείου πνεύματος ῥήσεις ἀποφράξαντες; οἱ νόσῳ τοσαύτῃ ἀναλγησίας κεκρατημένοι καὶ ἠλιθιότητος, οἱ τυφλοὶ ἀναβλέψατε καὶ οἱ κωφοὶ ἀκούσατε· τίς δὲ ἐπὶ τοσοῦτον τετύφλωται καὶ πεπήρωται, ἢ δι' ἐμπάθειαν ψυχῆς τῶν ἄνωθεν ἡμῖν αὐγαζομένων λόγων τὴν λαμπηδόνα οὐ προσδεχόμενος; τίς δὲ οὕτω κωφὸς καὶ ἀναίσθητος; ἢ ὃς τῶν θεοφθόγγων τούτων φωνῶν, αἳ σαφῶς τε καὶ διαῤῥήδην ἡμῖν τὴν τῶν εἰδώλων πανωλεθρίαν πάλαι ἀνεκεκράγεσαν, ὑπὸ τοῦ νέφους τῆς ὑλικῆς παχύτητος ἐπιπροσθούμενος, οὐ προαιρεῖται γενέσθαι κατήκοος; ταῦτα κἂν ἄνθρωποι σιγῆσαι θελήσωσιν, ἀλλ' οἵ γε λίθοι κεκράξονται, ὑπ' αὐτῆς τῆς τῶν πραγμάτων ἐναργείας κατεπειγόμενοι· τούτων δὲ ὡς ἔοικε τὸ ἀπεσκληκὸς τῆς ψυχῆς καὶ ἀνάλγητον, καὶ τῶν λίθων αὐτῶν ἀπέκρυψε τὸ σκληρὸν καὶ ἀμείλικτον· τίς οὖν αὐτοῖς ἢ στέργειν ἐν τούτοις βουληθεῖσι ποτὲ ἀπολογίας τρόπος λελείψεται, ἢ ἀντιφέρεσθαι δόξασιν, ἀντιλογίας ἐπίνοια κατὰ τῆς ἀληθείας ἐξευρεθήσεται; τίνες αὐτοῖς ὡς δὴ τοῖς ψευδέσι συνηγορήσοντες, τουτονὶ τὸν

ἀγῶνα εἰσδύσαιντο· ὅποι δὲ αὐτοῖς τὸ δικαστήριον ἐν ᾧ ταῦτα διάθοιντο σχεδιασθήσεται· ποῖαι τῶν σοβαρῶν ῥητόρων καὶ λογογράφων δεινότητες, τὸ ἀγχίστροφον ἐν ταῖς ἐνθυμημάτων εὑρεσιεπείαις ἐπιδεικνύμεναι· ποῖαι τῆς ἐκ τῶν συλλογισμῶν πλοκῆς πιθανότητες, τὸ ἐπαγωγὸν καὶ ἐφέλκον κατασκευάζουσαι; τίνες γραμμικῶν ἀνάγκαι δείξεων, ταῖς ἐκ τῶν εἰλημμένων θέσεσι τὸ ἄφυκτόν τε καὶ ἀπαραίτητον συμπεραίνουσαι· τίς διαιτητῶν τε καὶ δικαστῶν δεινός τε καὶ ἀγχινούστατος, τῶν λόγων αὐτῶν ἀκριβὴς ἐξεταστὴς προκαθεζόμενος, βαθέως καὶ συνετώτατα τῶν προτεινομένων τὸν νοῦν ἀνιχνεύειν δυνάμενος, οἴσοι ψῆφον τοῖς ἀθέσμως αὐτοῖς τερατευομένοις βραβεύουσαν· ἀλλ᾽ οὐδεὶς οὕτως ἄσοφος καὶ ἀπαίδευτος, οὐδεὶς οὕτως ἀνούστατος καὶ ἀλογώτατος, ὃς ταῖς ἐναργέσι φωναῖς, καὶ ἄμαχον καὶ ἀναντίῤῥητον ἐκ τῆς τῶν πραγμάτων συνηγορίας φανερώτατα ἐχούσαις, παρατάττεσθαι καὶ ἀντιτείνειν ἐπιχειρήσειεν· οὐκ ἔστιν οὖν αὐτοῖς οὐδαμόθεν, ὅθεν τὸ σκαιὸν καὶ ἄθεον δόγμα συσταίη, ἐπικουρίαν πορίσασθαι· ἀλλὰ τὸ κακῶς ἐν τῷ βίῳ εὐημερῆσαι, τοῦ καλῶς δυσπραγῆσαι προτιμήσαντες, ἀβούλως καὶ ἀνιέρως αἰσχύνην καὶ ἀδοξίαν αἰώνιον ἑαυτοῖς ἐπετρίψαντο· ταῦτα οὐδεὶς τῶν εὐσεβεῖν ᾑρημένων μὴ ὅτι γε φρονῆσαι καὶ δογματίσαι, ἀλλ᾽ ὅτι μὴ δ᾽ ὡς ἐν νῷ λαβεῖν εὔξαιτ᾽ ἄν ποτε.

Πῶς οὖν καὶ πότε καὶ παρὰ τίσι, τῶν μυσαρῶν εἰδώλων ἡ πανωλεθρία γεγένηται, πρότερον μὲν τῶν εὐαγγελικῶν λόγων ἀκούσονται, ἂν ἄρα πείθωνται· καὶ γὰρ ὁ τῶν εἰδώλων καθαιρέτης καὶ τῆς πλάνης καταλύτης, ὁ λυτρωσάμενος ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους, καὶ τῆς δουλείας τῆς φθορᾶς ἀπαλλάξας, τῆς ζωῆς ἡμῶν ἀρχηγὸς, ὁ τὴν γνῶσιν τῆς ἀληθείας ἡμῖν χαρισάμενος Χριστὸς ὁ κύριος καὶ θεὸς ἡμῶν, πρὸς τὸν τῶν ὅλων θεὸν καὶ πατέρα, τοιάδε φησί· " πάτερ, ἐλήλυθεν ἡ ὥρα, δόξασόν σου τὸν υἱὸν, ἵνα καὶ ,, ὁ υἱός σου δοξάσῃ σε· καθὼς ἔδωκας αὐτῷ ἐξουσίαν πάσης σαρκὸς, ἵνα ,, πᾶν ὃ δέδωκας αὐτῷ, δώσῃ αὐτοῖς ζωήν· αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωὴ, ἵνα ,, γινώσκωσι σὲ τὸν μόνον ἀληθινὸν θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν. ,, Εἶτα πάλιν· " ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις. Καὶ αὖθις· οὐ περὶ ,, τούτων δὲ ἐρωτῶ μόνον, ὅ ἐστι τῶν μαθητῶν, ἀλλὰ καὶ περὶ τῶν πιστευόν- ,, των διὰ τοῦ λόγου αὐτῶν εἰς ἐμὲ, ἵνα πάντες ἓν ὦσι, καθὼς σὺ πάτερ ἐν ,, ἐμοὶ, κἀγὼ ἐν σοὶ, ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσιν· ἵνα ὁ κόσμος πιστεύσῃ ,, ὅτι σύ με ἀπέστειλας· ,, τί τούτων τῶν ἱερῶν λόγων πρὸς τὴν θείαν γνῶσιν οἰκειότερόν τε καὶ ἐναργέστερον; ἆρ᾽ οὖν οὐκ ἐκβέβληται ἐντεῦθεν ἡ πλάνη· οὐ καταλέλυται τῶν δαιμόνων ἡ ἐπήρεια; οὐ διόλωλε τῶν εἰδώλων ἡ ἀπάτη· οὐκ οἴχεται τοῦ πονηροῦ τὸ κράτος; τίς οὕτως ἠλίθιος καὶ ἀνόητος, ὃς μὴ οὐχὶ ταῦτα οὕτως ἔχειν συμφήσειεν· " ἵνα γινώσκωσι σὲ τὸν μόνον ἀληθινὸν θεὸν, ,, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν· ,, αὕτη ἡ φωνὴ τὴν φύσιν τὴν ἀνθρωπείαν ἐκαινοποίησεν, αὕτη τὸν ἀέρα ἐκάθηρε, τὰς πύλας τὰς οὐρανίους ἡμῖν ἀνεπέτασε, τὴν εἰς τὰ ἅγια τῶν ἁγίων ἡμῖν εἰσδρομὴν προωδοποίησε, τοὺς

ἀνθρώπους συνομίλους ἀγγέλοις πεποίηκε. τὸ μεσότοιχον τοῦ φραγμοῦ λέλυκε. τὸν πατέρα ἡμῖν καὶ θεὸν ἐκπεπολεμωμένοις δι' ἁμαρτίας ἀποκατήλλαξεν· " ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις· „ πρόσθες καὶ τὸ λειπόμενον· " ἐξολοθρεύσω τὰ ὀνόματα τῶν εἰδώλων ἀπὸ τῆς γῆς. καὶ οὐκέτι ἔσται „ αὐτῶν μνεία. „

Εἰ οὖν ἀληθῆ τὰ σωτήρια λόγια, καὶ ἡ τοῦ θεοῦ γνῶσις καὶ τὸ ὄνομα πεφανέρωται. καὶ τῶν εἰδώλων ἡ πτῶσις τεθριάμβευται. οὐ γὰρ ἐνὸν τὴν ἀλήθειαν ψεύσασθαι, πρόδηλον ὅτι ἐκ τοῦ ἐναντίου λαλοῦσιν οἱ ἀνόσιοι πνεύματος. Ἑξῆς δ' οὖν ὁ τοῦ εὐαγγελίου εἰσήχθω διάκονος. τῷ θείῳ τούτῳ προφήτῃ συνεπηχῶν. ὥσπερ τῷ αὐτῷ ἐνεργούμενος πνεύματι, ὃς δὴ περὶ τῆς τῶν εἰδωλοθύτων δογματίζων βρώσεως. τοιάδε τινα Κορινθίοις γράφει· " οἴδαμεν ὅτι „ οὐδὲν εἴδωλον ἐν κόσμῳ· καὶ οὐδεὶς θεὸς ἕτερος, εἰ μὴ εἷς· „ καὶ τὴν τοιαύτην γνῶσιν μέχρι παντὸς ἐκτείνεσθαι διϊσχυρίζεται· ἵνα δὲ μὴ δόξῃ τοῖς ἐναργέσι καὶ φαινομένοις ἀντικαθίστασθαι, ἦν γὰρ καὶ ξοανα παρὰ τοῖς ἀθέοις καὶ ἀνοήτοις, καὶ θεοὶ ὠνομάζοντο, διὰ τοῦτο ἐπήγαγεν· ὅτι εἴπέρ εἰσι λεγόμενοι θεοὶ, εἴτε ἐν οὐρανῷ εἴτε ἐπὶ τῆς γῆς, ἀλλ' οὐκ ἐν πράγματι οὐδὲ ἐν ὑπάρξει εἰσὶν, ἀλλ' ἐν ψιλῇ τῇ προσηγορίᾳ, καὶ τῷ λέγεσθαι μόνον, οὐ τῷ εἶναι θεοί· οὐδὲ ἰσχύς τις ἐν αὐτοῖς ἐστι, λίθοι δέ εἰσι καὶ ξύλα καὶ δαίμονες· οὐ μόνον γὰρ τῶν ἐν οὐρανοῖς φωστήρων τὸ λαμπρὸν καὶ διαφανὲς κατεπλάγησαν ἄνθρωποι, καὶ διὰ τοῦτο ἡλίῳ τὲ καὶ σελήνῃ καὶ τῶν ἄλλων ἀστέρων τῷ χορῷ, ὡς θεοῖς προσεκύνησαν, ἀλλὰ δὴ καὶ ἐπὶ τῆς γῆς δαίμονάς τινας. καὶ ἀνθρώπων τοὺς ἐν πάθεσιν αἰσχίστοις καὶ πράξεσιν ὀνομαστοτάτους, θεοῦ προσηγορίᾳ τιμῆσαι καὶ δοξάσαι, ἀλογώτατα διενοήθησαν.

λη. Ἀλλὰ ταῦτα μὲν ἕλληνές τε καὶ βάρβαροι· ἡμῖν δὲ τοῖς τελείοις καὶ βεβήκοσιν ἐν πίστει, εἷς ὁ φύσει καὶ ἀληθῶς γινώσκεται θεὸς, ὁ ἐν πατρὶ και υἱῷ καὶ ἁγίῳ πνεύματι. τῇ σεβασμίᾳ και ζωαρχικῇ τριάδ. προσκυνούμενός τε καὶ δοξαζόμενος· καὶ οὐκ ἂν παρ' αὐτῶν γνοίημεν ἕτερον θεὸν, ἄπαγε· διὸ οὐδὲ λελόγισται παρ' ἡμῖν εἴδωλόν τι εἶναι, ὥσπερ οὐδὲ εἰδωλόθυτον ἐν κόσμῳ· οὐκοῦν ἐξωλόθρευται. καθὰ δέδεικται. τὰ ὀνόματα τῶν εἰδώλων ἀπὸ τῆς γῆς· ἢ οὐχὶ καὶ σοφός τις πόῤῥωθεν μεγαλοφώνως προανακέκραγε λέγων, ὅτι " οὔτε ἦν ἐξ ἀρχῆς εἴδωλα, οὔτε εἰς τὸν αἰῶνα ἔσται· „ πότε οὖν οὐκ ἔσται, εἰ μὴ νῦν οὐκ ἔστιν ὅτε ὁ ῥυόμενος ἐξ εἰδώλων ἧκε; τί οὖν δοκεῖ τοῖς εἰδώλου μνήμην πεποιημένοις; εἰ μὲν παρὰ ἰουδαίοις εἴποιεν τὰς προφητικὰς ταύτας πεπλῆσθαι φωνὰς, παρὰ χριστιανοῖς πόσον; παρ' ὅσον γὰρ ἡ τῶν ἰουδαίων λατρεία τὴν τῶν ἐθνῶν δεισιδαιμονίαν ὑπεραναβέβηκε, παρὰ τοσοῦτον τὰ ἡμέτερα τῶν παρ' ἐκείνοις ἐξῆρται. καὶ ὑπερίπταται κεκτημένα τὸ ὑπερφυὲς καὶ σεμνότατον· μέσος γὰρ τῆς καθ' ἡμᾶς ἐν πνεύματι λατρείας, καὶ τῆς τῶν ἀπίστων εἰδωλομανίας ὁ νόμος ἀπῃώρηται· εἰ δὲ παρ' ἕλλησι καὶ βαρβάροις, οἷς τὸ τῆς θεογνωσίας πάλαι οὐκ ἐνήστραπτε φῶς. δαιμόνων δὲ ἀκαθάρτων ὑπῆρχον θεραπευταὶ. τῆς ἐκείνων ὡς ἀληθῶς ἐμβροντησίας καὶ ἀπονοίας τὸ

φρόνημα, ἀνθ' ὅτου δὲ δὴ οἱ Χριστοῦ μάρτυρες, οἱ ἀξιόνικοι τῆς ἀληθείας ἀγωνισταὶ, τοὺς μυρίους ἐκείνους, καὶ ὧν οὐκ ἂν λόγος ἐφίκοιτο, ἄθλους καὶ πόνους διήνεγκαν τηλικούτους ἀγῶνας, ἡλίκους οὐκ ἂν φύσις ἄραιτο ἀνθρώπου, κατὰ τῆς εἰδωλικῆς πλάνης ἐνστησάμενοι· δι' ὧν τοῦ πονηροῦ τὸ θράσος κατέλυσαν, καὶ τρόπαια λαμπρὰ, τῆς θείας συνεργούσης χάριτος καὶ δυνάμεως, κατὰ τῶν δυσμενῶν ἀνεστήσαντο, τούς τε βωμοὺς καὶ τὰ τεμένη ἀμογητὶ καὶ κραταιῶς καθαιροῦντες καὶ δίχα πόνου παντός· ἐξ οὗ δὴ καὶ τῶν στεφάνων τῶν ἀμαραντίνων παρὰ τοῦ ἀθλοθέτου θεοῦ μάλα ἐνδίκως κατηξιώθησαν.

Τί δὲ δήποτε περί γε τῶν θαυμασίων ἐκείνων καὶ ἀοιδίμων ἀνδρῶν ὑπολήψοιντο, οἱ περὶ τὴν ἀσκητικὴν παλαίστραν ἐγγυμνασάμενοι, ἡδίω ταύτην μᾶλλον ἢ τῶν ἐν κόσμῳ τερπνῶν ἕτεροι τὴν τρυφὴν ἡγούμενοι, ἐνθένδε καὶ τῶν ὑπερφυῶν ἐκείνων καὶ ἐξαισίων σημείων τερατουργοὶ γεγόνασιν; ὅσοι τὲ τὰς ἐσχατιὰς τῆς γῆς κατειλήφασι, καὶ αὐτοῦ τῶν ἐν μέσῳ θορύβων τῶν βιωτικῶν δὴ τούτων ἀποστάντες ηὐλίσαντο, καὶ πρὸς τὸ τραχὺ τῆς ἐρήμου καὶ δύσοιστον ἀπεδύσαντο, ὡς ἄσαρκοί τε ἐν σώματι πολιτευσάμενοι, καὶ ἀγγελικὴν πολιτείαν ζηλώσαντες, οὕτω τὸ ἐν βίῳ ἀμέμπτως ἐξήνυσαν στάδιον, διὸ καὶ φωστῆρες ἐν κόσμῳ πάντες ἐχρημάτισαν; ἐν τίνι τὰς νόσους αἱ κρείττους ἰατρείας ἀνθρωπίνης τυγχάνουσιν ἐθεράπευον; ἐν τίνι τὰ δαιμόνια ὥσπερ ἀνδράποδα κατὰ πολλὴν εὐκολίαν καὶ ἐξουσίαν ἀπήλαυνον; ἆρά γε εἰδωλοθυτοῦντες ἢ θεοκλυτοῦντες, καὶ τὸν τῶν ὅλων κύριον καὶ θεὸν σέβοντες, καὶ ἀρωγὸν ἐν τοῖς πρακτέοις ἐπικαλούμενοι; ὡς μὲν οὖν ἡμῖν καὶ τῇ ἀληθείᾳ δοκεῖ, τῇ δυνάμει καὶ χάριτι τοῦ ἐνεργοῦντος, καὶ δεδωκότος ἐξουσίαν, καὶ εἰρηκότος τοῖς μαθηταῖς· “ πορευόμενοι κηρύσσετε λέγοντες, ὅτι ἤγγικεν ἡ βασιλεία τῶν „ οὐρανῶν· ἀσθενοῦντας θεραπεύετε, λεπροὺς καθαρίζετε, δαιμόνια ἐκβάλλετε. „ Καὶ, ὅτι ἐν τῷ ὀνόματί μου δαιμόνια ἐκβαλοῦσι, γλώσσαις λαλήσουσι καιναῖς, ὄφεις ἀροῦσι· „ τοῖς δὲ ἀπεναντίας τῆς ἀληθείας ἰοῦσιν, οὐκ ἄδηλον ὅ τι καὶ ὑποληφθήσεται· τοῖς γὰρ πάντα τολμῶσι, καθάπερ ταῖς ἐπὶ τῷ υἱῷ δυσφημίαις ἀπόλυτον ἔσχον τὸ στόμα, οὕτω κἀνταῦθα γείτονά πως καὶ φίλην τῶν Φαρισαίων τὴν διάνοιαν κεκτημένοις, οὐ χαλεπὸν ἀποφήνασθαι, ὡς ἐν τῷ ἄρχοντι τῶν δαιμονίων ταῦτα δρῶντες διεδεικνύοντο· ἐπειδὴ δὲ τὸν νοῦν ἀδόκιμον ἔχοντες, καὶ ἐφ' ἃ μὴ προσῆκεν ἀποφερόμενοι, εἰκαίοις λογισμοῖς ἐπινήχονται, εἰκότως ἀκούσονται· “ γεννήματα ἐχιδνῶν, πῶς δύνασθε ἀγαθὰ λαλεῖν πονηροὶ ὄντες; εἰ γὰρ τὸν οἰκοδεσπότην Βεελζεβοὺλ ἀπεκάλεσαν, πόσῳ „ μᾶλλον τοὺς οἰκειακοὺς αὐτοῦ; „ καθάπερ ὁ σωτήριος ἔφη λόγος· πῶς οὖν τοὺς αὐτοὺς καὶ ὡς δεσπότας δυνατὸν σέβειν, καὶ ὡς μαστιγίας καὶ κακοὺς δούλους διώκειν καὶ ἐξοικίζειν; ἀφ' ὧν βούλονται καὶ καταδεσμεῖν καὶ συγκλείειν ἐφ' οἷς ἐθέλουσιν· ἢ οὕτω γε καὶ μερισθήσεται ἐφ' ἑαυτὴν ἡ τοῦ πονηροῦ δυναστεία.

Ἀλλὰ φανερὸν ὅτι ὥσπερ τὴν εὐαγγελικὴν παρωθοῦνται ἱστορίαν, οὕτω δὴ καὶ τῶν ἐνθέως βεβιωμένων ἢ πεπραγμένων τοῖς ἁγίοις, καὶ ἀναγεγραμ-

μένων ἐν βίβλοις ἱεραῖς, τὸ ἀληθὲς οἱ ἐναγεῖς οὐκ ἀποδέχονται· εἰ δὲ καὶ ἀληθεύειν δοκοῦσι τὰς προφητικὰς προαγορεύσεις, φάναι γὰρ ψεύδεσθαι, μὴ δ' ἂν αὐτὸν τὸν διάβολον οἶμαι τολμῆσαί ποτε, διὰ φροντίδος αὐτοῖς γινέσθω δεικνύειν, ποῦ καὶ πότε τὸ πέρας ἐδέξαντο· εἰ γὰρ πρὸς τὸ μέλλον ἀπίδοιεν καὶ ἄλλον παρέσεσθαι Χριστὸν ὑποτοπήσαιεν, μόνοι τῶν ἐλπιζομένων ἀπόναιντο, καὶ τῶν ὑπειλημμένων τὸ εὔελπι, προσηκόντως ἀποίσονται· ὅτι δὲ καταφοιτήσαντος πρὸς ἡμᾶς τοῦ τῶν ὅλων Θεοῦ, καὶ τὴν βασιλείαν κηρύξαντος τὴν οὐράνιον, ἡ πολύθεος ἠφάνισται πλάνη, καὶ εἷς κύριος καὶ Θεὸς καὶ βασιλεὺς παρὰ πάντων συμφώνως προσκυνεῖται καὶ δοξάζεται, αὐτὸς οὗτος ὁ θεῖος προφήτης ἐν τοῖς μετέπειτα ἐρεῖ, καὶ οὐδεὶς τῶν εὖ φρονούντων ἀντερεῖ· " ἔσται γὰρ κύριος εἰς βασιλέα ἐπὶ πᾶσαν τὴν γῆν· ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται „ κύριος εἷς, καὶ τὸ ὄνομα αὐτοῦ ἕν, κυκλοῦν πᾶσαν τὴν γῆν· „ διὰ τούτων γὰρ ἡμῖν καὶ τῶν ἑξῆς εἰρημένων, οὐ μόνον τοὺς ἐκ τοῦ δήμου τοῦ Ἰουδαϊκοῦ δεξαμένους τὸν λόγον τὸν εὐαγγελικὸν ἐν πνεύματι προεσήμηνεν, ἀλλὰ καὶ τῶν ἐθνῶν τὰς ἀγέλας, ἃ ποτὲ ἠγνόει τὸν ἁπάντων δεσπότην καὶ κύριον, ὡς τῆς θεογνωσίας εἰσδέξονται τὴν ἀκτῖνα, καὶ τῶν εἰδώλων διαπτύσουσι τὴν ἀπάτην· ποῖος γὰρ δὴ τόπος τῆς τοῦ Θεοῦ δόξης ἀπολειφθήσεται, εἴ γε δὴ νῦν μᾶλλον ἢ πρότερον ἀληθὲς τὸ " πλήρης ὁ οὐρανὸς καὶ πᾶσα ἡ γῆ τῆς „ δόξης αὐτοῦ; „ κἂν γὰρ τὴν Ἑλλάδα, κἂν τὴν βάρβαρον εἴποι τις, κἂν εἰς Ἰταλοὺς καὶ Γερμανοὺς ἐπιδράμοι τῷ λόγῳ, Κελτούς τε καὶ Βρεττανούς, κἂν εἰς Λίβυας καὶ τὴν Αἰγυπτίων ἀφίκοιτο, κἂν Ἄραβας καὶ Πέρσας ἐπέλθοι καὶ Αἰθίοπας, κἂν Ἰνδοὺς καὶ Σκύθας, καὶ πᾶσαν ἐσχατιὰν, καὶ ὅλην ἤπειρόν τε καὶ θάλασσαν, τὸ τοῦ Χριστοῦ ὄνομα δοξαζόμενον καὶ προσκυνούμενον εὕροι· πάντας γὰρ τὸ εὐαγγελικὸν σαγηνεῦσαν ἐπηγάγετο κήρυγμα· καὶ ἡ τῆς σεβασμίας τριάδος γνῶσις, διὰ τοῦ φθόγγου τῶν μαθητευόντων τὰ ἔθνη, τῇ ὑφ' ἡλίῳ ὑπερήπλωται, καὶ πανταχοῦ τοῦ ἑνὸς καὶ μόνου ἀληθινοῦ θεοῦ καὶ δεσπότου τῶν ὅλων ἐμπολιτεύεται ἡ ἐπίγνωσις· καὶ μέγα καὶ αὐτοὶ ἐμβοῶσι μετὰ τοῦ ψάλλοντος, τὸ κράτος καὶ τὴν παντεποπτικὴν αὐτοῦ μεγαλειότητα καταμαθόντες διὰ τῆς πίστεως· " ἐὰν ἀναβῶ εἰς τὸν οὐρανὸν, σὺ ἐκεῖ εἶ· ἐὰν „ καταβῶ εἰς τὸν ᾅδην, πάρει· ἐὰν ἀναλάβοιμι τὰς πτέρυγάς μου κατ' ὄρ„ θρον, καὶ κατασκηνώσω εἰς τὰ ἔσχατα τῆς θαλάσσης, καὶ γὰρ ἐκεῖ ἡ χείρ „ σου ὁδηγήσει με, καὶ καθέξει με ἡ δεξιά σου· „ τούτων τί ἂν γένοιτο σπουδαιότερον, ἢ περιφανέστερον εἰς θεοσέβειαν;

λθ. Οὐκοῦν λεγέτωσαν ἡμῖν οἱ τῶν εἰδώλων θεραπευταὶ, ποῦ ποτε ἄρα καὶ παρὰ τίσι, τῶν εἰδώλων τὰ ἔδη καὶ ἀφιδρύματα; ποῦ αἱ τούτων τελεταὶ καὶ μυστήρια, καὶ οἱ ταῦτα τελοῦντές τε καὶ τελούμενοι; ποῦ δὲ οἱ παρ' αὐτοῖς ἱεροφάνται, οἱ ταῦτα μυοῦντές τε καὶ μυούμενοι, οἱ ἱερεῖς τε τούτων οἱ χαμαιεῦναι καὶ ἀνιπτόποδες; ποῦ τῶν νεωκόρων τὸ εὔκοσμον περὶ τὰ τεμένη αὐτῶν καὶ φιλόκαλον, ἵνα σεσαρωμένους τοὺς βωμοὺς καὶ τὰ ἀνάκτορα καταλαμβάνοντα, συνεχέστερον ἐπιχωριάζῃ τῶν δαιμονίων τὰ στίφη, οἱ περὶ τὰ τοῦ

σκότους ἐμβατεύοντες ἄδυτα, ὡς τοῦ σκότους ἀληθῶς ἄξιοι, τοῦ παραιτεῖσθαι τὸ φῶς καὶ οἰκεῖν ἄντρα νύχια; ποῦ αἱ τούτων ἑορταὶ πανηγύρεις, οἱ βουθυτοῦντές τε καὶ μηλοσφαγοῦντες, οἱ αἱμάτων προσχύσεσι χαίροντες, καὶ λύθροις ἐπιβωμίοις ἐπιγαννύμενοι, παιδοκτονίαις ἀνδροκτασίαις τε, ὃ δὴ πάντων ἀθλιώτερον; ποῦ παρ' αὐτοῖς ὁ τιμώμενος Ζεὺς, ὁ ὕπατος τῶν θεῶν καὶ ἐξοχώτατος, ὁ κοπροφόρος θεὸς, ὡς εἰλυμένος κόπρῳ ἀνευφημούμενος; εἰ μή ποτε ἄρα καὶ τοῖς ἐφ' ἡμῶν κοπρολόγοις τετίμηται, ὃς τὴν γένεσιν ἄπιστος μὲν τοῖς σωφρονοῦσι μυθολογούμενος, αἴσχιστος δὲ τοῖς ἀνοηταίνουσι πιστευόμενος, ὑπὸ τῆς τεκούσης κλεπτόμενος, καὶ τῷ ἀντιδοθέντι λίθῳ σωζόμενος, καὶ δαιμονίων ὀρχήστραις καὶ ἤχοις δυσηχέσι τισὶ καὶ ὕθλοις φρουρούμενος, ὡς ἂν λάθοι πατραλοίας παῖς πατέρα παιδολετῆρα· ἀγάσαιτο δ' ἄν τις αὐτὸν πεπαυμένον τῆς πολυμόρφου πλάνης, ἧς τά τε φευκτὰ καὶ ἀπατηλὰ γοητεύματα· ὄρνις αὐτοῖς ὁ θεὸς ὅταν ἐθέλῃ γίνεται, τὸν χρῶτα λάσιος καὶ κατάπτερος, καὶ ἴσως τοῦτο μᾶλλον ἦν αὐτῷ χαριέστερον, πτεροφόρον εἶναι τὴν φυὴν καὶ λαχνήεντα, ἵνα τῆς ἐρωμένης ὁ γυναιμανὴς μὴ ἀποτεύξηται· ταῦρος ἄλλοτε κερασφόρος φαινόμενος, ὁπλαῖς εὐπρεπέσι καὶ οὔασι μακροῖς ἐγκαλλωπιζόμενος, καθάπερ καὶ ἄλλως θεῶν τράγος γενόμενος, ὡς ἐφ' ὁμοίοις τοῖς πάθεσιν ἁλισκόμενος, καὶ ἄλλοτε ἄλλος δεικνύμενος, ταῖς μαγγανείαις φασὶ χρώμενος καὶ πάντα ῥᾳδίως γινόμενος, πρὸς τὸ ποικίλον καὶ πολυειδὲς τῶν παθῶν τὰς μορφὰς συμμεταβαλλόμενος καὶ μεταπλασσόμενος, ὑφ' ὧν αὐτῷ τὸ αἰσχρουργὸν καὶ ἀσελγὲς περιγίγνοιτο· εἴθε καὶ ἀλώπηξ τὸ εἶδος αὐτὸς κατεμορφάζετο, ἐξῆν γὰρ αὐτῷ πάντως που βουλομένῳ γε τὸ δολερὸν καὶ ἐπίκλοπον ἔχοντι· καὶ βάτραχος ὁ αὐτὸς ἡμῖν ἐγνωρίζετο, βορβόρων τέλμασιν ἰλυσπώμενος, ἵνα πολλοῖς ἐπιβουλεύειν ἐκμηχανώμενος μὴ φωραθῇ, ἀντεπιβουλευόμενος πρός τινος· οὕτω γὰρ ἂν αὐτῷ πλέον καὶ σπουδαιότερον σέβασμα, παρά γε τοῖς ἀνοήτοις καὶ πόῤῥω που τῆς ἀληθείας ἀποπλανηθεῖσι, καὶ ματαίοις ἀναπλασμοῖς χαίρουσι, καὶ δαίμοσι λαοπλάνοις ἀγομένοις, τοῦ ψεύδους εὑρεταῖς, καὶ τῆς κακίας ἐργάταις, καὶ εἰς τὸ ἴδιον τῆς ἀπάτης τοὺς πειθομένους περιέλκουσι πτῶμα.

Δεικνύτωσαν ἡμῖν Ἄρεα καὶ Διόνυσον, τὸν μὲν τοῖς πολεμίοις ἐπιστατοῦντα, καὶ ὀργῆς καὶ θυμοῦ πνέοντα· ἴδιον γὰρ τὸ θυμικὸν καὶ ὀργίλον τοῖς μαχομένοις ἐπαύξειν, καὶ ὑπὸ θνητῶν τιτρωσκόμενον, καὶ δεσμώτην γινόμενον, χαλκῷ κεράμῳ καὶ πάγαις ἐπιμοιχείαις, ἄλλου κατῃθαλωμένου θεοῦ ἀγρευόμενον. Τὸν δὲ τῆς μέθης ἐξάρχοντα, ᾠδῖσι μὲν ἀλλοκότοις τοῖς φαύλοις κυοφορούμενον, οὐδέν τι μᾶλλον πλαττομέναις ἢ γελωμέναις, καὶ τιμὴν αἰσχρὰν καὶ ἀσχήμονα περιαπτέτωσαν· μαινάδας δέ τινας βακχευούσας, καὶ σατύρους ἐν ταῖς κατ' αὐτὸν ἑορταῖς κτηνοπρεπῶς ἐξορχουμένους, καὶ ἄλλα ὅσα τῆς μέθης ἄξια, οἱ ἀληθῶς μεθύοντες περὶ τὸν ἀνδρόγυνον θεὸν ἐπιμαίνονται. Παρίτω αὐτοῖς Ἑρμῆς τάχα φίλτατος θεῶν, ἐπείπερ αὐτὸν θεὸν κερδῷον δοξάζουσι, καὶ ἐμπολαῖον ἱδρύουσι· καὶ οὗτοι γὰρ καθάπερ φιλοδοξίᾳ,

οὕτω δὴ καὶ φιλοκερδείᾳ καταπνίγονται, καὶ ἕρμαιον αὐτοῖς μᾶλλον τῇ ὕλῃ καὶ τοῖς περικοσμίοις χαίρειν, ἢ περὶ τὸ θεῖον ὑγιῶς διακεῖσθαι σέβας. Μυθολογείτωσαν ἢ θαυμαζέτωσαν Ἡρακλέος τὴν κύησιν, καθ᾽ ἣν ὠνομάσθη τριέσπερος, καὶ τοὺς πολλοὺς ἐκείνους ἄθλους ἀπαριθμείτωσαν, ἐξ ὧν θεὸς τοῖς ἀθέοις νενόμισται. Παραγέσθω αὐτοῖς ἡ φίλοπλος καὶ φιλοπόλεμος θεὸς Ἀθηνᾶ, ἡ * αἰγίδ᾽ ἔχουσ᾽ ἐρίτιμον, ἀγήραον, ἀθανάτην τε *, καὶ τὴν ἄλλην αὐτῆς ἐνόπλιον σκευὴν, ἣ δείμασι καὶ ἐκπλήξεσι πάντοθεν ἐστεφάνωτο, ἐξαίσιον τοῖς ὁρῶσιν ἐμποιοῦσα τὸ δέος, ῥᾶστά τε ἐπιοῦσα τῶν πολεμίων τὰς φάλαγγας· οἷς μὲν ἐπικουρήσειν, ὧν ἐπετρόπευεν· οὓς δὲ ἀμυνεῖσθαι, ἀφ᾽ ὧν ἀπετρέπετο· πολὺ δ᾽ ἂν τὸ μάχιμον καὶ σοβαρὸν τοῖς ἄλλοις θεοῖς, οἳ τῶν ἀντιπάλων ἐκήδοντο, ἐπιφέρουσα· πόθεν δὲ ἡμῖν ἡ ταύτης κύησις παραστήσεται, εἰ μὴ τῷ βούπληγι τοῦ παραπλῆγος Διὸς τὴν κεφαλὴν Ἥφαιστος κλυτοτέχνης εὐτέχνως διατέμοι; κἂν ὁ τεμὼν περὶ τὴν ὑπόσχεσιν τοῦ πεπληγότος διήμαρτε· τέκοι δ᾽ ἂν αὕτη παρθένος εὐπειθέστερον, τὸν Ἐριχθόνιον τὸν διφυᾶ, τέρας ἄλλο τῶν προτέρων γελοιωδέστερόν τε καὶ ἀπιστότερον· σοφὸς παρ᾽ αὐτοῖς καὶ μέγας ὁ Σαλμονεὺς, θεῶν καταλαζονευόμενος καὶ κάτωθεν ὑπηχῶν, καὶ ξένην ἐπινοῶν βροντῶν καὶ ἀστραπῶν μηχανουργίαν· ἀλλὰ τῆς πρὸς αὐτοὺς μεγαλαυχίας εὗρεν ἀντέκτισιν ὑπὸ Διὸς κεραυνούμενος.

* Iliad. β' 447.

Τὴν Ῥέαν ἡμῖν τὴν τῶν θεῶν μητέρα γνωριζέτωσαν, καὶ τὰς περὶ αὐτὴν ἀσέμνους καὶ ἀτίμους τελετὰς καὶ μυστήρια, ἐπ᾽ ἀσέμνοις πάθεσι παρὰ Φρυξὶν ἐνθουσιῶσι καὶ μαινομένοις αὐτῇ προσφερομένας· καὶ τούτων τοὺς μὲν τὸ σῶμα τεμνομένους τοῖς ξίφεσιν, ἵνα καθῃμαγμένοι τοῖς δαίμοσι προφαινόμενοι, περιδοξότερον τὸ σέβας ἀνάπτοιεν· τοὺς δὲ καταυλοῦντας αὐτοῖς καὶ καταθέλγοντας, ὡς ἂν κηλούμενοι οἱ τεμνόμενοι ῥᾷον τοὺς πόνους φέροιεν, περὶ δὲ τὰς ἐκτομὰς διεγείροιντο, καὶ πρὸς ἀκαθάρτους καὶ μυσαρὰς πράξεις ὁρμῷεν. Τὰ κατὰ τὴν Δήμητραν μυθολογούμενα μὴ παρείσθωσαν, θεσμοὺς μυστηρίων συμμυοῦσαν τοῖς σπέρμασι, τελεῖσθαί τε νύκτωρ τοῖς ἑορτάζουσι, νυκτὸς γὰρ ἦν ἄξια, καλεῖσθαί τε δημήτρια καὶ ἐλευσίνια, καὶ μυστήρια, ὡς μὴ δεῖν τινὰ τῶν τετελεσμένων ἢ μεμυημένων, ἔκφορα ποιεῖσθαι τὰ τῶν τελετῶν τοῖς ἀμυήτοις. Ἥρα ὀφθήσεται δυσὶν ἄκμοσιν ἐξημμένη τοὺς πόδας, χερσὶ δὲ πέδας ἀλύτους περικειμένη, οὕτως ἐξ οὐρανοῦ αἰωρουμένη τε καὶ τιμωρουμένη παρὰ Διὸς, ποινὴν ταύτην τίνουσα τῆς εἰς τὸν Ἡρακλέα ζηλοτυπίας, ἡνίκα αὐτῷ τὸν θαλάττιον ἐπανετείνατο κλύδωνα· ᾗ καὶ ἀνέμοις ἐπιτάττειν διδόασι, καὶ ὕπνῳ βάλλειν θεὸν γοητευόμενον, ἵνα μὴ νήφων βοηθοίη τῷ κινδυνεύοντι· πόθεν ἡμᾶς τὰ ἑκαταῖα καὶ ἐμπουσσαῖα ἔκτοπα, καὶ εἰ δεχθῇ ἐκφοβήσουσι φάσματα, ἃ καὶ ἐκ μόνης θέας τὴν κατάπληξιν καὶ τὰ δείματα ἐπιφέρουσι, κἂν μεγέθει δὲ δοκῶσιν ὑπεραίρειν οἱ τερατώδεις φαινόμενοι, δρακοντείαις τισὶν ἐνηρμοσμένοι κεφαλαῖς, τῷ πλάσματι καὶ τῷ μύθῳ συνδιαφθαρήσονται. Εἰσηγείσθωσαν καὶ κεραυνὸν προσκυνούμενον, καὶ πρὸς τοῦ κεραυνοβόλου θεοῦ καταπιμπραμένην τὴν ἐρωμένην, ἡνίκα ἡ ἀντίζηλος Ἥρα Σεμέλῃ

συνεβούλευσε, μᾶλλον δὲ ἐπεβούλευσε, τοῦ ἐραστοῦ τῆς ὁμιλίας ὑποτιθεμένη τὸν τρόπον, ἵνα χάριν ἀντιλάβῃ παρ' αὐτοῦ, τὸν πρηστήριον ὄλεθρον. Δοκοῦσί μοι καὶ αὐτοὶ παρήσειν, εἴ γε μικρὸν γοῦν παρ' αὐτοῖς σωφροσύνης ἔναυσμα ὑπολέλειπται, ἢ μνήμης ἀξιοῦν τὴν πάντων φευκτὴν καὶ ἀποτρόπαιον, φευκτότερόν τε καὶ ἀσχημονέστερον, καὶ γεννωμένην καὶ τιμωμένην ἑορταῖς ἐκτόποις καὶ κατεστυγημέναις, ἧς οἱ πάλαι τὴν αἰσχρουργίαν ὑπερεκπληττόμενοι, μαχλάδα καλῶς κατωνόμαζον, πολύκοινόν τε καὶ ἀνδρεράστριαν. Τάχα καὶ πάλιν τὸν δωδωναῖον ἡμῖν θεὸν ἀναπλάσειαν, καὶ τὴν δρῦν ἐκείνην ὑπηχοῦσαν τὰ μάταια, καὶ ταῖς προμάντεσι παραφθέγγεσθαι τὰ δεδογμένα θεσπίζουσαν· καὶ πάλιν ἀνδριὰς ἱδρυμένος μετέωρος, καὶ ῥάβδῳ παίων τὸ χαλκούργημα, καὶ τὸ ἀπηχούμενον ἐναρμόνιον, ἵνα μηκέτι ἄφωνος ἀλλ' εὔφωνος ἢ πολύφωνος πρὸς αὐτῶν δογματίζηται. Ποῦ τοῦ δελφικοῦ τρίποδος τὰ φασματώδη ληρήματα; πόθεν αὐτοῖς ἡ πυθόμαντις παραφθέγξαιτο, τοὺς δειλαίους καὶ ἄφρονας φαινακίζουσα; Ποῦ τῆς Κασταλίας πηγῆς τὰ μυθώδη καὶ ἀπατηλὰ φάσματα, παρὰ τῶν προσεδρευόντων δαιμόνων ὑποπνεόμενα, καὶ ἐν ἴσῳ πνοαῖς καὶ αὔραις τῷ ὄντι λυόμενα; Πῶς ἡ Δάφνη κρυφθήσεται, καὶ ποία γῆ ταύτην ὡς μήτηρ τοῖς κόλποις κατελεήσασα δέξεται, ἵνα φυγοῦσα τὸν ἐραστὴν τὴν σωφροσύνην διασώσηται. καὶ φυτὸν τῇ κόρῃ ὁμώνυμον αὐτῷ ἀναβλαστήσῃ. πρὸς ψυχαγωγίαν τῆς ἀποτεύξεως τοῦ ἐρωμένου περιγινόμενον; Ποῦ νῦν τοῦ Λοξίου θεοῦ τοῦ χρησμολόγου τὰ λοξότερα χρησμῳδήματα, οἷς οἱ πυθόμενοι ἀγνοίᾳ καὶ ἀνοήτως ἀρχὰς καταλύουσιν ἠγνοημένας;

μ. Καὶ ἵνα τὰ λοιπὰ παρῶμεν, τοῖς γὰρ πλείστοις ἐπεξιοῦσι συμβήσεται καὶ ἡμῖν, τοῖς ἐναγέσι καὶ βδελυροῖς συγκαταχραίνεσθαι καὶ μολύνεσθαι, αὐτοῦ που τὸν περὶ τούτων περιγράψωμεν λόγον, ἐπειδὴ καὶ ταῦτα πάλαι περιγέγραπται καὶ σεσίγηται· δῆλον δὲ ὅπως καὶ ὅθεν, παραγεγονότος τῷ κόσμῳ τοῦ διὰ τοῦ προφήτου προειρηκότος " ἐξολοθρεύσω τὰ ὀνόματα τῶν „ εἰδώλων ἀπὸ τῆς γῆς, καὶ οὐκέτι ἔσται αὐτῶν μνεία· „ ὅταν ἡ τοῦ σωτηρίου σταυροῦ χάρις διέλαμψε, καὶ τὸ θεῖον ἁπανταχόσε διέδραμε κήρυγμα, ἆρα γὰρ οὐ πάντα ἐκ ποδῶν γέγονε, καὶ ἀπελήλαται, καὶ λήθης βυθοῖς παραδέδοται; εἰ μὲν γάρ εἰσι, δεικνύτωσαν ποῦ καὶ παρὰ τίσι ταῦτα· εἰ δὲ οὐκ εἰσὶν, οὐ γάρ εἰσι, τί μάτην διαλοιδοροῦνται χριστιανοῖς, ἐπιφημίζοντες αὐτοῖς οἱ συκοφάνται καὶ τῆς ἀληθείας κατήγοροι, ἃ μήτε ἔδρασαν, μήτε διενοήσαντο πώποτε; εἰ δὲ αὐτοὶ πεπλάνηνται καὶ εἰσὶ δεισιδαίμονες, ἑαυτῶν κατηγορείτωσαν, ἑαυτοὺς μωμείσθωσαν οἱ ἐξάγιστοι καὶ διαγελάτωσαν· ἡ γὰρ τοῦ θεοῦ ἐκκλησία. ἄσπιλος καὶ μώμου παντὸς ἐλευθέρα τυγχάνει· ἀλλὰ σιωπᾶται ταῦτα, σιωπῆς γὰρ ὄντως καὶ λήθης βαθείας ἄξια· ὡς ὄφελόν γε καὶ αὐτοὶ τὴν σιωπὴν ὡσαύτως ἐκείνοις ἠσπάσαντο· " ὅμοιοι γὰρ αὐτοῖς γένοιντο οἱ ποι„ οῦντες αὐτὰ, καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς· „ ὅτι σιγᾷν ἄμεινον καὶ λυσιτελέστερον, ἢ λαλεῖν δυσσεβῶς καὶ ἀθέως, ἃ μήτε λέγειν μήτε ἐννοεῖν θέμις τοῖς γε ὡς ἀληθῶς ἐρῶσι τοῦ κρείττονος· τίς γὰρ οὕτως ἐπὶ ματαιό-

τητι βεβοημένος ἐστὶν, ὅστις αὐτῶν τοὺς εἰκαίους καὶ ἀσυνέτους ἀποδέξαιτο λόγους; τίς οὕτως ἠμοιρηκὼς αἰσθήσεως, καὶ παρενηνεγμένος τὰς φρένας; οὐδεὶς οὕτω κτηνώδης καὶ πάσης βοσκηματώδους ἀνοίας ἀνοητότερος, μᾶλλον δὲ οὐδὲ δαιμονώντων ἢ ἐξεστηκότων τὶς, ὥστε τῶν βληχημάτων αὐτῶν, καὶ ληρημάτων ἀνέχεσθαι· ἀλλὰ ταῦτα μὲν παῖδες ἑλλήνων παιζέτωσαν, οἵ τε πάλαι, καὶ οἱ παρ' ἡμῖν νῦν ἑλληνίζοντες· ἡμῖν δὲ τιμάσθω Χριστὸς ὁ θεὸς ἡμῶν, καὶ προσκυνείσθω ἐν ἀληθείᾳ καὶ πνεύματι, ὡς θεὸς ὁμοῦ χρηματίζων καὶ ἄνθρωπος· προσκυνείσθω δὲ καὶ τὸ σεβάσμιον αὐτοῦ ἀπεικόνισμα, ὡς προσκυνεῖσθαι χρεών· καὶ γραφέσθω, γραπτὸν γὰρ ὡς ἀληθῶς καὶ περιγραπτὸν καὶ παθητὸν, ὅπερ ἐκ τῆς ἁγίας ἀειπαρθένου θεοτόκου προσείληφε σῶμα· εἴπερ καὶ αὐτὴ γραπτή τε καὶ περιγραπτὴ ἐτύγχανε, κἂν μὴ θέλωσιν οἱ παράφρονες· οὐ χωριζόμενον δὲ, κἂν γράφοιτο, τοῦ συνηνωμένου αὐτῷ καθ' ὑπόστασιν θεοῦ λόγου, ὥσπερ οὐδὲ τὰ ὑπὲρ ἡμῶν ὑπομένον πάθη, ἀπ' αὐτοῦ διέστηκεν· οὐδὲν γὰρ τούτων πρὸς διάστασιν ἐνεργῆσαι δύναται.

μα. Ἀλλὰ ταῦτα μὲν ἐπὶ τοσοῦτον· ἔπειτα δὲ τῶν θεοπτῶν ἄλλος, πρὸς τοὺς ἐν νόμῳ καὶ σκιαῖς λατρεύοντας, τῷ θείῳ ἐμπνεόμενος κεκράξεται πνεύματι· " οὐκ ἔστι μου θέλημα ἐν ὑμῖν, λέγει κύριος παντοκράτωρ· θυσίας οὐ ,, προσδέξομαι ἐκ τῶν χειρῶν ὑμῶν· διότι ἀπὸ ἀνατολῶν ἡλίου ἕως δυσμῶν ,, τὸ ὄνομά μου δεδόξασται ἐν τοῖς ἔθνεσι, καὶ ἐν παντὶ τόπῳ θυμίαμα προσ- ,, άγεται τῷ ὀνόματί μου, καὶ θυσία καθαρά· διότι μέγα τὸ ὄνομά μου ἐν ,, τοῖς ἔθνεσι, λέγει κύριος παντοκράτωρ· ,, ὁρᾶτε ὡς τὰ παλαιὰ ἐκβάλλεται, καὶ τὰ νέα ἡμῖν προδιαγράφεται; " θυσίαν γὰρ καὶ προσφορὰν οὐκ ἠθέ- ,, λησας, ὁ μέγας ψάλλει Δαβίδ· καὶ οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους, ,, οὐδὲ ἐκ τῶν ποιμνίων σου χιμάρους· καὶ τὰς νουμηνίας ὑμῶν καὶ τὰς ἑορ- ,, τὰς ὑμῶν μισεῖ ἡ ψυχή μου, ,, ὁ θεῖος διακέκραγεν Ἡσαΐας· διὰ τούτων δὲ τάς τε ἐναίμους θυσίας ἐκτρέπεσθαι ἡμῖν αἰνίττεται, τάς τε τῶν μηνῶν καὶ καιρῶν ἀκαίρους παρατηρήσεις τὲ καὶ παραδόσεις· δῆλον τοίνυν κἀντεῦθεν, ὡς τὴν καθαρὰν καὶ εἰλικρινῆ θυσίαν τὴν ἐν πνεύματι καὶ ἀληθείᾳ λατρείαν προεισκεκόμικεν ὁ τῶν ὅλων θεὸς, ᾗ δὴ καὶ χαίρει καὶ ἥδεται· ταύτην πᾶσα ἡ ὑφ' ἡλίῳ οἰκείαν αὐτῷ καὶ φιλαιτάτην προσάγειν οἶδεν, ὡς ὀσμὴν εὐωδίας ἀνιεροῦσα ἑκάστοτε· ποῦ οὖν ἐνταῦθα τόπον ἕξει τὸ τῶν εἰδώλων σέβας, καὶ οὐχὶ δὴ μᾶλλον ἀθέτησις παντελὴς καὶ ἀφάνεια; τί λέγετε; πείθεσθε τοῖς ἱεροῖς λόγοις τούτοις; ἀπόχρη γὰρ καὶ ταῦτα ἐκδυσωπῆσαι καὶ μαλάξαι τὴν ἀπιστίαν καὶ σκληροκαρδίαν ὑμῶν· ἢ βούλεσθε καλῶμεν καὶ ἄλλους τῶν θεηγόρων εἰς τὴν τῶν λόγων τούτων ἄρσιν; οἳ συλλήψονταί γε καὶ συνεργάσονται τοῖς προπεπονηκόσιν, ἐκφανεστέραν δὲ ὑμῶν τὴν παράνοιαν καὶ δυσσέβειαν ἀποφανοῦσι, βαρυτέραν τὲ καὶ ἐπιπονωτέραν τὴν δίκην ἐπιψηφιοῦνται· κοινὴν γοῦν ὥσπερ ἔσχον τὴν ἐνηχοῦσαν αὐτοῖς παρὰ τοῦ πνεύματος δωρεὰν καὶ σοφίαν, οὕτω δὴ κἂν τοῖς περὶ τῆς σωτηρίας ἡμῶν διακονουμένοις αὐτοῖς παρὰ θεοῦ λογίοις, ὁμογνώμονές τε καὶ σύνδρομα θέοντες δείκνυνται.

Εἶεν δὴ οὖν, καὶ ἑτέρας ταῖς εἰρημέναις ἐπισυμπλέκοντες τῶν θεοφόρων ῥήσεις, τὴν μὲν τοῦ Χριστοῦ ἐκκλησίαν διαβολῆς ἁπάσης καὶ μώμου παντὸς ἀπαλλάξομεν· τῶν δὲ δι᾽ ἐναντίας τὰ δόγματα, πάσης ἐμπληξίας καὶ ἀπάτης γέμοντα παραστήσομεν· καλείσθω τοίνυν πρὸς τὸν ἱερὸν τοῦτον σύλλογον Ἡσαΐας τῶν προφητῶν ὁ μεγαλοφωνότατος, καὶ συμφθεγγέσθω πόῤῥωθεν τοῖς τῆς διανοίας ὀφθαλμοῖς, ἅτε τὴν ψυχὴν τῷ θείῳ κεκαθαρμένος ἄνθρακι τὰ ἐσόμενα προορώμενος, καὶ λεγέτω· " ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις ἐμ-„ φανὲς τὸ ὄρος κυρίου, καὶ ὁ οἶκος τοῦ θεοῦ Ἰακὼβ ἐπὶ τῶν ὀρέων, καὶ „ ὑψωθήσεται ὑπεράνω τῶν βουνῶν, καὶ ἥξουσιν ἐπ᾽ αὐτὸν πάντα τὰ ἔθνη, „ καὶ πορεύσονται ἔθνη πολλὰ καὶ ἐροῦσι· δεῦτε ἀναβῶμεν εἰς τὸ ὄρος κυ-„ ρίου καὶ εἰς τὸν οἶκον τοῦ θεοῦ ἡμῶν, καὶ ἀναγγελεῖ ἡμῖν τὴν ὁδὸν αὐ-„ τοῦ, καὶ πορευσόμεθα ἐν αὐτῇ· ἐκ γὰρ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος „ κυρίου ἐξ Ἱερουσαλήμ· καὶ κρινεῖ ἀνὰ μέσον ἐθνῶν πολλῶν, καὶ ἐλέγξει „ ἔθνη πολλά· „ τίνες ἄρα εἶεν αἱ ἔσχαται ἡμέραι, σαφηνιεῖ πάλιν ὁ μακάριος Παῦλος Ἑβραίοις γράφων ὡδί· " πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ „ θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις, ἐπ᾽ ἐσχάτου τῶν ἡμερῶν „ τούτων ἐλάλησεν ἡμῖν ἐν υἱῷ, ὃν ἔθηκε κληρονόμον πάντων, δι᾽ οὗ καὶ τοὺς „ αἰῶνας ἐποίησε· καὶ αὖθις· νῦν δὲ ἅπαξ ἐπὶ συντελείᾳ τῶν αἰώνων, εἰς ἀθέ-„ τησιν ἁμαρτίας διὰ τῆς θυσίας αὐτοῦ πεφανέρωται· „ καὶ πάλιν Γαλάταις ἐπιστέλλων· " ὅτε ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ θεὸς τὸν „ υἱὸν αὐτοῦ γενόμενον ἐκ γυναικὸς, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νό-„ μον ἐξαγοράσῃ· καὶ Ἐφεσίοις ὡσαύτως· γνωρίσας ἡμῖν τὸ μυστήριον τοῦ „ θελήματος αὐτοῦ, κατὰ τὴν εὐδοκίαν αὐτοῦ, ἣν προέθετο ἐν αὐτῷ εἰς οἰκο-„ νομίαν τοῦ πληρώματος τῶν καιρῶν, ἀνακεφαλαιώσασθαι τὰ πάντα ἐν τῷ „ Χριστῷ, τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς· „ καὶ μὴν καὶ ὁ θεῖος Πέτρος τὸ τῆς ἐκκλησίας στήριγμα, οὕτω που φησίν· " ὅτι οὐ φθαρτοῖς ἀρ-„ γυρίῳ ἢ χρυσίῳ ἐλυτρώθητε ἐκ τῆς ματαίας ὑμῶν ἀναστροφῆς πατροπαρα-„ δότου, ἀλλὰ τιμίῳ αἵματι ὡς ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου Χριστοῦ, προε-„ γνωσμένου μὲν πρὸ καταβολῆς κόσμου, φανερωθέντος δὲ ἐπ᾽ ἐσχάτου τῶν „ χρόνων δι᾽ ἡμᾶς τοὺς δι᾽ αὐτοῦ πεπιστευκότας εἰς θεόν· „ καὶ ὁ τὰ θεῖα ἀπαστράπτων ὁ υἱὸς τῆς βροντῆς, " παιδία ἐσχάτη ὥρα ἐστί, φησι· καὶ καθὼς „ ἠκούσατε ὅτι ὁ ἀντίχριστος ἔρχεται, καὶ νῦν ἀντίχριστοι πολλοὶ γεγόνα-„ σιν, ὅθεν γινώσκομεν ὅτι ἐσχάτη ὥρα ἐστίν· „ ἀλλ᾽ ὧδε μὲν τελευτάτω τὰ τῶν ἐσχάτων· ὅτε μέν τοι πρὸς λῆξιν ἰόντος τοῦ χρόνου, καὶ πρὸς δυσμαῖς ὥσπερ καταφοιτῶντος τοῦ καιροῦ, ὡς ἐγγυτάτω τῷ τοῦ κόσμου ἀφίγμεθα πέρατι, τότε δὴ τότε τὸ εὐκλεὲς καὶ περίοπτον ὄρος καὶ οἶκος τοῦ θεοῦ, οὕτως ἐμφανὴς ἀναδέδεικται.

Τί δὲ δὴ βούλεται διασημαίνειν ἐνταῦθα τῷ θείῳ τούτῳ προφήτῃ ὁ λόγος, ἢ δῆλον ὡς ἐπὶ θειότερά τε καὶ ὑψηλότερα ἡμᾶς ἄντικρυς καλεῖ; ὅτῳ πείθεσθαί τε καὶ ἕπεσθαι τοὺς τὸ πνεῦμα παραδεξαμένους προσήκει μάλιστα,

μὴ μὴν ἔτι τῷ γράμματι προσκαθεδεῖσθαι καὶ τοῖς αἰσθητοῖς κατασύρεσθαι, ὕψου δὲ μᾶλλον διάττειν τὸν νοῦν, καὶ πρὸς τὰ κρείττω ἀπερείδειν καὶ τελεώτερα τὴν διάνοιαν, καὶ τῶν γηΐνων καὶ χαμερπῶν ἀπανισταμένους, ἐπέκεινα τῶν φαινομένων ὡς ἄριστα ἐπανάγεσθαι· ὄρος τοίνυν κυρίου ἐμφανὲς ὑποληπτέον, ὡς ἐν συντόμῳ εἰπεῖν, τῆς ἱερᾶς ἐκκλησίας τὸ περιφανὲς καὶ λαμπρὸν καὶ περίοπτον, καὶ ὅπερ αὐτὴν καταχρυσοῖ καὶ κατακαλλύνει φαιδρῶς καὶ μάλα κοσμίως τῶν εὐαγγελικῶν διδαγμάτων τὸ διαφανὲς καὶ ὑπερύψηλον καὶ ἐπηρμένον ἐν δόγμασι, καὶ πᾶν ὑπεραῖρον ὑψηλὸν καὶ μετάρσιον· ὧν τὰ ἀπηχήματα καὶ κηρύγματα διαῤῥήδην κέκραγε, καὶ ταῖς ἁπάντων ἀκοαῖς ἐμβοᾷ διαπρύσια, τὴν ἔκφανσιν τοῦ θείου μυστηρίου ποιούμενα· χρόνοις μὲν αἰωνίοις σεσιγημένου, φανερωθέντος δὲ διὰ γραφῶν ἁγίων· τὸ δέ ἐστιν ἡ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ οἰκονομία, ἣν φιλανθρώπως περὶ τὸ γένος ἐπεδείξατο τὸ ἀνθρώπειον, καὶ τῶν ἐντεῦθεν ἡμῖν πεφορημένων ἀγαθῶν τήν τε γνῶσιν καὶ τὴν ἐλπίδα, καὶ τίνι προσερχόμεθα τοῦ εὐαγγελιστοῦ τῶν τοιούτων ἀκουσόμεθα λέγοντος· " οὐ γὰρ προσεληλύθατε ψηλαφωμένῳ ὄρει, καὶ κεκαυμένῳ „ πυρὶ, καὶ σκότῳ, καὶ θυέλλῃ, καὶ σάλπιγγος ἤχῳ, καὶ φωνῇ ῥημάτων, ἧς „ οἱ ἀκούσαντες παρῃτήσαντο μὴ προστεθῆναι αὐτοῖς λόγον, οὐκ ἔφερον γὰρ τὸ „ διαστελλόμενον, ἀλλὰ προσεληλύθατε Σιὼν ὄρει, καὶ πόλει θεοῦ ζῶντος, „ Ἱερουσαλὴμ ἐπουρανίῳ, καὶ μυριάσιν ἀγγέλων πανηγύρει, καὶ ἐκκλησίᾳ „ πρωτοτόκων ἐν οὐρανοῖς ἀπογεγραμμένων, καὶ κριτῇ θεῷ πάντων, καὶ πνεύ- „ μασι δικαίων τετελειωμένων, καὶ διαθήκης νέας μεσίτῃ Ἰησοῦ, καὶ αἵματι „ ῥαντισμοῦ κρεῖττον λαλοῦντι παρὰ τὸν Ἄβελ· „ οὕτως οὖν ὅ τε προφητικὸς λόγος, καὶ τὸ ἀποστολικὸν κήρυγμα ἐπὶ τὰ οὐράνια τὸν νοῦν ἡμῶν πτεροῖ, καὶ τὰ ἐκεῖσε περινοεῖν καὶ καταθεᾶσθαι κάλλη, καὶ τὴν τῶν ἐναυλιζομένων καὶ εὐφραινομένων ἐν αὐτοῖς ἁγίων παρεγγυᾷ περισκοπεῖσθαι πανήγυριν, καὶ τὰ εὐαγγελικὰ ἡμῖν εἰσηγεῖται καὶ κατεπαγγέλλεται θεαυγῆ καὶ εὔσημα δόγματα· οἶκος θεοῦ ἡ τοῦ θεοῦ ἐκκλησία δηλαδὴ, καθὰ δοκεῖ καὶ τῷ θείῳ Παύλῳ Τιμοθέῳ ἐπιστέλλοντι, ἐν οἷς εἰδέναι ἔφασκε " πῶς δεῖ ἐν οἴκῳ θεοῦ „ ἀναστρέφεσθαι, ἥ τις ἐστὶν ἐκκλησία θεοῦ ζῶντος· „ τοιαῦται τῶν πεπιστευκότων αἱ ψυχαὶ, διὰ λόγου ὀρθοῦ καὶ πολιτείας ἀρίστης καθαιρόμεναι, τὸν ἐπὶ πάντων θεὸν ἔνοικον ἐν αὐταῖς ἔχουσαι καθ' ὃ εἴρηται " ἐνοικήσω ἐν „ αὐτοῖς, καὶ ἐμπεριπατήσω, καὶ ἔσομαι αὐτῶν θεὸς, καὶ αὐτοὶ ἔσονταί μοι „ εἰς λαόν. „

Οὕτω δὴ θεοειδὴς ὢν ὁ οἶκος ἐπ' ἄκρων τῶν ὀρέων τῶν ὑψηλῶν καὶ διαβεβηκότων ἐν θεωρίᾳ καθίδρυται, ὧν τὰ φρονήματα καὶ νοήματα τῶν ἐπιγείων καὶ ταπεινῶν ὑπερανεστήκεσαν, προφητῶν τε ἁγίων καὶ ἀποστόλων, λαμπρῶς διαφαινόμενα, ἐφ' ὧν ὡς θεμελίων τῆς πίστεως ἡ ἐκκλησία τοῦ θεοῦ οἰκοδομουμένη ἐπεστήρικται· πρὸς οὖν τοῦτο τὸ ὄρος καὶ τὸν οἶκον πόῤῥωθεν οἱ ἐξ ἐθνῶν ἐπειγόμενοι, μονονοῦ σαφῶς καὶ εἰς προβούλιον καθίστανται, τὴν ἐνταῦθα ἀλλήλοις ἀνάβασιν διακελευόμενοι, ἐφ' ᾧ ἀναγγελήσεσθαι αὐτοῖς τὴν

ὁδὸν ἐκείνην, ἣν ἐσπούδαζον καταλήψεσθαι· τίς δὲ δὴ πάλιν ἐστὶν ἡ ὁδός; αὐτὸς ὁ κύριος ἐν εὐαγγελίοις βοᾷ· “ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια· καί, αἱ ὁδοὶ κυρίου εὐθεῖαι καὶ αἱ τρίβοι ἀληθεῖς·” εἰς ἣν καὶ ὁδηγεῖσθαι οἱ ἅγιοι, πάλαι πρὸς τὸν τῶν ὅλων θεὸν ἀνεκεκράγεσαν· ταύτην οὖν τὴν ὁδὸν καὶ τὴν τρίβον εὔστιβῆ τε καὶ εὐεπίβατον ἡ ἐξ ἐθνῶν ἐκκλησία διαστείχουσα, ἐκ τῆς χαμόθεν ἀπιστίας ἐπὶ τὴν ὑψηλὴν ἀναφοιτᾷ τῆς θείας ἐπιγνώσεως ἄνοδον, καὶ πρὸς τὴν ἄνω πόλιν Ἱερουσαλὴμ, τὴν ἀκατάλυτον καὶ τῶν ἁγίων μητρόπολιν, ἐνθένδε ἰοῦσα καὶ τὸν παρόντα ἐξανύουσα χρόνον, σαββατίσαι καὶ καταπαῦσαι διὰ πίστεως ἀπεκδέχεται· κατίδοι δ' ἄν τις καὶ μάλα εὐπετῶς, καὶ οὕτω τῆς προφητικῆς ῥήσεως τὸ ἀπλανές τε καὶ ἀψευδέστατον· καὶ γὰρ καὶ ἐν τοῖς ἱεροῖς οἴκοις ἤτοι τοῖς θείοις ναοῖς, πανταχοῦ τῆς οἰκουμένης κατεσπαρμένοις, ἁγιασμῷ τε καὶ δόξῃ ἐκπρεπῶς ἠγλαϊσμένοις τὲ καὶ κατεστεμμένοις, καὶ ὄρεσιν ἀμφιλαφέσιν ἀπεικασμένοις, καὶ ὕλαις βαθείαις καὶ εὐθαλέσι πεπυκασμένοις, καθαίρονται μὲν ἁμαρτίας, ἁγιάζονται δὲ ψυχάς τε καὶ σώματα, καὶ θείας ἅπαντες ἀποπληροῦνται τῆς χάριτος οἱ πόθῳ προσιόντες ἄνθρωποι καὶ σεβάσματι.

Ἐν τούτοις οὖν ἐκ πασῶν γλωσσῶν τε καὶ γενεῶν περιαγειρομένοις ἑκάστοτε, τὰ θεῖα μυστήρια ἐκκαλύπτεται παρὰ τῶν ἱερῶν ἀναγνωσμάτων καὶ κατηχήσεων, καὶ τὸ σωτήριον θῦμα καὶ παντὸς τοῦ κόσμου καθάρσιον σφαγιαζόμενον, τὴν ἐκ τῶν ἁμαρτάδων αὐτοῖς ἐλευθερίαν, πίστει καὶ λογισμῶν προστρέχουσι καθαρότητι καὶ μεταλαγχάνουσιν, ὡμολόγηται παρεχόμενον· ἐξ ὧν δὴ πληθυνομένων τὲ καὶ κατευρυνομένων, τὰ τῶν εἰδώλων τεμένη καὶ οἱ βωμοὶ κραταιῶς κατεσείσθησάν τε καὶ καταβέβληνται. οὐδὲ ὅσον εἰδωλικῆς βδελυρίας εἰς μνήμην πιστοὺς ἰέναι, παντὸς ἐθνικοῦ καὶ θνητοῦ φρονήματος ἀνεπιδέκτους εἰσαεὶ διαμένοντας· “ἐκ Σιὼν δὲ ἐξελεύσεται νόμος, καὶ λόγος κυρίου ἐξ Ἱερουσαλήμ·” ἐκ γὰρ ταύτης τῆς αἰσθητῆς, οἷα τύπου οὔσης τῆς ἄνω Ἱερουσαλὴμ, ὁ θεῖος λόγος ἐμφανῶς ἐξελήλυθε, πάντα διαλαβὼν τῆς οἰκουμένης τὰ πέρατα· ἐνταῦθα γὰρ ἅπαντα τὰ τῆς σωτηρίας ἡμῶν ἐπράχθη μυστήρια· κατὰ τοσοῦτον δὲ τοῦ ἐν σκιαῖς καὶ ἐν γράμμασι κειμένου νόμου, ὃς ἐν τῷ ὄρει ἐκείνῳ τῷ Σινᾷ δι' ἀγγέλων λελάληται ὑπερανίσχειν πεπίστευται, καθ' ὅσον τῶν ὑλικῶν ὑπεραίρει τὰ ἄϋλα· ἐντεῦθεν καὶ οἱ ἱεροὶ ἀπόστολοι, τὰ ἔθνη ὡς μαθητεύσοντες, ἐξεπέμφθησαν ἐκπορεύεσθαι, τὴν λείαν ἐκείνην καὶ εὐθυτάτην καὶ σωτήριον ὁδὸν αὐτοῖς ἀνακαθαίροντες· “καὶ κρινεῖ ἀνὰ μέσον ἐθνῶν πολλῶν·” οἱ γὰρ ἄρτι τῷ λόγῳ τῆς χάριτος προσερχόμενοι, καὶ τὸ δέον μεταμανθάνοντες, τῆς πρὶν κεκρατηκυίας ἀπιστίας, ὑπ' αὐτῆς τῶν πραγμάτων ἀληθείας εἰς συναίσθησιν ἐρχόμενοι καταγινώσκουσιν, οἴκοθεν τοὺς ἐλέγχους τῶν οὐχ' ὁσίως πεπραγμένων ἐπιφερόμενοι, καὶ αὐθαίρετον τῶν ἀποῤῥήτων τὴν γραφὴν δημοσιεύοντες· ὧν συνετῶς καὶ ἐχεφρόνως τὸ βλαβερὸν καὶ κινδυνῶδες διαπτύοντες, ἐπὶ τὰ κρείττω καὶ συμφέροντα καὶ σωτηρίας ἐχόμενα ταῖς σπουδαῖς χρώμενοι μετατίθενται· ὅτι δὲ οἱ περὶ τὰ

χειροποίητα πόνοι καὶ ἡ ἐλπὶς ἐξηφάνισται, καὶ τῶν δι' αὐτῶν τιμωμένων δαιμόνων ἡ θεραπεία κατήργηται, ἀπὸ προσώπου τῆς δόξης τῆς ἰσχύος τοῦ παραγεγονότος σωτῆρος, θραύοντος ὥσπερ καὶ καταῤῥηγνύντος τὰ γήϊνα καὶ χοϊκὰ φρονήματα τῶν τοῖς εἰδώλοις προσκειμένων, τὰ μικρὸν ὕστερον ἐπαγόμενα τῷ θεοφόρῳ δηλώσει· φησὶ γάρ· " καὶ τὰ χειροποίητα πάντα κατακρύ- ,, ψουσιν, εἰσενέγκαντες αὐτὰ εἰς τὰ σπήλαια καὶ εἰς τὰς σχισμὰς τῶν πε- ,, τρῶν, καὶ εἰς τὰς τρώγλας τῆς γῆς, ἀπὸ προσώπου τοῦ φόβου τοῦ κυρίου, ,, καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν· ,, δι' αὐτῶν γὰρ ἤδη πᾶσιν ἐναργὴς καθέστηκε τοῖς ὀρθὰ φρονεῖν ᾑρημένοις, τῶν δαιμονικῶν ἀγαλμάτων ἥ τε ἀναίρεσις καὶ ἀφάνεια· ὡσαύτως δὲ καὶ τὰ τούτοις ἑπόμενα, τῆς αὐτῆς ἐννοίας ἔχεται· ἐπάγει γοῦν· " τῇ γὰρ ἡμέρᾳ ἐκείνῃ ,, ἐκβαλεῖ ἄνθρωπος τὰ βδελύγματα αὐτοῦ τὰ ἀργυρᾶ καὶ χρυσᾶ, ἃ ἐπεθύ- ,, μησαν προσκυνεῖν τοῖς ματαίοις καὶ ταῖς νυκτερίσι, τοῦ εἰσελθεῖν εἰς τὰς ,, τρώγλας τῆς στερεᾶς πέτρας, καὶ εἰς τὰς σχισμὰς τῶν πετρῶν, ἀπὸ προσώ- ,, που τοῦ φόβου κυρίου, καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἀναστῇ ,, θραῦσαι τὴν γῆν. ,,

μβ. Ζητήσαι δ' ἄν τις τὴν ἡμέραν ὁποία ποτ' ἂν εἴη, καθ' ἣν ἐκβαλεῖ ἄνθρωπος τὰ βδελύγματα αὐτοῦ τὰ ἀργυρᾶ καὶ τὰ χρυσᾶ, εὕροι δ' ἂν καὶ μάλα σαφῶς ταύτην ἐκείνην εἶναι, ἐν ᾗ ὁ τῶν ὅλων τῷ κόσμῳ ἐπιδεδήμηκε κύριος, ὃς αὐτοῦ τῇ παρόδῳ δήσας τὸν ἰσχυρὸν, ᾐχμαλώτευσε καὶ διήρπασεν αὐτοῦ τὰ σκεύη, τοὺς κεκρατημένους ὑπὸ τῆς ἐκείνου τυραννίδος δηλαδὴ, καθὰ γέγραπται· " διότι, φησὶ, πρὶν ἢ γνῶναι τὸ παιδίον καλεῖν πατέρα ἢ μητέρα, ,, λήψεται δύναμιν Δαμασκοῦ, καὶ τὰ σκῦλα Σαμαρείας ἔναντι βασιλέως Ἀσ- ,, συρίων· ,, μητροπόλεις δὲ αὗται Δαμασκὸς καὶ Σαμάρεια, ἡ μὲν Συρίας τὸ τηνικαῦτα προκαθεζομένη, καὶ τὴν τῶν Σύρων περιβεβλημένη δυναστείαν· ἡ δὲ τῶν δέκα φυλῶν τῶν ἐξ Ἰσραὴλ καταγόντων τὸ γένος ἐξάρχουσα· ἀμφότεραι δὲ ἄγαν κατείδωλοι, καὶ τοῖς τοῦ διαβόλου ζυγοῖς ὑποβεβλημέναι, δύναμίν τε καὶ κτῆσιν πᾶσαν καὶ εἰδώλων ἰδέαν πεπορισμέναι, καὶ πλάνῃ κακοδαιμονίας μάλιστα ἐνισχημέναι, καὶ ὥσπερ ἀνάκτορόν τι καὶ ἀνάθημα οἰκεῖον τὲ καὶ ἰδιαίτατον, τῷ τοῦ πονηροῦ ἀνατεθειμέναι κράτει· διὰ δὴ τούτων τῶν πόλεων οἷα ἐξόχων οὐσῶν καὶ ὑπερφερουσῶν ἐν κακίᾳ, ὡς ἀπὸ μέρους τὸ πᾶν ἡμῖν ὁ προφητικὸς κατεσήμηνε λόγος, τῆς τε ἐθνικῆς μοίρας, καὶ τῶν ἐκ περιτομῆς πεπιστευκότων· οὕτως τὸ γεννηθὲν ἡμῖν παιδίον, καὶ νηπιάσαι δι' ἡμᾶς εὐδοκῆσαν, καταληΐζεται καὶ ἀφαιρεῖται τὰ σκῦλα τοῦ ἐχθροῦ καὶ τὴν δύναμιν· τουτέστιν ἀφήρπασεν ἐκ τῆς χειρὸς αὐτοῦ πᾶν τὸ κατεζευγμένον αὐτῷ καὶ κατισχημένον καθ' ὧν ἐδυνάστευεν· ἐντεῦθεν τὸν λόγον Σαμάρεια δέδεκται, ἀποσεισαμένη τὰ πάτρια ἔθη καὶ νόμιμα· οὕτω χριστιανοὶ καὶ εἶναι καὶ ὀνομάζεσθαι οἱ τὴν Ἀντιόχου ἔχοντες ἐχρημάτιζον, καίτοι πρὸς τὴν εἰδωλικὴν πλάνην τὸ ἄστυ περιφανέστατον, καὶ τῶν πολλῶν ἐν κακίᾳ ἐπισημότατον· καὶ γὰρ οὖν περὶ αὐτὸ καὶ ἱερὸν τοῦ Ἀπόλλωνος ἵδρυτο, καὶ ἡ ἐκεῖθεν ἐνεργοῦσα

τοῦ ἐμφωλεύοντος δαίμονος ἐξαπάτη περίπυστος, ὅμως τὸν κακῶς ἐντεθησαυρισμένον τοῦ σατανᾶ πλοῦτον καλῶς ἐσκυλεύοντο, καὶ τὰ χρυσᾶ καὶ ἀργυρᾶ διεῤῥίπτουν ἀγάλματα.

Οὕτως ὁ τῶν ἐθνῶν ἀπόστολος Κορινθίους πρὸς τὴν γνῶσιν τῆς ἀληθείας ἀντεπανήγαγε· καὶ τοῦτο δεδήλωκε γεγραφὼς ὡδὶ πρὸς αὐτούς· " οἴδατε ὅτι ,, ὅτε ἔθνη ἦτε, πρὸς τὰ εἴδωλα τὰ ἄφωνα ὡς ἂν ἤγεσθε ἀπαγόμενοι· ,, οὕτως ἐκ τοῦ βωμοῦ, τοὺς τοῦ βωμοῦ καὶ κατὰ πάντα δεισιδαιμονεστέρους ὁρῶν, εἷλεν Ἀθήνησι καὶ ἄλλος ἀλλαχῆ τῶν ἀποστόλων, τὰ ἔθνη διαλαχόντες τοῦ ἐχθροῦ τὰ ταμιεῖα, καὶ θησαυροὺς τοὺς ἐζωγρημένους εἰς τὸ ἐκείνου θέλημα διήρπασαν, καὶ τῷ δεσπότῃ τῶν ὅλων πρωτόλειον ὥσπερ καὶ ἀπαρχὰς ἤδη προσήγαγον· κατὰ τοῦτον δὴ τὸν καιρὸν καὶ τὴν ἡμέραν ἐξέβαλον, τουτέστι βδελυρὰ ἡγοῦντό τε καὶ διέπτυον· ἐκεῖνα δὴ τὰ χειρόκμητα, καὶ τῶν διανοιῶν ἐξωστράκιζον· ὡς μὴ δὲ μνήμης αὐτῶν ἀνέχεσθαι πώποτε, ἤδη δὲ καὶ τὴν ὕλην αὐτὴν, κἂν τῶν τιμιωτάτων οὖσα ἐτύγχανε παρὰ τοῖς πολλοῖς, διὰ φιλοθεΐας ὑπερβολὴν, παρεῤῥιμμένην καὶ καταπεφρονημένην δεδόχθαι, τὴν δὲ τῷ Θεῷ μόνῳ πρέπουσαν θυσίαν ἀνατιθέναι· οὐκοῦν τὸ κίβδηλον καὶ ἀπατηλὸν ἐκείνων ἀποπεμπόμενοι, ἐπὶ τὴν στερεὰν πέτραν ἀναγκαίως καὶ ἄγαν εὐκαιρότατα ἠπείγοντο· ἡ δέ ἐστιν, ὡς ὁ τῆς καθ' ἡμᾶς θεοσοφίας ἐξεπίσταται λόγος, ὁ Χριστὸς καὶ Θεὸς ἡμῶν· φησὶ γὰρ ὁ καταλαβὼν ὅσον κατελήφθη· " ὡς οἱ πατέ- ,, ρες ἡμῶν πάντες τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον, καὶ πάντες τὸ αὐτὸ ,, πόμα πνευματικὸν ἔπιον· ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας. ,, ἡ δὲ πέτρα ἦν ὁ Χριστός· ,, ὁ δ' αὖ κεκαθαρμένον τὸ τῆς ψυχῆς ὄμμα καὶ διαυγὲς ἔχων " ἰδοὺ τίθημι, ἔφη, ἐν Σιὼν λίθον προσκόμματος, καὶ πέτραν ,, σκανδάλου· καὶ πᾶς ὁ πιστεύων ἐπ' αὐτῷ οὐ καταισχυνθήσεται· ,, τὸ μὲν, διὰ τοὺς προσκεκρουκότας· τὸ δὲ, διὰ τοὺς πεπιστευκότας· καὶ Μωσέα ἴσμεν δή που τῇ πέτρᾳ καλυπτόμενον, καὶ μόλις προσβλέψαντα τὰ ὀπίσθια Θεοῦ, ἐκεῖθεν ἀποκαλυπτόμενον, καὶ ταῦτα συμβολικῶς ἀμυδρὰ τῆς οἰκονομίας τῆς σωτηρίου διδασκόμενον ἀπηχήματα.

Καὶ Δαβὶδ ὁ θεῖος ἐν πέτρᾳ ἑαυτὸν ἡμῖν ὑψούμενον εἰσκεκόμικε· καὶ ἄλλα ἄττα πρὸς τῶν ἱερῶν λογίων ἐκπεφασμένα, καὶ μυστικῶς τὴν πέτραν ταύτην ἡμῖν ὑποφαίνοντα πεπαιδεύμεθα, ἧς δὴ τὰς σχισμὰς καὶ τὰς τρώγλας εἰσδύονται, οἱ πρὸς αὐτὴν καταφεύγοντες· ἅς τινας δὴ ταύτας ὑποληπτέον; τά τε τῆς θεολογίας ὑψηλὰ καὶ ἀπόῤῥητα, καὶ τῆς κατὰ Χριστὸν οἰκονομίας τὰ ἐνδότατα καὶ ἀποκεκρυμμένα μυστήρια· ὅτι ἐν αὐτῷ πάντες οἱ θησαυροὶ τῆς γνώσεως καὶ τῆς σοφίας ἀπόκρυφοι· ἃ πρῶτα μὲν ἐμφανῆ τοῖς ἀπ' ἀρχῆς αὐτόπταις καὶ ὑπηρέταις τοῦ λόγου καθέστηκε, δι' αὐτῶν δὲ καὶ ἡμῖν, καθ' ὅσον ἐφικτὸν, τοῖς μετέπειτα ἐκκαλύπτεται καὶ σοφῶς ὑπανοίγεται· ὁπηνίκα τῶν ταῦτα εὐαγγελιζομένων, ὁ μὲν τῆς βροντῆς υἱὸς ἄνωθεν ἐμπνεόμενος, καὶ πρὸς τὰ ὕψη τῆς θεωρίας τὸν καθαρώτατον καὶ ἀκηλίδωτον νοῦν ἀνανηξάμενος, καὶ τὰ θεῖα ἐνθέως μυούμενος, ἐκεῖθεν ἡμῖν τὴν τοῦ λόγου πρὸς τὸν

πατέρα συναΐδιον καὶ ὁμότιμον ἀπέστραψεν ὕπαρξιν " ἐν ἀρχῇ εἶναι τὸν λόγον, καὶ πρὸς τὸν Θεὸν εἶναι, καὶ Θεὸν εἶναι ,, διατρανῶν καὶ ἐκπαιδεύων σαφέστατα· ὁ δὲ εἰς τὰ τῆς Θείας συγκαταβάσεως, καθ' ὅσον παρὰ τῆς χάριτος ἐνελάμπετο, ἀφικόμενος βάθη, τοῦ Ἰησοῦ Χριστοῦ τὴν γέννησιν θεοπρεπῶς ὥσπερ ἦν εἰσηγήσατο· εἶεν δ' ἂν ταῦτα εἴποι τις ἂν καὶ λίαν ὀρθότατα, εἰς ἃ ἐπεθύμουν παρακύψαι καὶ ἄγγελοι, ὡς ποτὲ καὶ αὐτοῖς ἀποκεκρυμμένα καὶ ἄβατα, κατὰ καιροὺς δὲ θεοκρίτως οἰκονομούμενά τε καὶ ἐκφαινόμενα· εἰς ταύτας τοίνυν τῆς σοφίας καὶ τῆς πέτρας, τὰς μυστικὰς καὶ ἀνεκφράστους ῥωχμάς τε καὶ σπήλυγγας, ὁ εἰσδὺς διὰ πίστεως, τῶν μὲν κρειττόνων καὶ τελεωτέρων τὴν γνῶσιν συνερανίζεται, καὶ πρὸς τὴν σώζουσαν ποδηγεῖται τρίβον, σκέπεταί τε καὶ φρουρεῖται, οἷα τηρούμενος ἀπὸ πάσης καυστικῆς καὶ φθοροποιοῦ τῶν πονηρῶν δυνάμεων, τῶν τὰ βάθη τῆς ψυχῆς διασμυχόντων καὶ καταπιμπράντων ἐνεργείας, ποικίλας δὲ καὶ πολυειδεῖς τῆς χάριτος διακληροῦται τὰς δωρεάς· " ᾧ μὲν γὰρ τῶν προσιόντων καὶ πιστευόντων δίδοται λόγος σοφίας, ᾧ .. δὲ λόγος γνώσεως κατὰ τὸ αὐτὸ πνεῦμα· ἑτέρῳ δὲ πίστις, ἄλλῳ δὲ χαρί- ,, σματα ἰαμάτων, ἄλλῳ δὲ ἐνεργήματα δυνάμεων, καὶ ἑτέρῳ ἕτερα· ,, ὡς συλλαβόντα εἰπεῖν, πάντα ἐνεργοῦντος ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται· ἐνθένδε τε ἐπὶ τὰς μονὰς ἐκείνας, τὰς πολλάς τε καὶ διαφόρους καὶ τῷ πατρὶ εὐτρεπιζομένας, διὰ τοὺς τῆς κλήσεως ἀναλόγως πολιτευσαμένους ἀφίξεται.

μγ. Οὕτω τοίνυν οἱ πάλαι ὑποτεταγμένοι τῇ ματαιότητι, εἴ που τὸ λαμπρὸν τοῦ χρυσοῦ ποτε κατεπλάγησαν, ἢ τὸ διαφανὲς τοῦ ἀργύρου ἐτεθήπεσαν, αὐτήν τε τὴν ὕλην καὶ τὰ ἀπ' αὐτῆς διειργασμένα τῶν ἀνοήτων εἰς προσκύνησιν, εἰς τοῦτο γὰρ σκαιότητος καὶ φρενοβλαβείας κατώλισθον, ἐν ἴσῳ που καὶ θεοῦ σεβάσματι ἀφρόνως τιθέμενοι, κἂν τοῖς εὐτελεστέροις τῶν ζώων προσεσχηκότες· καθὰ καὶ ἑτέρωθί που τῆς γραφῆς, μυίαν θεὸν Ἀκαρῶν τιμωμένην ἀκούομεν· ἤδη παρὰ τῶν διδασκάλων τῆς οἰκουμένης τὸν λόγον κατήχηνται, καὶ πεπιστεύκασιν ὅσα ὡς Θεὸς ὁ κηρυσσόμενος ὑπερφυῆ καὶ ἐξαίσια, τὸ μεγαλουργὸν τῆς θείας δυνάμεως ἐνδεικνύμενος, τὴν γῆν ἐκπεριϊὼν τεθαυματούργηκεν· ὅσά τε ὡς ἄνθρωπος ὁ αὐτὸς, ὑπὲρ τῆς ἐλευθερίας τῆς ἡμετέρας ἑκὼν παθεῖν κατεδέξατο, τὸ ταπεινὸν καὶ εὐτελὲς τῆς καθ' ἡμᾶς πτωχείας ἀμφιεσάμενος· ὑπὸ δὴ τούτων τὸν φόβον κυρίου ἐν ταῖς ἑαυτῶν ψυχαῖς ὠδίνοντες, καὶ ἀπὸ τῆς δόξης καὶ ἰσχύος τῶν μεγαλείων αὐτοῦ ὑπερεκπληττόμενοι, πᾶσαν μὲν καταμυσαττόμενοι διεγέλασαν πλάνην, παντὸς δὲ προσύλου καὶ ἐμπαθοῦς φρονήματος ἐλευθέρας τὰς ἑαυτῶν ψυχὰς διετήρησαν· καὶ μηκέτι θεοποιεῖν τὴν κτίσιν μανθάνοντες, μὴ δὲ τοῖς ἔργοις προσκυνεῖν τῶν χειρῶν αὐτῶν, μόνῳ δὲ Θεῷ προσφέρειν τὴν λατρείαν προσήκουσαν· οὔτ' οὖν προσκυνοῦσιν ἢ σέβουσι, βδελύσσονται δὲ καὶ ἀπελαύνουσι δαίμονας, καὶ ὡς ἄγος ἐκτρέπονται, καὶ ἅπαν ἐκπορθοῦσιν εἰδώλων τὸ σέβασμα· ἐντεῦθεν τὴν φοβερὰν ἐκείνην καὶ μεγάλην τοῦ σωτῆρος ἡμῶν ἔλευσιν ἀπεκδέχονται, ὁπόταν μέλλοι κατὰ τὴν κοινὴν πάντων ἀνάστασιν, μετὰ τῆς πατρικῆς δόξης σὺν ἁγίοις ἀγγέλοις παρα-

γίνεσθαι, θραῦσαι μὲν καὶ κολάσαι τοὺς ἀπειθήσαντάς τε καὶ τραχηλιάσαντας, ἐπιῤῥεπῶς σχόντας πρός τε τὴν ὕλην καὶ τὰ ἐγκόσμια, καὶ τοῖς τοῦ κοσμοκράτορος ὑπεζευγμένους θελήμασι, τρυφῆς δὲ ἀκηράτου καὶ βασιλείας ἀξίους ἀναδεῖξαι τοὺς δουλεύοντας αὐτῷ καὶ ἠγαπηκότας αὐτοῦ τὴν ἐπιφάνειαν.

Ὅτι δὲ οἱ ταῦτα δεδιδαγμένοι, καὶ πρὸς τὸ τῆς θεογνωσίας ἀνιπτάμενοι φῶς, τῶν ματαίων καὶ ἀναισθήτων πάμπαν ἀφέξονται, καὶ πεπαύσεται ἡ πρὸς τὰ ἄψυχα μανία, ὁ αὐτὸς ἡμᾶς θεοφόρος ἐκδιδάξει, οὑτωσὶ λέγων· “ τὰ ὦτα „ δώσουσιν ἀκούειν, καὶ ἡ καρδία τῶν ἀσθενούντων προσέξει τοῦ ἀκούειν, καὶ „ αἱ γλῶσσαι αἱ ψελλίζουσαι ταχὺ μαθήσονται λαλεῖν εἰρήνην, καὶ οὐκέτι „ μὴ εἴπωσι τῷ μωρῷ ἄρχειν· καὶ οὐκέτι μὴ εἴπωσιν οἱ ὑπηρέται σου, σίγα· „ ὁ γὰρ μωρὸς μωρὰ λαλήσει, καὶ ἡ καρδία αὐτοῦ μάταια νοήσει τοῦ συν„ τελεῖν τὰ ἄνομα, καὶ λαλεῖν πρὸς κύριον πλάνησιν· „ ἐνταῦθα μὲν τὰ ὦτα προσέχειν καὶ ἀκούειν τῶν ἀσθενούντων, καὶ μέν γε καὶ τὰς γλώσσας τὰς ψελλιζούσας ταχὺ μαθήσεσθαι λαλεῖν, ὁ προφητικὸς λόγος προανακρούεται· τὰ παραπλήσια δὲ τούτοις, καὶ τὸν τρόπον καθ᾿ ὃν τὰ λελωβημένα καὶ διεστραμμένα ῥωσθήσεται καὶ διορθωθήσεται, οὐ πολλῷ ὕστερον ἀποδείκνυσι· πῶς δὲ ταῦτα ἐκβήσεταί τε καὶ διαπερανθήσεται; “ ὅτι τοι, φησὶν, ἥξει ὁ θεὸς „ ἡμῶν καὶ σώσει ἡμᾶς· τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν, καὶ ὦτα κωφῶν „ ἀκούσονται· τότε ἁλεῖται ὡς ἔλαφος ὁ χωλὸς, καὶ τρανωθήσεται γλῶσσα „ μογιλάλων· ὅτι ἐῤῥάγη ἐν τῇ ἐρήμῳ ὕδωρ, καὶ φάραγξ ἐν γῇ διψώσῃ· καὶ „ ἡ ἄνυδρος ἔσται εἰς ἕλη, καὶ εἰς τὴν διψῶσαν γῆν πηγὴ ὕδατος ἔσται· „ ἤδη δὲ καὶ ἑτέρωθι τὰ τούτοις ἐφάμιλλα φησί· “ καὶ ἀκούσονται ἐν τῇ ἡμέρᾳ „ ἐκείνῃ κωφοὶ λόγους βιβλίων, καὶ ἐν τῇ σκοτίᾳ καὶ τῇ ὁμίχλῃ ὀφθαλμοὶ „ τυφλῶν βλέψονται, καὶ ἀγαλλιάσονται πτωχοὶ διὰ κύριον ἐν εὐφροσύνῃ, „ καὶ οἱ ἀπηλπισμένοι τῶν ἀνθρώπων ἐμπλησθήσονται εὐφροσύνης. „ Ἆρ᾿ οὖν οὐ παντί τῳ σαφὲς ὡς διὰ τούτων τὴν τῆς ψυχῆς λώβην καὶ τὰ πάθη ὁ λόγος ἡμῖν ὑπαινίσσεται, καὶ τὴν ψευδῆ καὶ ἐνδιάστροφον δόξαν; ἣν δὴ περὶ τὴν ἀλήθειαν σκάζοντες, μᾶλλον δὲ τέλεον τῆς ἀληθείας ἀποπεπτωκότες, καὶ φύσει καὶ ἀληθῶς θεὸν ἀγνοοῦντες καὶ ἀθετοῦντες, οἱ πάλαι κτηνώδεις καὶ ἀνόητοι ἄνθρωποι ἀντὶ τῆς ὑγιοῦς καὶ εὐθυτάτης προείλοντο, καὶ τὴν πολύθεον ἐνόσουν πλάνην· οὐ γὰρ δή που τῶν σωματικῶν δὴ τούτων καὶ ἐν αἰσθήσει προφαινομένων τὴν πήρωσιν, κατὰ τὴν πρόχειρον αὐτῶν ἐκληπτέον ἀπόδοσιν· τὴν γὰρ ἐναποκειμένην αὐτοῖς ἐκβασανίζων τίς διάνοιαν, εὕροι καὶ ἄγαν εὐμαρῶς, διὰ τῆς τούτων ὀνομασίας τὰ τῆς ψυχῆς χαρακτηριζόμενα πάθη τὲ καὶ κινήματα· ἐπειδὴ τοῖς σωματικοῖς τούτοις μορίοις ὀργάνοις χρωμένη, ἅπερ ἂν κατὰ τὸν ἐντὸς ἄνθρωπον, καὶ τὸ κεκρυμμένον καὶ ἀφανὲς βουλευτήριον διατίθεται, καὶ λογίζεται, δρᾷ τε, καὶ ἐξανύει, καὶ ἐκκαλύπτει τὰ ἑαυτῆς ὁρμήματα καὶ βουλεύματα· οὕτως οὖν περὶ τὴν θείαν δόξαν, εἴ που τινὲς ἐσφαλμένην τὲ καὶ διεψευσμένην ἔχοιεν τὴν διάληψιν, περί τε τὴν τῶν πρακτέων διάσκεψιν ἁμαρτάνοιεν, τυφλώττειν τὲ καὶ χωλεύειν, ἢ ἄλλο γε τῶν εἰρημέ-

νων πάσχειν τί λέγοιντο ἂν εἰκότως, οὐκ ἂν πάντως τῆς ὄψεως ἢ τῆς βαδίσεως ἢ ἄλλης ἡστινοσοῦν ἐνεργείας συμπαραβλαπτομένης, καὶ τῇ τῶν λογισμῶν διατιθεμένης παρεκτροπῇ.

Τοὺς τοίνυν ἔτι τῇ ἀπιστίᾳ καὶ ἀθεΐᾳ κεκρατημένους, τοιούτους ὁ λόγος διαγράφει· δεξαμένους δὲ τῆς ἰατρείας τὴν χάριν, προηγουμένως μὲν ἠῤῥωστηκυίας τῇ δυσσεβείᾳ τὰς ψυχὰς, ἐῤῥῶσθαί τε καὶ διωρθῶσθαι, κεκαθάρθαί τε καὶ πεφωτίσθαι λημῶντα ἐξ ἀθεΐας τῆς διανοίας τὰ ὄμματα· ἑπομένως δὲ τῷ περιόντι τῆς πίστεως· οὐδὲν ἧττον καὶ αὐτὰ δή που καθηγιάσθαι τὰ μέλη, καὶ εὐεξίαν ἀρίστην ὅτι μάλιστα πεπορίσθαι, καλῶς τε αὐτοῖς ἐπ' εὐσεβείᾳ καὶ τῇ πρὸς θεὸν εὐθύτητι ἀποκεχρῆσθαι· ἥκοντος γὰρ τοῦ σώζοντος, οἱ μὲν τὴν πήρωσιν τοῦ ἀληθινοῦ φωτὸς νοσοῦντες ποτὲ κατὰ τὸν νοούμενον ὀφθαλμὸν, ὁρῶσι καθαρῶς εὐθύτητα νῦν· καὶ τῶν πεφωτισμένων τὸ ὀπτικὸν τῆς διανοίας ἕκαστος λέγει· " οἱ ὀφθαλμοί μου διὰ παντὸς πρὸς τὸν κύριον, ὅτι „ αὐτὸς ἐκσπάσει ἐκ παγίδος τοὺς πόδας μου· „ αἰτοῦσι γοῦν ὀφθαλμοὺς τοὺς νοεροὺς φωτίζεσθαι, ὥστε μὴ ὑπνώσειν εἰς θάνατον· εἶτα οἱ πρὶν τῆς καρδίας ἔχοντες βεβυσμένα τὰ ὦτα, παρέχουσιν ἠνεωγμένα καὶ εὐήκοα, εὔηχον αὐτοῦ τὴν φωνὴν κατακουτίζεσθαι τῆς αἰνέσεως· οὕτως αἱ ψελλίζουσαι τῶν μογιλάλων γλῶσσαι, αἱ ἄσημα καὶ ἀκαλλῆ μεμελετηκυῖαι ποτὲ παραφθέγγεσθαι, τὰ κωφὰ καὶ ἄψυχα θεοὺς ὀνομάζουσαι, τρανaί τε καὶ διηρθρωμέναι γενόμεναι, λαλεῖν εἰρήνην διὰ πίστεως μεμαθήκασι, τὸ μυστήριον τῆς τριάδος ἐξᾴδουσαι " καὶ ὅτι κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν θεοῦ πατρός· αὐτὸς „ γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν, καὶ τῆς εἰρήνης θεὸς, καὶ τῆς εἰρήνης αὐτοῦ οὐκ „ ἔστιν ὅριον· „ οὕτως μελετᾷν νυκτὸς καὶ ἡμέρας τοῦ θεοῦ τὰ λόγια παρεσκευάσαντο, καὶ λαλεῖν τὰς δυναστείας αὐτοῦ, καὶ τὰ θαυμάσια ἐκδιηγεῖσθαι, καὶ τὴν λογικὴν αὐτῷ λατρείαν προσφέρειν ἑκάστοτε, καθ' ὃ εἴρηται " ὅτι καρ„ δία μὲν πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν· „ οὕτως καὶ ὁ χωλεύων ποτὲ κατὰ τὴν ἐγκάρδιον πόρευσιν, ὀρθὰς ποιήσας τὰς τροχιὰς καὶ τὰς τρίβους, πρὸς τὴν τριπόθητον ἀγάπην τοῦ σώζοντος συμφλεγόμενος, κατὰ τὸν διψητικώτατον ἔλαφον ἐξάλλεται συντονώτατα· ψάλλει γοῦν· " ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ „ ἡ ψυχή μου πρὸς τὸν θεὸν τὸν ἰσχυρὸν τὸν ζῶντα· „ οὕτω συνελόντα φάναι, οἱ διψῶντες πρὸς τὴν πηγὴν τῆς ζωῆς καὶ τῆς ἀθανασίας ἐπείγονται Χριστὸν, τὸν καλοῦντα πάντας, διαῤῥήδην τὲ κεκραγότα " ὁ διψῶν ἐρχέσθω πρός „ με, καὶ πινέτω· „ καὶ ἀντλεῖν ὕδωρ ἐκ τῶν πηγῶν τοῦ σωτηρίου παρεγγυώμενον· ἐντεῦθεν ἡ διψῶσα τοῦ θεοῦ ψυχὴ τὸ σωτήριον κατάρδεται καὶ πιαίνεται, εὐθαλής τε λοιπὸν καὶ εὔκοσμος διαφαίνεται· εὐσεβείᾳ τὲ καὶ δικαιοσύνῃ καὶ ἀρετῇ πάσῃ τὸ εὐανθὲς καὶ λαμπρὸν κοσμουμένη ὡς ἄριστα· ἀλλὰ τὰ μὲν τῶν ψυχῶν τῶν δεδεγμένων τὴν ἐκ τῆς ἀπιστίας ἐλευθερίαν, τοιαῦτα καὶ οὕτω θεοπρεπῶς ἔχοντα, καὶ ἀξίως τῆς τοῦ εὐεργετοῦντος φιλοτιμίας καὶ ἀφθονίας, μᾶλλον δὲ φιλανθρωπίας, εἰπεῖν δικαιότερον.

Ὅτι δὲ ὁ παραγενόμενος τῶν ψυχῶν ἰατρὸς, καὶ τῶν σωμάτων ἧκε θεραπευτὴς, δείκνυσι τῶν τεθεραπευμένων ἡ πληθὺς ἡ ἀναρίθμητος· τῇ γὰρ πίστει τῇ εἰς τὸν εὐεργέτην τὰς ψυχὰς καθαιρόμενοι, ἑπομένως σύνδρομα δέχονται καὶ τῶν σωμάτων οἱ κάμνοντες τὰ ἰάματα, ἡνίκα τὰ μεγάλα ἐκεῖνα καὶ πολυειδῆ ἐτελεσιούργει τεράστια· τυφλοῖς μὲν γὰρ τὸ βλέπειν τερατουργῶν ἐχαρίζετο, λεπροῖς δὲ ἐνήργει τὴν κάθαρσιν, χωλοῖς τὰς βάσεις ἐπηνώρθου καὶ κατεῤῥώννυε· τοὺς παρειμένους καὶ κατεσκληκότας τὰ μέλη, ἀρτίους καὶ εὐσταλεῖς γινομένους ἀπέφαινε· δαιμόνων ἐπιτιμῶν τὰ στίφη ἀπήλαυνε, καὶ τοὺς ὑπ' αὐτῶν ὀχλουμένους, τῆς ἀγρίας ἐφόδου ἀπήλλαττε· καὶ ἄλλοις ἄλλα νοσοῦσι τὴν ῥώμην παρείχετο, καὶ ἁπαξαπλῶς πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ὡς θεὸς ὑπεράγαθος τὸ οἰκεῖον κατοικτείρων ποίημα, ἐν τῷ λαῷ θεραπεύων διετέλει· καὶ ἁμαρτημάτων, τὸ μεῖζον καὶ τελεώτερον, καὶ γὰρ ἐπ' ἐξουσίας ἦν αὐτῷ τῶν ἡμαρτημένων ἀνθρώποις ἡ ἄφεσις, τὴν ἐλευθερίαν δωρούμενος· οὕτως οἱ τοῦ λυτρωτοῦ καὶ σωτῆρος ἡμῶν μαθηταὶ, μιμηταὶ τῆς ἀφάτου αὐτοῦ φιλανθρωπίας γενόμενοι, ἐπεὶ τὴν δωρεὰν τοῦ πνεύματος ἐδέξαντο θαυματουργεῖν παραπλήσια, τὸν πρὸς τῇ ὡραίᾳ τοῦ ἱεροῦ προσαγορευομένῃ πύλῃ προσεδρεύοντα χωλὸν τελοῦσιν ἀρτίποδα· ἵνα καὶ ἐπ' αὐτῷ δὴ τούτῳ τὸ προφητευόμενον ἐκπεραίνοιτο " ἐξαλεῖται φάσκον ὡς ἔλαφος ὁ χωλός· ,, καὶ τἄλλα πάντα διὰ τῆς ἐνεργούσης χάριτος ἐπετέλουν ἐν τῷ λαῷ θαυμάσια οἷα, καὶ πρὸς τὴν ἀληθινὴν γνῶσιν ἐπέστρεφον.

Ἀλλὰ τοῖς μὲν εὐπειθέσι τε καὶ εὐγνώμοσιν, οὕτως ἄνωθεν τὰ τῆς ἐλευθερίας παρεσχέθη· τοῖς δὲ ἀπειθοῦσι τῇ ἀληθείᾳ, τί ἔδωκεν ὁ θεός; " πνεῦμα ,, κατανύξεως, ὀφθαλμοὺς τοῦ μὴ βλέπειν, καὶ ὦτα τοῦ μὴ ἀκούειν· ,, ἐπειδὴ ἀπεναντίας ἐκείνοις ἐν πᾶσιν ἦλθον· " ἀκοῇ γὰρ ἤκουσαν καὶ οὐ συνῆκαν, καὶ ,, βλέποντες ἔβλεψαν καὶ οὐκ εἶδον· ἐπαχύνθη γὰρ ἡ καρδία αὐτῶν, καὶ τοῖς ,, ὠσὶ βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν· ,, καιροῦ γὰρ ἐνεστηκότος καθ' ὃν τὸ ψεῦδος ἐπέλαβεν, οἱ τὸ πρὶν τῷ φωτὶ τῆς ἀληθείας κατηυγασμένοι, ἑκόντες τοὺς τῆς διανοίας ὀφθαλμοὺς ἀπετυφλώθησαν, καὶ τὰ ὦτα τῆς καρδίας ἀπέφραξαν, καὶ πρὸς τὴν ἐνέργειαν τῆς πλάνης προσκεχωρήκασιν, ὡς μὴ δι' αὐτῶν τῶν προφανῆ καὶ δεδημοσιευμένην ἐχόντων τὴν διάνοιαν προφητικῶν λογίων, ἀκούειν ἀνέχεσθαι· τί γὰρ τῶν ῥηθέντων ἢ ῥηθησομένων σαφέστερον ἢ λευκότερον; ἔχει γὰρ ὧδε· " τάδε λέγει κύριος ὁ θεὸς Ἰσραήλ· ,, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ πεποιθὼς ἔσται ὁ ἄνθρωπος ἐπὶ τὸν ποιήσαντα αὐτόν· ,, οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ ἐπὶ τὸν ἅγιον τοῦ Ἰσραὴλ ἐμβλέψονται· καὶ οὐ μὴ ,, πεποιθότες ὦσιν οὐκέτι ἐπὶ τοὺς ἀδικήσαντας αὐτοὺς, οὐδὲ ἐπὶ τοῖς βωμοῖς, ,, οὐδὲ ἐπὶ τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν, ἃ ἐποίησαν οἱ δάκτυλοι αὐτῶν· ,, ἀλλ' ἔσονται πεποιθότες ἐπὶ τὸν ἅγιον τοῦ Ἰσραὴλ, καὶ κόψονται τὰ δένδρα καὶ τὰ βδελύγματα αὐτῶν· ,, εἰ οὖν τὸ ὀπτικὸν τῆς διανοίας αὐτῶν μὴ πάντη ἐπεπήρωτο, καὶ τὸ τῆς ἀκοῆς αἰσθητήριον μὴ λίαν ἀπεβέβυστο, ἐλέγομεν ἂν πρὸς αὐτοὺς, ὅτι βλέψατε καὶ ἀκούσατε καὶ προσέχετε τῇ ἀληθείᾳ,

καὶ τοῖς λογίοις τοῖς θεοπνεύστοις μὴ ἀπειθήσητε· νῦν δὲ εἰς ἔσχατον παραπληξίας ἐλάσασι, τί ποτε ἄρα φαίη τις αὐτοῖς; ἢ ἐκεῖνό γε ὃ ἐν εὐαγγελίοις εἰρημένον ἐστίν; " ὅτι εἰ Μωσέως καὶ τῶν προφητῶν οὐκ ἀκούουσιν, οὐδὲ ἐάν „ τις ἐκ νεκρῶν ἀναστῇ, ἀκούσονται αὐτοῦ. „

Ἀλλ' οὗτοι μὲν εἰκῇ φλυαροῦντες ἐρυθριάτωσαν, τοὺς δὲ συνιέντας καὶ νήφοντας πεπεῖσθαι ἄξιον, ὡς πέπαυται μὲν καὶ κατήργηται τῶν ματαίων σεβασμάτων ἡ πλάνη· οὐκέτι οἱ τὸν ἑαυτῶν ἐπεγνωκότες κύριον καὶ ποιητὴν, καὶ τῆς ζωῆς αὐτῶν ἀρχηγὸν, εὐεργέτην τε ἐπὶ τηλικούτοις θαυμασίοις ὁμολογήσαντες, ἐπιστρέψαντες ἐπὶ τὸν ἴδιον ἔμετον, ἐροῦσι τῷ μωρῷ καὶ ἀναισθήτῳ καὶ κωφῷ, θεὸς ἡμῶν εἶ σὺ, καὶ σὺ ἡμᾶς ἐποίησας, καὶ τὰ ζωῆς πηδαλιουχεῖς τῆς ἡμετέρας, καὶ ἄρχεις ἡμῶν, καὶ εἰσηγῇ τὰ πρακτέα, καὶ μή· τί γὰρ τούτων ἀθλιώτερον ἢ φευκτότερον; δεῖν δὲ οἶμαι καὶ λίαν εὐκαίρως ἐπὶ τὴν τῶν ἐθνῶν παλινδρομῆσαι τῷ λόγῳ κλῆσιν, καὶ σκέψασθαι οἷα τούτων ἕνεκεν ὁ θεολόγος οὗτος φησί· " χώρα Ζαβουλὼν καὶ γῆ Νεφθαλεὶμ, καὶ οἱ λοιποὶ „ οἱ τὴν παραλίαν κατοικοῦντες καὶ πέραν τοῦ Ἰορδάνου, τὰ μέρη τῶν ἐθνῶν „ τῆς Ἰουδαίας, ὁ λαὸς ὁ καθήμενος ἐν σκότει, ἰδέτω φῶς μέγα· οἱ κατοι- „ κοῦντες ἐν χώρᾳ καὶ σκιᾷ θανάτου, φῶς ἀνέτειλεν ἐφ' ὑμᾶς· „ τῶν προφητικῶν τούτων ῥήσεων ἔνθεος καὶ σοφὸς ἐξηγητὴς, σαφῶς ἄγαν καὶ ἐμφανέστατα διαρθρῶν ἡμῖν αὐτῶν τὴν δύναμιν, καὶ τῶν προκηρυχθέντων διατρανῶν τὴν ἔκβασιν, Ματθαῖος ὁ θεῖος ἀπόστολος, ὁ τὴν εὐαγγελικὴν ἡμῖν ἱστορίαν συνθεὶς, ὥσπερ τινα ῥίζαν καὶ θεμέλιον τῆς καθ' ἡμᾶς προκαταβαλόμενος πίστεως, καὶ τῆς τοῦ σωτῆρος ἡμῶν οἰκονομίας ἔκδηλον καὶ καταφανὲς ποιούμενος τὸ μυστήριον, τοιάδε ἔφρασεν· " ἀκούσας ὁ Ἰησοῦς ὅτι Ἰωάννης παρεδόθη, ἀνε- „ χώρησεν εἰς τὴν Γαλιλαίαν· καὶ καταλιπὼν τὴν Ναζαρὲτ, ἐλθὼν κατῴκησεν „ εἰς Καπερναοὺμ τὴν παραθαλασσίαν ἐν ὁρίοις Ζαβουλὼν καὶ Νεφθαλείμ· „ ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου τοῦ προφήτου, λέγοντος· γῆ Ζαβουλὼν „ καὶ γῆ Νεφθαλεὶμ, ὁδὸν θαλάσσης πέραν τοῦ Ἰορδάνου, Γαλιλαία τῶν ἐθ- „ νῶν, ὁ λαὸς ὁ καθήμενος ἐν σκότει εἶδε φῶς μέγα, καὶ τοῖς καθημένοις ἐν „ χώρᾳ καὶ σκιᾷ θανάτου, φῶς ἀνέτειλεν αὐτοῖς· ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς „ κηρύσσειν καὶ λέγειν· μετανοεῖτε, ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν. „

Ὅτι μὲν ὁ προφητικὸς λόγος, ἤτοι ὁ εὐαγγελικὸς, εἰς ταὐτὸν γὰρ ἀμφότερα ἔρχεται, διὰ τούτων ἐθνῶν πρὸς τὸ φῶς τῆς ἀληθείας ἐπιστροφὴν εἰσκεκόμικεν, οὐδὲ μακροτέρων δεήσει πόνων τοῖς γε ὡς ἄριστα νοεῖν ἐθέλουσι, καὶ τῶν τῆς θεοπνεύστου γραφῆς λογίων οὐκ ἠμοιρηκόσι παντάπασιν· ἴσασι γὰρ οἱ ταῦτα πεπαιδευμένοι, ὅτι ἐν χώρᾳ καὶ σκιᾷ θανάτου οἱ τῆς ἐθνικῆς ἀλογίας ἐκάθηντο, οἷον ἐν σκότῳ βαθεῖ τῆς ἀγνοίας πεπεδημένοι, καὶ τῇ ἀχλύϊ τῆς ἁμαρτίας κατασκιαζόμενοι, ἅτε τῷ θείῳ φωτὶ τέως οὐδαμῶς περιαυγαζόμενοι, τῆς εἰδωλομανίας δὲ τῷ ζόφῳ τὰς ψυχὰς καταμελαινόμενοι, ὃ δὴ θανάτου χαλεπώτερόν τε καὶ δυσαχθέστερον ἂν εἴη· ψυχῆς γάρ ἐστιν ὄλεθρος, καὶ ζωῆς τῆς ἀληθοῦς παντελὴς ἀπότευξις· τούτοις οὖν, φησι, τοῖς ἐν σκότῳ

τῆς ἀγνοίας οἰκοῦσιν ἡ σωτήριος ἐπέλαμψε χάρις, καὶ ὁ τῆς δικαιοσύνης ἀνέτειλεν ἥλιος. τὴν νύκτα τῆς ἀγνοίας σκεδαννύς· περιήει γὰρ κηρύσσων τὴν μετάνοιαν, ὡς ἀποστῆναι μὲν τῆς τῶν ἀρχόντων τοῦ σκότους ἐξουσίας, διαγελάσαντας αὐτῶν τὴν ἀσθένειαν καὶ ἀπατηλὴν ἐνέργειαν, καλουμένους δὲ τῷ φωτὶ τοῦ προσώπου κυρίου πορεύεσθαι, τοῦ λέγοντος· " ἐγὼ φῶς εἰς τὸν κόσμον ,, ἐλήλυθα· καὶ, ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου· καὶ, ὁ περιπατῶν ἐν τῷ φωτὶ ,, οὐ προσκόπτει· ,, ἵνα προσερχόμενοι πρὸς αὐτὸν φωτίζωνται, καὶ μὴ καταισχυνθῶσι τὰ πρόσωπα· οἷα δὴ καὶ ὁ θεῖος ἐντέλλεται Παῦλος " ὡς τέκνα ,, φωτὸς, λέγων, περιπατεῖτε· ὁ γὰρ καρπὸς τοῦ πνεύματος ἐν πάσῃ ἀγαθω- ,, σύνῃ καὶ δικαιοσύνῃ καὶ ἀληθείᾳ· ,, συνιέναι τὲ ἐμμελῶς, ὅπως ἐπέστρεψαν πρὸς τὸν θεὸν ἀπὸ τῶν εἰδώλων, δουλεύειν θεῷ ζῶντι καὶ ἀληθινῷ, καὶ ἀναμένειν τὸν υἱὸν αὐτοῦ ἐκ τῶν οὐρανῶν, ὃν ἤγειρεν ἐκ νεκρῶν· ἔξεστι δὲ τῷ φιλοπόνως ἐν τοῖς ἱεροῖς τούτοις λογίοις τὸν νοῦν ἀπερείδοντι, τὰ παραπλήσια τὸν θεοφόρον διϊδεῖν, καὶ ἀλλαχόθι που προαγορεύοντα· φησὶ γοῦν· " ἔσται ,, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἡ ῥίζα τοῦ Ἰεσσαὶ, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν· ἐπ' ,, αὐτῷ ἔθνη ἐλπιοῦσι· ,, τῆς δὴ οὖν οὕτω λαμπρᾶς καὶ πᾶσιν ἐκπύστου προῤῥήσεως, καὶ εἰς αὐτά που τῆς οἰκουμένης περιαγγελλομένης τὰ ἔσχατα, καὶ διατρανούσης ἡμῖν ἐμφανέστατα, τὸν ἐκ πατρὸς πρὸ αἰώνων ἐκλάμψαντα θεὸν λόγον, ἐν τοῖς ἐσχάτοις τοῦ αἰῶνος καιροῖς ἐξ ὀσφύος τοῦ Δαβὶδ φύντα τὸ κατὰ σάρκα, οὐδ' αὐτοὺς οἶμαι τοὺς ἀπειθεῖς καὶ τὰ ὦτα κατηχθισμένους ἀνηκόους τυγχάνειν· τί γὰρ ἂν εἴη τούτων τῶν φωνῶν ἐκδηλότερον, παραστῆσαί τε καὶ ἀνακαλύψαι καὶ τοῖς σφόδρα ἀνοηταίνουσι, τῆς οἰκονομίας τοῦ σωτῆρος ἡμῶν τὸ μυστήριον; ἤδη γὰρ πρὸς ἡμῶν ὡμολόγηται, ὡς ἡ πάναγνος θεομήτωρ ἐκ τῆς ῥίζης Ἰεσσαὶ καὶ ἐκ σπέρματος Δαβὶδ κατῆγε τὸ γένος· ἐξ ἧς μετὰ σαρκὸς ὁ σωτὴρ τεθηλὼς ἀνατέταλκεν, ἥπερ δὴ θεὸν τὸν αὐτὸν ὁμοῦ καὶ ἄνθρωπον ὑπερφυῶς ἡμῖν ἀπεκύησε, διὸ καὶ κυρίως καὶ ἀληθῶς θεοτόκος ὑπάρχουσα πρὸς ἡμῶν γνωρίζεται· καὶ βεβαιοῖ τοῦτο ὁ παρθενικὸς τόκος, τὸ ἀπαράγραπτον κεκτημένος ἐν ἅπασι, τοῦ ξένον ἢ κατὰ ἀνθρώπινον τρόπον τεχθέντος Χριστοῦ, καὶ ἄσυλον τὴν παρθενίαν, καὶ μετὰ τόκον, τῆς γεννησαμένης φυλάξαντος.

μδ. Ἡλίκην δὲ τὴν ἀρχὴν διακεκτήσεται, καὶ ὅτῳ τρόπῳ κατάρξει ἐθνῶν, θείῳ κινούμενος ὁ αὐτὸς διακεκράξεται πνεύματι· " βασιλέα μετὰ δόξης ὄψε- ,, σθε· καὶ ἐγὼ ἤγειρα αὐτοῖς μετὰ δικαιοσύνης βασιλέα· καὶ πᾶσαι αἱ ὁδοὶ ,, αὐτοῦ εὐθεῖαι, αὐτὸς οἰκοδομήσει τὴν πόλιν μου, καὶ τὴν αἰχμαλωσίαν τοῦ ,, λαοῦ μου αὐτὸς ἐπιστρέψει, οὐ μετὰ λύτρων οὐδὲ μετὰ δώρων, εἶπε κύριος ,, σαβαώθ. Καὶ πάλιν· ἐγὼ ἄξω εἰρήνην ἐπὶ τοὺς ἄρχοντας αὐτοῦ, εἰρήνην ,, καὶ ὑγείαν αὐτῷ· μεγάλη ἡ ἀρχὴ αὐτοῦ, καὶ τῆς εἰρήνης αὐτοῦ οὐκ ἔστιν ,, ὅριον· ἐπὶ τὸν θρόνον Δαβὶδ τοῦ πατρὸς αὐτοῦ καθήσεται, τοῦ κατορθῶσαι ,, αὐτὴν, καὶ ἐπιλαβέσθαι ἐν δικαιοσύνῃ καὶ κρίματι, ἀπὸ τοῦ νῦν καὶ εἰς ,, τὸν αἰῶνα χρόνον· ὁ ζῆλος κυρίου σαβαὼθ ποιήσει ταῦτα. ,, Ὅτι μὲν οὖν

ὁ βασιλεὺς τῶν βασιλευόντων, καὶ κύριος τῶν κυριευόντων, ὁ δεσπόζων ἐν τῇ δυναστείᾳ αὐτοῦ τοῦ αἰῶνος, διὰ τούτων ἡμῖν εἰσενήνεκται, ὅς ἐστι Χριστὸς ὁ θεὸς ἡμῶν, οὐδένα τῶν τὸ καθ' ἡμᾶς ἐπεγνωκότων μυστήριον, ἀντερεῖν οἶμαι· αὐτὸς γὰρ ἂν εἴη παντί που δῆλον καὶ οὐχ' ἕτερος, βασιλεὺς ἐγηγερμένος δίκαιος καὶ σώζων, ὃς τὴν θείαν δικαιοσύνην ἡμῖν ἐγνώρισεν· ἢ αὐτὸς ἡμῖν ἐγενήθη ἀποστολικῶς εἰπεῖν " σοφία ἀπὸ θεοῦ καὶ δικαιοσύνη καὶ ἁγιασμὸς καὶ „ ἀπολύτρωσις· „ ὃς δὴ καὶ τὴν πόλιν τὴν τοῦ θεοῦ ᾠκοδόμησεν, οὐ περίγειόν τινα καὶ τὸ ἑδρασμένον οὐκ εἰσαεὶ κεκτημένην, ἐκείνην δὲ μᾶλλον τὴν τοὺς θεμελίους ἔχουσαν, ἥ τις νοοῖτο θεοπρεπῶς ἡ ἄνω Ἱερουσαλὴμ, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ θεὸς, καθ' ἣν τῶν πρωτοτόκων ἡ ἐκκλησία τῶν ἐν οὐρανοῖς ἀπογεγραμμένων, ταῖς θείαις ὁμοῦ πανηγυρίζει δυνάμεσιν· ἐπιστρέψει δὲ ὅτι καὶ τὴν αἰχμαλωσίαν τοῦ οἰκείου λαοῦ· τίνος δὴ τοῦτο καὶ ὅπως, ἀκούειν πάρεστιν· ἦμεν γὰρ ἀληθῶς ποτε ἄνθρωποι, τὸν μὲν ποιητὴν ἠγνοηκότες καὶ κύριον, τὴν οἰκειότητα τὴν πρὸς αὐτὸν ἠρνημένοι, καὶ τοῦ δουλεύειν αὐτῷ διά τε τὴν ἐξ ἁμαρτίας ἀναλγησίαν, καὶ τὴν κρατοῦσαν τοῦ πονηροῦ καθ' ἡμῶν ἐπήρειαν, ἀποπεφοιτηκότες ὡς πορρωτάτω· ὑπενηνέγμεθα δὲ τῇ ζεύγλῃ τοῦ ἐχθροῦ, οἷα ἠνδραποδισμένοι καὶ ἐζωγρημένοι εἰς τὸ ἐκείνου θέλημα, οἱ τὴν ἐλευθερίαν ἀφῃρημένοι, καὶ δουλεύειν αὐτῷ ἠναγκασμένοι.

Ἀλλ' ἐπειδὴ οὐκ ἦν θεοῦ μὴ οὐχὶ τὸ οἰκεῖον φιλανθρώπως ἐπιδεῖν ποίημα, ἐπιφαίνεται ὁ λυτρωτὴς, ᾧ γε οὐ δώρων οὐδὲ λύτρων ἐδέησε τῶν ἐκτὸς, ἀλλ' ἐκένωσεν ἑαυτὸν, λύτρον δεδωκὼς ἀντὶ πάντων ἡμῶν τὸ οἰκεῖον αἷμα τὸ ζωοποιὸν καὶ σωτήριον· καὶ πάθος καὶ σταυρὸν ὑπὲρ ἡμῶν ἀνατλὰς, ἀνέβη εἰς ὕψος, καὶ ᾐχμαλώτευσεν ἐπιστρέψας τὴν ἡμῶν αἰχμαλωσίαν· ῥυσάμενος ὄντως ἡμᾶς τῆς χαλδαϊκῆς τῶν ἀλιτηρίων δαιμόνων ἐξουσίας, καὶ τῆς βαρβάρου τοῦ νοητοῦ δυνάστου χειρὸς ἐξελὼν, καὶ ἐκτήσατο ἡμᾶς λαὸν περιούσιον, τοὺς δι' ἐπιγνώσεως καὶ πίστεως εἰλικρινοῦς καὶ ὀρθῆς προσπεφευγότας αὐτοῦ τῇ δεσποτείᾳ, κατάρχων καὶ βασιλεύων ἐφ' ἡμᾶς εἰς τοὺς αἰῶνας· ἀπιστήσει δὲ οὐδεὶς, ἢ ὅστις τὴν ἰουδαϊκὴν ἀπιστίαν καὶ ἀναισχυντίαν νενόσηκεν, ἔτι καταργούμενον ἐν τῇ ψυχῇ περιφέρων κάλυμμα, καὶ τὸ πάχος τῆς ἑαυτοῦ καρδίας ἀποξῦσαι μὴ βουληθεὶς τὸ τοῦ γράμματος, καὶ ταύτῃ γε εἰς τὰ θεῖα παρακύψαι μυστήρια οὐδαμῶς ἀξιούμενος· εἰ γάρ τοι διαμφισβητοίη φάσκων, ὅτι δὴ βασιλέα τῶν καθ' ἡμᾶς τινὰ ἐπὶ τὴν ἰουδαίων ἀρχὴν προχειρισθησόμενον, ὁ λόγος διασημαίνοι, ἀκούσεται πρός τε ἡμῶν καὶ τῆς ἀληθείας αὐτῆς, ὡς κατὰ τὴν τοῦ ἱεροῦ γράμματος παράδοσιν, μετὰ τὴν ἐκ Βαβυλῶνος αὐτῶν ἐπάνοδον, οὐδείς πω τῶν παρ' αὐτοῖς, βασίλειον φαίνεται, ἧπερ τὸ πρὶν οἱ κατ' αὐτοὺς βασιλεῖς ἐκεχειροτόνηντο, διάδημα καταδησάμενος, ἢ τοῖς σκήπτροις τοῦ βασιλικοῦ ἀξιώματος ἐντεθρονισμένος, οὕτω τοῦ τῶν ὅλων θεοῦ διὰ φωνῆς προφητῶν προθεσπίσαντος· ὑπὸ δημαγωγοῖς γὰρ καὶ ἱερεῦσι τὸ λοιπὸν διατελοῦντες κατεδείκνυντο· ὅθεν δῆλον, ὅτι οὐ ταύτην ἡμῖν ἐμφανίζει τὴν ἐπὶ Βαβυλῶνος αἰχμαλωσίαν ὁ λόγος· ἐγνωσμένων ὑφ' ὧν τε καὶ ὅτῳ

τρόπῳ οἱ τῆς Βαβυλωνίας ἀνάγκης ἀπηλλαγμένοι, ἐπὶ τὴν Παλαιστίνην παλινοστήσαντες ὀπίσω ἀνεκομίσθησαν, καθὰ δὴ ἐν τοῖς περὶ τούτων ἱστορουμένοις σαφῶς ἀναγέγραπται· διὸ ἐπ᾽ ἐκείνοις ἐξειλῆφθαι τὰ προφητικὰ λόγια, λόγον οὐχ᾽ ἕξει· ἃ δὲ ἴσμεν, καὶ πεπιστεύκαμεν, καὶ οἱ πατέρες ἡμῶν διηγήσαντο ἡμῖν, ἐν οἷς ἑδραίως μάλα βεβήκαμεν, ταῦτα κηρύσσομεν, ὡς ἡμεῖς ἐσμὲν οὓς ἐξ ἐθνῶν συναγήγερκεν, οἱ ἀκλινῶς ἐπ᾽ αὐτὸν ἠλπικότες, οἱ λελυτρωμένοι ὑπὸ κυρίου, οὓς ἐλυτρώσατο ἐκ χειρὸς τῶν ἀοράτων ἐχθρῶν, καὶ ἐκ τῶν χωρῶν τοῦ σκότους καὶ τῆς τοῦ θανάτου σκιᾶς συνήγαγεν ἀπὸ ἀνατολῶν καὶ δυσμῶν καὶ βοῤῥᾶ καὶ θαλάσσης, ἐν ἐρήμῳ καὶ ἀνύδρῳ τῆς ἀπιστίας ἐκ τῆς τοῦ δυσμενοῦς μεθοδείας πεπλανημένους ποτὲ, καὶ τῶν σωτηρίων τῆς εὐσεβείας ναμάτων ἐστερημένους, οἷς τὴν χάριν τῆς θεογνωσίας ἄνωθεν ἡμῖν φιλανθρωπίας ὄμβροις ὑετίζων δεδώρηται.

Ὡς δ᾽ οὖν καθιεῖσθαι ἐπὶ τὸν θρόνον Δαβὶδ παρὰ τοῦ προφητικοῦ λόγου ὁ σωτὴρ προαγορεύεται, ὁ θεῖος ἄγγελος πειθέτω τοὺς ἀνοήτους· εἰ μὴ καὶ αὐτὰς τὰς ἱερὰς τῶν εὐαγγελίων ἐξουδενώσουσιν, ὥσπερ καὶ τὰς ἄλλας τοῦ πνεύματος ῥήσεις· ὃς ἐξ οὐρανοῦ κατιὼν, καὶ τῇ παναχράντῳ καὶ ἀειπαρθενομήτορι τὸ τῆς κοινῆς παντὸς τοῦ κόσμου σωτηρίας εὐαγγελιζόμενος κεφάλαιον, τὸν ἐξ αὐτῆς τεχθησόμενον σωτῆρα πάντων, υἱόν τε ὑψίστου κληθήσεσθαι προανεφώνει, καὶ τὸν θρόνον Δαβὶδ λήψεσθαι, καὶ τὴν βασιλείαν ἕξειν τέλος οὐχ᾽ ἕξουσαν· ἀλλὰ μὴν καὶ μέγαν ἔσεσθαι τὸν αὐτὸν καὶ μετὰ τῆς προσληφθησομένης προεμήνυε φύσεως· εἰδὼς αὐτὸν καὶ ὄντα καὶ προόντα, καὶ ἀεὶ ὄντα, καὶ μέγαν ὄντα, καὶ ἐπὶ πάντων θεὸν ὄντα· τοιγάρτοι βασιλεὺς τῶν βασιλευόντων, καὶ ἄρχων πολλῶν ἐθνῶν ὁ Ἐμμανουὴλ, καὶ ὡς ἄνθρωπος ἐχρημάτισεν· ὑπερίδρυται γὰρ οὐδὲν ἧττον, καὶ κατὰ πάντων τό τε κράτος καὶ τὴν ὑπεροχὴν κέκτηται, ἐν τοῖς τῆς θεότητος καὶ μετὰ σαρκὸς διαπρέπων πλεονεκτήμασι· κἂν ἐπτώχευσεν ἑκὼν τῇ θείᾳ συγκαταβάσει χρησάμενος, τὴν καθ᾽ ἡμᾶς πτωχείαν ἐνδὺς, ὡς ἂν ἡμεῖς τὴν ἐκείνου καταπλουτισθῶμεν θεότητα· οὐκοῦν πᾶσα ἀνάγκη, τὸ τοῦ σωτῆρος ἡμῶν Χριστοῦ διὰ πάντων εἰσφέρεσθαι πρόσωπον· βασιλέως δὲ ἀνισταμένου καὶ τοιούτου βασιλέως, ἀκόλουθόν πως καὶ εὐπρεπὲς καὶ ἄρχοντας ὑπάρχειν ἀναλόγους, ἔθνη τὲ ὑποτετάχθαι, καὶ οὐχ᾽ ἁπλῶς ἀλλὰ πάντα τὰ ἔθνη, πάντων γὰρ βασιλεύς ἐστι καὶ κύριος· ὥσπερ τῶν ἐν οὐρανοῖς μετὰ πατρὸς ὑπάρχων, οὕτω καὶ τῶν ἐπὶ γῆς ἁπάντων δεσπόζων καὶ κατεξουσιάζων· διὸ ἐῤῥέθη " καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν, „ ἐπ᾽ αὐτῷ ἔθνη ἐλπιοῦσι· „ κἂν μὴ βούλωνται οἱ ἰουδαιόφρονες, ὡς ἄρα καὶ τὰ παρὰ πάσης γλώσσης ᾀδόμενα τέλεον ἀποπέμψαιντο καὶ ἀθετήσαιεν, δι᾽ ὧν ἡμῖν τὸ τοῦ βασιλέως εἰσέρχεται πρόσωπον, λέγοντος· " ἐγὼ δὲ κατ- „ εστάθην βασιλεὺς ὑπ᾽ αὐτοῦ ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ. Καὶ, αἴτησαι „ παρ᾽ ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου „ τὰ πέρατα τῆς γῆς· „ ἐπὶ δὲ τὰς ἄλλας φωνὰς ἐντεῦθεν τοῦ θεοφόρου ἰτέον· ἐρεῖ γάρ· " ἐγὼ κύριος ὁ καλέσας σε ἐν δικαιοσύνῃ· καὶ, δώσω σε εἰς

„ διαθήκην γένους, εἰς φῶς ἐθνῶν, ἀνοῖξαι ὀφθαλμοὺς τυφλῶν, ἐξαγαγεῖν „ ἐκ δεσμῶν δεδεμένους, καὶ ἐξ οἴκου φυλακῆς καθημένους ἐν σκότει. Καὶ „ αὖθις· τέθεικά σε εἰς διαθήκην γένους, εἰς σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς. „ Καὶ πάλιν· ἔδωκά σε εἰς διαθήκην γένους εἰς φῶς ἐθνῶν, τοῦ ἀναστῆσαι „ τὴν γῆν, καὶ κληρονομῆσαι κληρονομίαν ἐρήμου· λέγοντα τοῖς ἐν δεσμοῖς, „ ἐγγίζει ταχὺ ἡ δικαιοσύνη σου, καὶ ἐξελεύσεται εἰς φῶς τὸ σωτήριόν σου· „ καὶ εἰς τὸν βραχίονά μου ἐλπιοῦσι. Καὶ ἔτι· διὰ Σιὼν οὐ σιωπήσομαι, καὶ „ διὰ Ἱερουσαλὴμ οὐκ ἀνήσω· ἕως οὗ ἐξέλθῃ ὡς φῶς ἡ δικαιοσύνη σου, καὶ „ τὸ σωτήριόν μου ὡς λαμπὰς καυθήσεται· καὶ ὄψονται ἔθνη τὴν δικαιοσύνην „ σου, καὶ βασιλεῖς τὴν δόξαν σου· καὶ καλέσεις τὸ ὄνομά σου τὸ καινὸν ᾧ „ ὁ κύριος ὀνομάσει αὐτὸ, καὶ ἔσῃ στέφανος κάλλους ἐν χερσὶ θεοῦ σου, καὶ „ οὐκέτι κληθήσῃ καταλελειμμένη· ἡ γῆ σου οὐ κληθήσεται ἔρημος. „

Κατίδοι δ' ἄν τις κἀπὶ τοῖς πρεσβυτέροις καὶ πολλῷ πρότερον χρόνοις ἀναδραμὼν, τὰς τῶν ἐθνῶν προεναποκειμένας πρὸς τὸν πάντων σωτῆρα καὶ λυτρωτὴν Χριστὸν ἐλπίδας, καὶ πάλαι ἤδη προαναπεφωνημένας· ὧδε γάρ πως καὶ Ἰακὼβ ὁ πατριάρχης Ἰούδα φυλὴν εὐλογῶν ἔφησεν· “ οὐκ ἐκλείψει ἄρχων „ ἐξ Ἰούδα, καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ· ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται, „ καὶ αὐτὸς προσδοκία ἐθνῶν· „ πρόδηλον γὰρ ὅτι ἐξ Ἰούδα ἀνατέταλκεν ὁ κύριος. Εἰ οὖν ἀληθεῖς οἱ τῶν ἁγίων λόγοι, ὥσπερ οὖν εἰσὶν ἀληθεῖς, καιροῖς τοῖς καθήκουσι τὸ οἰκεῖον ἕκαστοι πέρας δεξάμενοι, οὐ διαπεσοῦνται οὔτε διαῤῥυήσονται, τὸ ἀσφαλὲς καὶ ἀδιάπτωτον παρὰ τῶν εὐαγγελικῶν φωνῶν προσκτησάμενοι· ἧκε γὰρ πληρώσων νόμον καὶ προφήτας ὁ κύριος, ὧν μηδὲν παρελεύσεσθαι ἕως ἂν πάντα γένηται ἐκήρυσσεν, αὐτουργὸς μᾶλλον ἢ διδάσκαλος πρὸς τὴν τούτων τελείωσιν ἐκφαινόμενος· οὐκοῦν οὐ διέψευσται ἡ τῶν ἐθνῶν εἰς τὴν ἀληθῆ πίστιν εἰσδρομὴ, καὶ ταύτῃ οὐδὲ ἀπάτη δαιμονικὴ ἐνεργήσειε πόθεν, τῆς τοῦ κεκληκότος βασιλέως ἀγάπης καὶ πίστεως ἀποῤῥηγνῦσα· σαθροὶ οὖν καὶ κατεῤῥυηκότες, καὶ παντὸς ψεύδους καὶ ἀσεβείας ἀνάμεστοι τῶν δι' ἐναντίας οἱ λόγοι· εἰ δὲ δὴ καὶ τάξιν ἐπιζητοίη τις, οἷα δὴ ἐπί τε βασιλέως καὶ τῶν ὑπηκόων πέφυκε διαδείκνυσθαι, ἐντεῦθεν εἴσεται· “ τῇ ἡμέρᾳ ἐκείνῃ, „ φησὶν, ἔσται Ἰσραὴλ τρίτος ἐν τοῖς Ἀσσυρίοις καὶ ἐν τοῖς Αἰγυπτίοις, εὐ- „ λογημένος ἐν τῇ γῇ ἣν εὐλόγησε κύριος σαβαὼθ, λέγων· εὐλογητὸς ἔσται ὁ „ λαός μου ὁ ἐν Αἰγύπτῳ καὶ ἐν Ἀσσυρίοις, καὶ ἡ κληρονομία μου Ἰσραήλ· „ διὰ γὰρ τούτων τῶν ἀπηριθμημένων, τῶν κεκλημένων ἐθνῶν εἰς τὸ κήρυγμα ὁ λόγος παραδεδήλωκε τὸ πλήρωμα· κατόπιν δὲ τρίτος Ἰσραὴλ τέτακται, ἐπειδήπερ εἰ καὶ πολλῷ ἄποθεν, καὶ ἐξ ἀλλοδαπῆς καὶ βαρβάρου χώρας ἀφώρμητο, προφθάνει μὲν ὁ Ἀσσύριος καὶ προαρπάζει τὴν εἰς Χριστὸν πίστιν, σωματικῶς ἔτι νηπιάζοντα προσκυνούμενον, καὶ δώροις ἰσαρίθμοις τῶν ἐπ' αὐτῷ νοουμένων καὶ θεωρουμένων λόγων τὰ γέρα δεχόμενον· δεύτερος δὲ Αἰγύπτιος ὑποδέχεται, τῇ καθόδῳ τοῦ φεύγοντος τὴν δεισιδαίμονα πλάνην ἀποκρουόμενος· μεθ' ὃν τριταῖος Ἰσραὴλ πρόσεισι, καὶ ταῦτα καλούμενος ὑπὸ τοῦ κηρύσ-

σοντος, καθάπερ τὰ ἱερὰ ἡμῖν ἀναταξάμενοι παραδεδώκασιν εὐαγγέλια, τοῦ κυρίου ἀπόστολοι.

με. Ὅπως δὲ τούτοις συγγενῆ τέ ἐστι καὶ ἐφάμιλλα τὰ ἀποστολικὰ διδάγματα, καὶ τὴν αὐτὴν ὥσπερ ἐρχόμενα τρίβον, ἀμογητὶ καταψόμεθα· ὡς ἄρχειν τε τῶν ἐθνῶν ἤτοι τῆς ἐξ ἐθνῶν ἐκκλησίας ὁ σωτὴρ, καὶ ἐπ' αὐτὴν βασιλεύειν πιστεύεται, κεφαλὴ τέ ἐστιν αὐτῆς, καὶ δεῖ αὐτὸν βασιλεύειν ἄχρις οὗ θῇ τοὺς ἐχθροὺς αὐτοῦ ὑπὸ τοὺς πόδας αὐτοῦ, καὶ κληρονόμους ἀναδείκνυσι βασιλείας τοὺς εἰς αὐτὸν ἠλπικότας, διωμολόγηται· φήσει τοίνυν προεισδραμὼν τῶν ἐθνῶν ὁ ἀπόστολος· " θέλω δὲ ὑμᾶς εἰδέναι, ὅτι παντὸς ἀνδρὸς ἡ κε- ,, φαλὴ ὁ Χριστός ἐστι. Καὶ πάλιν· ἵνα ὁ θεὸς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χρι- ,, στοῦ ὁ πατὴρ τῆς δόξης, δώῃ ὑμῖν πνεῦμα σοφίας καὶ ἀποκαλύψεως, ἐν ,, ἐπιγνώσει αὐτοῦ, πεφωτισμένους τοὺς ὀφθαλμοὺς τῆς καρδίας ὑμῶν, εἰς τὸ ,, εἰδέναι ὑμᾶς τίς ἐστιν ἡ ἐλπὶς τῆς κλήσεως αὐτοῦ, καὶ τίς ὁ πλοῦτος τῆς ,, δόξης τῆς κληρονομίας αὐτοῦ ἐν τοῖς ἁγίοις, καὶ τί τὸ ὑπερβάλλον μέγε- ,, θος τῆς δυνάμεως αὐτοῦ εἰς ἡμᾶς τοὺς πιστεύοντας, κατὰ τὴν ἐνέργειαν τοῦ ,, κράτους τῆς ἰσχύος αὐτοῦ, ἣν ἐνήργησεν ἐν τῷ Χριστῷ, ἐγείρας αὐτὸν ἐκ ,, νεκρῶν, καὶ καθίσας ἐν δεξιᾷ αὐτοῦ ἐν τοῖς ἐπουρανίοις ὑπεράνω πάσης ἀρ- ,, χῆς καὶ ἐξουσίας καὶ δυνάμεως καὶ κυριότητος, καὶ παντὸς ὀνόματος ὀνο- ,, μαζομένου, οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ ἀλλὰ καὶ ἐν τῷ μέλλοντι· καὶ ,, πάντα ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ, καὶ αὐτὸν ἔδωκε κεφαλὴν ὑπὲρ ,, πάντα τῇ ἐκκλησίᾳ, ἥ τις ἐστὶ τὸ σῶμα αὐτοῦ, τὸ πλήρωμα τοῦ τὰ πάντα ,, ἐν πᾶσι πληροῦντος· καὶ, ὅτι ὁ θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ,, ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπου- ,, ρανίων καὶ ἐπιγείων καὶ καταχθονίων· καὶ, ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλή- ,, ρωμα τῆς θεότητος σωματικῶς· καὶ, ἐστὲ ἐν αὐτῷ πεπληρωμένοι, ὅς ἐστιν ,, ἡ κεφαλὴ πάσης ἀρχῆς καὶ ἐξουσίας. Καὶ πάλιν· ἀληθεύοντες δὲ ἐν ἀγάπῃ, ,, αὐξήσωμεν εἰς αὐτὸν πάντα, ὅς ἐστιν ἡ κεφαλὴ, ὁ Χριστὸς, ἐξ οὗ πᾶν τὸ ,, σῶμα συναρμολογούμενον καὶ συμβιβαζόμενον διὰ πάσης ἁφῆς τῆς ἐπιχο- ,, ρηγίας κατ' ἐνέργειαν ἐν μέτρῳ ἑνὸς ἑκάστου μέλους, τὴν αὔξησιν τοῦ σώ- ,, ματος ποιεῖται εἰς οἰκοδομὴν αὐτοῦ ἐν ἀγάπῃ. Καὶ πάλιν· ὅτι ὁ ἀνὴρ κε- ,, φαλὴ τῆς γυναικὸς, οὕτω * καὶ ὁ Χριστὸς κεφαλὴ τῆς ἐκκλησίας. ,,

* ita cod.

Ἐπεὶ οὖν κεφαλὴν καὶ ἀρχὴν πάντων ἀπέφηνε τὸν Χριστὸν ὁ ἱερὸς ἀπόστολος, καὶ βασιλέα τῶν ὅλων ἀποδείκνυσιν, εἰσάγει αὐτὸν καὶ τοῖς πεπιστευκόσιν αὐτῷ βασιλείαν χαριζόμενον, ἐν οἷς φησί· " διὸ βασιλείαν ἀσάλευτον ,, παραλαμβάνοντες ἔχομεν χάριν, δι' ἧς λατρεύομεν εὐαρέστως τῷ θεῷ, μετὰ ,, αἰδοῦς καὶ εὐλαβείας, καὶ εὐχαριστοῦντες τῷ πατρὶ τῷ ἱκανώσαντι ἡμᾶς ,, εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτί· ὃς ἐρρύσατο ἡμᾶς ἐκ ,, τῆς ἐξουσίας τοῦ σκότους, καὶ μετέστησεν εἰς τὴν βασιλείαν τοῦ υἱοῦ τῆς ,, ἀγάπης αὐτοῦ, ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν τὴν ἄφεσιν τῶν ἁμαρτημάτων· ,, ὡς δὲ τέκνα καὶ ἀδελφοὶ καὶ κληρονόμοι οἱ αὐτοὶ, προσέχειν δέον· " ὡς νῦν

„ ἀπεκαλύφθη τοῖς ἁγίοις ἀποστόλοις καὶ προφήταις ἐν πνεύματι, εἶναι τὰ „ ἔθνη συγκληρονόμα καὶ σύσσωμα καὶ συμμέτοχα τῆς ἐπαγγελίας αὐτοῦ ἐν „ Χριστῷ, διὰ τοῦ εὐαγγελίου ἐγενήθην διάκονος· τολμηρότερον δὲ ἔγραψα „ ὑμῖν ἀδελφοὶ ἀπὸ μέρους, ὡς ἐπαναμιμνήσκων ὑμᾶς διὰ τὴν χάριν τὴν δο- „ θεῖσάν μοι ὑπὸ τοῦ θεοῦ, εἰς τὸ εἶναι με λειτουργὸν Ἰησοῦ Χριστοῦ εἰς τὰ „ ἔθνη, ἱερουργοῦντα τὸ εὐαγγέλιον τοῦ θεοῦ· ἵνα γένηται ἡ προσφορὰ τῶν „ ἐθνῶν εὐπρόσδεκτος, ἡγιασμένη ἐν πνεύματι ἁγίῳ. Καὶ εἶτα· ὅτι οὐκ ἐλά- „ βετε πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλ᾽ ἐλάβετε πνεῦμα υἱοθεσίας, „ ἐν ᾧ κράζομεν ἀββὰ ὁ πατήρ· αὐτὸ τὸ πνεῦμα συμμαρτυρεῖ τῷ πνεύματι „ ἡμῶν ὅτι ἐσμὲν τέκνα θεοῦ· εἰ δὲ τέκνα, καὶ κληρονόμοι, κληρονόμοι μὲν „ θεοῦ, συγκληρονόμοι δὲ Χριστοῦ. Καὶ ἔπειτα· ὅτι οὐκέτι εἶ δοῦλος, ἀλλὰ „ υἱὸς καὶ κληρονόμος θεοῦ διὰ Χριστοῦ. „ Οἷς συνηχήσει τῶν θεολόγων ἕτε-ρος λέγων· “ ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν „ εἰς τὸ ὄνομα αὐτοῦ. Προσθείη δ᾽ ἂν ὁ τοῦ εὐαγγελίου ἱερουργός· ὅτι ὑμεῖς „ ἐστὲ σῶμα Χριστοῦ καὶ μέλη ἐκ μέρους· ἔπρεπε γὰρ αὐτῷ δι᾽ ὃν τὰ πάντα, „ καὶ δι᾽ οὗ τὰ πάντα, πολλοὺς υἱοὺς εἰς δόξαν ἀγαγόντα, τὸν ἀρχηγὸν τῆς „ σωτηρίας ἡμῶν διὰ παθημάτων τελειῶσαι· ὅ τε γὰρ ἁγιάζων καὶ οἱ ἁγια- „ ζόμενοι, ἐξ ἑνὸς πάντες· δι᾽ ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς „ καλεῖν, λέγων· ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ ἐκ- „ κλησίας ὑμνήσω σε. Καὶ πάλιν· οὓς προέγνω, καὶ προώρισε συμμόρφους τῆς „ εἰκόνος τοῦ υἱοῦ αὐτοῦ, εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον ἐν πολλοῖς ἀδελ- „ φοῖς· καὶ ἐπὶ τούτοις· ἐν ᾧ περισσότερον βουλόμενος ὁ θεὸς ἐπιδεῖξαι τοῖς „ κληρονόμοις τῆς ἐπαγγελίας τὸ ἀμετάθετον τῆς βουλῆς αὐτοῦ, ἐμεσίτευσεν „ ὅρκῳ· ἵνα διὰ δύο πραγμάτων ἀμεταθέτων, ἐν οἷς ἀδύνατον ψεύσασθαι „ θεὸν, ἰσχυρὰν παράκλησιν ἔχωμεν οἱ καταφεύγοντες κρατῆσαι τῆς προκει- „ μένης ἐλπίδος. Καὶ πάλιν· λέγω δὲ Ἰησοῦν Χριστὸν διάκονον γεγενῆσθαι „ περιτομῆς ὑπὲρ ἀληθείας θεοῦ, εἰς τὸ βεβαιῶσαι τὰς ἐπαγγελίας τῶν πα- „ τέρων· τὰ δὲ ἔθνη ὑπὲρ ἐλέους δοξάσαι τὸν θεὸν, καθὼς γέγραπται· διὰ „ τοῦτο ἐξομολογήσομαί σοι ἐν ἔθνεσι, κύριε, καὶ τῷ ὀνόματί σου ψαλῶ. „ Καὶ πάλιν λέγει· εὐφράνθητε ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ. Καὶ πάλιν λέγει· „ αἰνεῖτε τὸν κύριον πάντα τὰ ἔθνη· ἐπαινέσατε αὐτὸν πάντες οἱ λαοί. Καὶ „ πάλιν Ἡσαΐας· ἔσται ἡ ῥίζα τοῦ Ἰεσσαὶ, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν, „ ἐπ᾽ αὐτῷ ἔθνη ἐλπιοῦσι. „

Προσεκτέον δὲ ἐν τούτοις, ὅτι οὐ μόνον περὶ τῶν αὐτῶν, ἀλλὰ καὶ τὰ αὐτὰ φθέγγεται τῷ προφήτῃ ὁ ἱερὸς ἀπόστολος· καὶ πρὸς ταῦτα τίς ἀντερεῖ λόγος: οἱ γὰρ ἠλεημένοι δωρεὰν παρὰ θεοῦ, ἐκ τῆς ἀθεΐας ἐπὶ τὴν φιλοθεΐαν μεταταττόμενοι, ἑδραῖοι τῇ πίστει ἑστηκότες δοξολογοῦσι τὸν θεὸν, οὐκ εἰδωλολατροῦσι, κἂν μὴ δοκῇ τοῖς ἐξεστηκόσι τὲ καὶ μεθύουσι· πῶς γὰρ αὐτοῖς μεταμελήσει τῶν ἐφ᾽ οἷς αὐχοῦσι μάλιστα ἡλίκων ἀγαθῶν δωρημάτων, ἐπεὶ τέκνα θεοῦ καὶ κληρονόμοι διὰ πίστεως γενέσθαι ἠξίωνται, σῶμα τὲ Χριστοῦ καὶ

μέλη χρηματίζοντες, οἷα δόξης τῆς ἀϊδίου ἐπορεγόμενοι, ὥστε τούτων ἀπολιπόντας τὴν χάριν καὶ τὴν λαμπρότητα, τῷ σκότῳ καὶ τῇ πλάνῃ προσθέσθαι; εἰ δ' οὖν καὶ ταῦτα τοῖς ἀνοσίοις ἄρδην ἀπήρνηται, ἀλλ' ἡμῖν γε πεπίστευται, καὶ τοσοῦτον ὅσον καὶ ὑπεράγασθαι τῆς θείας τοῦ σωτῆρος φιλανθρωπίας, ὁμολογεῖν τε σαφῶς ὅτι γε ὑπερβολῇ χρηστότητος κατὰ τὸ περιὸν τῆς δυνάμεως, οὐ τοὺς κατὰ τὸν τῇδε βίον διαζῶντας μόνον τῆς τοῦ πονηροῦ τυραννίδος συγκαταβὰς ἐξεῖλεν· ἤδη δὲ καὶ τοῖς ἐν ᾅδου κατόχοις προγεγονόσι, καὶ πρὶν κατὰ τοὺς καιροὺς τῆς ἀγνοίας ἀθεΐᾳ καὶ ἀσεβείᾳ συζήσασι, ζόφῳ τὲ καὶ ἀφεγγέσι χωρίοις σειραῖς ἀναποδράστοις κατειλημμένοις, ἐπιφανεὶς ὁ σωτὴρ τὴν ἐλευθερίαν κηρύξας ἐχαρίσατο, καὶ τῆς τοῦ δυναστεύοντος ἐχθροῦ βίας ἀφήρπασε· καὶ ταῦτα διὰ μὲν προφητικῆς γλώσσης ἄνωθεν προκεχρησμῴδηται, ἡνίκα τὸ τοῦ Χριστοῦ πρόσωπον ἐντεῦθεν εἰσάγεται λέγοντος " τοῖς „ ἐν δεσμοῖς ἐξέλθετε, καὶ τοῖς ἐν τῷ σκότει ἀνακαλύφθητε· „ πεπρᾶχθαι δὲ ὡς ἀληθῶς κατὰ καιροὺς, ὁ τὸ προὖχον ἐν τοῖς ἱεροῖς τοῦ Χριστοῦ μαθηταῖς λαχὼν εἰσηγήσεται· φάσκων " ὅτι Χριστὸς ἅπαξ περὶ τῶν ἁμαρτιῶν ἡμῶν „ ἀπέθανε, δίκαιος ὑπὲρ ἀδίκων· ἵνα ἡμᾶς προσαγάγῃ τῷ θεῷ, θανατωθεὶς „ μὲν τῇ σαρκὶ, ζωοποιηθεὶς δὲ πνεύματι· ἐν ᾧ καὶ τοῖς ἐν φυλακῇ πνεύμασι „ πορευθεὶς ἐκήρυξεν, ἀπειθήσασι ποτέ· „ οὓς οἶμαι ἔσω γε τὸ τῆς σωτηρίας εὐαγγελισθέντας μυστήριον, δεξαμένους τὲ τοῦ λυτρωτοῦ τὸ κήρυγμα, καὶ ταῦτα πεπαυμένους κινήσεώς τε πάσης καὶ ἐνεργείας, πάσης τὲ τῶν πρακτέων ἀποιχομένης ἐλπίδος, εὐγνωμονοῦντας δὲ περὶ τὰς οὕτω λαμπρὰς καὶ μεγίστας εὐεργεσίας, μέγα τῶν ἀσεβῶν κατακεκράξεσθαι· οἷα δὴ τοῖς ἐν ζῶσιν ἐξητασμένοις συνεξυβρισμένους, μᾶλλον δὲ τῶν εἰς τὸν ἐλευθερωτὴν βλασφημούντων, τὴν τόλμαν οὐ φέροντας· πάντως γὰρ ἀσεβείας περιουσίᾳ, οὐδὲ τὰς ψυχὰς τῶν προωδευκότων, εἰδωλολατρείας ἐξωθήσονται· δι' ὧν μοι δοκεῖ καὶ αὔξεσθαι αὐτῶν τὴν κατηγορίαν, καὶ μείζοσι δίκαις ὡς τὸ εἰκὸς ὑπάγεσθαι· οὓς δὴ καὶ ζῶσι καὶ νεκροῖς ὑποδίκους γεγενημένους ἀπολιπόντες, τοῦ σκοποῦ τε τῶν ἐγκεχειρισμένων ἐπειλημμένοι, τῶν ἑξῆς ἐχώμεθα.

μϛ. Οἷα γὰρ ὁ τῶν ἐθνῶν βασιλεὺς τοῖς βασιλευθησομένοις ἐπήγγελται ποιήσειν, ὥσπερ ἀντέκτισίν τινα καὶ ἆθλα τῆς πρὸς αὐτὸν ὑπακοῆς τε καὶ πίστεως προστιθεὶς, διακούσεσθαι ἄξιον· ποιήσει γάρ, φησι, κύριος ὁ θεὸς σαβαὼθ πᾶσι τοῖς ἔθνεσιν ἐπὶ τὸ ὄρος τοῦτο· " πίονται εὐφροσύνην, πίονται „ οἶνον, χρίσονται μύρον ἐν τῷ ὄρει τούτῳ· „ ἆρα τίνα τῶν πάντων διαπέφευγεν; ὅτι σαφῶς ἡμῖν διὰ τούτων, τῶν ἱερῶν μυστηρίων τῆς θείας δωρεᾶς τε καὶ χάριτος προεισῆκται τὸ διδασκάλιον· τῆς τε κοινωνίας τοῦ τιμίου αἵματος τοῦ σωτῆρος ἡμῶν Χριστοῦ, καὶ τοῦ ἁγιασμοῦ τοῦ κατὰ τὸ θεῖον λουτρόν· ὧν τί ἂν γένοιτο εἰς εὐφροσύνην καὶ φωτισμὸν ψυχῆς χαριέστερον ἢ ἐνθεέστερον; ἐντεῦθεν προστέταχε πάλιν αὐτοῖς εὐφραίνεσθαι ἐπὶ τὸ τοῦ καλοῦντος φιλόδωρον, λέγων· " εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα, ῥῆξον καὶ βόησον „ ἡ οὐκ ὠδίνουσα, ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον, ἢ τῆς ἐχούσης

„ τὸν ἄνδρα· „ ἀλλὰ μὴν καὶ ὁποῖα οἱ διὰ τῆς ἐν χάριτι κλήσεως προσδεδραμηκότες ἀντεισοίσουσιν, εὐσύνοπτα ἐρεῖ· “ ἐν τῷ καιρῷ ἐκείνῳ ἀνενεχθή„ σεται δῶρα κυρίῳ σαβαὼθ, ἐκ λαοῦ τεθλιμμένου καὶ ταπεινοῦ, ἀπὸ λαοῦ „ μεγάλου, ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα χρόνον· „ δῶρα δὲ, τί ἄλλο νοηθεῖεν ἂν ἢ πάντως ἡ τῆς αἰνέσεως πνευματικὴ θυσία, ἡ λογικὴ λατρεία παρὰ πάντων τῶν ἐν τῇ ἐκκλησίᾳ ἐθνῶν προσαγομένη τῷ θεῷ, ἣν ὡς ὀσμὴν εὐωδίας προσδεχόμενος; ὅτι αὐτοῖς ἀντιχαριεῖται, καὶ οἷς ἀντιφιλοτιμήσεται δώροις, πάλιν λέγει· “ εἰσάξω αὐτοὺς εἰς τὸ ὄρος τὸ ἅγιόν μου, καὶ εὐφρανῶ αὐτοὺς „ ἐν τῷ οἴκῳ τῆς προσευχῆς μου, τὰ ὁλοκαυτώματα αὐτῶν καὶ αἱ θυσίαι „ αὐτῶν ἔσονται δεκταὶ ἐπὶ τὸ θυσιαστήριόν μου· ὁ γὰρ οἶκος μου οἶκος „ προσευχῆς κληθήσεται πᾶσι τοῖς ἔθνεσιν. „

Οὐκ ἂν δὲ οἶμαι ἐπὶ τοσοῦτον μανίας τῶν ἀγγιφανῶν ἰουδαίων ἐξοίχεσθαί τινας, ὥστε οἴεσθαι διὰ τούτων τὴν ἐφ' ἑνὶ τόπῳ ἐν Ἱεροσολύμοις φημὶ περιειργμένην λατρείαν εἰσφέρεσθαι· τίς γὰρ οὕτως ἀνήκοος, ἐκ προσώπου τοῦ τῶν ὅλων θεοῦ προανακεκραγότων τῶν προφητῶν, ἐκείνας μὲν τὰς τῶν ζωοθυτούντων καὶ κρεουργούντων ἀποκεκηρύχθαι καὶ ἐκκεκρίσθαι θυσίας, τῶν δὲ θεοκλυτούντων καὶ ἱερολογούντων ἐν πνεύματι ἀντεισῆχθαι λατρείας; “ τί μοι πλῆ„ θος τῶν θυσιῶν ὑμῶν, λέγει κύριος; πλήρης εἰμί· ὁλοκαύτωμα τῶν κριῶν, „ καὶ στέαρ ἀρνῶν, καὶ αἷμα ταύρων καὶ τράγων οὐ βούλομαι· τίς γὰρ ἐζήτησε „ ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν, νουμηνίας δὲ καὶ σάββατα μὴ δὲ ἀνέχεσθαι; „ ἃς δὴ καὶ ὁ ψάλλων ἐν πνεύματι ὑποφθὰς περιέγραψε “ θυσίαν, λέγων, καὶ „ προσφορὰν οὐκ ἠθέλησας· ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ἐζήτησας. „ Καὶ μὴν, καὶ οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους, οὐδὲ ἐκ τῶν ποιμνίων „ σου χιμάρους. Καὶ, εἰ ἠθέλησας θυσίαν ἔδωκα ἂν, ὁλοκαυτώματα οὐκ εὐ„ δοκήσεις. „ Τὰς πνευματικὰς δὲ εἰσηγεῖται θυσίας· “ θύσον τῷ θεῷ θυσίαν „ αἰνέσεως, παρεγγυῶν, καὶ ἀπόδος τῷ ὑψίστῳ τὰς εὐχάς σου. „ Ἐκδηλότερον δὲ τοῦτο ἡ ἐπαγωγὴ παρίστησιν· εἰπὼν γὰρ πᾶσι τοῖς ἔθνεσιν, οὐ τὴν μερικὴν καὶ ἐν χώρῳ καθωρισμένην τινὶ τῶν ἐξ Ἰσραὴλ συγκεκροτημένην συναγωγὴν, τὴν καθολικὴν δὲ καὶ ἀριθμοῦ ὑπερέκεινα, διὰ τούτων καλεσήμηνεν ἐκκλησίαν.

Ὅτι δὲ αἱ περὶ τὸν βασιλέα τῶν ἐθνῶν συναγωγαὶ, καθαρῶς τῷ καθαρῷ προσομιλοῦσι, καὶ ἡ ὁδὸς αὐτῶν καθαρὰ, οὐ γὰρ δὴ μιάσμασι καὶ μολύσμασι τῶν εἰδωλικῶν θυσιῶν καταχραίνονται, προσέχειν δεῖ ὅτι καὶ λέγει· “ οὐ μὴ „ παρέλθῃ ἐκεῖ ἀκάθαρτος, οὐδὲ ἔσται ἐκεῖ ὁδὸς ἀκαθάρτων· οἱ δὲ διεσπαρ„ μένοι πορεύσονται ἐπ' αὐτῆς· „ οὕτω δὲ αὐτὴν κεκαθάρθαι καὶ ἡγιάσθαι ὁ τῶν ἐθνῶν κήρυξ ἀπισχυρίζεται, ὡς καὶ ναὸν θεοῦ καὶ οἶκον χρηματίζειν θεοῦ, καὶ τὸ πνεῦμα αὐτοῦ οἰκεῖν ἐν αὐτοῖς· φησὶ γοῦν· “ οὕτως ὁ Χριστὸς „ ἠγάπησε τὴν ἐκκλησίαν, καὶ ἑαυτὸν ἔδωκεν ὑπὲρ αὐτῆς, ἵνα αὐτὴν ἁγιάσῃ, „ καθαρίσας τῷ λουτρῷ τοῦ ὕδατος ἐν ῥήματι, καὶ ἵνα παραστήσῃ αὐτὴν „ ἑαυτῷ ἔνδοξον, μὴ ἔχουσαν σπῖλον ἢ ῥυτίδα ἤ τί τῶν τοιούτων, ἀλλ' ἵνα „ ᾖ ἁγία καὶ ἄμωμος. Καὶ ἑτέρωθι· καὶ ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα λυ-

„ τρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας, καὶ καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον „ ζηλωτὴν καλῶν ἔργων. Καὶ, ὁ ἐγείρας τὸν Χριστὸν ἐκ νεκρῶν, ζωοποιήσει „ καὶ τὰ θνητὰ σώματα ὑμῶν, διὰ τοῦ ἐνοικοῦντος ἐν ὑμῖν πνεύματος. Καὶ, „ Μωσῆς μὲν πιστὸς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ ὡς θεράπων εἰς μαρτύριον τῶν „ λαληθησομένων· Χριστὸς δὲ ὡς υἱὸς ἐπὶ τὸν οἶκον αὐτοῦ, οὗ οἶκος ἐσμὲν „ ἡμεῖς. Καὶ ἀλλαχόθι· οὐκ οἴδατε ὅτι ναὸς θεοῦ ἐστε, καὶ τὸ πνεῦμα τοῦ „ θεοῦ οἰκεῖ ἐν ὑμῖν; εἴ τις τὸν ναὸν τοῦ θεοῦ φθείρει, φθείρῃ τοῦτον ὁ θεός· „ ὁ γὰρ ναὸς τοῦ θεοῦ ἅγιός ἐστιν, οἵ τινες ἐστὲ ὑμεῖς. Καὶ πάλιν· ἢ οὐκ „ οἴδατε ὅτι τὰ σώματα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν ἁγίου πνεύματος ἐστίν; οὗ „ ἔχετε ἀπὸ θεοῦ, καὶ οὐκ ἐστὲ ἑαυτῶν, ἠγοράσθητε γὰρ τιμῆς· δοξάσατε δὴ „ τὸν θεὸν ἐν τῷ σώματι καὶ ἐν τῷ πνεύματι ὑμῶν, ἅ τινά ἐστι τοῦ θεοῦ. „

Φανερὸν οὖν ἐκ τούτων πάντων ὅτι οἱ εἰς Χριστὸν πεπιστευκότες, καὶ τὸ πνεῦμα δεξάμενοι τὸ τῆς χάριτος διὰ τῆς τοῦ θείου λουτροῦ καθάρσεως, ναὸς θεοῦ καὶ εἶναι καὶ λέγεσθαι ἠξίωνται· ὥστε ἐκ τοῦ ἀκολούθου, οἱ κατάρξαντες λέγειν εἰδώλοις προσκεῖσθαι, ναὸς δαιμονίων πεφήνασιν· εἰ δὲ οὐκ ἔστι κοινωνία ναῷ θεοῦ μετὰ εἰδώλων, δῆλον ὡς οἱ νῦν τῆς ἀπειθείας υἱοὶ, ἐν οἷς τὸ πνεῦμα τὸ ἐναντίον ἐνεργεῖ, τῆς ἀληθείας καθυλακτοῦσι, τῷ ἁγίῳ ἀνθιστάμενοι πνεύματι, εἴδωλα φάσκοντες χριστιανοὺς σεβασθῆναι, καὶ τὸν ναὸν δαιμονίων γεγενῆσθαι τολμήσαντες ἀποφαίνεσθαι· οἷς εἰς ἔλεγχον τὰ ἱερὰ πρόκεινται λόγια, φοβερὰν αὐτῶν τὴν δίκην παρὰ θεοῦ καθορίζοντα· οὕτω τοίνυν τῆς ἐκκλησίας ὁ νυμφαγωγὸς, ἐπισυνάπτων αὐτὴν καὶ συνδέων τῷ μνηστῆρι Χριστῷ ἐνθεέστατα, καὶ τὸν σύνδεσμον ἐπισφίγγων καὶ τὴν συνάφειαν, σῶμα εἶναι Χριστοῦ καὶ μέλη ἐκ μέρους, καὶ ἓν σῶμα εἶναι τοὺς πολλοὺς διορίζεται· ἐπειδήπερ ἐξ ἑνὸς καὶ τοῦ αὐτοῦ ἄρτου τῶν τῆς εὐλογίας μετέχομεν μυστηρίων, ἑνότητα τὴν πρὸς αὐτὸν λαχόντες διὰ πίστεως· καὶ ὡς ἐν θεωρίας ὑψηλῆς καὶ θεοειδοῦς τρόπῳ διασαφῶν καὶ τρανῶν τὸ μυστήριον, διὰ τῆς κατὰ τὸν ἄνθρωπον συζυγίας, τοιάδέ τινα διέξεισιν· “ οὕτως ὀφείλουσιν οἱ ἄνδρες „ ἀγαπᾷν τὰς ἑαυτῶν γυναῖκας, ὡς τὰ ἑαυτῶν σώματα· ὁ ἀγαπῶν τὴν ἑαυ„ τοῦ γυναῖκα ἑαυτὸν ἀγαπᾷ· οὐδεὶς γάρ ποτε τὴν ἑαυτοῦ σάρκα ἐμίσησεν, „ ἀλλὰ ἐκτρέφει καὶ θάλπει αὐτὴν, καθὼς καὶ ὁ Χριστὸς τὴν ἐκκλησίαν· ὅτι „ μέλη ἐσμὲν τοῦ σώματος αὐτοῦ, ἐκ τῆς σαρκὸς αὐτοῦ καὶ ἐκ τῶν ὀστέων „ αὐτοῦ· ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, „ καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς „ σάρκα μίαν· τὸ μυστήριον τοῦτο μέγα ἐστὶν, ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ „ εἰς τὴν ἐκκλησίαν. „

μζ. Ἠκέτωσαν οὖν οἱ τῆς ἀνομίας ἐργάται, καὶ δεικνύτωσαν πόθεν τὴν ἐκκλησίαν, καὶ ἐκ ποίων θεοπνεύστων λογίων, τῆς κατὰ Χριστὸν ἑνώσεως ἀθεμίτως διορίζουσι; πῶς οἱ συγκληρονόμοι καὶ σύσσωμοι Χριστοῦ ξοάνοις τοῖς τῶν ἀπίστων σεβάσμασι λελατρεύκασι; πόθεν οὖν τὸ ἀληθὲς ἀπενέγκοιντο, οἱ τῷ ψεύδει συναγορεύοντες; σκοπείτωσαν δὲ εἰ μὴ καὶ Χριστὸν αὐτὸν, κοινόν

τι καὶ ἀκάθαρτον, διὰ τοὺς συγκληρονομοῦντας καὶ τὴν κατὰ τὸ σύσσωμον κοινωνίαν ἠγήσαιντο, καὶ τὸ ὅλον τῆς βλασφημίας αὐτοὶ κληρονομείτωσαν· ἀλλ' οὐκ ἐγκαλύπτονται οὐδὲ καταδύονται ἐπὶ τῇ ἑαυτῶν αἰσχύνῃ, τοὺς μὲν λαλοῦντας ἐν πνεύματι θεοῦ μυστήρια προφήτας ἁγίους καὶ ἀποστόλους παραγραφόμενοί τε καὶ διωθούμενοι, ἐναγεῖς δέ τινας καὶ ἀνοσίους προφήτας αὐχοῦντες καὶ διδασκάλους ἐκ τῆς ἰδίας ἀποφθεγγομένους κοιλίας· ὧν τὸ φευκτὸν καὶ δυσῶδες τῶν λόγων, τῆς ἰδίας αὐτῶν ἀπάτης πρὸς πίστωσιν ἐπισύρονται· " μέτοχος εἰδώλων" Ἐφραὶμ ἔθηκεν ἑαυτῷ σκάνδαλα, ἡρέτισε Χανα-„ ναίους „ ἀνέγνωμεν· χριστιανοὺς δὲ εἰδώλων μετόχους καὶ κοινωνούς, οὐδέπω καὶ σήμερον παρ' ὁτουοῦν ἀκηκόαμεν, ὅτι μὴ μόνων τῶν κατὰ τῆς δόξης Χριστοῦ καὶ τῶν ὀρθῶς σεβόντων καὶ προσκυνούντων αὐτῷ λελυττηκότων· καὶ θαυμαστόν γε οὐδέν· ἔθος γὰρ τοῖς ἀσεβοῦσιν ἐπιβουλεύειν τοῖς κρείττοσι, καὶ δολοῦν τὴν ἀλήθειαν, ἵνα τὴν ἑαυτῶν κακίαν δεδογμένον αὐτοῖς κατασκιάζειν κρατύνωσι· καὶ καλῶς γε εἴρηται ἀνδράσιν ἁγίοις, ὅτι λανθάνουσα πονηρία, τῆς προκεκηρυγμένης βλαβερωτέρα.

μη. Οὗτοι γὰρ ἐκ τοῦ προφανοῦς παῤῥησιάζεσθαι οὐδαμῶς ὑφιστάμενοι τὴν ἀσέβειαν, τὸ τῆς εἰς τὴν θρησκείαν ἡμῶν ὕβρεως ὑπέρογκον ὑπειδόμενοι, λανθάνειν τὲ τοὺς πολλοὺς οἰόμενοι, ὥσπερ οὐ τῷ Χριστῷ προσκρούουσι, τὸ θεῖον αὐτοῦ καθυβρίζοντες ἀπεικόνισμα, τί μηχανῶνται; ὡς τῶν μὲν πραγμάτων εἰδότες τὸ μεταβάλλειν οὐ πεφυκότων, τῶν ὀνομάτων δὲ ὡς τὰ πολλὰ τὸ ἀδιαφορεῖν ἐνδεικνυμένων, ἐπὶ τὴν τῆς προσηγορίας χωροῦσι διαφορὰν, καὶ τὸ τοῖς δαιμονικοῖς σεβάσμασιν ἀνακείμενον ὄνομα, τῇ τοῦ σωτῆρος ἡμῶν Χριστοῦ καὶ θεοῦ σεβασμίᾳ εἰκόνι, οἱ τῷ ὄντι τῶν εἰδώλων ἐρασταὶ, ἀποῤῥίψαι οὐ καταπεφρίκασιν, εἴδωλον ταύτην ἀποκαλέσαντες, καὶ τοὺς τιμῶντας αὐτὴν ὡς θεμιτὸν χριστιανοῖς, εἰδωλολάτρας κατονομάσαντες· ἵνα ὡς παρακεκινημένην ἡμῶν δῆθεν τὴν πίστιν φωράσαντες, τὸ βεβηκὸς καὶ ἑδραῖον ταύτης τό γε ἐπ' αὐτοῖς παρασαλεύσειαν· ἔκδηλον ἐντεῦθεν ἀποκυήσαντες τὸ ἀνόμημα, τήν τε εἰς Χριστὸν βλασφημίαν ἀναισχύντως κατασκευάζοντες, καὶ τῆς ὀρθῆς καὶ ἀψευδοῦς ἡμῶν δόξης ἀδεῶς καὶ ἀπηρυθριασμένως καταγορεύοντες· ἀλλὰ τὰ μὲν ἔθνη ὑπὲρ ἐλέους δοξάζει τὸν θεὸν, καὶ ταῦτα, τῶν ἄρτι τῆς ἀπιστίας ὑπερκυψάντων, καὶ τὸν λόγον παραδεδεγμένων τῆς χάριτος· οὗτοι δὲ οἱ νῦν λεγόμενοι χριστιανοὶ, καὶ τούτων μάλιστα οἷς τὸ τῆς ἱερωσύνης ἐπικεκηρύχθαι δοκεῖ ἀξίωμα. οὐ φρίττουσι τὴν ψυχὴν, οὐ καταδεσμοῦνται τὴν γλῶσσαν. οὐ δεδίασι τῆς δυσφημίας τὸ ὑπέρογκον, ἑαυτούς τε καὶ τοὺς ἄλλους χριστιανοὺς ἅπαντας, τὴν μερίδα τοῦ θεοῦ καὶ κληρονομίαν Χριστοῦ, δαιμονίων ἀκαθάρτων κληρονομίαν κατονομάζειν· καὶ εἰ μὲν ἑαυτοῖς μόνοις τὴν ἀποστασίαν καὶ ἀσέβειαν ἐπεφήμιζον, πάντων ἂν ἀνθρώπων ἐλεεινότεροι καὶ βδελυκτότεροι ἐνομίσθησαν· νῦν δὲ κατὰ πάντων ἁπλῶς, τῶν τῆς ἀξιαγάστου ἡμῶν καὶ ἀληθινῆς θρησκείας μετεχόντων, τὰς ἀνοσίους γλώσσας κινήσαντες, πῶς τὰ ἐκ τῆς θείας οὐκ οἴσουσιν ὀργῆς, δίκαις πικροτάταις ὑποφερόμενοι; ἀλλ' ἐπὶ τὰς προ-

φηΙικὰς φωνὰς ἐπανακτέον τὸν λόΓον· τοὺς οὖν ἐκ πάνΙων ἐθνῶν τε καὶ γλωσσῶν καὶ πασῶν γενεῶν, τοὺς ἐξ ἁπάσης γῆς τε καὶ νήσων καὶ θαλάσσης ὑφ' ἑνὶ βασιλεῖ τεθειμένους, καὶ ἕνα κύριον καὶ θεὸν καὶ δεσπότην εἰδότας τὲ καὶ καλοῦντας καὶ σέβοντας, ἑπόμενον ἂν εἴη ἑνί γε ὀνόματι, καὶ τούτῳ τῷ ἀπ' ἐκείνου ὀνομάζεσθαι καὶ γνωρίζεσθαι· διὸ φησίν· " τοῖς δουλεύουσί μοι κλη-
,, θήσεΙαι ὄνομα καινὸν, ὃ εὐλογηθήσεΙαι ἐπὶ τῆς γῆς· εὐλογήσουσι γὰρ τὸν
,, θεὸν τὸν ἀληθινόν. ,,

Τί πρὸς ταῦτα φαῖεν οἱ ἀναίσθητοι; τί δὲ ἡμεῖς; ὅτι Χριστὸς ὁ κύριος καὶ θεὸς ἡμῶν, ἄνθρωπος γεγονὼς, προσηγόρευται ὄνομα δηλοῦν ὁμοῦ τῶν συνελθουσῶν φύσεων τὸ συναμφότερον, τῆς τε χρισάσης θεότηΙος, τῆς τε χρισθείσης ἀνθρωπότητος· ὥστε μιᾷ φωνῇ καὶ τῶν συνδραμουσῶν οὐσιῶν τὸ διπλοῦν, καὶ τὴν ἐκ τούτων τοῦ ἑνιαίου προσώπου καθ' ὑπόσΙασιν ἕνωσιν, ἀσφαλῶς διαγινώσκεσθαι· εὔλογον οὖν τοὺς εἰς τὸ ὄνομα τοῦτο βεβαπτισμένους τὲ καὶ ἐσφραΓισμένους, ἀπ' αὐτοῦ καλεῖσθαί τε παρωνύμως, καὶ χρημαΙίζειν χρισΙιανοὺς, ταὐτῷ πάνΙας γνωριζομένους καὶ καλουμένους ὀνόμαΙι, καθάπερ οἱ τῶν συνθημάτων τὰ ἐπισημότερα γνωρίσματα φέροντες· καὶ τοῦτο ἡμῖν τὸ ἰδιαίτατόν τε καὶ οἰκειότατον γνώρισμά τε καὶ ὄνομα, κἂν οἱ τῇ μέθῃ τῆς ἀσεβείας βεβαπτισμένοι μὴ ἀνέχωνΙαι· τούτου γε εἵνεκεν καὶ ἄγαν θεοπρεπῶς ἐκκλησία Χριστοῦ ἐστί τε καὶ λέγεται, καὶ λαὸς εἰς περιποίησιν, καὶ ἔθνος ἅγιον, καὶ γένος ἐκλεκτὸν, καὶ βασίλειον ἱεράτευμα, καὶ κληρονομία θεοῦ ἔνδοξος, καὶ μερὶς κυρίου, καὶ σχοίνισμα κληρονομίας αὐτοῦ, καὶ ἀμπελὼν κυρίου σαβαώθ, καὶ τέκνα ἠγαπημένα, καὶ ἀδελφοὶ πιστότατοι, καὶ δοῦλοι οἰκειότατοι, καὶ ναὸς θεοῦ, καὶ βασιλείας κληρονόμοι, καὶ κλήσεως ἐπουρανίου μέτοχοι, καὶ πρόβαΙα λοΓικὰ τοῦ ἀρχιποιμένος· διὸ καὶ τὰς ἀρεΙὰς αὐτοῦ ἐξαΓγέλλομεν, τοῦ καλέσανΙος ἡμᾶς ἐκ σκότους εἰς τὸ θαυμασΙὸν αὐτοῦ φῶς, θεόν τε καὶ βασιλέα καὶ κύριον καὶ ποιητὴν καὶ σωτῆρα καὶ λυτρωτὴν ἐπιγραφόμεθα καὶ ὁμολογοῦμεν, καὶ εἴ τι ἕτερον πρὸς ἡμῶν ἀνυμνεῖται· οὕτω προσκυνηταὶ τῆς τριάδος ἀληθινοὶ γνωριζόμενοι, πᾶσαν δαιμονικὴν πλάνην καταπαΙοῦμεν καὶ διαπΙύομεν, πᾶσαν εἰδωλικὴν ἀπάτην μυσαΙΙόμεθα καὶ βδελυσσόμεθα, καὶ τοὺς μὴ οὕτως ἔχοντας καὶ ὁμολογοῦντας, τοῖς ἀναθέμασι καταζευγνύομεν· ἡ μὲν οὖν καθ' ἡμᾶς ὁμολογία τοιαύτη καὶ οὕτως ἔχουσα· ἐπὶ δὲ τὸν πρὸς τοὺς ἀσεβεῖς λόγον, ὅθεν ἐξέβημεν, πάλιν μέτιμεν.

μθ. Τί οὖν φαΙέ; ὁ βασιλεὺς οὗτος, ὁ μέΓας, ὁ μεΓαλοπρεπὴς, οὗ ἡ μεγαλοπρέπεια τοὺς οὐρανοὺς ὑπεράλλεται, ὁ κατὰ πάντων ἀνημμένος τὸ κράτος, καὶ τὴν ἀρχὴν κεκΙημένος ἀπέρανΙον, τῆς γὰρ βασιλείας αὐτοῦ μὴ εἶναι τέλος ὁμολογοῦμεν ὁσημέραι, ὁ τῶν ἀγγέλων κύριος, ὁ τῶν οὐρανίων καὶ ἐπιγείων καὶ καταχθονίων δεσπόζων, ὁ πάσης δημιουργὸς τῆς κτίσεως, καὶ παράγων πάντα ἐξ οὐκ ὄντων πρὸς ὕπαρξιν, πῶς ἔτι βασιλεύσει ἢ κατάρξει τινῶν; ἀπέστραπΙαι ὁ τοῦ τηλικούτου βασιλέως λαὸς, οὗ δὴ λειποΙαξίου Γραφὴν εἰς δέον τις καΙαχέοι, κενὰ λοιπὸν τὰ βασίλεια καὶ ἔρημα καΙαλέλειπται,

ἑτέρῳ προσέθεντο βασιλεῖ· τοιοῦτος γὰρ ὁ τῶν ἀβασιλεύτων λόγος, οἳ οὐχ' ὑπὸ τὴν Χριστοῦ βασιλείαν τάχα κείσονται, ἑτέρωθέν γε καὶ πρὸς τοῦ Μαμωνᾶ βασιλευόμενοι· λεγέτωσαν δὲ τῆς ἐγκαταλείψεως τὸν τρόπον· ζητείσθω τίς ἡ αἰτία τῆς μεταθέσεως; εἰ μὲν ἑκὼν ὁ λαὸς τῆς χειρὸς ἀπέδρα τοῦ ἐξουσιάζοντος, πότερον ὡς τοῦ ἄρχειν οὐκ ἰσχύοντος; ἢ τοῦ σώζειν οὐ σθένοντος; καὶ μὴν ὁ δεσπόζων ἐν τῇ δυναστείᾳ αὐτοῦ τοῦ αἰῶνος, αὐτός ἐστιν· ὁ πληρῶν τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς· καὶ θεὸς τοῦ σώζειν λέγεται, καὶ θεὸς τῶν σωτηριῶν ἡμῶν· καὶ αὐτὸς ἐτέχθη ἡμῖν σωτὴρ κύριος, καὶ σώζων οὐκ ἔτι πλὴν αὐτοῦ· ἢ ὅτι οὐ προνοεῖ καὶ διεξάγει τὰ τῇδε θεοπρεπῶς, τοῦτον ἀπήρνηνται; "ἀλλ' αὐτός ἐστιν ὁ ἀνατέλλων τὸν „ ἥλιον αὐτοῦ ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχων ἐπὶ δικαίους καὶ ἀδί- „ κους· ὁ διδοὺς τῇ γῇ ὑετὸν πρώϊμον καὶ ὄψιμον, καὶ διδοὺς τροφὴν πάσῃ „ σαρκὶ, καὶ ὁ πατήρ μου, φησὶν, ἕως τοῦ νῦν ἐργάζεται, καὶ ἐγὼ ἐργάζομαι·„ τοὺς τῆς περὶ ἡμᾶς κηδεμονίας τὲ καὶ προνοίας εἰσάγων ἐντεῦθεν λόγους· ἢ ὡς οὐ μέγαν οὐ προσίενται; "ἀλλὰ βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν ἐστι· „ καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας·„ ἀλλ' ὡς μερικὴν ἢ περιγεγραμμένην περιβεβλημένον τὴν ἀρχὴν, ἢ χρόνῳ πεπερασμένην τινί; "ἀλλὰ „ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος, καὶ αὐτῷ κάμπτει πᾶν γόνυ ἐπου- „ ρανίων τὲ καὶ ἐπιγείων καὶ καταχθονίων, ἢ ὡς τοῦ συνιέναι ἐνδέοντα; ἀλλὰ „ τῆς συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός· οὐδὲ ἔγνω τίς νοῦν κυρίου·„ εἰ δὲ ὡς οὐκ ἐπιστρεπτικὸν ἢ κηδεμονικὸν, καὶ τίς ἐστιν ὁ λέγων διὰ φωνῆς ἁγίων· "ὅτι οὐ βούλομαι τὸν θάνατον τοῦ ἀποθνήσκοντος, ὡς τὸ ἐπιστρέψαι αὐτὸν „ ἀπὸ τῆς ὁδοῦ αὐτοῦ, καὶ ζῆν τὴν ψυχὴν αὐτοῦ· καὶ ἐν τῷ με εἰπεῖν τῷ „ ἀσεβεῖ, θανάτῳ θανατωθήσῃ, καὶ ἀποστρέψει ἀπὸ τῆς ὁδοῦ αὐτοῦ, καὶ „ ποιήσει κρίμα καὶ δικαιοσύνην, καὶ ἐν προστάγμασι ζωῆς διαπορεύσεται, „ ζωῇ ζήσεται καὶ οὐ μὴ ἀποθάνῃ· πᾶσαι αἱ ἁμαρτίαι αὐτοῦ ἃς ἥμαρτεν, οὐ „ μὴ ἀναμνησθῶσιν·„ ἢ ὡς σοφίας γοῦν καὶ δικαιοσύνης κατά τι γοῦν ἀπολειπόμενον; καὶ τίς ἐξαριθμήσαιτο τὴν ἄβυσσον τῆς σοφίας ἢ μᾶλλον αὐτοσοφίας; "τῇ γὰρ σοφίᾳ ἐξέτεινε τὸν οὐρανὸν, τὴν γῆν ἐθεμελίωσε„ καὶ ἁπαξαπλῶς πάντα ἐν σοφίᾳ ἐποίησεν· ἀγαθὸς δ' ὅτι ἐστὶ, καὶ τἄλλα πάντα οἷς παρὰ πάντων ἐξυμνεῖταί τε καὶ δοξάζεται· τί δεῖ τῶν ὑπὲρ ἔννοιαν καὶ λόγον τοῦ θεοῦ μεγαλείων ἐφάπτεσθαι, καὶ τῶν ἀνεφίκτων κατατολμᾶν; μήποτε λάθοιμεν ἑαυτοὺς ἀπονοίᾳ καὶ δυσβουλίᾳ τοῖς ἀσεβέσιν ὡσαύτως ἀνοητότατα περιπίπτοντες.

Τίνι οὖν ὁ ἡθετημένος ἡλάττωται καὶ δεδέηται, γλωσσαλγείτωσαν καὶ λεγέτωσαν; ἵνα ὀκλάσας καὶ ἀπειπὼν πρὸς τὴν σπουδὴν καταπροΐξηται τὴν ἀρχήν· μᾶλλον δὲ ὡς ὁ ἡμέτερος λόγος, τίσιν οὐχ' ὑπερῆρται καὶ ὑπεραναβέβηκε; ποῖος λόγος τὸ ὑπεραῖρον παραστήσεται τῆς μεγαλειότητος καὶ τῆς δυνάμεως τὸ ἀπρόσιτον, ἢ τῆς ἐξουσίας τὸ ἀμέτρητον, καὶ τοῦ κατὰ πάντων κράτους ἀπειροδύναμον; καὶ ἵνα μὴ τοῖς ταπεινοῖς τούτοις ἀποσεμνύνειν τὸ ὑψηλὸν δό-

ξαντες, καταςμικρύνοιμεν τῆς κυρίας ἁπάντων καὶ δεσποτείας τὸ ἀνέκφραστον, ἣ πάντα ἀπαραβλήτως τὲ καὶ ἀσυγκρίτως ὑπερθρώσκει καὶ ὑπερίδρυται, καὶ πᾶσιν ὁμοίως ἄβατός τε ἐστὶ καὶ ἄληπτος, καὶ ἀποκέκρυπται νῷ καὶ λόγῳ παντὶ, οἷα δὲ πάντων ἐξῃρημένη ὁρατῶν τε καὶ ἀοράτων, καὶ παντὸς ὀνόματος ἐν τῷ αἰῶνι τούτῳ κατονομαζομένου καὶ ἐν τῷ μέλλοντι, τῶν τοιούτων ὡς ὑπὲρ ἡμᾶς ἀφεξώμεθα· εἰ δὲ οὐχ' ἑκὼν ὁ ἐκκεχωρηκὼς τὸ ὑπήκοον δὴ τοῦτο μετετάξατο, βεβίασται πάντως, καὶ τὸ ἡγεμονοῦν τετυράννηται· καὶ τίς ὁ τῇ τυραννίδι ἐπιθέμενος, καὶ τὸ κρατεῖν ἀφελόμενος; καὶ ἔσται ὁ τυραννήσας εὐσθενέστερός τε καὶ ἐπικλέεστερος, καὶ τοσοῦτον ὅσον καὶ τὸ τῆς νίκης ὑπερτεροῦν, καὶ τὰ δι' ὧν ἂν ἡ νίκη τὸ περιὸν ἔχοι· ἐν μὲν γὰρ τοῖς ὁρωμένοις καὶ ἀνθρωπίνοις, ὁπηνίκα τὸ ἐναντίον καὶ μάχιμον τὰ πρὸς τὸν πόλεμον ἐξαρτύηται, καὶ εἰς ἀλλήλων χεῖρας ἥκωνται, τέλος τῶν ὅπλων καὶ τῶν πόνων οἱ τὸ κρεῖττον ἀπενεγκάμενοι ἴσχουσιν, ἢ ἐν τῇ μάχῃ κρατήσαντες, χειρώσασθαι τρεψάμενοι τὸν ἀντίπαλον, ἐξ οὗ συμβαίνει σκύλων τὲ καὶ λαφύρων πόρον ὅτι πλεῖστον ἐνέγκασθαι, ὅπλων τὲ κτῆσιν ὡς μεγίστην περιβαλέσθαι, ἢ χώραν καταδηῶσαι τὴν πολεμιωτάτην, καὶ σφίσιν αὐτοῖς κατήκοον ποιήσασθαι, καὶ δασμοφορεῖν εἰς τὸ λοιπὸν τοὺς κεκρατημένους ὡς δουλουμένους καταβιάσασθαι· ὁ δὲ παρὰ τῶν ἀοράτων κινούμενος πόλεμος, ὑφ' ὧν ἡμῖν νῦν ὁ κατὰ τῆς πίστεως σάλος ἐπανασείεται, τούτων οὐδὲν ἐν ἐλπίσι κατορθωθήσεσθαι τίθεται· οὐ γὰρ δή που τοῦτο τηλικοῦτον, ἡλίκον ἐκείνου τοῦ πολέμου τὸ κίνημα· οὐχ' ὅπως γάρ τι τῶν ἡμετέρων καὶ ἐκτὸς, ὁ ἐχθρὸς σφετερίσηται, καθ' ἡμῶν ἐπιφύεται, ἀλλ' ὅπως ὅλους ἡμᾶς αὐτοὺς, ψυχὰς λογικὰς καὶ τὸν ἡγεμόνα νοῦν καταληΐσαιτο καὶ ὑπὸ χεῖρα ἀγάγοι, ἀναπείσῃ τὲ βασιλέα καλεῖν, καὶ θεὸν ὁμολογεῖν τὸν ἀντίθεον, καὶ τοῖς ψυχοφθόροις καὶ βδελυκτοῖς εἴκειν προστάγμασιν· ἵνα δὴ μὴ αὐτὸς μόνος γεέννῃ καταδικάζοιτο, ἤδη δὲ καὶ τοὺς συγκληρονομήσοντας τῷ πυρὶ τῷ αἰωνίῳ συνεπαγάγοιτο· τοῦτο γὰρ ἔργον ἐξ ἀρχῆς τῷ βασκάνῳ καὶ ἀλιτηρίῳ δαίμονι, τῶν ηὐτρεπισμένων ἀγαθῶν τῷ γένει τῷ καθ' ἡμᾶς φθονερῶς ἐπιόντι ἀποστερήσειν, καὶ τοῦ ἑαυτοῦ συμμεθέξειν πτώματος· ὁ τοίνυν ἀφῃρημένος τὸ ὑπήκοον, γεγύμνωται τῆς ἀρχῆς καὶ ἀπεστέρηται τοῦ ἀξιώματος, καὶ τῆς ἐξουσίας ἐκβέβληται· ψιλὸν αὐτῷ μόνον ἐπιφημισθήσεται τοὔνομα, ἢ καὶ αὐτὸ κατὰ τὸ εἰκὸς πάμπαν οἰχήσεται· συνενεχθήσεται δὲ αὐτῷ ἐντεῦθεν εἰς τὸ πενιχὸν καὶ ἀκαλλὲς τὸ τῆς δόξης περιστήσεσθαι· οὗ γὰρ μὴ ὑπάρχει κατήκοον, οὐκ ἂν συσταίη τὸ βασιλευθὲν οὐδαμῶς· πόθεν; οὐ γάρ τοι ἕξει ὧν ἂν κατάρξειεν· τοιαῦτα οἱ κακοδαίμονες τῷ δαίμονι χαριζόμενοι φιλοτίμως. οἴονται τῆς Χριστοῦ κατανδρίζεσθαι βασιλείας, καὶ τῆς καθ' ἡμᾶς κατανεανιεύεσθαι πίστεως, καὶ τῶν ἱερῶν ἡμῶν καταθέειν δογμάτων· ἀλλὰ τῶν θεολέκτων φωνῶν ἀκουέτωσαν, ὅτι " ὁ μωρὸς „ μωρὰ λαλήσει, καὶ ἡ καρδία αὐτοῦ μάταια νοήσει. „

ν. Καὶ τί τούτων ἀνοητότερον ἢ ματαιότερον; κενὰ γὰρ τῷ ὄντι κατὰ Χριστοῦ ἐμελέτησαν, καὶ μάταια αὐτῶν τὰ βουλεύματα καὶ διανοήματα, καὶ φρε-

νὸς ἀλόγου καὶ ἀλλοκότου κυήματα, καὶ μωρίας ὡς ἀληθῶς καὶ σκαιότητος, μᾶλλον δὲ ἀθεΐας καὶ ἀσεβείας τῆς ἁπασῶν ἐσχάτης ἐπέκεινα, ὧν οὐ θεμιτόν τι κἂν γοῦν μόνον εἰς νοῦν ἐπιέναι ἀνθρώπῳ δοξάζειν ἀνοητότατα, καὶ δρᾷν τὰ ἀνοσιώτατα, εἰς τοῦτο ἀσθενείας καὶ ἀκλεείας τὴν τῶν ὅλων ὑποβιβάζειν ἀρχήν· οὗ τί ἂν γένοιτο ἀτοπώτερον ἢ ἀθεώτερον; ἀλλὰ καινή τις ὡς ἔοικε κατὰ τῆς Χριστοῦ βασιλείας παρὰ τῶν ἀνομούντων ἀνέφυ γραφή· δέον γὰρ αὐτὴν ταῖς ἁπασῶν ὑψηλοτέραις καταγεραίρειν τιμαῖς, εἰς ἔσχατον ἀδοξίας καὶ εὐτελείας περιέλκειν οὐ κατερυθριῶσιν, ἵνα τὸ προσὸν ὡς θεῷ ἀξίωμα περιελόμενοι, ἡττημένον αὐτὸν παραδείξωσι, καὶ τῶν θείων πλεονεκτημάτων ἀπογυμνώσωσι, καὶ ψιλὸν αὐτὸν ἄνθρωπον καὶ τῶν καθ' ἡμᾶς ὄντα καταστήσωνται, καὶ τῆς ἐνούσης αὐτῷ κατὰ πάντων ἐξουσίας ὑπερορίσωσιν· εἰς τοιαύτην ἀτοπίαν καὶ ἀθεΐαν τὰ παρ' αὐτοῖς δογματιζόμενα, κατὰ τὸ ἀκόλουθον περιέστησαν· ἀλλὰ πῶς ταῦτα πείσεται, οὐ συνῆκαν οἱ ἀμαθεῖς καὶ ἀνόητοι· ὁ τὸν ἰσχυρὸν δήσας καὶ διαρπάσας αὐτοῦ τὰ σκεύη, καὶ τῆς καθ' ἡμῶν λύσσης ἀπείρξας, πῶς ὁ τὸν ἀόρατον αἰχμαλωτεύσας τύραννον, καὶ καθελὼν τὸ δυσάντητον κράτος, ἀντεσυλήθη πάλιν ἡττώμενος; ἐξ ἀτονίας ἄρα πεπονθὼς τοῦτο. ἢ κατολιγωρήσας τοῦ προσκτηθέντος; καὶ ταῦτα ἐπὶ τοσούτοις ἱδρῶσι καὶ πάθεσιν· ἵνα μετὰ τοῦ δύνασθαι παραιρήσωνται αὐτὸν, καὶ τῆς προσούσης περὶ ἡμᾶς κηδεμονίας καὶ προνοίας αὐτῷ.

Κενὸς οὖν αὐτῷ ὁ ἀγὼν κατ' αὐτοὺς, καὶ μάτην ἡ πρὸς τὸν ἀντίπαλον διαμάχη ἐξήνυσται· τάχα που καὶ δευτέρων ἀγώνων αὐτῷ δεήσει, καὶ πράγματα ἕξει, καὶ φροντίδων τῶν πρὸς ἐχθρὸν οὐκ ἀπολήξει, καί ποτε καὶ ἄλλης αὐτῷ μελήσει σαρκώσεως, καὶ σταυρὸν ἄλλον καὶ πάθος ἐκδέξεται· ἐξ οὗ συμβήσεται ἀνάλογον τούτοις ἕξειν καὶ τὴν θρησκείαν· εἰ γὰρ κατήργηκε τὴν εἰδωλολατρίαν Χριστὸς, καὶ τοῦτο ὑπῆρξεν ἡμῖν ψυχῶν ἰατρεία, εἶτα ἐπανῆκεν ἀναπνεῦσαν τὸ βλαβερὸν, ἑτέρας αὖθις θεραπείας δεήσεται· ὅπερ δὴ ἐπὶ τῶν κατὰ τὸ σῶμα νοσημάτων εὑρεῖν ἐστιν· ὡς εἴ τις ἰατρῶν τὴν παροῦσαν ἐξιάσασθαι νόσον τοῦ κάμνοντος βούλοιτο, κεράννυσι μὲν τῇ νόσῳ κατάλληλα φάρμακα· εἶτα ὃ ἐδόκει ἀλεξητήριον, περιτραπὲν εἰ τύχοι γέγονε δηλητήριον, ὡς οὐδέν τι ῥᾷον χεῖρον δὲ μᾶλλον σχούσης τῆς διαθέσεως· ἀναγκαίως οὖν ἀγωνιάσει καὶ διασπεύσει, ἑτέροις ἐπιχειρήμασι μεθοδεύων διαθεῖναι τὸ ἴαμα· εἰ γοῦν καὶ τούτων μὴ ἐπιτεύξαιτο, προσθείη δή που καὶ ἕτερα, καὶ εἰς ἄπειρον τὴν πεῖραν κενώσειεν, ἔστι δὲ λοιπὸν οὐκ ἰατρεία τὸ δρώμενον, ἀλλ' ἀπορία καὶ ἀτευξία, καὶ τῆς τοῦ νοσοῦντος κακοπαθείας ἐπίδοσις· τὸν αὐτὸν τρόπον καὶ τὰ κατὰ τὴν τοῦ σωτῆρος ἡμῶν οἰκονομίαν Χριστοῦ διαχλευάζοντες, διορίζεσθαι οἱ ἄθλιοι βούλονται, ὡς οὐδὲν οὐδαμῆ ἐνεργὸν ἢ βεβηκὸς ἔχειν αὐτὴν διανοούμενοι.

Παίζεται οὖν παρ' αὐτοῖς τὰ καθ' ἡμᾶς μυστήρια, καὶ τῶν ἐπὶ σκηνῆς οὐδὲν ὡς ἔοικε διενήνοχεν· ἡμεῖς δὲ ταῖς ἀληθείαις χρώμενοι, καὶ τῆς τῶν πραγμάτων αὐτῶν πίστεως καὶ δυνάμεως ἀντεχόμενοι λέγομεν· τοσούτῳ περι-

έσται τῷ νικηῇῃ τοῦ τυράννου καὶ τοῦ θανάτου Χριστῷ τὰ τῆς νίκης· ὡς ἤδη καὶ ὁ δράκων ὁ πανώλης ἐξ ἀπληστίας καὶ αὐτῷ προσβαλὼν τῷ Χριστῷ, καὶ τῷ φαινομένῳ ἐπιδραμὼν, ἐπείπερ οἱονεὶ δέλεαρ αὐτῷ προὐβάλετο τὸ ἀνθρώπινον, καὶ μάλα ἐλπίσας θηράματι ὥσπέρ τινι περιτυχὼν κατεδηδοκέναι τὸ προσπεσὸν, τῷ ἀγκίστρῳ περιπίπτει δελεασθεὶς τῆς θεότητος, καὶ οὓς πάλαι λαφύξας καταπεπώκει, πρὸς τὸ δυσάντητον ἀπαυδήσας τῆς θοίνης, καὶ οὐκ ἐθέλων ἀπήμεσε.

Ταῦτά τοι καὶ οἱ πρὶν πρὸς θήραν ἑτοίμην καὶ ἐδωδὴν ἡδίστην αὐτῷ ὑπεκκείμενοι ἔλαβον ἐξουσίαν παρὰ τοῦ τὸν κόσμον νικήσαντος, καὶ τὴν ὑπερήφανον καὶ δυσμενῆ καθελόντος τοῦ πονηροῦ δυναστείαν, πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν τοῦ ἐχθροῦ δύναμιν· ἀλλὰ καὶ ἄξουσιν ἐν ἀγκίστρῳ τὸν δράκοντα, ἀφάψουσι δὲ φορβειὰν περὶ ῥίνας αὐτοῦ, δήσουσι δὲ κρίκον ἐν τῷ μυκτῆρι αὐτοῦ, καὶ ψελλίῳ τὸ χεῖλος αὐτοῦ διατρήσουσι· κἂν οἱ ταῖς πάγαις τῆς πλάνης συνειλημμένοι, τῷ δεσμώτῃ καὶ τετρημένῳ καὶ μαστιγίᾳ τὸ σέβας, ὡς αὐτοὶ φασὶν, ἀνοήτως προσάγωσιν· ὄντως οὐκ ἐφρόνησαν συνιδεῖν ἢ συνιέναι οἱ τάλανες· διὰ τοῦτο τῆς ἀληθείας καταλαζονεύονται, τολμῶσί τε ἃ οὐδ' ἂν βαρβάροις ἢ ἕλλησι τολμητέα εἶναι· τί φήσουσιν ἀκούοντες οἷα ἐν εὐαγγελίοις ὁ ἡμέτερος διαῤῥήδην βασιλεὺς καὶ ποιμὴν διακέκραγε; " τὰ πρόβατα τὰ ἐμὰ τῆς φωνῆς μου ἀκούει, καὶ οὐδεὶς ἁρπάσει αὐτὰ ἐκ ,, τῆς χειρός μου· καὶ ὅτι ὁ πατὴρ δέδωκεν αὐτῷ ἐξουσίαν κατὰ πάσης σαρ- ,, κός· καὶ πάντα ὅσα ἔχει ὁ πατὴρ, ἔχει καὶ ὁ υἱός· τὰ γὰρ ἐμὰ πάντα, φησὶ, ,, σά ἐστι, καὶ τὰ σὰ ἐμὰ, καὶ δεδόξασμαι ἐν αὐτοῖς· ,, μετεῖναι γὰρ τῷ μονογενεῖ πάντων τῶν τοῦ πατρὸς πεπιστεύκαμεν· πῶς οὖν δεδόξασται εἰ νενίκηται καὶ ἥττηται; πῶς δὲ τῆς ἐξουσίας ἀφῄρηται, ὁ ἐν τοῖς πατρικοῖς ἐναγλαϊζόμενος ἀξιώμασι, καὶ συμμετέχων τῆς κατὰ πάντων ἐνυπαρχούσης ἐξουσίας αὐτῷ; ταῦτα οἱ τοῦ κυρίου ἐχθροὶ οὐ λογίζονται, ὑφ' ἑτέρῳ γὰρ τελοῦσι τῷ τοῦ αἰῶνος τούτου ἄρχοντι· τοῦτο γὰρ αὐτοῖς βούλεται τὸ εἰδώλοις προσκεκυνηκέναι, τὸ ἐξ ἀρχῆς ὠδίνουσι κατὰ τοῦ εὐαγγελικοῦ λόγου τὰς ἀντιθέσεις· ἡμεῖς δὲ οὐκ ἄν ποτε ἀποκνήσαιμεν θριαμβεύειν αὐτῶν τὸ ἐμμανὲς καὶ τὸ ἐμβρόντητον.

Τί οὖν φησιν ὁ σωτήρ; " ὁ εἰσερχόμενος διὰ τῆς θύρας, ποιμήν ἐστι· καὶ ,, ὅταν τὰ ἴδια πρόβατα ἐκβάλῃ, ἔμπροσθεν αὐτῶν πορεύεται, καὶ τὰ πρό- ,, βατα αὐτῷ ἀκολουθεῖ, ὅτι οἴδασι τὴν φωνὴν αὐτοῦ· ἀλλοτρίῳ δὲ οὐ μὴ ,, ἀκολουθήσωσιν, ἀλλὰ φεύξονται ἀπ' αὐτοῦ, ὅτι οὐκ οἴδασι τῶν ἀλλοτρίων ,, τὴν φωνήν· ,, εἶτα πάλιν· " ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, ,, σωθήσεται καὶ ἐξελεύσεται καὶ νομὴν εὑρήσει· ,, τί δὲ οἱ παράφρονες; τὸν μὲν τοιοῦτον ποιμένα, ἠῤῥωστηκότα καὶ ἄτονον, καὶ ἀπείρως τῆς ποιμαντικῆς εἰσάγουσιν ἔχοντα, ἢ ἀσθενείᾳ τοῦ διέπειν τὰ πρόβατα, ἢ ἀκουσίως διηρπάσθαι ὑπὸ τοῦ λύκου, ἢ ἐθελοντὴν καταπροέσθαι τὸ ποίμνιον· μάτην δὲ ὡς ἔοικεν ἡ θύρα προβέβληται, οὐδαμόθεν τὸ ἀσφαλὲς ἔχουσα· οὔτε εἴ τις εἰσελεύσεται

δι᾽ αὐτῆς ἡ ἐξελεύσεται, εἰς τὸ σώζειν οἵα τε ὑπάρχουσα· τὸ δὲ ταῦτα φλυαρεῖν καὶ λέγειν, ποίας κολάσεως καὶ ἀπωλείας οὐκ οἴσει δίκην; εἶτα· " ἐγώ „ εἰμι ὁ ποιμὴν ὁ καλὸς, καὶ γινώσκω τὰ ἐμὰ καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν, „ καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων· „ τοῖς δέ γε ἑκατέρωθεν ἐν τούτοις, ὁ τῆς βλασφημίας περιορώρυκται βόθρος, ὁμοῦ τε τοῦ ποιμένος Χριστοῦ καὶ τῶν προβάτων τὴν ἄγνοιαν ἀνοήτως καταψηφιζομένοις· διαπιστήσουσι δέ που πάντως αὐτῷ, καὶ τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων τιθέναι λέγοντι· ἵνα ἢ μηδόλως γεγενῆσθαι τὸ σωτήριον Χριστοῦ πάθος δογματίσωσιν, ἢ ὡς παραπεπλασμένον καὶ φασματῶδες παραφανὲν, καὶ εἰκῆ συντεθεῖσθαι δραματουργούμενον παρὰ τῶν ἐξηγησαμένων ἡμῖν τὰ εὐαγγέλια, εἰσηγήσωνται· ταῦτα δὲ τίνων ἄλλων, ἢ τῆς ἐκείνων ἀνοίας καὶ ἀσεβείας ἄξια; καὶ ὁ μὲν Χριστὸς λέγει· " καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύ„ της· κἀκεῖνα με δεῖ ἀγαγεῖν, καὶ τῆς φωνῆς μου ἀκούσουσι, καὶ γενήσεται „ μία ποίμνη, εἷς ποιμήν· „ οἱ δὲ καὶ τῶν ἤδη δι᾽ ἐπιγνώσεως τῆς πρὸς αὐτὸν συνηγμένων, τῆς ἐξουσίας καὶ οἰκειότητος ἐξείργειν φιλονεικοῦσι, καὶ τῷ τῆς πλάνης αὐτῶν ἀρχηγῷ διαβόλῳ περιποιούμενοι μετοχετεύειν· φαίη δ᾽ ἂν καὶ πρὸς αὐτοὺς ὁ Χριστὸς τὴν ἰουδαίων νοσοῦντας μανίαν· " ὑμεῖς οὐ πιστεύετε, „ οὐ γὰρ ἐστὲ ἐκ τῶν προβάτων τῶν ἐμῶν· τὰ πρόβατα τὰ ἐμὰ τῆς φωνῆς „ μου ἀκούει, καὶ γινώσκω αὐτὰ καὶ ἀκολουθοῦσι μοι· κἀγὼ ζωὴν αἰώνιον „ δίδωμι αὐτοῖς, καὶ οὐ μὴ ἀπόλωνται εἰς τὸν αἰῶνα, καὶ οὐχ᾽ ἁρπάσει τίς „ αὐτὰ ἐκ τῆς χειρός μου· ὁ πατήρ μου ὃς δέδωκέ μοι, μείζων πάντων ἐστὶ, „ καὶ οὐδεὶς δύναται ἁρπάζειν ἐκ τῆς χειρὸς τοῦ πατρός μου· ἐγὼ καὶ ὁ πα„ τὴρ ἕν ἐσμέν· „ οὗτοι δὲ τὰ ἰουδαίων ὄντως καὶ φρονοῦντες καὶ πράσσοντες, τοῖς τῶν δυσφημιῶν λόγοις οἷα λίθοις καταλεύουσι, βάλλοντες τὸν Χριστόν· οὕτω γὰρ, τό γε ἐφ᾽ ἑαυτοῖς, κατεψίλωσαν μὲν τὸν Χριστὸν, καὶ τοῦ κατὰ πάντων ἀφείλοντο κράτους, καὶ τὸ ἧττον ἀπενέγκασθαι ἤδη κατεψηφίσαντο, τά τε ἄλλα καὶ τὰ τῶν εὐαγγελίων ψευδῆ τιθέμενοι λόγια· τῷ δὲ πατρὶ αὐτῶν τῷ ἀντιχρίστῳ τὸ κλέος διδόασι καὶ τὰ νικητήρια, τρόπαιον αὐτῷ λαμπρὸν τὸν ἴδιον στησάμενοι ὄλεθρον.

να. Ἤδη δὲ καὶ τὸν πατέρα καὶ τῶν ὅλων θεὸν κατὰ τὸ εἰκὸς βεβιάσθαι ἀποφανοῦνται, καὶ τῆς τῶν ἁπάντων δεσποτείας ἀλλοτριώσουσι, συνδιηρπάσθαι τῷ υἱῷ τῆς ἐξουσίας αὐτὸν εἰσηγούμενοι· εἴπερ ὁ υἱὸς φησὶν, " ἐγὼ καὶ ὁ „ πατὴρ ἕν ἐσμέν· „ συμβασιλεύει δὲ τῷ πατρὶ εἰς τοὺς αἰῶνας· καὶ τὸ πνεῦμα ἐψεῦσθαι τὸ ἅγιον τὸ ἐν ἀποστόλοις φθεγγόμενον, ἐπεὶ τῷ μὲν ἐνέπνευσε λέγειν· " ὅτι ἐῤῥύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους, καὶ μετέστησεν εἰς „ τὴν βασιλείαν τοῦ υἱοῦ τῆς ἀγάπης αὐτοῦ, ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν, „ τὴν ἄφεσιν τῶν ἁμαρτημάτων· ὅς ἐστιν εἰκὼν τοῦ θεοῦ τοῦ ἀοράτου· πρωτό„ τοκος πάσης κτίσεως· „ τῷ δὲ ἐνήχησε γράφειν· " ὑμεῖς δὲ γένος ἐκλεκτὸν, „ βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον, λαὸς εἰς περιποίησιν, ὅπως τὰς ἀρετὰς „ ἐξαγγείλητε τοῦ ἐκ σκότους ὑμᾶς καλέσαντος εἰς τὸ θαυμαστὸν αὐτοῦ φῶς·

„ οἱ ποτὲ οὐ λαὸς, νῦν δὲ λαὸς Θεοῦ· καὶ οἱ οὐκ ἠλεημένοι, νῦν δὲ ἐλεηθέντες· „ μεθ' ὧν ὁ εὐαγγελικὸς λόγος " ὅτι τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, „ καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβε βοᾷ· „ οἱ δὲ τοῦ σκότους ἄξιοι, ὡς οἴονται, καὶ ἐδιώχθη καὶ κατελήφθη· εἰκῆ ταῦτα εἴρηται, καὶ ἀδολεσχεῖ ὁ λέγων τοὺς ἐκ τοῦ σκότους, εἰς τὸ θεῖον καὶ θαυμαστὸν κεκλῆσθαι φῶς· καὶ τὸν οὐ ποτὲ λαὸν, νῦν λαὸν χρηματίζειν θεοῦ· καὶ τοὺς οὐκ ἠλεημένους, ἠλεημένους· μάτην ἄρα ὡς ἔοικε τὸ τοῦ Χριστοῦ αἷμα καταβέβληται, καὶ λύτρον ὑπὲρ ἡμῶν εἰσενήνεκται, καθὰ πιστεύομεν καὶ κηρύσσομεν· οὕτως αὐτοὺς εἰς βυθὸν ἀπωλείας ὁ τῆς βλασφημίας καὶ δυσσεβείας κατωθεῖ λόγος· ἐπὶ τούτοις τῶν θεηγόρων ἄλλος, εἰς τόνδε τὸν πόνον συνεισελάσας, συλλήψεταί γε εὖ μάλα τοῖς προκεκηρυγμένοις, τοιάδέ τινα λέξειεν· " ἔσται ἐν ταῖς ἡμέραις ἐκείναις „ καὶ ἐν τῷ καιρῷ ἐκείνῳ, καλέσουσι τὴν Ἱερουσαλὴμ θρόνον κυρίου, καὶ συναχθήσονται ἔτι ὀπίσω τῶν ἐπιθυμημάτων τῆς καρδίας αὐτῶν τῆς πονηρᾶς· „ τοιαῦτα μὲν ὁ Θεῖος προφήτης· πολλάκις δὲ τῶν τοιῶνδε λόγων προδιηκρινημένων, οὐκ ἔγωγε οἶμαι παλινοστήσαντας ἐπὶ τὰς αὐτὰς ἐξηγήσεις ἴεσθαι· ἀλλὰ τά γε εἰς τὸ ἔπειτα αὐτῷ ῥηθησόμενα, οὐκ ἂν ἑκὼν ὑπερβήσομαι· πολὺ γὰρ ἡμῖν ὠδίνει ταυτηνὶ τὴν ἀλήθειαν πρὸς τὴν τῶν προκειμένων ὑπόθεσιν, τὸ συμφυὲς καὶ ὁμόγνωμον, ἃ δὴ καὶ ἰσχνῶς κατοπτεύοντες εἰσόμεθα.

νβ. Τί ποτε ἄρα θεὸς, καὶ τίσι κατὰ καιροὺς διάθοιτο, καὶ τί τῶν ἐκκεισομένων νόμων τὸ καινὸν καὶ ἀπεξενωμένον, καὶ τῶν πάλαι νενομισμένων ἐπικρατέστερον, καὶ πολὺ δὲ πλείονα φέρον τὴν ὄνησιν, καὶ ὅποι ποτὲ τὰ τῶν νόμων ἐνσημανθήσεται, καὶ ὁποίᾳ δὴ δυνάμει τὸ ὑπ' αὐτῶν διδασκάλιον πρόεισιν; ἔχει δὲ ὧδε· " ἰδοὺ ἡμέραι ἔρχονται φησὶ κύριος, καὶ διαθήσομαι τῷ „ οἴκῳ Ἰσραὴλ καὶ τῷ οἴκῳ Ἰούδα διαθήκην καινὴν, οὐ κατὰ τὴν διαθήκην „ ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν, ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς „ αὐτῶν ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου· καὶ αὐτοὶ οὐκ ἐνέμειναν τῇ „ διαθήκῃ μου, καὶ ἐγὼ ἠμέλησα αὐτῶν, φησὶ κύριος· ὅτι αὕτη ἡ διαθήκη „ ἣν διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ μετὰ τὰς ἡμέρας ἐκείνας, φησὶ κύριος, διδοὺς νόμους μου εἰς τὴν διάνοιαν αὐτῶν, καὶ ἐπὶ καρδίας αὐτῶν γράψω „ αὐτοὺς, καὶ ἔσομαι αὐτοῖς εἰς Θεὸν, καὶ αὐτοὶ ἔσονταί μοι εἰς λαὸν, καὶ „ οὐ μὴ διδάξωσιν ἕκαστος τὸν πολίτην αὐτοῦ, καὶ ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ λέγων, γνῶθι τὸν κύριον· ὅτι πάντες εἰδήσουσί με ἀπὸ μικροῦ αὐτῶν „ καὶ ἕως μεγάλου αὐτῶν· ὅτι ἵλεως ἔσομαι ταῖς ἀδικίαις αὐτῶν, καὶ τῶν „ ἁμαρτιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι· „ καὶ ὁ μὲν τοῦ πνεύματος ὑποφήτης τοιαῦτα.

Τίς δὲ τῶν θεοπνεύστων λογίων τούτων ἀνήκοος; ἁπανταχοῦ γὰρ γῆς καὶ θαλάσσης, τῶν θεοφόρων ἀνδρῶν ὁρᾶται κατεσκεδασμένον τὸ κήρυγμα· τίς δὲ οὕτως ἀσύνετος καὶ ἠλίθιος, ὥστε παρ' οὐδὲν μὲν τίθεσθαι τὰ τοῦ πνεύματος λόγια, τοῖς ἐκ τῆς μεθοδείας δὲ τοῦ διαβόλου ἐξευρημένοις προστίθεσθαι; ποίας οὐκ ἂν εἶεν κατηγορίας καὶ κολάσεως ἄξιοι, λεγέτω τίς τῶν ἐρώντων

τῆς τοῦ λόγου εὐθύτητος· τί τούτων εὐθύτερον ἢ τηλαυγέστερον; ἆρ' οὐκ ἐλέγχει τῶν ἀνοήτων τὴν ματαιότητα; ἆρα τὸν καθ' ἡμᾶς λόγον ὡς εὐσεβείας ἐχόμενον οὐ συνίστησιν; οὐ τὴν καινὴν διαθήκην ἡμῖν προανεβόησεν, ἣν ὁ σωτήριος λόγος ἐπιφανεὶς παραδέδωκεν; οὐ τῆς κατὰ θεὸν πολιτείας τοὺς νόμους προϋποτίθεται, τῶν τε δεξομένων τὰς διανοίας καταυγασθήσεσθαι καὶ φωτισθήσεσθαι, καὶ τῶν προσελευσομένων τὰς καρδίας, τοῦ παλαιοῦ ῥύπου καὶ τῆς ἁμαρτίας ἀποκαθαρθήσεσθαι; καθ' ἃς καὶ ἐγγραφήσεσθαι τὸν θεῖον νόμον προανεκήρυξεν· οὐ τὸν παλαιὸν ἄνθρωπον ἀποθήσεσθαι, καὶ τὸν νέον τὸν ἀνακαινούμενον ἐν πνεύματι προϋπέγραψεν; οὐ τὴν πρὸς θεὸν ἡμῖν οἰκειότητα διατυποῖ καὶ ἐγγύτητα; ὡς εἶναι αὐτῷ λαὸν καὶ κλῆρον ἅγιον, αὐτόνομον καὶ αὐτεπάγγελτον τὴν θείαν γνῶσιν ἕξειν προϋποφαίνων; οὐ προῖκα χρηστευόμενον ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, καὶ ἀμνηστίαν ἐπὶ ταῖς ἀνομίαις ἡμῶν ἐνδειξόμενον, τόν τε ἔλεον καὶ τὴν φιλανθρωπίαν ἣν περὶ ἡμᾶς κέκτηται προανακέκραγεν; οὐ τὸ κεφάλαιον πάντων, ὡς συνελόντα εἰπεῖν, τῆς ἱερᾶς ἡμῶν πίστεως τά τε βάθρα καὶ τὴν κρηπῖδα προϋπεστήριξε; ταῦτα κατακροτεῖν καὶ ταῖς ἀμείνοσι στεφανοῦν ψήφοις, πάντων ἂν εἴη δικαιότερον· τῆς γὰρ ἀσεβείας καθαιρεῖ τὴν ὀφρὺν, καὶ τῶν ἀναισχυντούντων ἀποφράττει τὰ στόματα· ὄντως ἔδει τούτοις καὶ ὑπηρετήσασθαι καὶ διακονήσασθαι, τὸν καλῶς καὶ ἀξίως τῶν προφητῶν προσαγορευθέντα τὸν συμπαθέστατον, ἀφ' ὧν ἐπεδείκνυτο τὸ πολυπενθὲς καὶ φιλόδακρυ· ὃς ἔγνωστο τῷ θεῷ καὶ πρὸ πλάσεως, καὶ ἐκ μήτρας αὐτῆς ἡγίαστο· τί γὰρ τῆς ἱερᾶς ἐκείνης ψυχῆς συμπαθέστερον ἢ καθαρώτερον;

Ἀλλ' ἐπὶ τὴν τῶν προηγορευμένων ἀνάπτυξιν, εὐκαίρως καὶ δὴ τρεψώμεθα· " ἰδοὺ ἡμέραι ἔρχονται, φησὶ κύριος, καὶ διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ „ καὶ τῷ οἴκῳ Ἰούδα διαθήκην καινήν· „ ἡμέραι δὲ οὐκ ἂν ἕτεραι ὑπολημφθεῖεν, ἢ ἅσπερ ἐσχάτας τῶν προφητῶν ἕτεροι ἐκδιδάσκουσιν, εἰ καὶ ἀδιορίστως ἐνταῦθα εἴρηται, καθ' ἃς ὁ τοῦ θεοῦ λόγος ἀνθρώποις σαρκὶ προσωμίλησεν· ἐπὶ συντελείᾳ γὰρ τῶν αἰώνων τὸ τοῦ Χριστοῦ μυστήριον πεφανέρωται· τούς τε νόμους καὶ τὴν διαθήκην ἡμῖν τὴν καινὴν εἰσηγήσατο· ἐπεὶ γνωριζέτωσαν ἡμῖν οἱ ἀπεναντίας ἡμῖν καὶ τῇ ἀληθείᾳ ἱστάμενοι, χρόνον ἕτερον καὶ τοῦ προφητικοῦ τουτουῒ λόγου μεταγενέστερον, καὶ διαθήκην ἄλλην ἐμφανιζέτωσαν, καὶ ἡμεῖς γε σιωπήσομεν· ἕως δ' ἂν παραδεῖξαι οὐκ ἰσχύσωσιν, οὐ γάρ τοι δυνήσοιντο, τὰ ἡμέτερα κρατείτωσαν, καὶ ὁ τῆς ἀληθείας λόγος παῤῥησιάσαιτο· οἶκος δὲ Ἰσραὴλ καὶ Ἰούδα, τίνες ἂν εἶεν ἕτεροι, ἢ οἵ γε τῷ καθαρωτάτῳ νῷ καθορᾷν ὡς ἐφικτὸν ἀνθρώπῳ θεὸν δύναιντο, καὶ καθαρᾷ καὶ εἰλικρινεῖ ἐξομολογήσει διὰ πίστεως αὐτῷ προσερχόμενοι· οὕτω γὰρ ἂν οἰκειότερον Ἰσραὴλ καὶ Ἰούδας ἀποδοθείη· εἰ καὶ περὶ τῶν ψιλαῖς προσηγορίαις τέως ἐπικεχρεωστημένων, τηνικάδε ὁ λόγος προενήνεκται, ὡς μὴ δόξαι τὰ τῆς ἐπαγγελίας διαπεσεῖσθαι τῆς πρὸς τοὺς πατέρας τοῖς ἔτι σαρκικοῖς, καὶ τῷ τῆς περιτομῆς φιλοτιμουμένοις σημείῳ· καθὰ καὶ ὁ σωτὴρ τῇ γυναικὶ τῇ φοινικίσσῃ προσδιελέγετο· " οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα

„ οἴκου Ἰσραήλ· „ ὧν ἀπογνόντων, ἐπὶ τὰ ἔθνη λοιπὸν, πρὸς οὓς ἡ ἐπαγγελία τῶν πατέρων καὶ ἡ εὐλογία μετακεχώρηκεν.

Εἰ δοκεῖ δὲ καὶ εἰσαῦθις, ὁ τῆς καινῆς διαθήκης λειτουργὸς, ὁ βαστάσας τὸ τοῦ Χριστοῦ ὄνομα ἐνώπιον ἐθνῶν καὶ βασιλέων, ὃς δὴ ἄγαν εὐφυῶς καὶ εὐκαίρως καὶ εἰς δέον, τοῖς θείοις τούτοις χρησμοῖς ἑβραίοις γράφων, αὐταῖς λέξεσι συνεχρήσατο, καλείσθω καὶ νῦν χρειωδέστατα, καὶ εἰς μέσους ἀγέσθω, καὶ ἀμφοῖν ταῖν διαθήκαιν συμβάλλων καὶ δοκιμάζων τὴν δύναμιν, λεγέτω· “ εἰ γὰρ ἡ πρώτη ἐκείνη ἦν ἄμεμπτος, οὐκ ἂν δευτέρας ἐζητεῖτο τόπος· „ πῶς οὖν οὐκ ἄμεμπτος ἡ πρώτη; “ ὅτι τοι, φησὶν, ὁ νόμος οὐδὲν ἐτελείωσεν, „ ἐπεισαγωγῇ δὲ κρείττονος ἐλπίδος, δι' ἧς ἐγγίζομεν τῷ θεῷ· „ οὐκοῦν διὰ τοῦτο δευτέρας ἐδέησε καὶ τῆς κρείττονος, ἧς πάνυ τὸ χρειῶδες καὶ ἀναγκαῖον εἰς τὸ σώζειν τὸν ἄνθρωπον, καὶ δικαιοῦν τὸν διὰ πίστεως προσερχόμενον, καὶ τῶν ἀρχαίων πλημμελημάτων χαρίζεσθαι τὴν ἀπόνιψιν· ἣν δ' ἄρα ταύτη τῆς εὐαγγελικῆς θεσμοθεσίας ἡ ἐπανθήσασα χάρις, καὶ τῶν ἐν ταύταις μεσιτευσάντων τὸ διενέγκαν ὁπόσον· ὅτι ἐκεῖ μὲν οἱ ἱερεῖς προσέφερον τὰ δῶρα, καὶ τὰς ἐναίμους θυσίας ὑπέρ τε ἑαυτῶν, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων· αἵπερ οὐκ ἠδύναντο περιελεῖν ἁμαρτίας· ἐν ὑποδείγματι γὰρ ἔτι καὶ σκιαῖς ἐλάτρευον τῶν ἐπουρανίων, καθὰ Μωσεῖ κεχρημάτισται· ἐνταῦθα δὲ διαφορωτέρας τετύχηκε λειτουργίας καὶ ἀσυγκρίτως ἀμείνονος ἐπὶ κρείττοσι ταῖς ἐπαγγελίαις, καθ' ὅσον σκιᾶς ἡ ἀλήθεια· ὁ γάρ τοι ἡμέτερος ἀρχιερεὺς, ὁ ἔξαρχος καὶ ἀπόστολος τῆς ὁμολογίας ἡμῶν Χριστὸς ὁ θεὸς ἡμῶν, ἅπαξ ὑπὲρ τῆς τῶν ἁμαρτωλῶν σωτηρίας ἑαυτὸν ἀνενέγκας, ἱερευθέντά τε καὶ τυθέντα σαρκὶ, μένει εἰς τὸν αἰῶνα ἀρχιερεὺς, ἐκάθισέ τε ἐν δεξιᾷ τοῦ θεοῦ, τὸ λοιπὸν ἐκδεχόμενος, ἕως ἂν τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ ὑποπόδιον τῶν ποδῶν αὐτοῦ· μιᾷ γὰρ προσφορᾷ ἐτελείωσεν εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους· μαρτυρεῖ δὲ ἡμῖν, φησι, τὸ πνεῦμα τὸ ἅγιον.

Ἀλλ' οἵ γε ἐναγεῖς καὶ βέβηλοι, τῶν τοῦ πνεύματος οὐδαμῶς ἀνέχονται λογίων, πολλὴν δὲ τὴν ἀκαθαρσίαν καὶ τὸ δυσῶδες ἐκ τῆς βδελυρᾶς καρδίας ἀπερευγόμενοι, καταῤῥαψῳδοῦσι τῆς ἀληθείας, μήτε Χριστὸν τετελειωκέναι μηδὲν, μήτε καθηγιάσθαι τοὺς ἠξιωμένους τῆς χάριτος· οὕτως οὖν νοοῖντο καὶ λίαν εὐστόχως, ἐκ τοῦ ἀκαθάρτου ἀποφθεγγόμενοι πνεύματος· “ οὐ κατὰ τὴν „ διαθήκην ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν, ἐν ἡμέρᾳ ἐπιλαβομένου μου „ τῆς χειρὸς αὐτῶν, ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου· „ ταῦτα ἄνωθεν ἠρέμα πως, τῆς παλαιᾶς διαθήκης τὴν παύλαν προϋπηγγίσσετο· καθάπερ καὶ τῶν πλακῶν τὸ παλαιὸν ἐδήλου τὸ σύντριμμα· ὅτε μὲν γὰρ τῆς αἰγυπτιακῆς τυραννίδος ὁ Ἰσραὴλ ἀπηλλάττετο, πλαξὶ λιθίναις ὁ νόμος ἐνεχαράττετο, καὶ ὄρος ἐδείκνυτο καπνιζόμενον, καὶ δείματα ἐξαίσια διεφαίνοντο ἄνωθεν· οἷα εἰκὸς τοὺς ἔτι νηπιώδεις, καὶ στοιχείων διὰ τοῦτο δεδεημένους μορμολυττόμενα· ὡς τοὺς ἄρτι τῆς ἀλλοδαπῆς ἀπανισταμένους, τῆς βαρβαρικῆς μεταπλάττεσθαι δυστροπίας, καὶ πρὸς θεογνωσίαν μεταῤῥυθμίζεσθαι, τὴν ἐθνικὴν

δεισιδαιμονίαν ἀποδιδράσκοντας· τῇ τῶν πλακῶν τυχὸν παραλήψει, τῆς λιθίνης αὐτῶν καρδίας τυποῦντος τοῦ λόγου, τὸ σκληρὸν καὶ ἀτίθασσον· ταύτῃ γὰρ καὶ λαὸς σκληροτράχηλος, καὶ νεῦρον σιδηροῦν ἔχων τὸν τράχηλον, καὶ πρὸς πᾶσαν ἀπείθειαν καὶ τραχύτητα εὐπαράφορος ὢν ὠνειδίζετο.

Ὅτε δὲ ὁ κύριος ἡμῶν καὶ θεὸς, τῆς ἐξουσίας τοῦ πονηροῦ τυράννου ἐλευθεροῦν ἤμελλε, καὶ τοῦ ζυγοῦ τῆς ἁμαρτίας ἡμᾶς ἐξαιρήσεσθαι, οὐδὲν ἐκείνων ὤφθη τερατουργούμενον· ὁ γὰρ τὴν σωτηρίαν πρυτανεύων τὴν ἡμετέραν, ἐκπεριϊὼν τὴν γῆν, ὁ πρᾶος καὶ ταπεινὸς τὴν καρδίαν, θορύβων καὶ δέους παντὸς ἄνευ, τὸ ἐπιεικὲς δὲ μᾶλλον ἐπιδεικνὺς καὶ εὐπρόσιτον, ἐν ταῖς συναγωγαῖς τὸν λόγον ἐδίδασκε τὸν σωτήριον, καὶ παντοδαπῶν εὐεργετημάτων κατεπίμπλα τοὺς εἰσακούειν ἐθέλοντας, οὐ νόμους γραπτοὺς διετίθετο, οὐ γῆς τῆς ὁρωμένης καὶ πατουμένης ἐκνέμων σχοινίσματα, οὐδέ τι τῶν ἐπικήρων τὲ καὶ ῥεόντων κληροδοτῶν εἰς κατάσχεσιν, ἀλλὰ βασιλείαν ἐκήρυσσε τὴν οὐράνιον, καὶ πλοῦτον ἀναφαίρετον ἐχαρίζετο, καὶ χαρὰν εὐηγγελίζετο ἀνεκλάλητον, πᾶσαν τὲ νόσον καὶ μαλακίαν ἐν τῷ λαῷ ἐθεράπευε, καὶ πάντα πορίζων ὅσα ἦν τῆς θείας φιλανθρωπίας τοῖς πίστει προσερχομένοις, παρέχεσθαι ἄξια· τί χρὴ λέγειν; πνεύματος χορηγίαν ἄφθονον ἐπιδαψιλευόμενον, δι' ὧν ἁπάντων ἡ χάρις καὶ δύναμις τοῦ ἐνεργοῦντος καὶ δωρουμένου ἐδείκνυτο· διὸ καὶ προηγορεύετο· “ οὐ κατὰ τὴν διαθήκην ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν· ” τὰ γάρ τοι τῆς εὐαγγελικῆς νομοθεσίας ἑξῆς ἐπάγει “ διδοὺς νόμους μου ,, εἰς διάνοιαν αὐτῶν, καὶ ἐπὶ καρδίας αὐτῶν ἐπιγράψω αὐτούς· ” οἱ νόμοι τῆς χάριτος, οὐκ ἐν χάρτῃ καὶ μέλανι· οἷόν τι καὶ ὁ ἀπόστολος αἰνίττεται λέγων· “ ἡ ἐπιστολὴ ἡμῶν ὑμεῖς ἐστὲ, ἐγγεγραμμένη ἐν ταῖς καρδίαις ὑμῶν· ,, καὶ φανερούμενοι ὅτι ἐστὲ ἐπιστολὴ Χριστοῦ, διακονηθεῖσα ὑφ' ὑμῶν, ἐγ- ,, γεγραμμένη οὐ μέλανι, ἀλλὰ πνεύματι θεοῦ ζῶντος· οὐκ ἐν πλαξὶ καρδίας ,, σαρκίναις· ” οὐ γὰρ ἐν ἀψύχοις ὕλαις ἐγγράφονται, ἀλλ' ἐπὶ ταῖς διανοίαις τῶν λογικῶν δακτύλῳ θεοῦ καὶ καλάμῳ τυποῦνται τῷ πνεύματι· τῶν ἐν ἀληθείᾳ καὶ εἰλικρινείᾳ τούτων περιεχομένων, καὶ ψυχὴν καὶ νοῦν ἐκκαθαίροντες· οὐδὲν γὰρ ἔγγραφον ὁ ἡμέτερος παραδέδωκε νομοθέτης· πράγμασι γὰρ οὐ γράμμασι, καὶ δυνάμεσιν οὐ χαράγμασιν, οἱ θεῖοι νόμοι ὡς ἐν ἀποδείξει πνεύματος ταῖς ψυχαῖς ἐγκαθίδρυνται· οὕτως ἐν ἐκείνοις τὰ εὐαγγελικὰ προδιεσκιμαίνετο χαρίσματα.

Ἦ οὐχὶ ταῦτά ἐστιν ἡ καλή τε καὶ γόνιμος γῆ, ἡ εὐθαλής τε καὶ εὔκαρπος ἄρουρα, ἡ τὸν θεῖον ὑποδεξαμένη σπόρον, ὁπηνίκα ὁ σπείρων ἐξῆλθε καταβαλεῖν τοῦ λόγου τὰ σπέρματα; ἡ καρποφοροῦσα εἰς τριάκοντα καὶ ἑξήκοντα, καὶ δὴ καὶ εἰς ἑκατὸν, ὃ μέγιστον καὶ ἀκρότατον; τούτων ἀκριβεῖς τῶν νόμων ὑπογραφεῖς καὶ μύσται, οἱ θεῖοι ἀπόστολοι ὤφθησαν; κρείττονος ἢ κατὰ Μωσέα τῆς θεοπτίας τὲ καὶ ὑπηρεσίας τετυχηκότες· οἳ δὴ καὶ θαῤῥαλέῳ φιλοτιμοῦνται τῷ φρονήματι λέγειν· “ θεοῦ ἐσμὲν συνεργοὶ τοῖς πιστεύουσι· ,, θεοῦ γεώργιον, θεοῦ οἰκοδομὴ ἐστέ· ” εἰ οὖν ταῦτα ἀληθῆ, ὥσπερ δὴ καὶ

εἰσὶ, πῶς οὐ κατερυθριῶσι τῶν ἀποστολικῶν καὶ προφητικῶν φωνῶν καταφλυαρεῖν οἱ παράφρονες, ὡς τὴν τοῦ θεοῦ οἰκοδομὴν καταςκάψαντα χειρώσασθαι τὸν ἀντίθεον, καὶ καταληΐσασθαι τὸ γεώργιον, καὶ διδόναι τῷ ἐνεργοῦντι δι' αὐτῶν τὰ νικητήρια; ὄντως τῶν οἰκείων γεωργίων ἀμήσουσι τὰ δράγματα οἱ δείλαιοι· εἶτα " ἐπὶ καρδίας αὐτῶν ἐπιγράψω αὐτούς· „ ἐνταῦθα τῶν τὰ εὐαγγελικὰ δεδεγμένων ἐντάλματα, ἀντὶ πλακῶν λιθίνων τὰς καρδίας, καθάπέρ τινας λαμπρὰς καὶ διαφανεῖς στήλας ὑπέθετο, καθ' ἃς οἱ θεῖοι νόμοι οὐκ ἐξ ἐπιπολῆς ἐγχαράσσονται, ἀλλὰ διὰ βάθους εἰσδύονται διϊκνούμενοι εἰς τὰ μυχαίτατα τῆς καρδίας πυκτία, ἐν οἷς ἀνεξάλειπτα συντηρεῖται διαιωνίζοντα, καὶ τῷ παντὶ χρόνῳ ἀνάλωτα διαμένοντα· ἔνθα συνιδεῖν πρόσεστι τῷ βουλομένῳ παντὶ, ὅτι παρόσον τῶν νόμων τὸ διάφορον, παρὰ τοσοῦτον καὶ τῶν κατηχημένων τὸ ἀξίωμα διενήνοχε· κατὰ ταύτην οὖν ἡμεῖς ἑστηκότες τὴν διαθήκην, καὶ ἐν αὐτῇ ἐστηρίχθαι καὶ φρουρεῖσθαι πιστεύοντες, λαὸς θεοῦ χρηματίζειν ἠξιώμεθα, καὶ θεὸν τὸν θεὸν ἡμῶν ἐπιγράφεσθαι καὶ ὁμολογεῖν θαῤῥούντως καὶ ἀνακεκαλυμμένῳ προσώσῳ, καὶ καθαρᾷ καρδίᾳ καὶ ἀναμφηρίστῳ τῇ γνώμῃ ἀποφαινόμεθα.

Εἰ τοίνυν οὐκ ἄμεμπτος τῶν διαθηκῶν ἡ πρώτη, δι' ἃς εἴρηται αἰτίας, χρὴ δή που τὸ ἄμεμπτον καὶ κατὰ πάντα τρόπον ἀδιάβλητον, μᾶλλον δὲ τὸ εὐκλεὲς καὶ ἐπίσημον, καὶ τὸ δόξῃ κατεστέφθαι τῇ ἀνωτάτῳ· τὴν μετ' ἐκείνην ἀποφέρεσθαι, ὡς λοιπὸν καινοποιοῦσαν καὶ τελειοῦσαν, καὶ τὸ κεφάλαιον τῶν ἀγαθῶν, τὴν δικαιοσύνην καὶ σωτηρίαν ἡμῖν βραβεύουσαν· ἐῤῥέτωσαν οὖν οἱ ἀνομοῦντες διακενῆς, καὶ βλασφημίας πάσης καὶ τερθρείας παυσέσθωσαν, καὶ ἐμφραττέσθω πᾶν στόμα λαλοῦν κατὰ τῆς σωτηρίας ἡμῶν ἄδικα· εἰ δὲ ταύτην οὐκ ἀφιᾶσι μέμψεως οἱ τῆς εὐσεβείας πολέμιοι, ζητείτωσαν ἑτέραν ταύτην ἀντίθετον, καὶ ἐφ' ἑαυτοῖς συντιθέτωσαν, καὶ τὸν ταύτης εὑρετὴν καὶ νομοθέτην διασκοπείτωσαν, ἐξ οὗ τὰ τῆς πλάνης ἀπόῤῥητα μυηθήσονται· ὅς τίς ποτέ ἐστιν οὗτος· " ὁ ἀντικείμενος καὶ ὑπεραιρόμενος ἐπὶ πάντα λεγόμε„ νον θεὸν ἢ σέβασμα· οὗ ἡ παρουσία κατ' ἐνέργειαν τοῦ σατανᾶ, ἐν πάσῃ „ δυνάμει σημείοις καὶ τέρασι ψεύδους, καὶ ἐν πάσῃ ἀπάτῃ τῆς ἀδικίας ἐν „ τοῖς ἀπολλυμένοις· ὃν ὁ κύριος ἀναλώσει τῷ πνεύματι τοῦ στόματος αὐ„ τοῦ, καὶ καταργήσει τῇ ἐπιφανείᾳ αὐτοῦ· „ ἡμᾶς δὲ τοσοῦτον ἡ χάρις φιλοτίμως καὶ ἐκ περιουσίας, τῆς θείας ἐπιγνώσεως τὴν δωρεὰν κατεπλούτισεν ὥστε θαῤῥούντως καθὰ καὶ προκεκήρυκται, λέγειν· " οὐ μὴ διδάξωσιν ἕκα„ στος τὸν πολίτην αὐτοῦ, καὶ ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ· λέγων γνῶθι τὸν „ κύριον· „ καὶ πόθεν τοῦτο ἔσονται; " ὅτι, φησὶν, ἔσονται πάντες διδακτοὶ „ θεοῦ· καὶ πᾶν ὅτι ἂν ποιῆτε, πάντα εἰς δόξαν θεοῦ ποιεῖτε· „ καὶ τὸ αἴτιον· " ὅτι πάντες εἰδήσουσί με ἀπὸ μικροῦ ἕως μεγάλου αὐτῶν. „

Ἐκνήψατε οἱ μεθύοντες ἐξ οἴνου τῆς ἀσεβείας ὑμῶν, καὶ ἐνωτίσασθε τοῦ προφήτου ἀκούοντες μέγα καὶ λαμπρὸν ἐκβοῶντος· ὅτι οὐχ' εἷς ἢ δύο, ἢ δοῦλος ἢ ἐλεύθερος, ἢ πλούσιος ἢ πένης, ἢ ἄρχων ἢ ἀρχόμενος, ἢ βασιλεὺς

ἢ ἰδιώτης, ἢ ἁπλῶς ὁ δεῖνα καὶ ὁ δεῖνα, ἀλλὰ πάντες, φησὶν, εἰδήσουσί με, ἀπὸ μικροῦ αὐτῶν ἕως μεγάλου αὐτῶν· τίνα; τὸν ποιητὴν καὶ δεσπότην αὐτῶν, τὸν δόντα αὐτοῖς πνοὴν ζωῆς, τὸν κηδεμόνα, τὸν συνοχέα τοῦ παντὸς, τὸν εὐεργέτην, τὸν ἐν τῇ σοφίᾳ αὐτοῦ κυβερνῶντα τὰ πάντα καὶ διεξάγοντα, τὸν πᾶσι τὸ εἶναι καὶ τὸ εὖ εἶναι δωρούμενον· οὐ θεοὺς ἀλλοτρίους γνωριοῦσιν, οὐ τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν προσκυνήσουσιν, οὐ μὴ εἴπωσι τῷ λίθῳ καὶ τῷ ξύλῳ " σὺ ἡμᾶς ἐποίησας· ,, ἀλλ' ἐμὲ πάντες εἰδήσουσιν, ἀπὸ μικροῦ ἕως μεγάλου αὐτῶν ἐμὲ εἰδήσουσιν, οὐκ ἀγνοήσουσιν, οὐδὲ τῷ διαβόλῳ προσκυνήσουσιν, οὐδὲ τῇ κτίσει παρὰ τὸν κτίσαντα τὸ σέβας ἀπονείμαιεν· ἀλλ' ὁ ἐνεργῶν διὰ τῶν ὑπηρετούντων αὐτῷ ἀποφθέγγεται, ἵνα τοῖς οὕτω λαμπροῖς καὶ διαφανέσι τῆς ἀληθείας λόγοις, τὴν οἰκείαν ψευδηγορίαν καὶ πλάνην ἀνταναστήσωσι· πῶς γὰρ ἐξῆν τοὺς τὴν καινὴν ταυτηνὶ διαθήκην πολλῷ τῆς προτέρας ὑψηλοτέραν δεξαμένους, ἐπὶ τὴν τῶν ματαίων ἀπολισθῆσαι προσκύνησιν; πάντες οὖν εἰδήσουσί με, φησίν· ὥσπερ γὰρ ὁ αἰσθητὸς οὗτος ἥλιος πᾶσαν ὅσην ἐφορᾷ καταφωτίζει γῆν, οὕτως ὁ τῆς δικαιοσύνης ἥλιος Χριστὸς ὁ θεὸς ἡμῶν πᾶσι τὰς τῆς θεογνωσίας ἀκτῖνας διὰ τοῦ εὐαγγελίου ἐξέλαμψε, καὶ τὰς διανοίας πάντων ἡμῶν κατηύγασε, τῆς θείας ἐμπιμπλῶν γνώσεώς τε καὶ χάριτος.

Τίνες δὲ εἶεν οὗτοι; εἰπάτωσαν αὐτοί· εἰ μὲν γὰρ τὴν ἡμετέραν ἔλθοιεν, τῇ ἀληθείᾳ καὶ ἡμῖν συμφήσαιεν, ὡς οἱ τῷ τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν κατεσφραγισμένοι καὶ ἐπικεκλημένοι ὀνόματι· εἰ δὲ τὴν ἐναντίαν πορεύσονται, σαφῶς τοῦ ἀκαθάρτου πνεύματος ἡ ἐνέργεια· διδασκέτωσαν τοὺς ἀμαθεῖς καὶ ἀπαιδεύτους οἱ ἐν τῷ ἱερῷ παῖδες, αὐτεπάγγελτοι ἥκοντες ἐφ' οἷς ταῦτα συνεπεραίνετο, " ὡσαννὰ ἐν τοῖς ὑψίστοις, ἐκβοῶντες· εὐλογημένος ὁ ἐρχόμενος ,, ἐν ὀνόματι κυρίου· ,, καταισχυνέτωσαν αὐτοὺς ἑλλήνων παῖδες, ὃ καὶ θαυμάζειν ἄξιον, οἵαν σπουδὴν ἐποιοῦντο, τῆς Ἰησοῦ ὁμιλίας ἐρῶντες, καὶ τοὺς αὐτοῦ μαθητὰς ἄγειν ὡς αὐτὸν ἱκετεύοντες· τὸν μὲν οὖν ἰουδαϊκὸν δῆμον διὰ φωνῆς προφητῶν ὁ τῶν ὅλων θεὸς ἐν αἰτίαις μεγίσταις ἐποιεῖτο λέγων· " ἔγνω ,, βοῦς τὸν κτησάμενον, καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ· Ἰσραὴλ δέ με ,, οὐκ ἔγνω, καὶ ὁ λαός με οὐ συνῆκεν· ,, ὡς δὴ τὴν ἀλόγοις ζώοις κτηνωδίαν, τὴν ἐκείνων ἀβελτερίαν καὶ ἀλογίαν ἑωρακὼς παρελαύνουσαν· ἡμᾶς δὲ ἐφ' οὓς ἄνωθεν τὸ τῆς γνώσεως δῶρον καταπεφοίτηκεν, ἐν εὐκληρίαις τε καὶ εὐλογίαις τιθεὶς, τὸ ἀσύνετον ἐκείνων καὶ ἀλογῶδες διωσαμένους, εἰδήσειν αὐτὸν ἐναργῶς προτεθέσπικε· καὶ βεβαιοῖ τοῦ λόγου τὸ ἀσφαλὲς, τῆς ἀληθείας ἐμφαινομένης τοῖς πράγμασιν αὐτοῖς τὸ ἀπαράγραπτον· αἰσχυνέσθωσαν λοιπὸν οἱ τοῖς ψευδέσιν ἐπερειδόμενοι, καὶ ἀνοσίως καὶ ἀμαθῶς τῆς τῶν χριστιανῶν κατακεκραγότες ὀρθῆς ὑπολήψεως· " ἐνεπλήσθη γὰρ ἡ σύμπασα γῆ ,, τοῦ γνῶναι τὸν κύριον· καὶ πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης αὐτοῦ· ,, πανταχοῦ γὰρ τῆς οἰκουμένης ἁπάσης τὰ τῆς εὐαγοῦς ἡμῶν ᾄδεται πίστεως.

Τὰ δὲ ἐπὶ τούτοις τῷ προφήτῃ ἐπαγόμενα, τὴν τοῦ θεοῦ ἀνέκφραστον φιλανθρωπίαν, καὶ τὸν ἀνεξιχνίαστον πλοῦτον τῆς χρηστότητος αὐτοῦ ἡμῖν προ-

μηνύει· " ἵλεως ἔσομαι ταῖς ἀδικίαις αὐτῶν· „ τί τούτων ὑψηλότερον ἢ σεβασμιώτερον; τί τούτων ἥδιον ἢ χαριέστερον; παρὸν γὰρ κολάζειν καὶ τὸ γεέννης ἀπευρύνειν στόμα, μυρίας τὲ καὶ ἀνυποίστους ἐπάγειν πληγὰς, θανάτους τὲ ἐξαισίους καὶ παραδόξους, ἐπὶ μυρίοις καὶ ἀπείροις τοῖς παραπτώμασιν οὐκ ἠπείλησεν, οὐκ ἐκόλασεν, οὐ προσέταξε μέγα διαστῆναι τὴν γῆν καὶ ἄρδην καταπιεῖν ἅπαντας, ἀλλὰ νικᾷ τὸ φιλάνθρωπον· " ἵλεως γὰρ ἔσομαι, φησὶ, „ ταῖς ἀδικίαις αὐτῶν· „ καὶ ἡμεῖς οἱ ταῦτα καὶ παθόντες καὶ πιστεύσαντες, τὸν ἐπινίκιον ὁμοῦ καὶ χαριστήριον τῷ σεσωκότι αἶνον καὶ τὴν εὐχαριστίαν προσφέρομεν ἑκάστοτε, ᾄδοντες καὶ ψάλλοντες· " τίς λαλήσει τὰς δυναστείας „ κυρίου; ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ; „ τίς ἱκανὸς ἀναγγεῖλαι τὰ ἐλέη αὐτοῦ καὶ τὰ θαυμάσια; ποία γλῶσσα ἐπαξίως τοῦ μεγέθους τῶν εὐεργετημάτων φθέγξαιτο; ποῖος λόγος ἐξευρεθείη τῇ μεγαλειότητι τῶν κεχαρισμένων ἡμῖν ἀγαθῶν παρισούμενος; ἆρα γὰρ οὐκ ἐκόλασε μόνον οὐδὲ γεέννῃ παραδέδωκεν, ἵλεως δὲ ἐγένετο ταῖς ἀδικίαις ἡμῶν, ἢ καὶ τὸ πάντων ἐπέκεινα καὶ πέρα λόγου παντὸς, μυστήριον τῆς σωτηρίου οἰκονομίας ἡμῖν ἐξειργάσατο· πῶς δὲ, καὶ τίνα τρόπον; οὐκ ἐκόλασεν, ἀλλ' ἐκολάσθη, οὐκ ἐπήνεγκε τὴν πληγὴν, ἀλλ' ἐπλήγη ἐν τῷ οἴκῳ τῷ ἀγαπητῷ· " τὸν νῶτον αὐτοῦ „ ἔδωκεν εἰς μάστιγας, καὶ τὰς σιαγόνας αὐτοῦ εἰς ῥαπίσματα· „ καὶ τέλος τὸν διὰ σταυροῦ αἴσχιστον εἵλετο θάνατον, αἰσχύνης καταφρονήσας, ἐν αὐτῷ προσηλώσας τὸ καθ' ἡμῶν χειρόγραφον, ἵνα ἡμᾶς ἐξέληται τῆς ἁμαρτίας, καὶ τῆς ἐξουσίας τοῦ σκότους ἐλευθερώσῃ· αὐτὸς γοῦν καὶ ἱερεὺς καὶ ἱερεῖον, αὐτὸς καὶ θύων καὶ σφαγιαζόμενος ὑπὲρ ἡμῶν, καὶ θυόμενος καὶ προσάγων τῷ θεῷ καὶ πατρὶ λαὸν περιούσιον· ἐντεῦθεν ἡμεῖς τῆς καταδυναστείας τοῦ ἐχθροῦ λελυτρώμεθα, καὶ τὸν πατέρα δι' υἱοῦ ἐπέγνωμεν, καὶ προσκυνηταὶ γνήσιοι τῆς τριάδος ἀναδεδείγμεθα· οἱ δὲ δωρεᾶς ταύτης ἀλλότριοι, πάντων τούτων λήθην λαβόντες, καὶ τὰ ὦτα καὶ τοὺς ὀφθαλμοὺς τῆς καρδίας πρὸς τὰ οὕτω σεπτὰ καὶ ἀξιάγαστα κακῶς ἀπομύσαντες, ὅ τι καὶ βούλονται προσκυνείτωσαν καὶ σεβέσθωσαν· τὸ δὲ ἑξῆς τῷ θεοφόρῳ προσκείμενον ἡλίκον καὶ ὅσον; " καὶ τῶν ἁμαρτιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι· „ ἐν τούτοις ἰλιγγιάσας ὁ νοῦς, καὶ ἀπορίᾳ πολλῇ συσχεθεὶς, καὶ ἀφθεγξίαν μᾶλλον καὶ σιωπὴν προτιμήσας, πρὸς τὸ ἀδιεξίτητον τῶν θείων κριμάτων ἥκιστα ἐφικνούμενος· μίαν δὴ ταύτην καὶ μόνην τῶν ἀπόρων ἐξεύροι ἂν μηχανὴν, τῷ τῶν ἀποῤῥήτων θεατῇ καὶ μύστῃ συμφθεγγόμενος· " ὦ βάθος πλούτου καὶ σοφίας, λέγων, „ καὶ γνώσεως θεοῦ· ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι „ αἱ ὁδοὶ αὐτοῦ. „

νγ. Ταῦτα διὰ τῆς θεογενεσίας τοῦ θείου λουτροῦ ὁ σωτὴρ ἡμῖν ἐχαρίσατο, ῥύψιν παντελῆ καὶ κάθαρσιν τῶν ψυχῶν ἔχοντος, καὶ τῶν ἁμαρτημάτων ἐλευθερίαν εἰσφέροντος· ταύτας ἔγωγε τὰς φωνὰς, πολλοῦ γε ἂν τιμησαίμην, ταύτας περιπτύσσομαι καὶ ἀσπάζομαι, ὡς ἡδύ μοι καὶ χαρίεν εἰς μνήμην τούτων ἴεσθαι, καὶ ταύτας ἀναλαμβάνοντα προθυμίας πληροῦσθαι, καὶ παρα-

μυδίας τῶν ἡμαρτημένων εὑρίσκειν φάρμακον, καὶ πρὸς χρηστὰς ἐπανάγεσθαι τὰς ἐλπίδας, καὶ καταφρονεῖν ἀπογνώσεως, καὶ μανθάνειν θεοῦ φιλανθρωπίαν καὶ ἔλεον· ἀμνηστίαν γὰρ τῶν πεπλημμελημένων ἡμῖν ὑποτίθενται, ἵλεών τε καὶ συγγνώμονα τὸν δεσπότην καὶ ποιητὴν διαδεικνύουσι· καὶ τὸ πᾶν εἰπεῖν, σωτηρίας ἡμῖν χορηγὸν τὸν ἡμέτερον νομοθέτην εἰσηγοῦνται· τοιαῦτα τοῦ καθ' ἡμᾶς νόμου καὶ νομοθέτου τὰ ἐπαγγέλματα καὶ διδάγματα· εἰ δέ τι χρὴ μουσουργοῦντα, τὸν λόγον ἐπιχρωννύειν τὲ καὶ καταποικίλλειν ὡς μάλιστα, καὶ ταῖς πλείοσι τῶν θεηγόρων διακοσμεῖν φωναῖς, καθάπερ εἰκόνα καλήν τε καὶ ἐκπρεπῆ οἱ ἐμπειρότατοι τῶν ζωγράφων ἀποφαίνειν ἐκμηχανώμενοι, ὕλαις ταῖς φαιδροτέραις καὶ χρώμασι τῶν διαφανεστέρων εὖ μάλα τὴν ἐπιφάνειαν ἐπανθίζοντες, ἐξωραΐζουσί τε καὶ ἀγλαΐζουσιν, ὡς ἂν τὸ ἐμφερὲς εἰς τὸ ἀκριβέστερον διασώζοιτο· καὶ γὰρ διὰ τῶν εἰκόνων, τῶν ἀρχετύπων ἡμῖν ἡ γνῶσις ἐγγίνεται.

Καὶ ἄλλος τῶν θεολήπτων κεκλήσθω, τοῖς προηγορευκόσι συμφράδμων ἐσόμενος, καὶ δὴ καὶ ἀφίχθω ἀνὰ τὸν ἱερὸν τουτωνὶ τῶν θεοφόρων τὸν ὅμιλον, καὶ εἰσερχέσθω τουτὶ τὸ θεοειδὲς στάδιον, καὶ συνδιαφερέτω τὸν ἀγῶνα, καὶ συνεξανυέτω τῆς εὐσεβείας τὸν δίαυλον ἐκεῖνος ὁ τῶν θεομύστων καὶ παραδόξων ἐποπτειῶν, καὶ τῶν κατ' οὐρανοὺς δυνάμεων θεωρός τε καὶ μύστης, καὶ προσκείσθω τοῖς προπεπονηκόσιν εἰς τὸν οἶκον τῆς σοφίας, τῶν ἐξαγίστων θριαμβεύων τὸ δυσσεβὲς καὶ παράνομον, ὅπως μὴ δὲ αὐτὸς τοῦ θείου τούτου συλλόγου ἀπολιμπάνοιτο, συνηχήσει δὲ καθάπερ πλήκτρῳ τῷ θείῳ κρουόμενος πνεύματι, καὶ ἄγαν ἀστείως τοῖς ἰσοκλεὲς λαχοῦσι τὸ χάρισμα θεοφάντορσι, καὶ δὲ καὶ λέξει· " τάδε λέγει κύριος· ἰδοὺ ἐγὼ λαμβάνω πάντα οἶ-
„ κον Ἰσραὴλ ἐκ μέσου τῶν ἐθνῶν, οὗ εἰσήλθοσαν ἐκεῖ, καὶ συνάξω αὐτοὺς
„ ἀπὸ πάντων τῶν περικύκλω αὐτῶν, καὶ εἰσάξω αὐτοὺς εἰς τὴν γῆν τοῦ Ἰσ-
„ ραὴλ, καὶ δώσω αὐτοὺς εἰς ἔθνος τῇ γῇ μου, καὶ ἐν τοῖς ὄρεσιν Ἰσραήλ· „
ὅτι μὲν οὖν οὗτος ὁ θεῖος προφήτης θείᾳ κινούμενος χάριτι, τῆς τοῦ πάντων σωτῆρος ἡμῶν Χριστοῦ οἰκονομίας, διὰ τούτων ἡμῖν τῶν λόγων ἐναργῶς προϋπογράφει τὸ μυστήριον, οὐκ οἶμαι τινὰ τῶν νοῦν ἐχόντων ἀντερεῖν· συμπνεύσειε γὰρ κἀνταῦθα τοῖς προειληφόσι, καὶ ταύτῃ μὴ δὲ πολλῆς δεῖσθαι τῆς τῶν προκειμένων ἀνακαθάρσεως, καὶ συχνῆς τῆς διὰ λόγων ἀναπτύξεως, πολλάκις τῶν τοιούτων καὶ ὁμοίων ἐν τοῖς ἔμπροσθεν διεξοδικώτερον προεξητασμένων· ἀλλ' ἐπειδὴ ταῦτα ἱστορικῶς ἐξειλημμένα, τῷ κατὰ σάρκα Ἰσραὴλ ἐφαρμόζεται, ὡς ἂν μή τινες τῶν νῦν παραδεδεγμένων τὴν τοῦ ἰουδαϊκοῦ φρονήματος παχύτητα· πρὸς τὴν τῶν προκεκηρυγμένων ἀπαναισχυντοῖεν ἀλήθειαν, εἰς δέον κεκρίκαμεν, ἐν πᾶσι κατ' ἴχνος τῶν ἱερῶν τῆς ἐκκλησίας διδασκάλων βαίνοντες, πρὸς τὰς ἀνοήτους καὶ μωρὰς τῶν ἀσυνέτων ζητήσεις ἀντεναστῆναι καὶ φάναι, ὅτι περ ὡς ἐν σκιαῖς καὶ τύποις προδιεγράφετο ταῦτα καὶ ἐπ' ἐκείνοις· καὶ γὰρ καὶ ἐπ' αὐτοὺς τὰ τῆς θείας κηδεμονίας διεδείκνυτο· τῷ ὄντι δὲ καὶ κατὰ ἀλήθειαν, ἐπὶ τῆς σωτηρίου τοῦ δεσπότου Χριστοῦ συγκαταβά-

σεως ἐπεραίνετο· πλουσίως γὰρ ἐφ' ἡμᾶς τὰ τῆς φιλανθρωπίας αὐτοῦ ὑπερεξέχεε νάματα.

νδ. Συνῆξε γὰρ ἡμᾶς, τουτέστι τὸν νοητὸν Ἰσραὴλ, καὶ τῆς κατὰ τὸν πατριάρχην Ἀβραὰμ ἐπαγγελίας τέκνα χρηματίζοντας, καὶ ἐλυτρώσατο ἡμᾶς διὰ τοῦ σταυροῦ αὐτοῦ ἐκ χειρὸς ἐχθροῦ, καὶ διὰ τοῦ εὐαγγελικοῦ κηρύγματος ἐκ τῶν χωρῶν συνήγαγε, καὶ εἰς τὴν γῆν Ἰσραὴλ, ἥτις ἡ ἐκκλησία Χριστοῦ θεοπρεπῶς νοηθήσεται, συνεισήγαγε, καὶ ὄρεσιν ἀνῳκισμένοις καὶ μυστικοῖς, τοῖς δόγμασι τοῖς ὑψηλοῖς τῆς θεολογίας, διησφαλίσατο· σαφέστερον δὲ ταῦτα, τὰ ἐπαγόμενα διδάξει· " καὶ ἄρχων εἷς, φησὶν, ἔσται πάντων ,, αὐτῶν εἰς βασιλέα, καὶ οὐκ ἔσονται ἔτι εἰς δύο ἔθνη, οὐδὲ μὴ διαιρεθῶσιν ,, οὐκέτι εἰς δύο βασιλείας. ,,

νε. Τίς οὕτως ἀμαθὴς καὶ ἀνόητος, ὃς οὐ συνθήσοιτο καὶ συνομολογήσειεν, ἐμφανῶς ταῦτα καὶ ἀπεξεσμένως, ἐπὶ τῆς καθ' ἡμᾶς διαπρέπειν καταστάσεως; οὐ γὰρ ἐπὶ τὸν Ζοροβάβελ τὴν προφητικὴν μεταῤῥυθμίσειε ῥῆσιν, εἴπερ τῶν ἀμεινόνων ταῖς ψήφοις ἐθελήσειεν ἕπεσθαι· ἐκεῖνος γὰρ μετὰ τὴν ἐκ τῆς Βαβυλωνίας τῶν δοριαλώτων, τουτέστι τῶν ἰουδαίων, ἐπὶ τὴν ἑαυτῶν ἀναδρομὴν, τοῦ ἄρτι τῆς δουλείας ἀνειμένου λαοῦ βασιλεὺς οὐδαμῶς κεχειροτόνητο· δημαγωγὸς δὲ ὢν ἐξῆρχε καὶ ἐπρυτάνευε τὸ ὁμόφυλον· διόπερ εἰς αὐτὸν ταῦτα ἀνατίθεσθαι, λόγον οὐχ' ἕξει· βασιλεὺς δὲ ἀληθινὸς κυρίως καὶ ἀληθῶς ὁ πάντων βασιλεύων καὶ κατεξουσιάζων Χριστὸς ὁ θεὸς ἡμῶν, ὃς βασιλεύει ἐφ' ἡμᾶς εἰς τοὺς αἰῶνας, καθεδούμενος ἐν τοῖς ἰδίοις θώκοις, καὶ ἀμετάβλητον κεκτημένος τὴν ἀρχὴν, καὶ τὴν δόξαν ἀναφαίρετον ἔχων· ᾗ φησὶν ἡ προφητικὴ φωνή· " σὺ καθήμενος εἰς τὸν αἰῶνα, καὶ ἡμεῖς ἀπολλύμενοι τὸν αἰῶνα· ,, ὑποτετάγμεθα δὲ ἡμεῖς αὐτῷ, καὶ ὑφ' ἑνὶ βασιλεῖ τελοῦμεν ἅπαντες· αὐτὸν μόνον ἀνακεκαλυμμένῳ προσώπῳ καὶ θαῤῥαλέῳ τῇ καρδίᾳ θεὸν καὶ κύριον ὁμολογοῦντές τε καὶ κηρύσσοντες· διὰ τοῦτο, οὐδὲ διαίρεσις οὐδὲ διάστασις τῶν ὑπὸ πόδας τεθειμένων αὐτῷ· οὐδὲ γὰρ ἂν ἔτι ἄλλος ἄλλῳ βασιλεῖ κατήκοος εἴη, ὅπως μὴ ἐντεῦθεν πλείονας καὶ διαφόρους δόξας καὶ δυσσεβείας φρονήματα διεσχοινισμένοι, πρὸς ἀτόπους θρησκείας καὶ ἀπευκταίας κατασχιζόμενοι διαῤῥηγνύωνται, καὶ πρὸς εἰδώλων ἀπονεύοιεν προσοχθίσματα· πῶς γὰρ, εἴ γε τὸν ἕνα καὶ μόνον φύσει θεὸν καὶ βασιλέα ἐγνώκεισαν, καὶ προσκυνεῖν ἐδιδάχθησαν; σαφηνιεῖ δὲ ἡμῖν ταῦτα πάλιν καταφανέστερον προϊὼν ὁ λόγος· " καὶ καθαριῶ αὐτοὺς, καὶ ἔσονταί μοι εἰς λαὸν, καὶ ἐγὼ ἔσομαι ,, αὐτοῖς εἰς θεόν. ,,

Τίς ὁ καθαίρων καὶ οἱ καθαιρόμενοι, συνιδεῖν ῥᾴδιον τῶν ἀποστολικῶν φωνῶν διακούουσι, δι' ὧν διδασκόμεθα περὶ τοῦ σωτῆρος ἡμῶν Χριστοῦ " ὅτι ,, καθαρισμὸν δι' ἑαυτοῦ ἐποιήσατο τῶν ἁμαρτιῶν ἡμῶν· καὶ ὅτι οὕτως ἠγάπησε τὴν ἐκκλησίαν καὶ ἑαυτὸν παρέδωκεν ὑπὲρ αὐτῆς, ἵνα αὐτὴν ἁγιάσῃ, ,, καθαρίσας τῷ λουτρῷ διὰ τοῦ ὕδατος ἐν ῥήματι. Καὶ ἀλλαχόθι. Προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου θεοῦ

„ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα λυ-
„ τρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας, καὶ καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον,
„ ζηλωτὴν καλῶν ἔργων. Καὶ αὖθις. Εἰ γὰρ τὸ αἷμα ταύρων καὶ τράγων, καὶ
„ σποδὸς δαμάλεως ῥαντίζουσα τοὺς κεκοινωμένους ἁγιάζει πρὸς τὴν τῆς σαρ-
„ κὸς καθαρότητα, πόσῳ μᾶλλον τὸ αἷμα τοῦ Χριστοῦ, ὃς διὰ πνεύματος
„ αἰωνίου, ἑαυτὸν ἀνήνεγκεν ἄμωμον τῷ θεῷ, καθαριεῖ τὴν συνείδησιν ἡμῶν
„ ἀπὸ νεκρῶν ἔργων, εἰς τὸ λατρεύειν θεῷ ζῶντι καὶ ἀληθινῷ; Καὶ, τὸ αἷμα
„ Ἰησοῦ τοῦ υἱοῦ τοῦ θεοῦ, καθαρίζει ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας· „ ὁ τοῦ σωτῆρος μαθητὴς γέγραφεν· “ ᾧ ἡμεῖς ἐκκαθαρθέντες τὴν παλαιὰν ζύμην, νέον
„ ἐν αὐτῷ γεγόναμεν φύραμα. „ Εἶτα. “ Καὶ ὁ δοῦλός μου Δαβὶδ, ἄρχων
„ ἐν μέσῳ αὐτῶν, καὶ ποιμὴν εἷς ἔσται πάντων, καὶ Δαβὶδ ὁ δοῦλός μου
„ ἄρχων αὐτῶν ἔσται εἰς τὸν αἰῶνα. „

Οὕτω τοῦ θείου προφήτου διαῤῥήδην προανακεκραγότος, καὶ τὸν Χριστὸν καὶ θεὸν ἡμῶν τὸν ἐκ Δαβὶδ κατὰ σάρκα βεβλαστηκότα διὰ τούτων ἡμῖν καταδεικνύντος, οὐδὲ ἰουδαίους αὐτοὺς, τοὺς ἀπεριτμήτους καρδίᾳ καὶ παρανομεῖν εἰωθότας, εἰς τοῦτο σκαιότητος τρόπων καὶ φαυλότητος ἐννοιῶν ἐκπεπτωκέναι ἐχρῆν, ὥστε ἀντωπῆσαι πρὸς τὴν οὕτω λαμπρὰν καὶ διαφανῆ τῆς ἀληθείας αὐγήν· ἐκβιασθήσονται γὰρ δυεῖν ἑλέσθαι τὸ ἕτερον, ἢ κατὰ τῶν προφητικῶν ἀνέδην ἀπαυθαδίζεσθαι ῥήσεων, ἢ βασιλέα καὶ θεὸν τῶν ὅλων διομολογεῖν τὸν Χριστὸν, καὶ δούλειον αὐτῷ ὑποφέρειν τὸν αὐχένα, καὶ μεθ᾽ ἡμῶν καταδέξασθαι τὴν προσκύνησιν· μή τι γε τοὺς μάτην τοῦ Χριστοῦ ἑαυτοῖς ἐπιφημίζοντας ὄνομα, καὶ οὐκ ἐν δίκῃ ἀπ᾽ αὐτοῦ κεκλῆσθαι ἀξιοῦντας· οἵ γε τῆς εὐθείας ὁδοῦ παρεκθέοντες, καὶ ταῖς σκολιότησι καὶ τραχύτησι τοῦ ψεύδους ἐπαγαλλόμενοι· ὡς εἰ καὶ μὴ ἰουδαίων ὀφθεῖεν ἀπιστότεροί τε καὶ ἀγνωμονέστεροι, τῶν ἱερῶν τούτων ἀνηκουστοῦντες φωνῶν, καὶ πρὸς τὸ ἀποστολικὸν κήρυγμα τῆς ψυχῆς μεμυκότες, τὰ αἰσθητήρια καὶ τὰ προφητικὰ παραχαράσσειν ἐπιχειροῖεν λόγια, ὑπ᾽ αὐτῆς τῆς ἀληθείας ἀγχόμενοι· τὴν ἀχάλινον ὀψὲ γοῦν καὶ χριστομάχον πεδήσουσι γλῶσσαν, καὶ αἰσχύνην περιβαλοῦνται, καὶ τῆς κατὰ τῆς ἱερᾶς ἡμῶν ὁμολογίας, ἀποστήσονται δυσφημίας.

Λεγόντων γὰρ ἡμῖν αὐτοὶ, τίς ποτε ἆρά ἐστιν ὁ τῷ προφήτῃ βασιλεὺς κηρυσσόμενος; εἰ δὲ δὴ ἀπαναίνοιντο, δεδιότες μήποτε ἄρα τῶν ἀληθῶν ἁπτόμενοι εἰς ἔσχατον κινδύνου ἀφίκωνται, ὡς βασιλεῖ καὶ θεῷ προσπταίοντες, θαῤῥοῦντες ἡμεῖς τῷ ἐν τῷ θείῳ προφήτῃ λαλοῦντι πνεύματι, καὶ ταῖς ἐννοίαις τῆς θεοπνεύστου γραφῆς πανταχοῦ εὐθυβόλως ἑπόμενοι ἀποφανούμεθα, ὅτι γε δὴ ὁ τῆς δόξης κύριος, ὁ μονογενὴς τοῦ θεοῦ καὶ πατρὸς υἱὸς, ἐν τοῖς ἰδίοις τῆς θεότητος διαπρέπων αὐχήμασι, καὶ κατ᾽ οὐδένα τρόπον τῆς θείας ὑπεροχῆς ἐλαττούμενος, οὐδὲ ὃ ὑπῆρχεν ἀποβαλὼν, εἴσω δὲ τῶν οἰκείων καὶ κατὰ φύσιν προσόντων αὐτῷ καθιδρυμένος πλεονεκτημάτων, δι᾽ οἶκτον ἀνέκφραστον καθῆκεν ἑαυτὸν εἰς κένωσιν, καὶ εἰς τὸ τῶν ποιημάτων μέτρον καταπεφοιτηκέναι οὐκ ἀπηξίωσε, τὴν τοῦ δούλου μορφὴν ἐνδεδυκὼς, ἵνα τὸ πρὸς

ὄλισθον ἀπωλείας τῇ τοῦ ἐχθροῦ ἀπάτῃ ἀπονενευκὸς γένος, εἰς τὸ ἐν ἀρχαῖς μεταστοιχειώσῃ, καὶ ἀποσεμνύνῃ τῆς εὐμοιρίας, καὶ σχοίῃ τὴν μέθεξιν τῆς ἑνούσης αὐτῷ λαμπρότητος, καὶ τῇ κατὰ τὴν θείαν φύσιν ἑνώσει δοξασθῇ τὸ ἡμέτερον· ἐπεὶ οὖν καθ' ἡμᾶς γέγονεν, ἐξ ὀσφύος δὲ καὶ ῥίζης τοῦ γενάρχου Δαβὶδ προέρχεται γενεαλογούμενος, βασιλεὺς δὲ καὶ Δαβὶδ κεχρημάτικε, ταύτῃ τοι καὶ ὁ Χριστὸς, καίτοι θεὸς ὢν κατὰ φύσιν ὁ αὐτὸς, καὶ μετὰ σαρκὸς τὸ αὐτὸ τῆς κατὰ πάντων ἐξουσίας καὶ ἀρχῆς περιβεβλημένος ἀξίωμα, βασιλεὺς τῶν ὅλων δικαίως ἂν μάλα καλοῖτο· βασιλεὺς γὰρ καὶ ἔστι καὶ ὀνομάζεται· τοιγάρτοι Δαβὶδ, καθ' ὃ ἄνθρωπος προσηγόρευται· καὶ δοῦλος, οὐ καθ' ὃ θεὸς κατωνόμασται, πάντων γάρ ἐστι δεσπότης καὶ κύριος, διὰ δὲ τὸ πρόσλημμα καὶ τὴν δούλην φύσιν, ἣν φιλάνθρωπος ὢν ἑκουσίως προσείληφεν· οὗτος οὖν ὁ ἐκ σπέρματος Δαβὶδ κατὰ σάρκα τὸ γένος κατάγων, ἄρχων ἡμῶν ἐστι καὶ ἔσται εἰς τοὺς αἰῶνας, καὶ αὐτός ἐστιν ὁ αἰώνιος βασιλεὺς οὗ τὰ ἠκονημένα καὶ ἀποστίλβοντα βέλη ἐν καρδίᾳ τουτωνὶ τῶν ἐχθρῶν αὐτοῦ.

Κἂν γὰρ οὗτοι τραχηλιῶντες ἀποτραχύνωνται, ἀλλ' ὅ γε Δαβὶδ αὐτὸς πειθήτω ψάλλων αὐτούς· " καὶ καθιεῖται κύριος βασιλεὺς εἰς τὸν αἰῶνα τοῦ „ αἰῶνος. Καὶ, βασιλεύσει κύριος εἰς τὸν αἰῶνα· ὁ θεός σου Σιὼν εἰς γενεὰν „ καὶ γενεάν. Καὶ, εἶπεν ὁ κύριος τῷ κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως „ ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου· „ οὐκ εὔλογον οὖν, ἀδύνατον δὲ μᾶλλον, ταῦτα τῷ τοῦ Σαλαθιὴλ ἐφαρμόζειν· οὐ γὰρ δὴ τὰ τῆς βασιλείας ἐδέξατο σύμβολα, οὐδὲ ἐμεμοίρατο διαδήματος, τὴν ἡγεμονίαν δὲ διέπων καὶ στρατηγῶν τοῦ λαοῦ διετέλει· αὐτός τε οὗτος οἷα δὴ γεγονὼς καθ' ἡμᾶς ἄνθρωπος, θανάτῳ διεκόπη, καὶ τὰ τῆς ἡγεμονίας τέλος ἀπείληφεν· οὔτ' οὖν παρὰ ἰουδαίοις βασιλεία, οὐδὲ τὸ Δαβὶδ γένος κατάδηλον· βασιλεύει δὲ ὁ ἐκ σπέρματος Δαβὶδ τὸ κατὰ σάρκα, υἱὸς δὲ τοῦ θεοῦ καὶ πατρὸς μονογενὴς ὁ αὐτὸς κατὰ τὴν θεότητα· ἢ οὐχὶ τὰ παραπλήσια καὶ ὁ θεῖος Γαβριὴλ τῇ παναγνῷ καὶ παναμώμῳ παρθένῳ, ἐπεὶ αὐτὴν παρεθάῤῥυνε, προσδιελέγετο· " μὴ φοβοῦ Μαριὰμ, εὗρες γὰρ χάριν παρὰ τῷ θεῷ, καὶ συλλήψῃ ἐν γαστρὶ „ καὶ τέξῃ υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· οὗτος ἔσται μέγας, „ καὶ υἱὸς ὑψίστου κληθήσεται· καὶ δώσει αὐτῷ κύριος τὸν θρόνον Δαβὶδ „ τοῦ πατρὸς αὐτοῦ, καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας, „ καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος· „ οὐκοῦν πάντως ἀληθέστερον, εἰς τὸν κύριον καὶ θεὸν ἡμῶν ταῦτα ἀναφέρεσθαι, οὗ ἡ ἀρχὴ καὶ τὸ κράτος ἀΐδιον, καὶ ἡ δόξα ἀκατάλυτος, οὐδενὶ χρόνῳ ἢ τρόπῳ ἢ ἁμωσγέπως διακοπτομένη ἢ ἐλαττουμένη, ἀλλ' εἰς τὸ ἄπειρον διαμένουσα· ὡς οὖν βασιλέα τὸν τῶν ὅλων δεσπότην Χριστὸν οἱ δείλαιοι οὐ γινώσκουσιν, οὕτως οὐδὲ ποιμένα τὸν αὐτὸν εἴσονται, ὁμοῦ καὶ τῆς βασιλείας καὶ τῆς ποίμνης αὐτοῦ σφᾶς τε αὐτοὺς ἀλλοτριώσαντες, καὶ χριστιανῶν τὰ αὐτὰ ἐκείνοις δοξάζειν καταγορεύοντες.

Ἀλλ' οἵ γε τῆς ἀπειθείας υἱοὶ, ὥστε μὴ πρὸς ἀντιλογίαν ἴδοιεν, πᾶσα δὲ αὐτοῖς περιαιρήσεται πρόφασις, οὐχ' ἑτέρου του διακούσονται, ἢ αὐτοῦ Χρι-

στοῦ ἐν εὐαγγελίοις φάσκοντος· " ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλὸς, ὁ τὴν ψυχὴν „ τιθεὶς ὑπὲρ τῶν προβάτων, καὶ γινώσκω τὰ ἐμὰ, καὶ γινώσκομαι ὑπὸ τῶν „ ἐμῶν· καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης, κἀκεῖνα „ με δεῖ ἀγαγεῖν, καὶ τῆς φωνῆς μου ἀκούσουσι, καὶ γενήσεται μία ποίμνη, „ εἷς ποιμήν· „ τίς οὕτως τῆς ἀληθείας ἀντίπαλος; τίς οὕτως Χριστοῦ καὶ τῶν Χριστοῦ λόγων ἀντίθετος καὶ πολέμιος, ὥστε ἀνερυθριάστως πρὸς τὰ εὐαγγελικὰ διδάγματα ἀντιτείνειν καὶ διαμάχεσθαι; ἐκ δὴ τούτων φανερὸν ἂν γένοιτο, ὡς οὐ πρὸς ἀνθρώπους, πρὸς αὐτὸν δὲ τὸν ποιητὴν καὶ ὅλων γενεσιουργὸν, τὸν πόλεμον ἤραντο· ἐπὶ τούτοις φησί· " διαθήσομαι αὐτοῖς διαθήκην εἰρήνης, καὶ διαθήκη αἰώνιος ἔσται μετ' αὐτῶν· „ φιλαίτατόν τι καὶ οἰκειότατον χρῆμα θεῷ τὸ τῆς εἰρήνης δῶρον καθέστηκε· καὶ τοῦτο σαφῶς ἡμῖν δέδειχεν ὁ σωτὴρ, ἡνίκα ἐπὶ τὸ πάθος αὐθαίρετος ἐξώχετο τὸ ἑκούσιον, τὸν ὑπὲρ ἡμῶν ὑποίσων διὰ σταυροῦ καὶ αἵματος θάνατον, ὁπότε καὶ ἰουδαίων φονῶντες τὸ ἄθροισμα, τοὺς δόλους κατ' αὐτοῦ ἀνοσίως ἐξήρτυον· ἐπεὶ οὖν ἐνθένδε ὡς τὸν πατέρα ἀπιέναι ἔμελλεν, ἐπέσκηπτε τὲ τοῖς μαθηταῖς, οἷα εἰκὸς τὸν διατιθέμενον βούλεσθαι, ἑώρα τὲ περὶ ταῦτα ἀλύοντας καὶ ἀπορίαις περιστοιχιζομένους, καὶ δὴ καὶ ὁρμῶντας διαπυνθάνεσθαι, ὅποι αὐτοῖς τὰ τοιάδε μέλλοι ἐκβήσεσθαι, παράκλησιν τῶν ἀηδῶν τῇ τοῦ παρακλήτου ἐπαγγελίᾳ σοφῶς ἐχαρίζετο· καὶ εἶτα τῷ τῆς εἰρήνης οἷά περ κρατίστῳ καὶ ἐξαιρέτῳ κατεπλούτιζε δώρῳ· καὶ γὰρ δὴ καὶ προσεπῆγεν· " εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην „ τὴν ἐμὴν δίδωμι ὑμῖν· „ ἐντεῦθεν αὐτοῖς λοιπὸν ταῖς κρείττοσιν ἐπαγγελίαις τὸ θορυβοῦν τῆς ψυχῆς κατέστελλεν, οὐ συγχωρῶν εἰς τὸ δειμαλέον απονενευκέναι καὶ ῥᾴθυμον, διήγειρέ τε καὶ παρεθάῤῥυνεν αὐτῶν τὰ φρονήματα, καὶ εἰς τὸ θαῤῥαλεώτερον καὶ εὐσθενὲς μετεῤῥύθμιζε, πρὸς πίστιν τὴν πρὸς αὐτὸν ἐπαλείφων, ὡς ἂν μὴ τοῖς ἐκ τοῦ πάθους σκυθρωποῖς καὶ ἀδόξοις συμβαίνουσι σκανδαλίζοιντο, ἀκλόνητον δὲ καὶ ἐρηρεισμένην περὶ αὐτὸν τῆς πίστεως ἔχοιεν ἕδραν, τὸν ἐν πολλοῖς τέρασι καὶ δυνάμεσι τὸ τῆς κατ' αὐτὸν θεότητος κράτος καὶ μεγαλεῖον ἐκφανὲς πολλάκις ποιησάμενον.

νϛ. Κατὰ ταῦτα τοίνυν, ἐν τῷ ἰδίῳ αἵματι, ὅπερ ὅσον οὔπω ἐκχεῖν κατὰ τὸ πάθος τὸ σωτήριον ἔμελλε, καινὴν ἡμῖν διαθήκην τὴν τῆς εἰρήνης διετίθει· ἐπείπερ ἔνθα διαθήκη, φησὶν, θάνατον ἀνάγκη φέρεσθαι τοῦ διατιθεμένου· ὁμοῦ τε τὴν χάριν δι' αὐτῆς ἐγκαινίζων, καὶ τὰ ἐκ τοῦ σταυροῦ καὶ τῆς ζωηρύτου πλευρᾶς αὐτοῦ ἀναβλύσαντα τοῖς ἀνθρώποις αἰώνια καὶ ἀνελάττωτα ἀγαθὰ ὑπισχνούμενος· οὕτω γὰρ καὶ τῷ διακόνῳ τῆς καινῆς διαθήκης δοκεῖ· ὁπηνίκα γοῦν τισι τὸν τῆς εὐχῆς ὑφαίνειν ἤρχετο λόγον, ἔφασκε ταῦτα· " ὁ δὲ θεὸς „ τῆς εἰρήνης, ὁ ἀναγαγὼν ἐκ νεκρῶν τὸν ποιμένα τῶν προβάτων τὸν μέγαν ἐν „ αἵματι διαθήκης αἰωνίου, τὸν κύριον ἡμῶν Ἰησοῦν, καταρτίσαι ὑμᾶς ἐν παντὶ „ ἔργῳ ἀγαθῷ· ἢ οὐχὶ μᾶλλον αὐτός ἐστιν ἡ εἰρήνη ἡμῶν; ὁ μεσίτης θεοῦ „ καὶ ἀνθρώπων, δι' οὗ τὰς καταλλαγὰς ἐσχήκαμεν, τὰς πρὸς τὸν πατέρα, „ ἐκπεπολεμωμένοι διὰ τὴν ἁμαρτίαν· „ εἴ τι πιστέον τῷ λέγοντι, " Χριστός

„ ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἕν· καὶ τὸ μεσότοιχον τοῦ „ φραγμοῦ λύσας, τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ, τὸν νόμον τῶν ἐντολῶν ἐν „ δόγμασι καταργήσας, ἵνα τοὺς δύο κτίσῃ ἐν ἑαυτῷ εἰς ἕνα καινὸν ἄνθρω- „ πον, ποιῶν εἰρήνην· καὶ ἀποκαταλλάξῃ τοὺς ἀμφοτέρους ἐν ἑνὶ σώματι τῷ „ θεῷ, διὰ τοῦ σταυροῦ ἀποκτείνας τὴν ἔχθραν ἐν αὐτῷ· καὶ ἐλθὼν εὐηγγε- „ λίσατο εἰρήνην ὑμῖν τοῖς μακρὰν, καὶ εἰρήνην τοῖς ἐγγύς· ὅτι δι' αὐτοῦ „ ἔχομεν τὴν προσαγωγὴν οἱ ἀμφότεροι ἐν ἑνὶ πνεύματι πρὸς τὸν πατέρα. „ Ἤδη δὲ καὶ ἑτέρωθι φησίν· “ ἐν ᾧ εὐδόκησε πᾶν τὸ πλήρωμα κατοικῆσαι, καὶ „ δι' αὐτοῦ ἀποκαταλλάξαι τὰ πάντα εἰς αὐτὸν, εἰρηνοποιήσας διὰ τοῦ αἵ- „ ματος τοῦ σταυροῦ αὐτοῦ, εἴτε τὰ ἐπὶ τῆς γῆς εἴτε τὰ ἐν οὐρανοῖς. „

Ἡμεῖς μὲν οὖν τὸν τὴν εἰρήνην ἡμῖν διαθέμενον, καὶ τὰ ἐξ αὐτῆς ἀγαθὰ δωρούμενον, ἐπέγνωμέν τε καὶ εἰσαεὶ εἰσόμεθα, βασιλέα τὲ καὶ κύριον ἡμῶν προσκυνοῦντες δοξάζομεν· οἷς καὶ νῦν ἐντρυφῶμεν καὶ ἁγιαζόμεθα, καὶ ἐν ἐλπίσιν ἔχομεν, κρειττόνων τὲ καὶ τελεωτέρων τῇ αὐτοῦ ἐπιτεύξεσθαι χάριτι· οἱ δέ γε ἐκ τῆσδε τῆς διαθήκης κατ' οὐδὲν ἀπόνασθαι ματαιολογοῦντες, ἑτέραν καινοτέραν ἀπεκδεχέσθωσαν, καὶ τῷ διαθησομένῳ προσκείσθωσαν· ἐπειδὴ καὶ νῦν αὐτῷ τὸ οἰκετικὸν ἀπονέμουσι σέβας, ἵνα καὶ κατὰ τὸν προσδοκώμενον αἰῶνα, τῶν ἡτοιμασμένων αὐτῷ καὶ ταῖς συναποστατικαῖς δυνάμεσιν, αὐτοὶ συμμετάσχοιεν· εἰ γὰρ ἦν αὐτοῖς ὦτα ἀκούειν, καὶ ὀφθαλμοὶ τοῦ βλέπειν, καὶ νῆψις τοῦ συνιέναι, κἂν συνῄσθοντο, ὡς ἔνθα θεὸς μεσίτης καὶ διαλλάκτης, καὶ ἡ παρ' αὐτοῦ βραβευομένη εἰρήνη, ἀγαθὴ καὶ αἰώνιος καὶ ἀκατάλυτος, οὐδ' ἀπρακτήσοι, οὐδ' ἐλαττουμένη φαίνοιτο οὐκ ἔτι ποθέν· διὸ οὐδὲ διάστασις, οὐδὲ διαίρεσις, οὐδὲ βασιλείας μερισμὸς, οὐδὲ οἱ τούτων τῶν μεγίστων ἠξιωμένοι δωρεῶν, ἑτέρᾳ ἀρχῇ μετατάξοιντο· μάχης γὰρ τοῦτο καὶ πολέμων καὶ ἀταξίας ἔργον· δείκνυνται οὖν καὶ ἐκ τούτων κενολογοῦντες, καὶ καταφλυαροῦντες μάτην τῆς χριστιανῶν θεοσεβείας· φιμούσθωσαν λοιπὸν καὶ ἐγκαλυπτέσθωσαν, ἀμαθέστατα καὶ ἀλογώτατα διανοούμενοι· τί γὰρ ἂν καὶ εἰπεῖν θαῤῥήσειαν; εἴπερ ἀκούσειαν τῶν ἐφεξῆς εἰρημένων τῷ θεοφόρῳ· “ θήσω „ γάρ φησι τὰ ἅγιά μου ἐν μέσῳ αὐτῶν εἰς τὸν αἰῶνα, καὶ ἔσται ἡ κατασκή- „ νωσίς μου ἐν αὐτοῖς, καὶ ἔσομαι αὐτοῖς θεὸς, καὶ αὐτοὶ ἔσονταί μοι λαός. „

Τίνων ἕνεκεν ταῦτα λέλεκται, ἐρευνᾶτε τὰς γραφάς· τῷ πάλαι τῶν ἰουδαίων δήμῳ ἔλεγεν ὁ σωτὴρ, αὗται γάρ εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ· ὡς εἴ γε τὰ τῶν ἑβραίων πρεσβεῦσαι καὶ νῦν ἐθελήσειαν οἱ ἀνόητοι, κἀκείνοις τὰς προφητικὰς ἀναθεῖναι φωνὰς, ἑτοίμως ἀκούσονται ὅτι γε ἤδη τὰ ἰουδαίων ἐξηρήμωτο ἅγια· οὐ γὰρ ἦν αἰώνια, σκιὰ δὲ μᾶλλον καὶ τύπος τῶν καθ' ἡμᾶς καὶ ὄντως ἁγίων ἐχρημάτιζε, καὶ τέλος τῆς ἀληθείας ἐπεισελθούσης ἀπείληφε· τὰ δὲ ἡμέτερα εἰς τὸν αἰῶνα ἕστηκεν, ἀκλόνητον καὶ ἑδραίαν τὴν διαμονὴν ἔχοντα· τεθεμελίωται γὰρ ἐπὶ τὴν πέτραν τὴν ἄσειστον· λεγέτωσαν τοίνυν ἡμῖν οἱ ταῖς τοῦ πνεύματος ῥήσεσιν ἀπομαχόμενοι, πῶς τῶν ἁγίων ἐν μέσῳ ἡμῶν δι' αἰῶνος παρὰ θεοῦ τεθειμένων, δαιμονίων ἀκαθάρτων ἐνὸν γε-

γονέναι προσκύνησιν: “ τίς γὰρ κοινωνία φωτὶ πρὸς σκότος; ἢ τίς συγκατά-
„ θεσις ναῷ Θεοῦ μετὰ εἰδώλων; „ ἀλλὰ τὰ μὲν ἔθνη ἐπέγνωσαν τὸν ἁγιάζοντα· ἐπεὶ μετέσχε τῆς τε θείας γνώσεως καὶ τοῦ ἐντεῦθεν ἁγιασμοῦ, ὡς δηλοῖ τὰ ἐπαγόμενα ὧδέ πως ἔχοντα· “ γνώσονται γὰρ τὰ ἔθνη ὅτι ἐγὼ κύριος
„ ὁ ἁγιάζων αὐτούς· „ οἱ δέ γε τοῦ θείου ἠμοιρηκότες ἁγιασμοῦ, ἄγους δὲ παντὸς καὶ ἀκαθαρσίας τὰς ἑαυτῶν ψυχὰς ἀποπλήσαντες, καὶ παρενηνεγμένοι τὸν λογισμὸν, τόν τε ἁγιάζοντα Θεὸν δεδυσφημήκασι, καὶ τοὺς ἁγιαζομένους τῇ καθ' ἑαυτοὺς ἐναγεῖ γνώμῃ ἀνοήτως καὶ δυσσεβῶς ἐναγεῖς ὡσαύτως εἶναι διαθρυλοῦσι.

νζ. Τρόπον δὲ, ὃν ἁγιάζονται οἱ μεμοιραμένοι τῆς χάριτος, ὁ σοφὸς ἡμῖν πάλιν διαπερανεῖ Παῦλος· “ ὅ τε γὰρ ἁγιάζων, φησὶ, καὶ οἱ ἁγιαζόμενοι,
„ ἐξ ἑνὸς πάντες· „ ἐξ ὧν μαθεῖν πάρεστιν εἰς οἵαν κορυφὴν ἀγαθῶν διὰ τῆς τοιαύτης ἑνώσεώς τε καὶ κοινωνίας τοὺς πεπιστευκότας ἀνήγαγεν, ὅθεν αὐτοῖς τὰ τοῦ ἁγιασμοῦ περιγίνεται· ὅ τε γὰρ ἁγιάζων Χριστὸς, καὶ οἱ ἁγιαζόμενοι, οἱ πεπιστευκότες αὐτῷ, ἐκ τοῦ θεοῦ τῶν ὅλων καὶ πατρὸς ἅπαντες· καὶ ὁ μὲν ἁγιάζει ὡς κεφαλὴ, καὶ τῆς σωτηρίας ἀρχηγὸς, καὶ παντὸς ἁγιασμοῦ παροχεὺς καὶ κύριος· οἱ δὲ ἁγιάζονται τῇ μεθέξει τῆς χάριτος αὐτοῦ καινοποιούμενοι, διὰ τῆς τοῦ θείου λουτροῦ ἀναγεννήσεως αὐτὸν ἐνδιδυσκόμενοι· “ ὅτι
„ ὅσοι εἰς Χριστὸν ἐβαπτίσθησαν, Χριστὸν ἐνεδύσαντο· „ τοῦ δὲ ἐξ ἑνὸς ἠρτῆσθαι ὅτι συμβαίνει, καὶ ὅπη εὐδαιμονίας καὶ μακαριότητος πρόεισιν ὥσπερ αἰτιολογίαν προτιθεὶς, ὡς εἰς ἀγχιστείαν οἷά περ συνάγεσθαι καὶ πρὸς ἀδελφότητος αὐτοὺς ἠξιῶσθαι κλῆσιν ἐπάγει· “ δι' ἣν αἰτίαν, οὐκ ἐπαισχύνεται
„ ἀδελφοὺς αὐτοὺς καλεῖν λέγων, ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς
„ μου, ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε· „ ταύτῃ δοξάζων αὐτοὺς, καὶ κρείττοσιν ἢ κατὰ ἄνθρωπον στεφανῶν τιμαῖς· τί γὰρ τούτων θειότερον ἢ μακαριώτερον; καὶ τὸ αἴτιον δῆλον, ὅθεν κεχρηματίκασιν ἀδελφοί· ἐπειδὴ γὰρ Θεὸς ὢν, τὴν καθ' ἡμᾶς περιβαλέσθαι ταπεινότητα οὐκ ἀπηξίωσε δι' ἀπειρίαν οἴκτου καὶ ἀγαθότητος, ἵνα ἡμᾶς τῇ ἑαυτοῦ ἀνυψώσῃ πτωχείᾳ, ἐντεῦθεν τὸ καὶ ἀδελφοὶ καὶ τέκνα ὑπάρξαι πεπλουτήκαμεν, ὡς αὐτίκα ἐρεῖ· “ ἰδοὺ ἐγὼ καὶ
„ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ Θεός· ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκε σαρκὸς
„ καὶ αἵματος, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν· „ τούτους τοίνυν τοὺς Χριστὸν ἐνδεδυμένους, καὶ παρ' αὐτοῦ ἡγιασμένους, ἀδελφούς τε καὶ τέκνα νομισθῆναι καταξιωθέντας κατὰ τὸν ἀποδεδομένον τρόπον, πῶς οὐ καταπεφρίκεσαν οἱ δείλαιοι, εἰδώλων προσκυνητὰς ὀνομάζειν; ἐκ δὴ τούτων συνορᾶν ἔξεστιν, οὗ τὰ τῆς ὕβρεως διὰ τὴν κοινωνίαν τῆς τε ἀδελφότητος, καὶ τῆς υἱοθεσίας ἀναβέβηκεν· ὅπερ φάναι οὐ θεμιτὸν, δέει τῆς εἰς τὸν πρωτότοκον ὁμοῦ καὶ πατέρα δυσφημίας τοῖς εἰδόσι Θεὸν, εἰ μὴ αἰσθήσεώς τε καινοῦ παντάπασιν ἀπολιμπάνοιντο· σιωπῇ γὰρ μᾶλλον τὰ πολλὰ τῶν ἐκ τῆς χριστομάχου γλώσσης αὐτῶν προϊσχομένων, ὡς βλαβερωτάτων καὶ ἀτοπωτάτων παραπεμπτέον· οἵ δε γὰρ ἠρνημένοι τῆς ἀδελφότητος τὴν κατὰ Χριστὸν ἕνωσιν,

καὶ τοῦ τῆς υἱοθεσίας διημαρτηκότες ἀξιώματος, καὶ Χριστὸν ἢ οὐδαμῶς ἐνδυσάμενοι πώποτε, ἢ καὶ ἀπεκδυσάμενοι, καθά γε αὐτοὶ περὶ ἑαυτῶν ἀποφαίνονται, πόθεν ἂν σχοῖεν ταῦτα καὶ μαθεῖν καὶ παθεῖν, καὶ τῆς τοῦ ἁγιασμοῦ ἐπιτεύξεσθαι χάριτος; εἰ γὰρ πρὸς τὴν ἀθέτησιν ἐκκεκλίκασι τούτων, σχολῇ γε ἂν τῶν χρηστῶν τι καὶ ὀνησιφόρων ἕλοιντο· τοιαῦτα μὲν τὰ τῆς ἐκείνων ἀλογίας καὶ ματαιότητος ληρῳδήματα καὶ βληχήματα.

νη. Ἡμεῖς δὲ τὴν ἡμετέραν ἐρχώμεθα, καὶ τῶν ἱεροφαντῶν ὁ λειπόμενος τὸν ἱερὸν τοῦτον καὶ εὔρυθμον εἰσελαυνέτω χορὸν, καὶ οἷα κορωνὶς προσκείσθω τῷ θεοτεύκτῳ δόμῳ, καὶ συναπαρτιζέτω τὸν οἶκον τῆς σοφίας· μάλα ἐκπρεπῶς καὶ ἐνθέως δομούμενον, καὶ καλῶς τῷ πνεύματι ἁρμοζόμενον καὶ κοσμούμενον· συνιδρώσει τε τοῖς προηθληκόσι, τῶν ἱερῶν πόνων ἀντειλημμένος, καὶ ὥσπερ σφραγὶς ἐπικείσθω τοῖς προεκτεθειμένοις, ὁ τοῦ θεοῦ ἄνθρωπος, ὁ τῶν ἐπιθυμιῶν ἀνὴρ, ὁ τῶν χαρισμάτων τοῦ πνεύματος θησαυρὸς, ὁ τὰ βαθέα ἐκκαλυπτόμενος καὶ ἀπόκρυφα, ὁ τῶν ἀποῤῥήτων ἐξεταστὴς, ὁ τῶν βαρβάρων παιδευτὴς, ὁ τῶν θηρίων σωφρονιστὴς, ἴσως ποτὲ καὶ τουτωνὶ τῶν ἀνοσίων τὴν θηριώδη καὶ ἀπηγριωμένην τῆς ἀπιστίας καταμαλάξειε γνώμην· δεῦρο δὴ οὖν ὦ προφητῶν θεωρητικώτατε καὶ διορατικώτατε, ἐκ Βαβυλῶνος καὶ τῆς βαρβαρικῆς ὄχθης ἀνίσχων, ὡς δὴ συνέσει καὶ σοφίᾳ τῇ ἄνωθεν ἐμπνεόμενος, προαγόρευε ἡμῖν ἅπερ σοι αἱ νυκτεριναὶ τῶν θείων ἐποπτειῶν ἀψευδεῖς θεωρίαι, κεκαθαρμένῳ τῷ ἡγεμονικῷ, καὶ ἀπεξεσμένῳ τῷ θεωρητικῷ ἐντυπούμεναι, εὐκάτοπτον παρέσχον τῶν ἀληθῶν τὴν ἐμφάνειαν, καὶ τετρανωμένῃ τῇ γλώσσῃ καὶ διαλεύκῳ φωνῇ, τὸν ἡμέτερον προανακήρυσσε βασιλέα καὶ κύριον, ἀπέραντον τὴν ἀρχὴν καὶ τὴν δόξαν κεκτημένον αἰώνιον, καὶ τῶν ἀσεβῶν καὶ ἀβασιλεύτων κατάθραυε τὴν ἀπόνοιαν· διαῤῥήδην γὰρ ἐμβοήσειας εὖ ἴσμεν, ὁπότε ὀνειροπολοῦντι τῷ χαλδαίῳ τὰ διαπεφευγότα τῶν μεθυπνίων ὄψεων ἐκφράσειας, καὶ τῶν ἀπορουμένων τὰς λύσεις προσάξειας, τοιαῦτα προαναφαίνων. „ Καὶ ἔσται ἐν ταῖς ἡμέραις τῶν βασιλέων ἐκείνων, ἀναστήσει ὁ θεὸς τοῦ οὐ„ ρανοῦ βασιλείαν, ἥ τις εἰς τοὺς αἰῶνας οὐ διαφθαρήσεται· καὶ ἡ βασιλεία „ αὐτοῦ λαῷ ἑτέρῳ οὐχ᾽ ὑπολειφθήσεται· καὶ λεπτυνεῖ καὶ λικμήσει πάσας „ τὰς βασιλείας, καὶ αὐτὴ ἀναστήσεται εἰς τοὺς αἰῶνας. Καὶ μετέπειτα. Ἐθεώ„ ρουν ἐν ὁράματι τῆς νυκτὸς, καὶ ἰδοὺ μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ ἐρ„ χόμενος ἦν, καὶ ἕως τοῦ παλαιοῦ τῶν ἡμερῶν ἔφθασε, καὶ ἐνώπιον αὐτοῦ „ προσηνέχθη, καὶ αὐτῷ ἐδόθη ἡ ἀρχὴ καὶ ἡ τιμὴ, καὶ ἡ βασιλεία, καὶ πάντες „ οἱ λαοὶ, φυλαὶ, γλῶσσαι αὐτῷ δουλεύσουσιν· ἡ ἐξουσία αὐτοῦ ἐξουσία „ αἰώνιος, ἥ τις οὐ παρελεύσεται, καὶ ἡ βασιλεία αὐτοῦ οὐ διαφθαρήσεται. „

Τὰ μὲν τοῦ προφήτου τοιαῦτα· τὰ δὲ τῶν ἐξαγίστων ὁποῖα; πρῶτα μὲν ψευδῆ τὰ τοῦ θείου πνεύματος εἰκαιολογοῦσι χρησμῳδήματα· ἔπειτα δὲ καὶ τὸν θεὸν πατέρα περί τε τὰ οἰκεῖα ἔργα τήν τε ἐπιστήμην καὶ πρόγνωσιν, εἰσφέρουσι διαμαρτάνοντα· ἐπὶ τούτοις δὲ καὶ τὴν τοῦ μονογενοῦς βασιλείαν διεφθάρθαι, ὡς διαρκεῖν εἰς αἰῶνα μὴ ἐξισχύουσαν· ἢ μὴ δὲ τὴν ἀρχὴν αὐτῷ

δεδόσθαι, μήτε μὴν ὑπὸ γλωσσῶν καὶ φυλῶν προσκεκυνῆσθαι ἢ δεδουλεῦσθαι, λαόν τε διακεκλῆσθαι καὶ διηρπάσθαι τῷ τυραννήσαντι, καὶ συλλήβδην εἰπεῖν, ἀπεναντίας ἐν ἅπασι τῷ προφήτῃ διανενόηνται· ταῦτα δ᾽ ἅπαντα μικροῖς συνειληφότες ῥήμασι, μεγίστην τὴν βλασφημίαν κατὰ τῆς θείας ἐτεκτήναντο δόξης, εἰδωλολατρίαν ἀθέως καὶ δυσσεβῶς, τὴν χριστιανῶν θεοσέβειαν ἀποκαλέσαι τολμήσαντες, καὶ τοιαύτην δόξαν ἄλλοις τὲ καὶ ἑαυτοῖς ἐπικλώσαντες· πῶς δὲ οὐ κατεπτήχασιν οὐδὲ κατεπλάγησαν τὴν ψυχὴν, πρὸς τὰ οὕτω σαφῆ καὶ ἀναμφίλεκτα προπετῶς ἀντιβλέποντες, οἵ γε καὶ ἀναιδεῖ προσώπῳ καὶ πεπωρωμένῃ καρδίᾳ ὑφιστάμενοι, κατὰ τῆς τοῦ σωτῆρος ἀπηυθαδίσαντο δόξης; ἀλλὰ πόθεν αὐτοῖς τὸ θεοστυγὲς τοῦτο καὶ ἄτοπον παῤῥησιάσεται δόγμα; εἰ μὲν γὰρ ἁπλῶς τὴν ἀρχὴν καὶ τὴν βασιλείαν τοῦ τῶν ὅλων θεοῦ ὁ προφητικὸς προανεκήρυττε λόγος προσδιορισμοῦ δίχα, ἐπεφύησαν ἂν ἀκρατέστερον καὶ θρασύτερον τοῖς τῶν ὀρθῶν τῆς εὐσεβείας δογμάτων ἐπειλημμένοις, ἐκ περιέργου λέσχης τὸ μάταιον καὶ ἀπόπληκτον τῶν λόγων αὐτῶν ἐπιτειχίζοντες· καὶ ὥσπερ οἱ ἐπί τι θήραμα καταθέοντες, τῆς τῶν εἰρημένων ἁπλότητος καταφυόμενοι, μεμετρημένην πως καὶ πεπερασμένην τὴν Χριστοῦ βασιλείαν εἰσῆγον· εἰ δὲ τῇ βασιλείᾳ πρόσκειται τὸ αἰώνιος καὶ ἄφθαρτος, καὶ τὸ οὔ ποτε παρελεύσεσθαι, τί δή ποτε οὐκ ἐπιτεθήσεται αὐτῶν τῇ ἀθυροστομίᾳ χαλινὸς, ὅπως ἀποφραγείη πᾶν στόμα κατὰ τοῦ βασιλέως τῶν αἰώνων λαλοῦν ἄδικα; ὁ γάρ τοι βασιλεύων τὸν αἰῶνα καὶ ἐπ᾽ αἰῶνα καὶ ἔτι, οὔτ᾽ ἄν ποτε τῆς ἀρχῆς καὶ τῆς δόξης ἀφαιρεθείη, οὔτ᾽ ἂν ὁ ὑπὸ χεῖρα καὶ ἐγνωκὼς αὐτὸν λαὸς, ἑτέρῳ πρόσθοιτο βασιλεῖ· οὐδὲ γὰρ ὁ κρείττων, οὗ ἐπιλήψονται, ἔστιν ἢ ὅλως ἔσται· οὐκοῦν οὐ τετυράννηται οὐδὲ διήρπασται, οὐδὲ τῆς ἐξουσίας ἐκβέβληται· διὰ τοῦτο οὐδὲ τὸ ὑπ᾽ αὐτῷ τελοῦν ἅπαν εἰδώλοις πρόσεισιν, ἢ δοίη τὸ προῦχον τῷ δαίμονι· θεὸν γὰρ καὶ κύριον τῶν ὅλων, τὸν πάντων ἡμῶν σωτῆρα Χριστὸν ἐπιγινώσκει, καὶ αὐτῷ προσκυνεῖ· " αὐτῷ γὰρ κάμπτει πᾶν γόνυ ἐπουρανίων ,, καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογεῖται ὅτι κύ- ,, ριος Ἰησοῦς Χριστὸς εἰς δόξαν θεοῦ πατρὸς, ἀμήν· ,, φανερὸν οὖν καὶ ἐντεῦθεν ὅτι ἐκ τοῦ ἐναντίου πνεύματος λαλοῦσιν οἱ χριστομάχοι, ὡς ἀντίπαλα καὶ ἀντίθετα τῶν τοῦ θείου πνεύματος λογίων φθεγγόμενοι.

νθ. Σκοπείτωσαν δὲ κἀκεῖνο οἱ ἀβασίλευτοι, ὅτι τὸ βασιλεὺς ὄνομα οὐκ ἔστι τῶν ἀπολύτως καὶ ἀσχέτως λεγομένων, τῶν πρός τι δὲ, καὶ τῶν ἐν σχέσει θεωρουμένων· οὐ γὰρ ἂν νοηθείη βασιλεὺς, τῶν βασιλευομένων ἄνευ· οὐδὲ ἄρχων, τῶν ἀρχομένων δίχα· ἀνάγκη γὰρ ἑτέρου τῶν προσηγοριῶν τούτων τεθειμένου, συνεισάγεσθαι καὶ θάτερον, ὥσπερ δὴ ἀναιρουμένου συναναιρεῖσθαι· οὕτω γὰρ τὰ τοῦ εἴδους τῶν ὀνομάτων τούτων μεταλαχόντα, ἀλλήλοις οἰκειοῦνται ὡς τὰ πολλὰ καὶ συνδέονται· ὡς μήτε τοῦτο χωρὶς ἐκείνου νοεῖσθαι, μὴ δ᾽ αὖ ἐκεῖνο τούτου ἄνευ συνίστασθαι· εἰ τοίνυν ἀληθεῖς αἱ παρὰ τοῦ ἁγίου πνεύματος τοῖς ἁγίοις προφήταις γενόμεναι θεοφάνειαι, ὥσπερ οὖν εἰσὶν ἀληθεῖς, ὁ Χριστὸς καὶ θεὸς ἡμῶν βασιλεὺς παρ᾽ αὐτοῖς προσαγορευόμενος,

πάντως τινῶν ἐστι βασιλεὺς, τῶν βασιλευομένων δήπου· ὡς μὲν γὰρ θεὸς καὶ γενεσιουργὸς τῶν ἁπάντων, πάντων ἐστὶ βασιλεύς· " αὐτὸς γάρ ἐστιν ὁ δε- ,, σπόζων ἐν τῇ δυναστείᾳ αὐτοῦ τοῦ αἰῶνος, καὶ τὰ σύμπαντα δοῦλα αὐτῷ ,, ἐστὶ, καὶ ἡ βασιλεία αὐτοῦ βασιλεία πάντων τῶν αἰώνων, καὶ ἡ δεσποτεία ,, αὐτοῦ ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ· ,, ὡς δὲ πιστῶν καὶ ἐπεγνωκότων αὐτὸν, διὰ τῆς εἰς αὐτὸν ἀληθοῦς ὁμολογίας, ἡμῶν ἐστι τῶν χριστιανῶν βασιλεύς· ἡμεῖς γὰρ ἐσμὲν λαὸς αὐτοῦ περιούσιος, καὶ βασίλειον ἱεράτευμα, καὶ κληρονομία αἰώνιος, καὶ συλλαβόντα εἰπεῖν, ὥσπερ ἐξαίρετον καὶ οἰκειότατον αὐτῷ κτῆμα· τὰ οὖν ἡμέτερα τῶν εὐσεβούντων τῇ θείᾳ χάριτι, τοιαῦτα καὶ οὕτως ἔχοντα, καὶ κατὰ ταῦτα εὐκαίρως ἄγαν καὶ ἁρμοδίως οἱ θεῖοι παραληφθέντες χρησμοὶ, νέφος ἡμῖν τοσοῦτον μαρτύρων περιέστησαν ἀξιόχρεων ἐν ἅπασι καὶ ἐχέγγυον· ὥστε ἡμῖν μὲν τοῖς τῶν ἀληθῶν ἐρασταῖς, καὶ τοῖς ἐκ τοῦ θείου πνεύματος ἐλλαμπομένοις τὲ καὶ χειραγωγουμένοις χαρίσμασιν, εὔρυθμον καὶ ἐναρμόνιον καὶ μεμουσωμένην τῶν ἱερῶν καὶ θεοπνεύστων ἡμῶν δογμάτων ἀπηχεῖν τὴν συμφωνίαν· τῶν δὲ ἐκ τῆς ἀποστατικῆς ἐμπνεομένων δυνάμεως, τήν τε παραφροσύνην καὶ ἀποπληξίαν καὶ τὰ ἄθεσμα αὐτῶν καὶ ἀπατηλὰ θριαμβεύειν ληρήματα, ἐκ νόθων τὲ καὶ κιβδήλων διανοιῶν ἀναβρασσόμενα, καὶ οἷα στήλην ἀνάγραπτον τὴν δυσσέβειαν αὐτῶν ἐμφανέστατα φέρειν· οὕτω λοιπὸν πανταχόθεν ἐληλεγμένοι, ἐκ τοῦ τῆς πλάνης πνεύματος ἐνεργούμενοι, πόῤῥω τοῦ θείου χοροῦ καὶ τῆς καθ' ἡμᾶς τῶν χριστιανῶν αὐλῆς ἀπεληλάσθων.

Ἐπειδὴ δὲ τὸ κακὸν ἄστατόν τε ἐστὶ καὶ ἄσχετον, καὶ μένειν ἐφ' ἑαυτοῦ μηδαμῶς ἀνεχόμενον· ἀεὶ δὲ προϊὸν, καὶ στάσιν τῆς φορᾶς οὐχ' εὑρίσκον, καθάπερ ῥεῖθρα ποτάμια πλημμυροῦντα καὶ ὑπερβλύζοντα καὶ τῆς ὄχθης ὑπερχεόμενα, ὁπηνίκα τινὸς ὑπτίου καὶ πρανοῦς ἐπιλάβηται χώρου, οὔτε τῆς ῥύμης ῥαγδαίως ἐπισχεθήσεται προχεόμενα, καὶ τὸ πρὸς τυχὸν ἅπαν ῥαδίως ἀεὶ παρασύρεται καὶ συνεφέλκεται· οὕτω γε ἤδη καθ' ἃς ἂν ἐφερπύσῃ ψυχὰς, καθάπαξ ἀπογνούσας τῆς τοῦ ἀγαθοῦ μετουσίας, οὐκ ἂν πρὶν ἀπόσχοιτο ἐπινεμόμενον καὶ καταβοσκόμενον, ἕως ἂν εἰς ὀλέθρου ἀποῤῥίψειε πέρατα· ὁποῖον δή τι κἀνταῦθα συμβέβηκε· καὶ γὰρ κἂν ταῖς τῶν δυσσεβούντων τούτων ὡς τάχιστα διϊκνούμενον ψυχαῖς ἐγκατέσκηψε, καὶ πρὸς ὄλισθον ἀπιστίας καὶ ἀφιλοθεΐας ἀπήγαγε· τὰς γὰρ δολίας γλώσσας κατὰ Χριστοῦ πρότερον καταθήξαντες, κόρον μὲν τῆς εἰς αὐτὸν παροινίας οὐκ ἴσασιν· οὐδ' αὖ τῆς χριστιανῶν θεοσεβείας καταγορεύοντες ἀπολήγουσιν, ἐπίδοσιν δὲ μᾶλλον ἑκάστοτε τῆς κακίας ποιούμενοι, ὡς ἂν χείρω τῶν προλαβόντων τὰ ἐπεισιόντα γίγνοιντο, πολλὴν συκοφαντίαν κατὰ τῶν ἐμψύχων τοῦ πνεύματος ναῶν ἐξυφήναντες, οὐ μέχρι τούτου ἔστησαν· ἤδη δὲ καὶ κατὰ τῶν ἀψύχων ναῶν, θείων δ' ὅμως, τὰς ἀνοσίους χεῖρας καθώπλισαν· οἵ γε τῷ ὄντι ναοὺς δαιμονίων τὰς σφῶν αὐτῶν ψυχὰς ἀποφαίνοντες, ἀπὸ τοῦ δοξάζειν εἰδώλοις ὡς θεοῖς προσιέναι, ἵνα κἀνταῦθα τὸ πρὸς εὐσέβειαν αὐτοῖς ἀκοινώνητον μαρτυρούμενον δια-

φαίνοιτο· οὔτε γὰρ κοινωνία φωτὶ πρὸς σκότος, ὡς οὐδὲ συγκατάθεσις ναῷ θεοῦ μετὰ εἰδώλων, καὶ ὥστε μὴ ἐν λόγοις μόνον τὰ τῆς βλασφημίας αὐτοῖς ἐξέρποι, ἀλλ' ἤδη καὶ ἐν πράγμασιν ἐξανυόμενον αὐτῶν καθορᾶται τὸ κακούργημα, καὶ μὴ δι' ἀκοῆς μέχρι περιθρυλῆται τὸ δύσφημον, ἀλλὰ κἂν ταῖς ἁπάντων ὄψεσι βλεπόμενον προκέηται.

ξ. Ἆρ' οὖν κατεψεύσαντο μὲν καὶ κατηγόρευσαν τῆς θείας καὶ ἀποῤῥήτου δόξης τὲ καὶ δυνάμεως, τῆς τε τῶν θεοπνεύστων, καὶ τῆς τῶν θεολόγων κατεφλυάρησαν διδασκαλίας, δρῶσι δὲ ὧν ἐκενολόγησαν ἥττονα, ἢ καθυφίασι τοῖς βλασφημουμένοις ἐκδεῖξαι παρισούμενα τὰ πραττόμενα, ἢ οὐ λίαν ὑπεραίροντα; οὔ μεν οὖν· ἀλλ' ἐν ᾧ τὸν πατέρα τοῦ ψεύδους διάβολον πάλαι ἀπολειπόμενον καὶ ἡττώμενον ἔγνωμεν, τοῦτο νῦν προστιθέμενον ὁρῶμεν καὶ ἐπαυξόμενον· τὸ πρὶν γὰρ ἐν λόγοις μόνον τὸν κατὰ τῆς ἐκκλησίας ἄρασθαι πόλεμον τοὺς ἀσεβοῦντας παρασκευάσας, καὶ μυρίας ὅσας αἱρέσεις ἐν τοῖς χριστιανοῖς παρενείρας, ἐν τῷ νῦν οὐ λόγοις μόνον, ἤδη δὲ προσθεὶς καὶ τὸ λειπόμενον, καὶ ἔργοις αὐτοῖς κατὰ τῶν θείων δόμων καὶ τῶν ἄλλων ἱερῶν ἀναθημάτων ἐξεβάκχευσε, τὰ πρὸς καθαίρεσιν τοῦ κόσμου καὶ τῆς εὐπρεπείας αὐτῶν, κατεργάζεσθαι, ὡς ἂν δι' ἀμφοτέρων τὸ εἰς κακίαν περιφανὲς ἀποφέροιντο· τολμῶσι γοῦν οἱ ἐξάγιστοι κατὰ τῶν ἱερῶν καὶ θείων τύπων καὶ συμβόλων τῆς σωτηρίου τοῦ θεοῦ λόγου οἰκονομίας τὲ καὶ σαρκώσεως, καὶ τὸν ἐν τοῖς ἁγίοις οἴκοις ἐπιχειροῦσιν ἀπαγλαΐζειν διάκοσμον, καὶ καθαιροῦσι τῆς ἱστορίας τὸ ἅγιον, τὰ σεμνῶς τετυπωμένα ἀποξέοντες ἀνοητότατα, ὢ τῆς μανίας, ὢ τῆς τόλμας καὶ τῆς ἀναισχύντου γνώμης, ἅπερ ἤδη χριστιανῶν οἱ εὐσεβέστεροι καὶ φιλόθεοι, τὸ ἀνέκαθεν ἱερεῖς τέ φημι καὶ βασιλεῖς, ὅσοι τὲ τῶν ἐν τέλει, καὶ τῶν ἄλλων οἱ περὶ τὴν εὐσέβειαν θερμότεροί τε καὶ σπουδαιότεροι, διαπύρῳ πόθῳ καὶ πίστει θερμῇ τῇ εἰς Χριστὸν καὶ τοὺς ἁγίους καταφλεγόμενοι, ἐκπεπονήκασί τε καὶ ἀνιστόρησαν· ἀγάλματα θεῖα καὶ ἱερὰ, ἐν οἷς καθίδρυσαν τῷ θεῷ τῶν ὅλων σηκοῖς ἐντυπωσάμενοι, καθ' ὃ ἑκάστου τῶν τυπουμένων ὁ λόγος ἐπέβαλεν, οὐ φρίττουσιν ἀνορύττειν καὶ καταπαίζειν οἱ δείλαιοι· κἂν ἠπείθησέ τις αὐτοῖς ἐφ' οἷς κακῶς καὶ ἀθέως δοξάζουσι, πρὸς τὸ ἀπηχὲς καὶ δυσφορώτατον σχετλιάζων τοῦ λόγου, εἰ μὴ ἀθεεὶ αὐτουργοῦντας τὰ τοιαῦτα ἑώρα· ὥστε αὐτοὺς εἰς βεβαίωσιν τῶν ἀθέσμως λεγομένων, τῶν δρωμένων ἔχειν τὸ παράνομον· πῶς γὰρ οὐκ ἐλέγχονται φανερῶς τῷ ὄντι εἰδωλολατροῦντες; ἀναισχύντως οὕτως κατὰ τῶν τοῦ θεοῦ οἴκων ἐπιμαινόμενοι, ὡς ἑτέρᾳ θρησκείᾳ μυσταγωγούμενοι καὶ τελούμενοι, ἣ τίς ποτέ ἐστιν, αὐτοὶ εἰδεῖεν ἂν, καὶ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν ἐπὶ πάντων θεὸν ἐξομνύμενοι, ὡς τὸ ἀκόλουθον ἐννοεῖν δίδωσι, καὶ μάτην τοῦ τῶν χριστιανῶν ὀνόματος μεταποιούμενοι· τῷ ψεύδει γὰρ ἐπερείδονται, ψιλῆς αὐτοῖς τῆς προσηγορίας ἐπιπολαζούσης, καὶ ὥσπερ ἐπικεχρωσμένης, καὶ τὴν μόρφωσιν τῶν συλλαβῶν ἔχουσι, τὴν δὲ δύναμιν τὴν ἀπ' αὐτῶν δηλουμένην ἠρνημένοι· νόθοι γὰρ καὶ ἀλλότριοι τοῦ πράγματος διὰ τῶν ἔργων αὐτῶν ἀποδείκνυνται· αὔξει

δὲ αὐτῶν τὸ ἀνοσιούργημα, ὅπερ ἑπόμενον συμβαίνει ἀπὸ τῆς ἐγχειρήσεως αὐτῶν γίνεσθαι.

ξα. Ἐπειδὴ γὰρ ταῖς ἱεραῖς τοῦ Χριστοῦ εἰκόσι καὶ ὁ τύπος τοῦ ζωοποιοῦ σταυροῦ συνδιαγράφεται, συγκαθαιροῦσι καὶ αὐτὸν ἤδη οἱ περὶ τοῦτο κατασχηματιζόμενοι, καὶ πρεσβεύειν τὰ τοῦ σταυροῦ προσποιούμενοι, τῷ ὄντι γὰρ ἐπίσης τὰ τῆς μανίας αὐτῶν καθ' ἀμφοτέρων ἐξῆπται, καὶ εἴ που τῷ ἑτέρῳ δοκοῦσιν ἀπεχθάνεσθαι, εἴπερ ἐξ ἑνὸς καὶ τοῦ αὐτοῦ ἀμφότερα καθαγιαζόμενα ἤρτηται· ἐν τούτοις ἅπτονται καὶ τῶν ἱερῶν κειμηλίων, ἐν οἷς τὰ ἅγια καὶ ζωοποιὰ τοῦ Χριστοῦ ἐπιτελεῖται μυστήρια· ἔτι καὶ τῆς ἐσθῆτος ὅση ταῖς σεπταῖς ταύταις ἱστορίαις σεμνῶς περιστέλλεται· πρὸς δὲ καὶ τῶν ἐν ταῖς εὐαγγελικαῖς βίβλοις προσκυνουμένων πτυκτίων· καταλύουσι γοῦν τὸ εὐαγγέλιον· καὶ τί γὰρ ἕτερον ἐνορᾷν ἐστιν, ἢ κενούμενον παρ' αὐτοῖς καὶ λυόμενον τὸ εὐαγγέλιον; ἐν τίνι γὰρ διοίσει τὰ ἐντὸς γεγραμμένα, τῶν ἐκτὸς ἱστορουμένων, τῆς τοιαύτης εὐνοίας καὶ ὑποθέσεως ἐπ' ἀμφοτέρων θεωρουμένης; διὰ τοῦτο εἰ τὸ ἕτερον τίμιον, καὶ θάτερον τίμιον, ἢ ἀλλήλοις συνοιχήσεται πᾶσα ἀνάγκη· ἤδη δὲ ὁρῶμεν πολλὰ τῶν σεβασμίων βίβλων τουτωνὶ, καί γε καὶ τῶν ἀρχαιοτέρων καὶ τῷ μακρῷ χρόνῳ παρ' εὐσεβῶν, καὶ φιλοθέων ἀνδρῶν ἐκπεπονῆσθαι μαρτυρουμένων, ἅπερ ἀναπτυσσόμενα, ἐν μέρει μὲν διὰ τῆς καλλιγραφικῆς εὐφυΐας, τὰ τῆς θείας ἱστορίας ἡμῖν ἐμφανίζει διδάγματα· ἐν μέρει δὲ διὰ τῆς ζωγραφικῆς εὐτεχνίας, τὰ αὐτὰ ἡμῖν παραδείκνυσι πράγματα· καὶ οὐδέν τι μᾶλλον τόδε ἢ τόδε διασημήνειεν· εἷς γὰρ ἐπ' ἀμφοῖν ὁ λόγος, καὶ δι' ἀμφοτέρων τῆς σωτηρίου τοῦ θεοῦ λόγου οἰκονομίας ἡ διδασκαλία τε καὶ ἀνάμνησις γίνεται· ἃ γὰρ ὁ λόγος διὰ τῆς τῶν γεγραμμένων ἐκήρυξεν ἀναγνώσεως, ταῦτα καὶ ὄψις διὰ τῆς τῶν ἱστορουμένων ἐντεύξεως συμπαρέδειξεν· εἰ οὖν τὸ μέρος καθέλοι τις, τὸ ὅλον ἔσται καθῃρηκώς· ἐκ τῶν μερῶν γὰρ τὸ ὅλον· εἰ δέ τι τούτων ἐπιταράττει τοὺς ἄφρονας, καὶ τὴν ἀπόπληκτον αὐτῶν κατασείει διάνοιαν, σκανδαλιζέτω αὐτοὺς, ὅτι τὰ μὲν λεπτοτέραις ταῖς γραφαῖς καὶ τοῖς χρώμασιν ἐγχαράττεται, τὰ δὲ παχυτέραις καὶ ποικιλωτέραις ταῖς γραμμαῖς καὶ τοῖς σχήμασι χρωματουργούμενα διαγράφεται, καὶ πολὺ τὸ κατὰ τὴν ὕλην ἐν αὐτοῖς διηλλαγμένον ἐμφαίνεται.

ξβ. Εἰ δέ τι χρὴ περιεργότερον ἐπελθεῖν, ὀφθήσεται ταῦτα μᾶλλον ἐκείνων ἔν τισι πλεονεκτοῦντα, ὅτι τὰ μὲν τὴν ἀκοὴν μόνην ἐπάγεται, τὰ δὲ καὶ τὴν ὄψιν ἐφέλκεται, καὶ τὰ μὲν ταχὺ, τὰ δὲ θᾶττον παρέχουσι τῶν προκειμένων τὴν διάγνωσιν· ὅσῳ καὶ ὄψις ἀκοῆς συντομωτέρα τε καὶ εὐπειθεστέρα· ἐπείπερ καὶ τὸ ἀκουστὸν ὑπὸ τοῦ ὁρατοῦ πέφυκε φθάνεσθαι, καὶ τὰ μὲν ἐξ ἀκοῆς ἡμῖν μαθητευόμενα, καὶ λήθη τῷ χρόνῳ ἐπιλαβοῦσα ὡς τὰ πολλὰ διέκοψέ πως καὶ ἀπημαύρωσε, τὰ δὲ ὑπ' ὄψιν προκείμενα, μονιμώτερον μᾶλλον ταῖς ψυχαῖς ἐνσημαίνεται, καὶ τοῖς παθητικοῖς μέρεσι ταῖς ἀντιλήψεσι τῶν αἰσθητῶν εναποτιθέμενα· καὶ ἔτι ἐπὶ πλέον ταῦτα ἐκείνων, ὅτι καὶ σοφοὺς καὶ ἰδιώτας χειραγωγοῦντα, οὐδὲν ἧττον ὀνίνησι· καὶ ἤ τις ἀγροικίας

ἢ ἀστειότητος ἔχει, ὁμοίως μεθέξει τῆς γνώσεως· καὶ ὅτι πλέον εἰσάγουσιν ἐπὶ τὸ μυστήριον τῆς φιλανθρώπου τοῦ σωτῆρος ἡμῶν συγκαταβάσεως· πολλάκις γοῦν τὸν ἄγροικον διαφεύγει τὰ τῆς ἀναγνώσεως, παιδεύσεώς τε ὄντα ἐκτὸς, καὶ τῷ εἶναι γραμμάτων ἀμύητον· ὡς οὖν ἐπὶ τοῦ ἀκροωμένου τοῦ λόγου, οὐκ ἄχρι τῆς ἀκοῆς περιγράφεται τῶν ἐκφωνουμένων ἡ δύναμις, πρόεισι γὰρ ἐπὶ τὰ πράγματα μεταβαίνουσα τῶν λεγομένων ἡ δήλωσις, οὕτως οὐδὲ ἐπὶ τῶν θεωμένων τὰ ἱστορούμενα, μέχρι τῆς ὁρατικῆς δυνάμεως τὰς ὄψεις ἵστησι· μετήγαγε γὰρ ἢ ἀνήγαγεν εὐθὺς τῶν φαινομένων ἡ ἔντευξις τοῦ ἐντυγχάνοντος τὸν νοῦν ἐπὶ τὰ ὑπερκείμενα ἢ προηγούμενα, οὐ συγχωροῦντα τοῖς συμβόλοις τὴν ἱερὰν ἐναναπαύειν ἐνέργειαν· ἀπὸ δὲ τῶν αἰσθητῶν τούτων καὶ συγγενῶν καὶ συντρόφων, ἐπὶ τὰ νοούμενα καὶ ἀπ' αὐτῶν παραδηλούμενα, προάγοντα ἢ ἀναφέροντα· διὸ καὶ ὡς αὐτά τις ἐνορῶν τὰ πράγματα, διὰ τούτων προσεπεκτείνεται, καὶ ὡς παροῦσι διὰ τῶν συμβόλων συγγίνεται, καὶ κατανύττεται καὶ ἀγαθύνεται, καὶ θυμηδίας ἐμπίμπλαται, καὶ παρακαλεῖται τὴν ψυχὴν, καὶ κρείττονος ἢ πρὶν, οἴεται εἶναι ἕξεώς τε καὶ καταστάσεως.

ξγ. Εἰς συνηγορίαν οὖν τοῦ εὐαγγελικοῦ λόγου τὸ ἐξ ἀρχῆς παραδέδοται, καὶ παρὰ τῶν τῆς αὐτῆς θρησκείας καὶ πίστεως, χριστιανῶν φημὶ, οὕτω τῆς θείας οἰκονομησάσης ἐπιπνοίας καὶ χάριτος, ἵνα ἑκάτερον διὰ θατέρου συνιστῆται βεβαιούμενον· ἀλλήλων γὰρ ἔχονται, καὶ ὡς ἐκ μιᾶς ἀρχῆς προϊόντα, τὸ παρ' ἑαυτοῖς ἑκάστοτε χρήσιμόν τε καὶ ἐπωφελὲς παριστάνουσιν· ἔοικεν οὖν κατ' οὐδὲν ὁ τοῦ εὐαγγελίου λόγος, τοὺς ἀνοήτους τούτους ὠφεληκέναι· ἢ γὰρ ἂν καρπὸς εὐπειθείας καὶ συνέσεως ἐν αὐτοῖς εὕρητο, ὡς λόγος δὲ μόνον ἁπλῶς ταῖς ἀκοαῖς αὐτῶν προσπεσὼν καὶ μικρὰ περισάνας, ὁμοῦ τῷ πληγέντι ἀέρι συνδιαλύεται, οὐκ εἰς βάθος καρδίας διϊκνούμενος καὶ εἰσδυόμενος, οὐδὲ πλαξὶ διανοίας ἐντυπούμενος· μάτην λοιπὸν αὐτοῖς διαπρεσβεύεται ἢ ἐπιπεφήμισται τὸ εὐαγγέλιον, μᾶλλον δὲ τῶν εὐαγγελικῶν δογμάτων ἔνοχοι γενόμενοι, τὴν ἐντεῦθεν ἐπηρτημένην οὐκ ἐκφεύξονται δίκην· πεφώρανται γὰρ πανταχόθεν καθαιρέται τοῦ εὐαγγελίου τυγχάνοντες· τούτου δὲ τί ἂν γένοιτο ἀσεβέστερον ἢ ἀθεώτερον; οὕτω τοίνυν δρῶντες, δῆλοι εἰσὶ τὴν εἰς Χριστὸν καὶ τοὺς ἁγίους νοσοῦντες ἀπέχθειαν, ἄσπονδον καὶ ἀκατάλλακτον τὴν πρὸς αὐτοὺς ἀνελόμενοι μάχην· καὶ τοῦτο παντὶ τῷ καὶ κατὰ μικρὸν γοῦν σωφρονεῖν ἐθέλοντι συνωμολόγηται· καὶ γὰρ δυσχεραίνοντες καὶ ἀλύοντες, καὶ ἐπ' αὐτῇ δὲ μόνῃ τῇ τούτων μνήμῃ, εἴ που ἴδοιεν αὐτῶν γραφὴν καὶ ἀφομοίωσιν· ἐπεὶ ἴσασι καὶ αὐτοὶ ὅτι τὰ εἰς αὐτὰ δρώμενα, ἐπὶ τὰ εἰκονιζόμενα φέρεται· ὥσπερ δὴ καὶ τῶν θεωμένων ὁ νοῦς, πρὸς τὰ ἐνσημαινόμενα ἀπερείδεται· καὶ οὐκ ἂν ἐβδελύσσοντο οὐκ ἂν καθήρουν, εἰ μὴ πρὸς τὰ ἀρχέτυπα διεφέροντο, κἀκείνοις τῆς ὠφελείας ἐβάσκαινον· διαγωνίζονται γὰρ, ὡς οἷοί τέ εἰσι, πάντα λίθον κινοῦντες, ὃ δὴ λέγεται, καὶ πάντα πόρον ἐκμηχανώμενοι, ταύτην ἐκ ποδῶν ποιεῖσθαι· ἐπειδὴ ταῖς ἀληθείαις βαρύς ἐστιν αὐτοῖς ὁ Χριστὸς καὶ ἐν εἰκόνι βλεπόμενος· τὸ γὰρ ὑπ' ὄψιν ἔχειν καὶ καθορᾶν τό γε ἅπαξ

ἀπηχθημένον, εἰς ἀνάμνησίν τε ἰέναι τοῦ ἀπ' αὐτοῦ δηλουμένου, βαρὺ τῷ ὄντι ἐστὶ, καὶ διὰ τοῦτο περισπούδαστος αὐτοῦ, οἷα λυποῦντος, ἡ ἀπαλλαγή.

Καὶ τούτων ἐκεῖναί εἰσιν αἱ φωναὶ, διαῤῥήδην μονονουχὶ διακεκραγότων· " ἐνεδρεύσωμεν τὸν δίκαιον ὅτι δύσχρηστος ἡμῖν ἐστι, καὶ ἐναντιοῦται τοῖς „ ἔργοις ἡμῶν, καὶ ὀνειδίζει ἡμῖν ἁμαρτήματα νόμου· ἐπιφημίζει ἡμῖν ἁμαρ- „ τήματα παιδείας ἡμῶν· ἐπαγγέλλεται γνῶσιν ἔχειν θεοῦ, καὶ παῖδα κυρίου „ ἑαυτὸν ὀνομάζει· ἐγένετο ἡμῖν εἰς ἔλεγχον ἐννοιῶν ἡμῶν· βαρὺς ἡμῖν ἐστι „ καὶ βλεπόμενος· ὅτι ἀνόμοιος τοῖς ἄλλοις ὁ βίος αὐτοῦ, καὶ ἐξηλλαγμέναι „ αἱ τρίβοι αὐτοῦ· εἰς κίβδηλον ἐλογίσθημεν αὐτῷ, καὶ ἀπέχεται τῶν ὁδῶν „ ἡμῶν ὡς ἀπὸ ἀκαθαρσιῶν· μακαρίζει ἔσχατα δικαίων, καὶ ἀλαζονεύεται πα- „ τέρα θεόν· εἴδωμεν εἰ οἱ λόγοι αὐτοῦ ἀληθεῖς εἰσι, καὶ πειράσωμεν τὰ ἐν „ ἐκβάσει αὐτοῦ· εἰ γάρ ἐστιν ὁ δίκαιος υἱὸς θεοῦ, ἀντιλήψεται αὐτοῦ, καὶ „ ῥύσεται αὐτὸν ἐκ χειρὸς ἀνθεστηκότων· ὕβρει καὶ βασάνῳ ἐξετάσωμεν αὐ- „ τὸν, ἵνα γνῶμεν τὴν ἐπιείκειαν αὐτοῦ, δοκιμάσωμεν τὴν ἀνεξικακίαν αὐτοῦ· „ θανάτῳ ἀσχήμονι καταδικάσωμεν αὐτόν· ἔσται γὰρ αὐτῷ ἐπισκοπὴ ἐκ λό- „ γων αὐτοῦ. „ Ταῦτα ἐλογίσαντο καὶ ἐπλανήθησαν· ἀπετύφλωσε γὰρ αὐτοὺς ἡ κακία αὐτῶν, καὶ οὐκ ἔγνωσαν μυστήρια θεοῦ, οὐδὲ μισθὸν ἠγάπησαν ὁσιότητος· " οὐδὲ ἔκριναν γέρας ψυχῶν ἀμώμων· ὅτι ὁ θεὸς ἔκτισε τὸν ἄνθρωπον „ ἐπ' ἀφθαρσίᾳ, καὶ εἰκόνα τῆς ἰδίας ἀϊδιότητος ἐποίησεν αὐτόν· „ ταῦτα τίνες οἱ τοῦ νέου ἑλληνισμοῦ, καὶ τὴν τῶν πρὶν ἰουδαίων παρανομίαν ἐζηλωκότες, καὶ φιλονεικοῦντες ἐκείνων χαλεπώτερα καὶ δυσαχθέστερα εἰς τὸν δίκαιον διαθήσειν ἀδικώτατα, μίσει τῷ εἰς αὐτὸν τὴν ψυχὴν ἐξοιδαίνοντες, μᾶλλον δὲ αὐτόχρημα ἰουδαῖοι διὰ τῶν ἔργων αὐτῶν ἀναδεικνύμενοι· ἐπεὶ οὖν δίκαιος καὶ ὅσιος ὁ κύριος, δικαιότερον ἂν εἴη λέγειν ὡς εἰς Χριστὸν ταῦτα δικαίως καὶ ὡς οὐκ ἂν ἄλλως εἰπεῖν ἔξεστιν ἀναφέρεται· αὐτὸς γάρ ἐστιν ὁ τῶν δικαίων στηριγμὸς καθ' ἃ γέγραπται, καὶ κεφαλὴ καὶ ἀπαρχὴ παντὸς δικαίου, καὶ πάσης δικαιοσύνης πηγὴ, καὶ παντὸς ἁγιασμοῦ χορηγὸς, " ὃς ἐφανερώθη ἡμῖν „ ἀπὸ θεοῦ πατρὸς, δικαιοσύνη καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις. „

Ταῦτα τῶν πάλαι σοφῶν τις, τὴν εἰς τὸν κύριον ἡμῶν καὶ θεὸν ἐσομένην παρ' αὐτῶν βασκανίαν καὶ λύτταν πόῤῥωθεν ἀναθεωρῶν, ἅ τε διορατικώτατος, καὶ τὸ εἰς σύνεσιν καὶ νῆψιν δεδεγμένος ὀξύῤῥοπον ἄνωθεν, προανεκρούσατο εὐστόχως τε καὶ ἀπεξεσμένως, στηλιτεύων αὐτῶν τὴν τῆς κακίας ὑπερβολήν· τί δὲ οὐκ ἔμελλον δράσειν οἱ τάλανες, τῶν εἰς φαυλότητος τρόπον καὶ μοχθηρίας ἡκόντων, τοῦ θείου φόβου καὶ τῆς εἰς θεὸν εὐσεβείας παντάπασιν ἠφειδηκότες καὶ ἀλογήσαντες; ὥστε ἐναργὲς ἐκ τῶν παρόντων καθίστασθαι, ὡς εἴπερ αὐτοῖς ἐφεῖτο ἐνακμάσαι καθ' ὃν χρόνον ὁ Χριστὸς ἐνηνθρωπηκὼς τοῖς ἐπὶ γῆς κατὰ σάρκα ὀπτανόμενος συνεπολιτεύσατο, πολλῷ τῶν τηνικαῦτα ἰουδαίων ἐκτοπώτερα εἰς αὐτὸν διαπεπραχέναι καὶ ἀπευκτότερα· ἀλλ' ἐπεὶ περὶ αὐτὸν οὕτως καταπράξασθαι τοῦ χρόνου μὴ ἐνδόντος διημαρτήκασι, κατὰ τῆς εἰκόνος ἐκχέουσι τὰς ὀργὰς καὶ τὰς μήνιδας· καθ' ἧς ἐπι-

λυττήσαντες τὰ τῆς ἀθεμιτουργίας ἐνδείκνυνται· καί μοι δοκοῦσιν εὐθαρσῶς ἄγαν διακεκράξασθαι, ὡς εἴ γε τοὺς τῶν πατέρων κατειλήφαμεν χρόνους, ἀπεπλήσαμεν ἂν ἅπερ αὐτοὶ παραλελοίπασι, τὸ μὲν γενναῖον ἡμῶν καὶ εὐσθενὲς τῆς εἰς τὸν δίκαιον τιμωρίας ἀνδρείως διαδεικνύντες, τὸ δὲ ἀσθενὲς ἐκείνων καὶ ἄναλκι διελέγχοντες· αὐστηροτέραις αἰκίαις καὶ ὕβρεσιν αὐτὸν μετερχόμενοι, ὥστε καὶ διαμωμεῖσθαι τῆς ἀδρανείας αὐτοὺς, καὶ ῥαθυμίας προσεπάγειν ἐπίκλημα, ὡς ἢ οὐδὲν ὅλως ἢ μικρὰ εἰς αὐτὸν δεδρακόσι· διὸ καὶ νῦν καιρὸς τὸν μαστιγούμενον καὶ ὑβριζόμενον λέγειν πρὸς αὐτούς· " ὅτι υἱοὶ ἐστὲ τῶν φο-
„ νευτῶν, καὶ ὑμεῖς ἀναπληρώσατε τὸ μέτρον τῶν πατέρων ὑμῶν. „

ξδ. Αὐτῶν δὲ λεγόντων ἀκούειν, τὸ εἰς Χριστὸν ἔχθος ὠδινόντων· βαρὺς ἡμῖν ἐστιν ὁ Χριστὸς καὶ ἐν εἰκόνι βλεπόμενος· τίσι τούτους ἀπεικαστέον; φασὶ τὰς παρδάλεις φυσικήν τινα ἔχειν πρὸς τὸν ἄνθρωπον ὀργὴν, καὶ ὡς πεφύκασι μάλιστα τοῖς ὀφθαλμοῖς τῶν ἀνθρώπων ἐφάλλεσθαι· οἱ τοίνυν καταπαίζοντες τῆς μανίας τοῦ θηρίου, ἐν χάρτῃ εἰκόνα προδεικνύουσιν ὡς ἄνθρωπον· τὸ δὲ ὑπὸ τῆς ἄγαν ὁρμῆς, ὡς ἄνθρωπον σπαράσσει τὸν χάρτην, κἀκεῖ δείκνυσι τὸ μισάνθρωπον· ὡσαύτως καὶ οὗτοι, ἐν τῇ εἰκόνι Χριστοῦ τὸ μισόχριστον ἐπιδείκνυνται· ἐπειδὴ γὰρ προσψαῦσαι αὐτοῦ τῷ μὴ παρεῖναι σωματικῶς οὐκ ἰσχύουσιν, ἔχθει τῷ εἰς αὐτὸν ἐπὶ τὴν εἰκόνα παρδάλεως δίκην ἐφάλλονται σπαράσσοντές τε καὶ διαφθείροντες· ὥστε ἡ κατὰ τῶν ὁμοιωμάτων αὐτοῦ μανία, ἀπόδειξιν ἔχει τοῦ θεομάχους αὐτοὺς εἶναι, καὶ κατὰ Χριστοῦ ἐπανῃρῆσθαι τὸν πόλεμον· οὕτω μὲν οὖν τὰ Χριστοῦ καὶ χριστιανῶν ἐξουδένωται παρ᾽ αὐτοῖς καὶ κατέστραπται, ἔθη τὲ καὶ νόμοι καὶ μυστήρια, καὶ ἡ ἄνωθεν κεκρατηκυῖα παρὰ χριστιανοῖς παράδοσις, καὶ ἀρχαιότητι διαφέρουσα, καὶ διὰ τοῦτο τὸ αἰδέσιμον παρὰ τῶν εὖ φρονούντων ἔχουσα· ἀλλὰ τίς τῶν ἐπιεικῶν καὶ φιλοθέων καὶ εὐσεβείᾳ τεθραμμένων, οὐ μέγα κατοιμώξειε καὶ θρηνήσειεν; ὁπόταν τοὺς ἱεροὺς οἴκους, καὶ τὰ θεῖα θυσιαστήρια ὁρᾷ καθυβριζόμενα καὶ διορυττόμενα, καὶ τὸν ἑαυτῶν ἀποβάλλοντα κόσμον· θυσιαστήρια ἠτιμωμένα καὶ καταβεβλημένα, καὶ χερσὶ βεβήλοις καταχραινόμενα, καὶ γλώσσαις θεομάχοις αἰσχρῶς δυσφημούμενα· καὶ ὡς ἄν τις ἴδοι ἐπ᾽ εὐθαλοῦς καὶ χλοαζούσης καὶ διωραϊσμένης πόας τὸ διηνθισμένον καὶ εὔχαρι τῆς κόμης ἀποκειραμένης, ἢ τῶν κατ᾽ ἀνθηροὺς λειμῶνας βρυόντων τὸ εὔχρουν καὶ πολυειδὲς τῆς ποικιλίας τῶν ἀνθοφορούντων τοῖς δρεψαμένοις περικεκομμένον, οὕτω κἀνταῦθα θεάσοιτο σὺν τῷ κόσμῳ, καὶ τὸν ἐν αὐτοῖς ὑφεξαιρούμενον λόγον τὲ καὶ τὴν μνήμην· " ναοῦ γὰρ λόγος οὐδεὶς, ὃν οὐ στέφει ἄγαλμα· „ ὥς τις τῶν πάλαι ἱερῶν Ἰσιδώρου. καὶ φιλοθέων ἀνδρῶν ἔφησεν· ὥστε οὐκ ἄν τις ἀπεικὸς ἀποφαίνοιτο, ὅτι γε λόγος ταῦτα τοῖς ἱεροῖς ναοῖς, καὶ τὸ ἰδιαίτατον, καὶ καθάπερ αἱ θυσίαι καὶ προσευχαὶ καὶ τὰ ἐπ᾽ αὐτοῖς πάντα τελούμενα· ἀλλὰ τούτων μὴ ἄλλός τις ἢ ὁ ἱεροψάλτης κατευχέσθω, λέγων· " κύριε ἐν τῇ πόλει σου, τὴν ἄνω Ἱερουσα-
„ λὴμ ἐμφανίζων, τὴν εἰκόνα αὐτῶν, ἤτοι τὴν μνήμην αὐτῶν, ἐξουδενώσεις· „
ἐπειδὴ τὴν σὴν εἰκόνα καὶ μνήμην, ἐκ τῶν σῶν οἴκων καὶ τῆς σῆς πολιτείας

ἐξαφανίσαι διεσπούδασαν· προσαδέτω δὲ αὐτὸς τὰς ἡμετέρας καὶ νῦν ἐφ' ἡμῶν ἐφεστηκυίας ἐκτραγῳδῶν συμφοράς· " ὁ Θεὸς, ἤλθοσαν οὐκ ἔθνη μὲν εἰς τὴν „ κληρονομίαν σου „ ἀλλ' οἵ γε τῶν ἐθνῶν ἀσυνετώτεροί τε καὶ δυσμενέστεροι, καὶ τῇ κατὰ τῶν ἁγίων σου κακουργίᾳ παρελάσαι τούτους σπουδάζοντες· ὡς ἐν προσχήματι μὲν ἱερωσύνης ἔχοντες τὸ φαινόμενον, κωδίῳ δὲ τὸν λύκον ἐγκατακρύπτοντες· " ἐμίαναν τὸν ναὸν τὸν ἅγιόν σου, καὶ τὰ θυσιαστήριά σου, „ κύριε τῶν δυνάμεων, ἀκοσμίας καὶ ἀτιμίας ἐπλήρωσαν. „

ξε. Ἀλλ' ἴδωμεν, εἰ δοκεῖ, τίς αὐτοῖς ὁ ἐπὶ τῷδε λόγος; καὶ τί ποτέ ἐστι τὸ αἴτιον, ἐπὶ τοσοῦτον αὐτοὺς ἀνοσιουργίας καὶ ἀφιλοθεΐας ἐξοίχεσθαι· φασὶ γοῦν αὐτοὶ ἀλλοτρίοις θεοῖς προσκεκυνηκέναι, εἰδωλολατρίαν ἑαυτῶν καταψηφισάμενοι· εἶτα ὥσπερ παλινῳδίαν ποιούμενοι τῷ δόξαι γνωσιμαχῆσαι, ἐφ' οἷς πρότερον κακῶς διαπεπράχασι, καὶ ταύτῃ οἴεσθαι τὸ αἰσχρὸν καὶ ἐπισφαλὲς ἀποπέμπεσθαι, τολμῶσιν ἃ οὐδ' ἂν οἱ ἐξεστηκότες παραφθέγγεσθαι· δόξαν καὶ τιμὴν μᾶλλον τοῖς οἴκοις τοῖς ἱεροῖς ἐντεῦθεν περιποιεῖσθαι, οἷα εἰδώλων καθαίρεσιν ἐργαζόμενοι, καὶ τὸ ἐν αὐτοῖς αἶσχος ἀποξέοντες ἤδη καὶ ἐκκαθαίροντες, κακῷ τὸ κακὸν ὄντως ἐξιώμενοι, καὶ μείζονι ἢ πρότερον κακίας ὀλισθήματι περιπίπτοντες· ὡς γὰρ πᾶς ὁ ἀδικῶν εἰς ἀπολογίαν ἕτοιμος, οὕτω καὶ πᾶς ὁ ἀσεβῶν, εἰς δικαιολογίαν πρόχειρος· ἐπιεικείας γὰρ ὑποδύντες προσωπεῖον, τὸ τῆς ἀσεβείας παρεγύμνωσαν πρόσωπον, κατὰ τῆς εὐαγοῦς ἡμῶν θρησκείας ἀποδυσάμενοι· λανθάνειν γὰρ τοὺς πολλοὺς μηχανῶνται, ὡς τοῦ βλάπτοντος τὴν δόξαν ἀποσείονται, οὐκ εἰδότες ὡς βαρυτέραις καὶ πικροτέραις ἑαυτοὺς ὑπάγουσι δίκαις· εἴποι ἄν τις τῶν παρ' αὐτοῖς μετριωτέρων εἰς ἀσέβειαν, εὐάφορμόν τε καὶ εὐπρόσωπον τὴν ἀπολογίαν πλαττόμενος. Ὡς ἐκ μέσου ποιεῖν σπουδάζομεν τὸ τῶν εἰκόνων χρῆμα, ὅπως μή τινες τῶν ἁπλουστέρων καὶ ἀγροικοτέρων τὸ δέον ἀγνοοῦντες ὡς ἀμαθέστεροι, ἶσα θεοῖς ταύταις προσίοιεν, πρὸς τὴν ὕλην τὴν ἄψυχον ἀποπλανώμενοι, καὶ μέχρι ταύτης τὸν νοῦν ἱστάμενοι, καὶ οὐδὲν ὑπὲρ τὰ ὁρώμενα φανταζόμενοι. Πρὸς ὃν φαῖεν ἂν οἱ τῆς εὐσεβείας ὑπέρμαχοι· ὡς εἰ μὲν σεμνῶς περιέστελλες, καὶ τῷ ἀνήκοντι τρόπῳ ἀπήμαντα διετήρεις τὰ ἅγια, εἶχεν ἄν σοι πωσῶς τὸ πιθανὸν ὁ λόγος· ἐχρῆν δὲ καὶ διδάξαι καὶ χειραγωγῆσαι τοὺς ἀμαθαίνοντας, ὥστε τὴν δέουσαν προσνέμειν τιμὴν, καὶ μὴ πέρα τοῦ ἐφαρμόζοντος ἀξιώματος ἀποφέρεσθαι· ἀλλ' οὐδέν σοι τούτων διαπεπραγμάτευται· εἰ γὰρ ἑώρας οὐκ εὐπρεπῶς τιμώμενα, ἔδει σε τὸ εἰκὸς ποιοῦντα τιμῆσαι· οὐ γὰρ παρὰ τὸ κακῶς τοὺς ἀμαθεῖς, ἵνα καὶ τοῦτο συγχωρηθείη, τοῖς ἱεροῖς προσιέναι, ταῦτα ἠτιμῶσθαι δίκαιον· οὐδὲ γὰρ ἐπειδὴ τινὲς οὐρανόν τε καὶ τὰ καθ' οὐρανὸν κακῶς ἐσεβάσθησαν, τῷ κτίστῃ κατεξανιστάντες τὴν κτίσιν, διὰ τοῦτο ἀτιμαστέον τὰ τοῦ θεοῦ ποιήματα· ἀλλ' ὑβρίζεις αἰσχρῶς, συγκλῶν καὶ διαῤῥηγνὺς καὶ ὑπὸ πόδας τιθεὶς τὰ σεβάσμια· οὐκ ἐμπίμπρασαι τὴν ψυχὴν, πυρὶ παραδιδούς; οὐ συμφλέγῃ καὶ κατατήκῃ τὸν νοῦν; καὶ χεῖρας ἀθέσμως προτείνων ἐπὶ τὸ θυσιαστήριον οὐ καταναρκᾷς; ὑφ' ὧν ἐληλεγμένος εἶ, ὡς εἰς ἑαυτὸν ἐπανήκεις,

καὶ ὡς κύων ἐπὶ τὸν ἴδιον ἔμετον ἐπιστρέφῃ τῆς ἀθεΐας· καὶ ὁ μὲν τῆς ἐκείνων σκαιότητος καὶ ματαιότητος τρόπος τοιοῦτος.

ξϛ. Ὁ δέ γε τῆς ἀληθείας λόγος φωτὶ ὁμοίως τοῖς ἐχέφροσι διαλάμπει· τὰ γὰρ σεμνὰ ἀπεικάσματα, δι' ὧν αἱ μνῆμαι τῶν ἁγίων ἡμῖν ἐγγίνονται, ἱερά τέ εἰσι, καὶ τοὺς τὰ ἅγια περιέποντας ὀνίνησι, καὶ χάριτος ἀναπιμπλᾶσιν· ὥσπερ καὶ τῶν ἐναγῶν, ἐναγῆ καὶ ἄγους ἀποπληροῦντα· ἐπίσης γὰρ αὐτοῖς τὰ τοῦ πράγματος ἔχει· τιμῶσι τοιγαροῦν τοὺς θείους οἴκους, οὐκ αἴσχους ἀποπληροῦσι, καθάπέρ τινι τῶν θεολόγων πατέρων ἡμῶν πεφιλοσόφηται ἐνθεέστατά τε καὶ ὑψηλότατα· εἰς ὅσον δὲ παρανομίας καὶ ἀτοπίας ὁ λόγος αὐτῶν καὶ τὸ ἐγχείρημα αἴρεται, καὶ ἐντεῦθεν κατάφωρον ποιησόμεθα· ἐκεῖνο πρῶτον ἐπελθόντες τῷ λόγῳ, ὅπερ οὐδ' αὐτοὶ, ὥς γε οἶμαι, ἀρνηθεῖεν, εἰ μὴ ὁλοτρόπως καὶ φρενὸς καὶ νοῦ τοῦ καθήκοντος πόῤῥω γεγόνασι· φαμὲν τοίνυν ὡς ὁ κατὰ Μωσέα νόμος δέδοται παρὰ θεοῦ τοῖς ἀνθρώποις, οἱονεὶ φραγμοῦ μεσότοιχον παρεμπεσὼν, διείργων καὶ διορίζων τὰ πάντη διῳκισμένα καὶ εἰς ἄπειρον ἀφεστηκότα, καὶ ἀπὸ μὲν τῶν χειρόνων καὶ βλαβερῶν τῆς τῶν ψευδωνύμων θεῶν βδελυρίας καὶ ματαιότητος ἀπείργων, μετανιστὰς δὲ καὶ μετάγων ἐπὶ τὰ κρείττω καὶ ἀσυγκρίτως ὑψηλότερα, τὴν τοῦ ὄντως ὄντος θεοῦ ἐπίγνωσιν εἰσηγούμενος· ἐφιεὶς δὲ τέως τοῖς τὸ τηνικάδε τὰς τῶν ἀλόγων ζώων θυσίας, διὰ τὸ τῶν νομοθετουμένων ἀσθενὲς, καὶ ἀεὶ πρὸς τὸ χεῖρον ἐπιῤῥεπὲς, καὶ πρὸς τὸ ζωοθυτεῖν πάλαι προειθισμένον, ἐκεῖθέν τε μεταῤῥυθμίζων ἐπὶ τὸ εὐπειθὲς καὶ εὐήνιον, ἵνα κατὰ βραχὺ πρὸς τὴν τῶν τελεωτέρων ἕξιν κατεθιζόμενοι, μετανασταῖεν ἐπὶ τὸ ἄμεινόν τε καὶ θεοειδέστερον.

Ἀλλ' ἐπεὶ ὁ νόμος οὐδὲν ἐτελείωσεν, ὀργὴν δὲ μᾶλλον τῷ παραβεβάσθαι κατειργάζετο, οὐ διὰ τὸ φορτικὸν τῶν νομιζομένων, διὰ τὸ μοχθηρὸν δὲ τῶν παραβαινόντων, ἠσθένει γὰρ διότι πάντες ὑφ' ἁμαρτίαν ὄντες ἐτύγχανον, προήγετο δὲ πρὸς τὴν τῆς ἁμαρτίας διάγνωσιν, ἐξ οὗ ἠλέγχετο τὸ ἀσθενὲς τῆς φύσεως, καὶ τὸ πρὸς κακίαν εὐόλισθον· ἐδεῖτο λοιπὸν τοῦ τελειοῦντος καὶ μετάγοντος ἐπὶ τὸ βέλτιον· τοιγάρτοι τὸ ἀδύνατον τοῦ νόμου ἐν ᾧ ἠσθένει, ὁ θεὸς τὸν ἑαυτοῦ υἱὸν πέμψας, κατέκρινε τὴν ἁμαρτίαν· δεδικαιώμεθα γὰρ ἐν Χριστῷ διὰ πίστεως· τοῦτο γὰρ ἐτελείωσεν ἡ χάρις καταπεφοιτηκότος ἐπὶ τῆς γῆς τοῦ λόγου, καὶ διὰ σαρκὸς ἀνθρώποις προσομιλήσαντος· ἐντεῦθεν ἄρα λελυτρώμεθα τῆς ἁμαρτίας, καὶ πάσης σατανικῆς πλάνης καὶ μεθοδείας ἀπηλλάγμεθα, καὶ ἠλευθερώμεθα τοῦ προσκυνεῖν τῇ κτίσει παρὰ τὸν κτίσαντα, αὐτῷ δὲ μόνῳ τῷ τῶν ὅλων θεῷ προσκυνεῖν δεδιδάγμεθα, καὶ τῷ πρέπον αὐτῷ προσφέρειν σέβας καὶ τὴν λατρείαν· οὐκοῦν ἡ ἐν Χριστῷ χάρις, τὴν εἰς εὐσέβειαν ἡμῖν τελειότητα καὶ ἀπαρτισμὸν ἐκαινοποίησε, τὸ ἐλλελοιπὸς ἀποπληροῦσα τοῦ νόμου· "οὐκ ἦλθον γάρ, φησιν ὁ Χριστὸς, καταλῦσαι τὸν νόμον, ἀλλὰ πληρῶσαι·" τὸ δὲ τελειοῦν ὅσον πρὸς τὸν τελειούμενον ὑπερέξει, παντί που δῆλον· ὅτι χωρὶς πάσης ἀντιλογίας, τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται, καὶ τῶν ἐν αὐτοῖς διακονησαμένων τὸ ἐν ἀξιώματι διενεγκόν·

καθ' ὅσον ὁ ποιητὴς τοῦ ποιήματος, ἢ ὁ κατασκευάσας τοῦ οἴκου, καὶ ὁ κεραμεὺς τοῦ πηλοῦ· " ὅτι ὁ νόμος διὰ Μωσέως ἐδόθη, ἡ χάρις καὶ ἡ ἀλήθεια „ διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο· „ ὃς ἡμᾶς ἐτεκνώσατο, οὐκ ἐξ αἱμάτων καὶ σαρκὸς θελήματος, ἀλλ' ἐκ Θεοῦ γεννηθέντας ἐν πνεύματι, Ἰωάννης βοάτω ἡ μεγάλη τῆς ἀληθείας φωνή.

ξζ. Πρὸς οὖν τί ταῦτα φαμέν; ὅτι εἰ ὁ νόμος ἅγιος κατὰ τὴν Παύλου θεορημοσύνην, καὶ ἡ ἐντολὴ ἁγία, ἃ πολλῷ τῆς χάριτος ὁρᾶται καταδεέστερα, ἡ χάρις αὐτὴ πόσον; καὶ εἰ ὁ νόμος τῆς εἰδωλολατρίας ὑπερανῴκισται, ἡ χάρις ἡ παρὰ πολὺ τοῦ νόμου ὑπερανεστηκυῖα, πῶς εἰς εἰδωλολατρίαν παρενεχθήσεται; πῶς δὲ οἱ τῆς υἱοθεσίας τὴν χάριν ἐπ' ἐξουσίας εἰληφότες, εἰδωλολατρίας γραφὴν ἀποίσονται; οὐκ ἠβουλήθησαν οἱ ἀνόητοι συνιέναι τοῦ ἀγαθῦναι· ἀλλά μοι ἐοίκασι παραπλήσιόν τι ποιεῖν, καθάπερ εἴ τις περὶ τῶν ἐγκοσμίων διαλαμβάνων στοιχείων, ὁμολογοίη μὲν τἀληθὲς, τό τε πῦρ καὶ τὸ ὕδωρ ἄκρα τιθεὶς καὶ ἀντικείμενα ταῖς ποιότησι· καὶ τῷ μὲν τὸ θερμὸν καὶ ξηρὸν ἐκνέμων, τῷ δὲ τὸ ψυχρὸν καὶ ὑγρὸν ἀποκληρῶν· μέσον δὲ τούτων ἑκατέρου τῶν ἄκρων ἀνὰ μέρος μετέχοντα τὸν ἀέρα εἰσαγηοχὼς, θερμόν γε ὄντα καὶ ὑγρόν· ἔπειτα ἐξετάζειν αὐτῶν οἰόμενος τὰς ποιότητας, καθ' ἅς τε κοινωνοῦσιν ἀλλήλοις ἢ διακέκρινται, συλλογίζοιτο ἀμαθῶς καὶ ἀπαιδεύτως, μὴ τὸ ἑκάστῳ προσὸν φυσικῶς ἀποδιδοὺς, ἀλλ' εἰς ἓν καὶ ταὐτὸν ἄγων τὰ πάντη ἀμιγῆ καὶ ἀσυνδύαστα, καὶ τὰ θατέρῳ τῶν ἄκρων ἀφωρισμένως ἐνυπάρχοντα, ἐπὶ τὸ ἕτερον τούτων μετάγων· ὑπερόρια θέων τοῦ μεσιτεύοντος, τὰς τοῦ πυρὸς ποιότητας τῷ ὕδατι διδοὺς, θερμὸν καὶ ξηρὸν τὸ ὕδωρ εἶναι δοξάζων· ἐπεὶ οὖν ὁ ταῦτα ποιῶν καταγέλαστος, ἐπὶ τῷ προφανεῖ τῆς αἰσθήσεως ἀποσφαλλόμενος, οἱ ἐπὶ τῆς θείας χάριτος εἰδωλολατρίαν εἰσηγούμενοι, πόσῳ καταγελαστότεροι, μᾶλλον δὲ πόσης δυσσεβείας καὶ ἀθεΐας οὐκ ἔμπλεοι δικαίως ἂν νομισθήσωνται, οὐκ εἰς τὸ τυχὸν τῶν πραγμάτων, περὶ αὐτὸ δὲ τὸ καιριώτατον καὶ μεθ' ὃ οὐκ ἔστι τῶν ὄντων ὑπερφερέστερον, τὴν εὐαγῆ καὶ ἀκίβδηλον ἡμῶν θρησκείαν προσπταίοντες; ἀλλ' ὦ θεία δίκη ἀλάθητε καὶ ἀδέκαστε καὶ παντέφορε, καὶ πάντα ἐποπτεύουσα ὁρατὰ καὶ νοούμενα· ὦ βυθὸς κριμάτων θείων ἀνέκφραστος· ὦ Θεοῦ μακροθυμία καὶ ἀνοχὴ ἀνεξερεύνητος· ποῦ ποτε ἄρα τὴν κατὰ τῶν ἀσεβῶν ὀργὴν ταμιευομένη τὰ νῦν ὑπερτίθεσαι; πότε δὲ τῶν πεπλημμελημένων εἰς σὲ παρ' αὐτῶν μετέλθοις δικάζουσα τὰ τολμήματα;

ξη. Ἄκουε οὐρανὲ, καὶ ἐνωτίζου ἡ γῆ, καὶ ἡ κτίσις ἡ σύμπασα πρόσεχε· ὁ νόμος ἅγιος, καὶ ἡ ἐντολὴ ἁγία καὶ δικαία καὶ ἀγαθή· καλῶς· ἀλλ' εἴ γε ταῦτα ἅγια, τά γε ἀμυδρότερόν πως καὶ μετριώτερον, καὶ ὡς ὑπὸ παραπετάσματι τῷ γράμματι καὶ ταῖς σκιαῖς τὴν θείαν γνῶσιν ἡμῖν ὑποφαίνοντα, ἡ χάρις πόσον ἁγιωτέρα καὶ θεοειδεστέρα, ἡ διὰ τοῦ Θεοῦ λόγου εἰς ἡμᾶς γεγενημένη; ἀσυγκρίτως τὸ ὑπεραναβεβηκὸς τοῦ νόμου ἔχουσα ἐκτυπωτερόν τε καὶ ἐνθεέστερον, τὴν τῆς τριάδος ἡμῖν φανέρωσιν ἐν πνεύματι καὶ ἀληθείᾳ ἐκ-

παιδεύουσα, καὶ τὴν εἰς τὸν ἕνα καὶ μόνον Θεὸν ἀληθῆ καὶ εἰλικρινῆ μυοῦσα καὶ διατρανοῦσα γνῶσιν τὲ καὶ προσκύνησιν, ἀναγεννῶσα δὲ εἰς υἱοθεσίαν διὰ τοῦ πνεύματος κρείττονα, καὶ βασιλείας οὐρανῶν ἐλπίδα σαφῶς κατεπαγγέλλουσα· ἀλλ᾽ οἱ τῆς χάριτος ἐχθροὶ εἰδωλολατρίαν ταῦτα πάντα ἀπέφηναν· τοιαῦτα γὰρ τῆς ἐκείνων παρανομίας τὰ ἄτοπα· οὕτως εἰς ἀβούλητα καὶ μάταια ἐξ ἀθλίων σκεμμάτων κατενηνεγμένοι, λογισμοῦ τοῦ πρέποντος διαμαρτάνουσιν· ἔτι ὁ νόμος σκιὰν ἔχων τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων, κατ᾽ ἐνιαυτὸν ταῖς αὐταῖς θυσίαις ἃς προσφέρουσιν εἰς τὸ διηνεκὲς, οὐδέ ποτε δύναται τοὺς προσερχομένους τελειῶσαι· ἐπεὶ οὐκ ἂν ἐπαύσαντο προσφερόμεναι· ἀλλ᾽ ὁ νόμος ἅγιος, καὶ ταῦτα μὴ δυνάμενος τοὺς προσερχομένους τελειῶσαι· καὶ ἡ ἐντολὴ ἁγία, καίτοι σκιὰν εἶχε τῶν μελλόντων οὐκ αὐτὴν εἰκόνα τῶν πραγμάτων· αὐτὰ δὲ τὰ πράγματα ὧν ὁ νόμος σκιὰ, τουτέστιν ἡ χάρις καὶ ἡ ἀλήθεια, ἥ τις διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο, τί ἔσται, οἱ νέοι ἕλληνες γλωσσαλγείτωσαν· εἶτα ὁ νόμος οὐδὲν ἐτελείωσεν ἀλλ᾽ ἅγιος, Χριστὸς δὲ ὃς μιᾷ προσφορᾷ τετελείωκεν εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους, αὐτὸς γὰρ ὁ τῆς πίστεως ἡμῶν τελειωτὴς, εἰς ὃν ἀφορῶμεν, τί; οἱ ἀρτιφανεῖς ἰουδαῖοι ἀνασταυρούτωσαν.

Τὰ δὲ ἑξῆς ὁποῖα, σκοπήσωμεν· ἀλλ᾽ ἐπὶ τὰς Παύλου φωνὰς πάλιν ἡμῖν ἰτέον, καὶ ἡλίκον τῶν ἐν νόμῳ ἱερέων καὶ τῶν παρ᾽ αὐτοῖς ἱερευομένων, τὸ τῆς καθ᾽ ἡμᾶς λατρείας ὑπερτενές τε καὶ προφερέστατον, ὡς ἔνι μάλιστα κατ-αθρήσωμεν· " οἱ ἐν νόμῳ καθιστάμενοι ἱερεῖς, ἐπεὶ καὶ αὐτοὶ περιέκειντο ἀσθέ-„ νειαν ἄνθρωποί γε ὄντες, οὐχ᾽ ὑπὲρ τοῦ λαοῦ μόνου, ἤδη δὲ καὶ ὑπὲρ ἑαυ-„ τῶν τὰς νενομισμένας θυσίας προσέφερον· ὁ δὲ ἡμέτερος ἀρχιερεὺς καὶ ἀπό-„ στολος τῆς ὁμολογίας ἡμῶν, οὐκ ἔχει ἀνάγκην ὥσπερ ἐκεῖνοι, πρότερον καθ᾽ „ ἡμέραν ὑπὲρ τῶν ἰδίων ἁμαρτημάτων τοῦτο ποιεῖν, ἔπειτα τῶν τοῦ λαοῦ· „ τοῦτο γὰρ ἐποίησεν ἐφάπαξ ἑαυτὸν ἀνενέγκας, καὶ ἐκάθισεν ἐν δεξιᾷ τῆς „ μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς· πρόδρομος ὑπὲρ ἡμῶν εἰσελθὼν εἰς τὸ ἐσώ-„ τερον τοῦ καταπετάσματος, ἀρχιερεὺς εἰς τὸν αἰῶνα γενόμενος κατὰ τὴν „ τάξιν Μελχισεδέκ· καὶ οἱ μὲν πλείονες ὄντες ὑπῆρχον, τῷ τῷ θανάτῳ δια-„ κοπτομένους κωλύεσθαι διαμένειν· ὁ δέ γε διὰ τὸ μένειν εἰς τὸν αἰῶνα, „ ἀπαράβατον ἔχει τὴν ἱερωσύνην, ὅθεν σώζειν εἰς τὸ παντελὲς δύναται τοὺς „ προσερχομένους δι᾽ αὐτοῦ τῷ θεῷ· " καὶ οἱ μὲν ὑποδείγματι καὶ σκιᾷ τῶν „ ἐπουρανίων ἐλάτρευον, καὶ κατ᾽ ἐνιαυτὸν εἰσήρχοντο εἰς τὰ ἅγια ἐν αἵματι „ ἀλλοτρίῳ· ὁ δὲ διαφορωτέρας τετύχηκε λειτουργίας, ὅσῳ καὶ κρείττονος „ διαθήκης ἐστὶ μεσίτης, ἀρχιερεύς τε τῶν μελλόντων ἀγαθῶν, διὰ τῆς μεί-„ ζονος καὶ τελειοτέρας σκηνῆς οὐ χειροποιήτου, οὐδὲ δι᾽ αἵματος τράγων καὶ „ μόσχων, διὰ δὲ τοῦ ἰδίου αἵματος εἰσῆλθεν ἐφάπαξ εἰς τὰ ἅγια τῶν ἁγίων, „ αἰωνίαν λύτρωσιν εὑράμενος· „ ὁ αὐτὸς γὰρ ἦν καὶ ἱερεὺς καὶ ἱερεῖον· καὶ ταῦτα ἡμῖν ἀπεκάλυψε τὰ ἅγια, τὰς πύλας τὰς οὐρανίους ἅπασιν ἀνοιγνὺς, βατά τε καὶ εὐπρόσιτα καὶ εἰσιτητὰ ποιησάμενος.

Ὅσον οὖν τῶν προσώπων τὸ ἐξηλλαγμένον, Χριστοῦ τε καὶ τῶν περὶ τὸν Ἀαρὼν, τῶν πάντη διῳκισμένων· καὶ ὧν τὸ ἐν μέσῳ εἰς ἄπειρον ἐκβαῖνον καὶ ἀόριστον, καὶ τῶν θυσιῶν τὸ διάφορον· ἐκεῖ μὲν γὰρ ζώων ἀλόγων αἷμα εἰσενήνεκτο, ἐνταῦθα δὲ τοῦ ἀμώμου ἀμνοῦ τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου προσφέρεται· πρὸς δὲ, καὶ τῶν διαθηκῶν καὶ τῆς σκηνῆς τὸ διεστηκός· τὰ μὲν γὰρ χειροποίητά τε ἦν καὶ πρόσκαιρα, καὶ τῷ χρόνῳ διακοπτόμενα, καὶ ἥκιστα στάσιν ἔχοντα, καὶ τὸ πᾶν εἰπεῖν, ἤδη πεπαλαίωται καὶ γεγήρακε, ταύτῃ τοι καὶ ἠφάνισται· τὰ δὲ οὐ χειροποίητα οὐδὲ πρόσκαιρα, ἀΐδια δὲ καὶ αἰώνια καὶ ἀεὶ καινιζόμενα καὶ νεούμενα, καὶ οὔ ποτε ἀπολήγοντα, οὐδὲ πεφυκότα μειονεκτεῖσθαι καὶ φθείρεσθαι· ἀνάγκη λοιπὸν διενηνοχέναι καὶ τὴν λατρείαν καὶ τὰ θυόμενα· τὰ μὲν γὰρ παχυτερά τε ἦν καὶ σαρκικώτερα, καὶ ὡς ἐν τύποις, τῶν μελλόντων καὶ τῆς ἀληθείας προχαρασσόμενα καὶ διαγραφόμενα, καὶ οὔπω δεξάμενα τὴν τελείωσιν· τὰ δὲ ἡμέτερα ἐν πνεύματι καὶ ἀληθείᾳ τελούμενα, τελειοῖ τοὺς δι' αὐτῶν προσφέροντας τῷ θεῷ θυσίαν αἰνέσεως, δι' ὧν ἀνεπιλήπτως κεκράζονται ἀββὰ ὁ πατήρ· " εἰ μὲν γὰρ ἦν τε-
„ λείωσις διὰ τῆς λευϊτικῆς ἱερωσύνης, φησὶν, ὁ λαὸς γὰρ ἐπ' αὐτῇ νενομο-
„ θέτητο, οὐκ ἦν ἔτι χρεία κατὰ τὴν τάξιν Μελχισεδὲκ ἕτερον ἀνίστασθαι
„ ἱερέα· ὅτι ὁ νόμος οὐδὲν ἐτελείωσεν, ἐπεισαγωγὴ δὲ κρείττονος ἐλπίδος· δι'
„ ἧς ἐγγίζομεν τῷ θεῷ· „ οὐδ' αὖ αἱ θυσίαι καὶ τὰ δῶρα ἠδύναντο κατὰ συνείδησιν τελειῶσαι τὸν λατρεύοντα· " εἶτα τὸ μὲν αἷμα ταύρων καὶ τράγων
„ καὶ σποδὸς δαμάλεως τοὺς κεκοινωμένους ῥαντίζουσα, ἁγιάζουσι πρὸς τὴν
„ τῆς σαρκὸς καθαρότητα· „ τὸ δὲ αἷμα Χριστοῦ καθαῖρον συνείδησιν ἀπὸ νεκρῶν ἔργων, εἰς τὸ λατρεύειν θεῷ ζῶντι καὶ ἀληθινῷ, τί παρὰ τοῖς ἐχθροῖς λογισθήσεται; ἁγιάζον μὲν οὐδαμῶς ἢ καθαῖρον; τολμήσουσι δὲ πάντως που φάναι ἀκάθαρτοί γε ὄντες τὴν συνείδησιν, καὶ νενεκρωμένοι τοῖς ἔργοις τυγχάνοντες, τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν· ταῦτα μὲν οὖν ἐκεῖνοι καὶ φραζέτωσαν καὶ πρασσέτωσαν, ἡμεῖς δὲ πρὸς τὰ ἑξῆς τοῦ λόγου ἴωμεν.

ξθ. Εἶχε μὲν οὖν, φησι, καὶ ἡ πρώτη σκηνὴ δικαιώματα λατρείας· τίνα ταῦτα καὶ ὁποῖα; λυχνίαν εἶχε καὶ τράπεζαν, καὶ τῶν ἄρτων τὴν πρόθεσιν· τί δὲ ἐλέγετο; ἁγία· ἡ δὲ καθ' ἡμᾶς σκηνὴ τίς οὖσα; τί παρὰ τοῖς ἐχθροῖς τῆς ἐν Χριστῷ χάριτος λέγεται; ὡς μὲν οὖν ἀμείνων πολλῷ ἐκείνης ἐστὶ καὶ ἱερωτέρα· τί ἀλλό γε εἰπεῖν χρὴ, ἢ καθ' ὅσον τῶν τύπων καὶ τῆς σκιᾶς ἡ ἀλήθεια, καὶ τῶν μεσιτευσάντων τὸ διοῖσον ἐν ἀξιώματι; τί δὲ παρ' αὐτοῖς ὀνομάζεται; οὐχ' ἁγία, φεῦ τῆς βλασφημίας, ἀλλ' ἐναγὴς καὶ ἀκάθαρτος· οὐδὲ δικαιώματα λατρείας ἔχουσα, ἀλλὰ φάσματα εἰδωλολατρίας· τοιαῦτα γὰρ τῶν θεομάχων γλωσσῶν τὰ τολμήματα, οἵ γε οὐδὲ τῶν ἴσων γερῶν τῷ νόμῳ τὴν χάριν ἂν τιμήσαιντο, τῶν αἰσχίστων δὲ πάντων καὶ βδελυρωτέρων· καίτοι ἐκεῖ μὲν μεσίτης καὶ ὑπηρέτης ὁ δοῦλος καὶ θεράπων Μωσῆς, ἐνταῦθα δὲ ὁ Μωσέως δεσπότης καὶ τῶν ὅλων κύριος, ὁ τῶν ἁγίων λειτουργὸς καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, ἣν ἔπηξεν ὁ κύριος καὶ οὐκ ἄνθρωπος· ὁ κἀκεῖνα νομοθετήσας

ὡς θεὸς, καὶ ἐν τούτοις μεσιτεύσας ὁ αὐτὸς ὡς ἄνθρωπος καὶ καθ' ἡμᾶς γενόμενος· κἀκεῖ μὲν ἀρχιερεὺς Ἀαρών τε καὶ οἱ περὶ Ἀαρὼν, ἐνταῦθα δὲ αὐτὸς ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ πρῶτος καὶ μέγας ἀρχιερεὺς παρ' ἡμῖν ὁμολογούμενός τε καὶ πιστευόμενος· καὶ λυχνία μὲν ἐκεῖ ἐκ χρυσοῦ κατεσκευασμένη, τοῖς ἔτι ἐν σκιᾷ καὶ νόμῳ προφαίνουσα· ἐνταῦθα δὲ τὸ φῶς τὸ ἀληθινὸν τὸ εἰς τὸν κόσμον ἐρχόμενον, ὃ ὑπὸ τῆς σκοτίας διώκεται μὲν οὐ καταλαμβάνεται δέ· ἀλλὰ φωτίζει πάντα ἄνθρωπον εἰς τὸν κόσμον ἐρχόμενον, καὶ καταυγάζει τοὺς ἐν τῷ φωτὶ πορευομένους, καὶ τῇ λάμψει τῆς χάριτος· τράπεζα ἐκεῖ μὲν ἐκ ξύλων ἀσήπτων διειργασμένη, καὶ χρυσίῳ καθαρῷ περιαληλιμμένη, ἐνταῦθα δὲ ἐξ ὕλης μὲν τῆς παρ' ἡμῖν τιμιωτέρας; ὑπ' αὐτοῦ δὲ τοῦ θείου θύματος καθαγιαζομένη, καὶ τῷ ἁγίῳ λαμπρυνομένη πνεύματι, ἐν ᾗ τὰ τῆς ἐν πνεύματι καὶ ἀληθείᾳ λατρείας ἐπιτελεῖται μυστήρια· ποιοῖτο δ' ἂν τῶν πιστῶν ἕκαστος τὴν ἑαυτοῦ καρδίαν ὅτι μάλιστα σαρώσας καὶ διακαθάρας, πνευματικὴν τράπεζαν· ἵνα ἥκοντα τὸν λόγον καθαρῶς ὑποδέχηται, νοερῶς αὐτῇ ἐναναπαυόμενον καὶ μυστικῶς ἐσθιόμενον· καὶ ἄρτος ὅπου μὲν ὁ ἄζυμος ἐπὶ πικρίδων παραλαμβάνεται, τοῖς ποηφαγεῖν κατὰ τὸ πάσχα τὸ τυπικὸν προσταχθεῖσιν, οἷα περ ὄψῳ τινὶ τῇ πόᾳ ἡδυσμένος· ὅπου δὲ ὁ ἐξ οὐρανοῦ καταβὰς λόγος, καὶ τροφὴν ἀθανασίας πρόξενον τοῖς ἀνθρώποις δωρούμενος, δι' οὗ ζωῆς τῆς αἰωνίου μετέχουσιν· ὃς τὸ καθ' ἡμᾶς ἐν ἑαυτῷ ἀνεζύμωσε φύραμα, καὶ πρὸς τὴν ἰδίαν λαμπρότητα τῆς θεότητος ἀτρέπτως μετεκεράσατο· κἀκεῖ μὲν ζώων ἀλόγων θυσία τὰ σφάγια, ὧν τὸ αἷμα περιεῤῥεῖτο τοῖς παροῦσιν ἤδη, καὶ πρὸς σώματος ἁγνισμὸν καὶ κάθαρσιν κατεσκίδνατο, καὶ τοῖς βουθυτοῦσιν ἢ μηλοσφαγοῦσιν, ἀφαιρέματα εἰς δικαιώματα ἀπετέτακτο· ἐνταῦθα δὲ τὸ ὑπὲρ ἡμῶν σφαγιαζόμενον καλλιέρημα, οὗ τῷ ἀχράντῳ καὶ τιμίῳ αἵματι σφραγιζόμεθα, καὶ πάσης κηλῖδος καὶ ῥύπου παντὸς ψυχῆς τε καὶ σώματος καθαιρόμεθα; εἰ τοίνυν τὰ σύμβολα ἅγια, πῶς αὐτὰ τὰ πράγματα, ὧν ἐκεῖνα σύμβολα, οὐκ ἐκ παντὸς ἱερώτερα πολλῷ καὶ ἁγιώτερα; ἀλλ' ἐπειδὴ οὐ συνῆκαν οἱ ἀσύνετοι, οὐδὲ ἴσασιν εἰπεῖν τίς κοινωνία Χριστῷ πρὸς Βελίαρ, ἢ φωτὶ πρὸς σκότος, ἢ τίς συγκατάθεσις ναῷ θεοῦ μετὰ εἰδώλων· οὔπω γὰρ αὐτοῖς τῆς τε εὐθυτάτης ἡμῶν πίστεως, καὶ τῆς παρὰ τῶν πατέρων ἡμῶν παραδεδομένης τῶν δογμάτων ὀρθότητος, καὶ τῆς τῶν θεοπνεύστων γραφῶν ἐρεύνης ἐμέλησε· διὰ τοῦτο εἰδωλεῖον τὸ καθ' ἡμᾶς ἰατρεῖον φάναι οὐ δεδίασιν· ἐπὶ δὲ τὴν σκηνὴν παλινδρομοῦντες καὶ εἰσαῦθις οἰχώμεθα.

Μετὰ δὲ τὸ δεύτερον καταπέτασμα, φησὶ, σκηνή· ἐν ᾗ τά τε ἄλλα, καὶ μὴν καὶ ἡ κιβωτὸς καὶ τὸ ἱλαστήριον, ἐκ ξύλων μὲν ἀσήπτων καὶ αὐτὰ διεσκευασμένα· χρυσίῳ δὲ τῷ καθαρωτάτῳ περιεκέχρωστο, ἅγια δὲ ἁγίων ἐλέγετο· ἡ δὲ καθ' ἡμᾶς, τῶν ἁγίων ἁγιωτέρα τε καὶ ἐνθεεστέρα, κιβωτὸν μὲν ΤΗΝ ΤΟΥ ΣΩΤΗΡΟΣ ΗΜΩΝ ΧΡΙΣΤΟΥ ΠΑΝΑΓΙΑΝ ΚΑΙ ΖΩΟΠΟΙΟΝ ΣΑΡΚΑ ΦΕΡΕΙ, δι' ἐκείνης ὥσπερ ἐν ξύλοις ἀσήπτοις τυπικῶς πάλιν διαγραφομένην, ἐξ ὧν ἡμῖν τὸ κατ' αὐτὴν ἀναμάρτητον ὡς ἐν σκιᾷ διασημαίνεται, καὶ τὸ πρὸς ἀφθαρσίαν καὶ

ἀπάθειαν μεταπεπλάσθαι, ὁπηνίκα τῇ τοῦ συνηνωμένου λόγου δυνάμει, τοῦ τὸν θάνατον καταργήσαντος καὶ τὴν φθορὰν καθελόντος, τοῖς τοῦ ᾅδου χωρίοις προσομιλήσασα, θανάτου κρείττων ὤφθη, καὶ ἐν τοῖς φθοροποιοῖς γενομένη τόποις, τὴν τῆς ἀφθαρσίας ἀπηνέγκατο δόξαν· χρυσίῳ δὲ ὥσπερ τῷ διαφανεστάτῳ, τῇ οὐσιωδῶς συνημμένῃ θεότητι, κατακαλυπτομένη καὶ λελαμπρυσμένη· ἱλαστήριον δὲ πάλιν ἡμῖν, αὐτὸν τὸν Χριστὸν ὁ θεὸς καὶ πατὴρ ἔθετο· αὐτὸς γάρ ἐστιν ὁ ἱλασμὸς ἡμῶν· οὕτω γὰρ ὁ πατὴρ ἠγάπησεν ἡμᾶς, καὶ ἀπέστειλε τὸν υἱὸν αὐτοῦ ἱλασμὸν περὶ τῶν ἁμαρτιῶν ἡμῶν· ἀλλὰ τί ταῦτα παρὰ τοῖς κατεφθαρμένοις τὴν γνώμην, καὶ τὴν ψυχὴν τεθνηκόσι τῇ ἁμαρτίᾳ; αἰδοῖ καὶ φόβῳ τῇ πρὸς τὰ ἅγια σιωπῇ τὰ πολλὰ τιμητέον· αὐτοὶ γὰρ τὰ φίλα καὶ συνήθη τῆς τόλμας φθεγγέσθωσαν· ἐνταῦθα δὲ γενομένοις ἡμῖν, οὐκ ἄκαιρον ὥς γε οἶμαι νενόμισται προσδιατρίψαι τῷ λόγῳ, κἂν τισι παρεκβατικώτερον εἶναι δόξειε, καὶ μικρά τινα τῶν κατὰ τὴν σκηνὴν χάριν διειπεῖν, ἅπερ εἰς ἔλεγχον μὲν τῆς τῶν ἀνοήτων ἀλογίας καὶ δυσσεβείας, συνηγορίαν δὲ τοῖς πιστοῖς καὶ τῇ ἀληθείᾳ διαφανεῖται.

ο. Εἴρηται τοίνυν τῷ ἀποστόλῳ, ὑπεράνωθεν τῆς κιβωτοῦ χερουβὶμ εἶναι δόξης κατασκιάζοντα τὸ ἱλαστήριον· πρὸς ὃν ἀνθυποφέρων διαπορήσειεν ὁ τοιόσδε λόγος καὶ ἐρεῖ· τί φῂς ὦ Παῦλε; χερουβὶμ εἰσὶ ταῦτα; ὁποῖα δὲ ἐκεῖνα ἀκούομεν; ἃ τὴν πρωτίστην τὲ καὶ προσεχῆ θεῷ, καὶ τῶν μακαρίων καὶ ὑπερουρανίων διακόσμων, διέλαχε παρὰ θεοῦ τάξιν τὲ καὶ ἀποκλήρωσιν; ἵνα δὴ δικαίως μάλα καὶ ἀξιόλογον τὸ τῆς δόξης αὐτοῖς περιάπτοιτο γέρας, ἅ τε δὴ πλησιαίτατα θεῷ οὖσι, καὶ τὰ πρῶτα ἐκεῖθεν ἐλλαμπομένοις, καὶ τῆς ἀΰλου ἐκείνης καὶ ὑπερφώτου καταγλαϊζομένοις λαμπρότητος; οὔ μεν οὖν εἴποις ἄν· τί δ' ἂν εἶεν; εἴ σοι βουλομένῳ γε εἶναι, φράζε σαφῶς, καὶ τόν γε περὶ τούτων ἡμῖν ὡς ἄριστα διατίθει λόγον, τὸ παχὺ τῆς διανοίας τῆς ἡμετέρας καὶ ὑλικὸν καὶ κάτω βρῖθον, ἐπὶ τὰ ἁπλᾶ καὶ θεῖα ὡς ἐφικτὸν ἡμῖν ἀνάγων θεάματα, ἀφ' ὧν σοι ἡ μέχρι τοῦ τρίτου οὐρανοῦ ἁρπαγὴ καὶ ἀνάβασις μυήσασα παρέσχετο· ἢ τάχα καὶ θειότερόν τι Μωσέως καὶ ὑψηλότερον παραδέδειχεν, ἃ καὶ τοῖς σοῖς θεοσόφοις φοιτηταῖς ἐναυγάσας καταλέλοιπας πρὸς ἐνθεστέραν διδασκαλίαν, τῶν τὴν γνῶσιν τῶν τηλικούτων χωρεῖν ἐξισχυόντων; λέξαις γὰρ ὧδέ πη εὖ ἴσμεν, ὡς οἱ θεῖοι χερουβὶμ, αὐτὸ μὲν ὅτι ποτέ εἰσι τὴν φύσιν ἀνείδεοί τε ὑπάρχουσι, καὶ ἀνθρωπείᾳ ἥκιστα καθορᾶσθαι φύσει πεφύκασι· δυνάμεις δὲ ὅμως εἰσὶν ἀσώματοι καὶ πανάγιαι, περὶ θεόν τε ἱδρυμέναι καὶ τὰ πρῶτα ἐκ θεοῦ ἐλλαμπόμεναι, καὶ λειτουργοὶ τῆς πρώτης λαμπρότητος, νοερὰ πνεύματα, ἡ πῦρ οἷον ἄϋλον καὶ ἀσώματον· « ὁ ποιῶν γάρ, » φησι, τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πῦρ » φλέγον· » κοινῶς γὰρ ταῦτα καὶ ὁμοίως πασῶν τῶν οὐρανίων καταφάσκεται δυνάμεων· αἳ τῇ φύσει τῇ ἑαυτῶν, τὸ ἀνώλεθρον καὶ ἀθάνατον τῇ τοῦ δημιουργήσαντος κέκτηνται χάριτι· τὰ καθύπερθεν δὲ τῆς κιβωτοῦ ὑπεριπτάμενα, ἃ τοῖς σκιάσμασι τῶν πτερύγων καταπυκάζει τὸ ἱλαστήριον, ὑλικὰ μέν εἰσι

τὴν οὐσίαν καὶ σώματα· ἐκ χρυσοῦ γὰρ τοῦ καθαρωτάτου διεσκεύασται, σφυρήλατα δὲ καὶ ἐκτετορνευμένα, καὶ χερσὶν ἀνθρωπείαις σοφίᾳ τῇ ἄνωθεν καὶ ἐπιστήμῃ τοῦ τεκτηναμένου, εὖ μάλα ἐκμεμηχανημένα, ἐξ εὐφυῶν τε καὶ εὐτέχνων διησκημμένα τῶν ἐλασμάτων· διὸ πλείοσι διαφοραῖς τετυχήκασι τῶν δοξασμάτων.

Προσθείης δ' ἂν λιπαίνων τὸν λόγον εὐμούσως ἄγαν, ὅτι ἐκεῖνοι μὲν, οἷς κυρίως τοὔνομα πρόσκειται, οὐσίαι εἰσὶ νοεραί τε καὶ νοηταὶ, ἐκ τῆς ὑπερουσίου καὶ τῶν ὅλων παρακτικῆς αἰτίας ἀΐδιον καὶ νοερὰν τὴν ζωὴν κεκτημένοι, οὐσιωδῶς ταύτης ἐν τῷ νοεῖν μεταλαχόντες, καὶ δυνάμεις νοεραὶ καὶ ἐνέργειαι ἐνυπόστατοι, καὶ νόες εἰσὶν ὑπερκόσμιοι, ἀϋλίᾳ καὶ ἀπαθείᾳ καὶ ἀσωματότητι νοούμενοι, καὶ νοοῦντες ὑπερκοσμίως πάντα ἁπλῶς καὶ ἑνοειδῶς τὰ παρὰ θεοῦ ἐλλαμπόμενα, ὁμοῦ τε καὶ κατὰ ἀθρόαν ἐπιβολήν· ἀλλὰ καὶ πολυομμάτους αὐτοὺς εἶναι παραδέδοται, τῷ πρὸς θεὸν ἐστράφθαι, καὶ τὰ προσεχῶς αὐτοῖς ἐκεῖθεν ἐκκαλυπτόμενα ἀμέσως κατοπτεύειν· ἁπλοῖ δὲ ὄντες καὶ ἀνείδεοι, μορφῆς καὶ σχήματός εἰσιν ὑπερέκεινα καὶ ἀμέθεκτοι· οἷα δὲ δὴ ἄϋλοι καὶ ἀσώματοι νοούμενοι, τὸ ἀδιάστατον ἔχουσι καὶ ἀναφὲς, ἄποσόν τε καὶ ἀμέγεθες καὶ ἀπήλικον, καὶ διὰ ταῦτα φθορᾶς εἰσιν ἀπηλλαγμένοι, καὶ τοῦ ἠλλοιῶσθαι κατά τι γοῦν πάμπαν καθαρεύοντες· τὰ δὲ κατὰ τὴν σκηνὴν καθιστάμενα χρυσότευκτα, οὔτε νόες εἰσὶν, οὔτε νοερὰ, οὔτε νοοῦσιν, οὐκ αἰσθήσεως μετέχουσιν, οὔτε οὐδὲν τούτων εἰσί· ζωῆς δὲ τῆς ὁπωσοῦν δυνάμεώς τε καὶ ἐνεργείας ἠμοιρήκασι, σώματα δέ εἰσι καὶ ἔνυλα, εἰ καὶ τῆς καθαρωτάτης καὶ διαυγοῦς ὕλης τυγχάνει τὸ ἔλασμα· σώματα δὲ ὄντα ἐξ ὕλης καὶ εἴδους πεποιημένα, εἰκότως καὶ μεμόρφωται καὶ ἐσχημάτισται, ὅθεν φθορᾶς καὶ ἀλλοιώσεως οὐκ ἠλευθέρωται· τὸ δὲ τριχῇ διαστατὸν ἔχοντα, πεποσωμένά εἰσι καὶ ὄγκοις καὶ πηλικότησι διειλημμένα τυγχάνουσιν.

Ἔτι ἐν τοῖς ἁγιωτάτοις χερουβὶμ καὶ κίνησίς ἐστι, κινοῦνται γὰρ περὶ τὰς νοήσεις ἐνεργοῦντες, καὶ περὶ τὸν θεῖον ἔρωτα συντεταμένως καὶ ἀῤῥεπῶς τὸ ἀεικίνητον ἔχουσι καὶ ἀκατάληκτον, καὶ τὴν πρὸς θεὸν ἔφεσιν ἀπαρέγκλιτον κέκτηνται, καὶ τὰς μαρμαρυγὰς τῆς θεαρχικῆς ἀκτῖνος ἀμέσως καὶ πρωτοφανῶς ὑποδέχονται· τῷ τε εἰς ἀλλήλους χωρεῖν ἀσυγχύτως καὶ ἀποχωρεῖν, προϊέναι δὲ καὶ ἐπὶ τὰ ὑφειμένα, προνοίας τε καὶ τοῦ εὐεργετεῖν εἵνεκεν· ἐπιστρεπτικοὶ γάρ εἰσι τῶν καταδεεστέρων, καὶ χειραγωγικοὶ καὶ ἀνατατικοὶ πρὸς τὰ θειότερα καὶ ὑψηλότερα· ἀλλὰ καὶ στάσις ἐν αὐτοῖς ἐστι, τῷ ἱδρύσθαι καὶ ἐστράφθαι πρὸς θεὸν ἀπαρεγκλίτως, καὶ τῆς ἑαυτῶν θεοειδοῦς ἕξεως καὶ μονιμότητος μὴ ἐξίστασθαι, ἐν ταυτότητι δὲ μένειν περὶ τὸ ταυτὸν καὶ ἀεὶ ὡσαύτως ἔχον ἀγαθὸν περιχορεύοντας· τοῖς δὲ οὐδ' ὁπωστιοῦν μέτεστι κινήσεως, οὔτε ἐπί τι πρόοδος οὔτε νοητὴ οὔτε αἰσθητὴ ἐν αὐτοῖς ἐστιν, οὐδὲ ἔφεσις οὐδὲ ὁρμὴ οὐδὲ βούλησις· ἀμετάβατα δὲ μᾶλλον καὶ ἀκίνητα, καὶ τῆς ἑτέρων δεόμενα πρὸς τὸ κινεῖσθαι δυνάμεως· ἑστᾶσι γοῦν ἐφ' οὗπερ ἵδρυταί τε καὶ ἀποτέτακται, μὴ δὲ παρ' αὐτοῖς τὴν τοιαύτην ἔχοντα στάσιν· ἄψυχά

γε ὄντα καὶ ἀναίσθητα, τοῦ δὲ ἱστάντος καὶ ἀπερείδοντος ἐφ᾽ ὅπερ ἂν νεύοι αὐτῷ τὰ τῆς βουλήσεως δεήσονται· καὶ μὴν καὶ λόγος ἐν ἐκείνοις ἐστὶν, ἐπείπερ λογικοί εἰσιν, οὐχ᾽ οἷος περ ὁ ἡμέτερος, ἐκ τοῦ ἐν ἡμῖν φυσικοῦ καὶ ζωτικοῦ πνεύματος, διὰ τῶν φωνητικῶν ὀργάνων προϊὼν καὶ διαρθρούμενος, τῇ πληγῇ τε τοῦ ἀέρος τυπούμενος, καὶ διαβιβαζόμενος πρὸς ἀντίληψιν τῆς τῶν ἀκουόντων αἰσθήσεως. ἀλλὰ τῷ ἀΰλους εἶναι καὶ ἀσυνθέτους καὶ ἁπλοῦς τε καὶ ἀσωμάτους περιχωρεῖν ἐν ἀλλήλοις, καὶ τὰς ἀλλήλων ἐγκατοπτεύειν νοήσεις, καὶ κοινωνεῖν τῷ λόγῳ διὰ σιγῆς ἐναργέστερον ἢ ὁ πᾶς προϊὼν λόγος.

Τὰ δὲ ἐπειδὴ χρυσήλατά ἐστι, καὶ ὕλης ἀψύχου καὶ ἀλόγου μετέσχηκεν, ἄλογά τε εἰσὶ, καὶ τὸν περὶ λόγου λόγον ἐπ᾽ αὐτοῖς ποιεῖσθαι, ἄλογον· κἀκεῖνοι τῆς θεαρχικῆς φωτοδοσίας ἀφθόνως ἐν μετουσίᾳ γινόμενοι, πρὸς τὸ θεοειδὲς καὶ θεομίμητον ὡς ἐφικτὸν ἀποτυποῦνται, καὶ πρὸς τὸ ἐμφερὲς τῆς θείας ἀρχετυπίας νοητῶς καὶ ὑπερκοσμίως ἑαυτοὺς ἀνατείνουσι· ταῦτα δὲ λαμπρότητος μόνης τῆς ἐκ τῆς ὕλης ἐνούσης αὐτοῖς μετειλήφασιν· ἀνόμοιον δὲ ἔχουσι τὴν πρὸς τὸ ἀρχέτυπον ὁμοιότητα· κἀκείνοις δηλοῖ τοὔνομα τὸ ὑπερπλῆρες τῆς γνώσεως καὶ ἀνελάττωτον· καὶ τὸ ὑπερβλύζον ἐν αὐτοῖς ἐν σοφίᾳ, ἐκ τῆς πολυχύτου καὶ πηγαίας φωτοχυσίας, ἐξ ὧν καὶ τὸ θεωρητικὸν αὐτοῖς πρόσεστιν, ἐπὶ τὸ πάσης ἐπέκεινα θεωρίας καὶ γνώσεως ὕψος, θεοειδῶς ἀνατεινομένοις, καὶ τοῦ θείου καὶ ὑπερκάλλου φωτὸς ἀεὶ καταπίμπλανται· ἐντεῦθεν καὶ μύησις αὐτοῖς πρώτως ἐναυγάζεται τῶν παρὰ τῆς θεαρχίας ἐπὶ τὰ προνοούμενα προϊόντων ἐπιστημονικῶν λόγων, ἐν μεθέξει τε τῆς θεουργικῆς γνώσεως ὡς θεμιτὸν γινόμενοι, πολλὰ τῶν θείων καὶ ὑπερτάτων γινώσκουσιν ὑπερκειμένως, καὶ τροφὴ αὐτοῖς ἐστιν ἡ τῶν ἁπλῶν καὶ μακαρίων φωτοφανειῶν ἔλλαμψις, προσεχῶς αὐτοῖς καὶ πρώτως ἐκ τῆς ὑπερφώτου ἀκτῖνος ἐναστραπτούσης· ἤδη δὲ τὴν πασῶν ὑπερτάτην τῶν ὑπερκοσμίων νόων, ἅ τε θεοειδέστατοι, διακληροῦνται ταξιαρχίαν· ὅθεν καὶ θεολογικῆς ἐπιστήμης παρὰ τῆς θεαρχικῆς ὑπερουσιότητος ἐν μετουσίᾳ πρώτως γινόμενοι, ἐπὶ τοὺς μετ᾽ αὐτοὺς ἑξῆς διαπορθμεύουσιν· ἐξαγγελτικοὶ γοῦν εἰσι τῆς θείας σιγῆς, ἐκφαίνοντες ἐν ἑαυτοῖς τῆς ὑπερουσίου κρυφιότητος τὴν ἀφθεγξίαν· ὑμνοῦσί τε ἀκαταλήκτως καὶ ἀσιγήτως τὴν θείαν ἀγαθότητα, τὸ σεβάσμιον ἐκεῖνο καὶ τρισσοφαὲς τῆς θεολογίας μελῴδημα.

Τὰ δὲ, ὅτι πέρ εἰσι χειρόκμητα, ψιλῆς μὲν μόνης μετείληφε τῆς προσηγορίας, μυήσεως δὲ καὶ γνώσεως καὶ τῶν ἄλλων ἁπάντων, ἃ εἴρηται, οὔ τι που μετέσχηκε· πρὸς δὲ, καὶ εἰκόνες εἰσὶν ἐκεῖνοι τῆς θεαρχίας, τὸ κρύφιον καὶ ἀφανὲς φῶς ἐν ἑαυτοῖς ἐμφανίζοντες, καὶ πρὸς τὸ θεοειδὲς ὡς θεμιτὸν ἀφομοιούμενοι, καὶ τὴν ὅλην τοῦ θείου φωτὸς ἀκτῖνα θεοειδῶς εἰσδεχόμενοι· τοῦτο ἐν μεθέξει ὑπάρχοντες ἑπομένως, ὅπερ κατ᾽ οὐσίαν ἐστὶ τὸ μετεχόμενον προηγουμένως· φῶτα δεύτερα φιλανθρωπότατα καὶ ἀγαθοειδῆ, τοῦ πρώτου φωτὸς ἀμαρύγματα ἄχραντα καὶ ἀκηλίδωτα, τὸ ἐμφερὲς τῆς πρωτοφανοῦς θεοειδείας ἀγαθοπρεπῶς ἀποφερόμενοι· καὶ δὴ καὶ γινώσκουσι, ὅτι μὴ τὰ καθ᾽ ἑαυτοὺς

νοητὰ μόνον, ἤδη δὲ καὶ τὰ ἐν αἰσθήσει οὐκ αἰσθητῶς ἀλλὰ νοητῶς, κατὰ τὴν οἰκείαν τῆς ἐνούσης αὐτοῖς τοῦ θεοειδοῦς δυνάμεως ἐπιστήμην, ἀΰλως καὶ γνωστῶς αὐτοῖς ἐπιβάλλοντες· τὰ δὲ χρυσόκμητα, εἰκόνων εἰκόνές εἰσιν ἀμυδρότεραι καὶ ἀνομοιότεραι, καὶ παρὰ πολὺ τοῦ παραδειγματικοῦ αἰτίου ἀπολειπόμενα· ἴσασι δὲ οὐδὲν ὁτιοῦν· πῶς γὰρ τοιαῦτα γε ὄντα, καὶ οὕτως ἔχοντα; κἂν σφόδρα ᾖ ἀπεξεσμένα καὶ ἐκτετορνευμένα, καὶ μαρμαρυγὰς διαφανεῖς καὶ λαμπηδόνας ταῖς περιαστραπτούσαις στίλψεσιν ἀποπέμπωσι· πόθεν οὖν σοι ταῦτα καὶ τίνος ἕνεκεν εἴρηται χερουβὶμ, κατ' οὐδένα τρόπον τῶν οὐσιωδῶς ἐνυπαρχόντων ταῖς ὑπερκοσμίοις μετεσχηκότα δυνάμεσιν:

Οὐκ ἐμός φημι ὁ λόγος, οὐδὲ παρ' ἐμοὶ πρώτῳ ἡ τοιαύτη προσηγορία τούτοις ἐξεύρηται ἢ ἐπιτέθειται· Μωσέως ἐστὶ τοῦ θεόπτου καὶ νομοθέτου ἡ φωνὴ, καὶ πάλαι προανιστόρηται, καὶ μαρτυρουμένην ἔχει διὰ τῶν ἱερῶν γραμμάτων τὴν πρεσβυγένειαν, καὶ τὸ πρὸς ἀξιοπιστίαν εὐπαράδεκτον· εἰ δὲ χρὴ τἀληθέστερον φάναι, θεοῦ τοῦ προστεταχότος τῷ οἰκείῳ θεράποντι, ἡνίκα τῆς σκηνῆς αὐτῷ τῆς παλαιᾶς ἐκείνης διετύπου καὶ παρεδείκνυ τὴν σύμπηξιν· ἐπειδὴ γὰρ τῶν κατ' οὐρανοὺς καὶ τῶν ἄνω διακόσμων, ἀμυδρά τινα μιμήματα καὶ ἀπεικάσματα σκιοειδέσι τύποις προβεβλημένα ἔφερεν ἡ σκηνὴ, ὅρα γάρ, φησι, " ποιήσεις πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει· ,, ἵνα οὖν καὶ τῶν χερουβὶμ ὀφθείη κύριος ὁ τῶν ὅλων θεὸς, καὶ καθάπερ αὐτοὶ ἀμέσως καὶ πρώτως ἐλλαμπόμενοι, τὰς λειτουργίας ἐν τοῖς ὑπερουρανίοις οἰκετικῶς ἀποπληροῦσι, καὶ τὰς ἀγαθουργοὺς τῆς θείας προνοίας προόδους τοῖς μετ' αὐτοὺς διαπορθμεύουσι, κατὰ ταῦτα καὶ τοῖς ἐπὶ γῆς μιμητικῶς ὑπὸ τῶν ἀφομοιουμένων αὐτοῖς, θείᾳ οἰκονομεῖται συγκαταβάσει γινόμενον· ταύτῃ τῷ νομοθέτῃ ἐκπεποιῆσθαι, τουτὶ δὴ τὸ φιλοτέχνημα διατέτακται· ἐκεῖθεν γὰρ τὰς θεοφανείας ὁ τῆς θεοπτίας ἠξιωμένος ὑπεδέχετο· ἤδη γὰρ ἐγκεχείριστο πρὸς τὴν τοῦ λαοῦ κηδεμονίαν ὑπηρετήσειν, τὴν τοῦ λαοῦ ἡγεμονίαν καὶ προστασίαν πεπιστευμένος· γέγραπται τοίνυν ἐν τοῖς μετὰ τὴν κιβωτὸν διατεταγμένοις, κατὰ τὴν καλουμένην τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ἱερὰν βίβλον, ὧδέ πως θεσμοθετοῦντος θεοῦ· " καὶ ποιήσεις ἱλαστήριον ἐπίθεμα χρυσίου ,, καθαροῦ· δύο πήχεων καὶ ἡμίσεος τὸ μῆκος αὐτοῦ, καὶ πήχεως καὶ ἡμί- ,, σους τὸ πλάτος αὐτοῦ· καὶ ποιήσεις δύο χερουβὶμ χρυσᾶ τορευτὰ, καὶ ἐπι- ,, θήσεις αὐτὰ, ἐξ ἀμφοτέρων τῶν κλιτῶν τοῦ ἱλαστηρίου ποιηθήσονται· χε- ,, ρουβὶμ εἷς ἐκ τοῦ κλίτους τούτου· καὶ χερουβὶμ εἷς ἐκ τοῦ δευτέρου τοῦ ,, ἱλαστηρίου· καὶ ποιήσεις τοὺς δύο χερουβὶμ ἐπὶ τὰ δύο κλίτη αὐτοῦ· ἔσον- ,, ται οἱ χερουβὶμ ἐκτείνοντες τὰς πτέρυγας αὐτῶν ἐπάνωθεν, συσκιάζοντες ,, ταῖς πτέρυξιν αὐτῶν ἐπὶ τὸ ἱλαστήριον· καὶ τὰ πρόσωπα αὐτῶν εἰς ἄλ- ,, ληλα εἰς τὸ ἱλαστήριον ἔσονται τὰ πρόσωπα αὐτῶν χερουβίμ· καὶ ἐπιθή- ,, σεις τὸ ἱλαστήριον ἐπὶ τὴν κιβωτὸν ἄνωθεν· καὶ εἰς τὴν κιβωτὸν ἐμβα- ,, λεῖς τὰ μαρτύρια ἃ ἐὰν δῶ σοι· καὶ γνωσθήσομαί σοι ἐκεῖθεν, καὶ λα- ,, λήσω σοι ἄνωθεν τοῦ ἱλαστηρίου, ἀνὰ μέσον τῶν δύο χερουβὶμ τῶν ὄντων

„ ἐπὶ τῆς κιβωτοῦ τοῦ μαρτυρίου, κατὰ πάντα ὅσα ἐντείλωμαί σοι πρὸς τοὺς „ υἱοὺς Ἰσραήλ. „

Ἀνοιγνύτωσαν τὴν ἀκοὴν οἱ ἀναίσθητοι, προσεχέτωσαν τὸν νοῦν οἱ ἀνόητοι· θεοῦ φωναὶ ταῦτά ἐστι καὶ ἐντάλματα οὐκ ἔχουσιν εἰπεῖν, ὅτι Μωσέως ἐστὶ τὸ ἐγχείρημα· ἀνθρώπινον τὸ ἐπιτήδευμα, τέχνης ἔργον τῆς καθ᾽ ἡμᾶς τὸ ἀποτέλεσμα, θεός ἐστιν ὁ προστάττων, θεὸς ὁ κελεύων· τίς ὁ ἀμφιβάλλων; σκοπείτωσαν ὅτι οὐδὲν ἐνταῦθα αἴνιγμα, οὐδὲν ἀσαφὲς, οὐδὲν πλαγίως ἐμφαινόμενον, ἢ ἐν ἀλληγορίαις ἐκκείμενον, τὰ ἄψυχα ταῦτα, τὰ ἀναίσθητα, τὰ πάντη ἀκίνητα, τὰ ἐξ ὕλης ἀψύχου καὶ ἀλόγου ἐκμεμηχανημένα, τορείᾳ δὲ μόνον καὶ στίλψει τῆς θέας καὶ ὕλης καθαρότητι καὶ τοῦ τετηναμένου σοφίᾳ διαφέροντα, τῆς αὐτῆς τοῖς ἁγιωτάτοις χερουβὶμ, ταῖς ζώσαις καὶ ἐνεργούσαις καὶ ἀεικινήτοις δυνάμεσι, προσηγορίας ὁ τῶν ὅλων θεὸς ἠξίωσεν· οὐκ εἰκόνας χέρουβὶμ, οὐχ᾽ ὁμοιώματα, οὐκ ἐκτυπώματα, ἀλλὰ τῇ ὁμωνυμίᾳ χρησάμενος ὁ ἐντελλόμενος θεὸς, καθαρᾷ καὶ τρανῇ τῇ φωνῇ χερουβὶμ κατωνόμασε· δυσωπείτω τοὺς ἀπειθεῖς καὶ ἀγνώμονας τῇ ἀληθείᾳ τῶν λεγομένων ἕπεσθαι, ἑπτάκις ἐνταῦθα τῶν χερουβὶμ τοὔνομα παραληφθὲν καὶ ἐκπεφωνημένον, καὶ τῷ τιμίῳ κατὰ τὴν γραφὴν τὴν θεόπνευστον ἀριθμῷ, καὶ τοῦτο δεδοξασμένον· ἵνα διά τε τοῦ ἐπηγγελκότος τὸ ἀπαραίτητον, διά τε τοῦ ἀριθμοῦ τὸ ἐπίσημον, ἀμφοτέρωθεν ἔχοι τὸ πρᾶγμα τὸ ἀπαράγραπτον· εἰ οὖν τὰ χριστιανῶν παραιτοῖντο οἱ ἄθλιοι, τοὺς γοῦν Ἰουδαίους μιμείσθωσαν, μήποτε καὶ αὐτῶν ὀφθεῖεν ἀπιστότεροί τε καὶ ἀγνωμονέστεροι· οὐδαμοῦ γὰρ παρὰ Ἰουδαίοις τετόλμηται εἰδώλων ὀνόματι ταῦτα περιυβρίσθαι, καίτοι πολλάκις τοῦ θείου σεβάσματος ἀλογήσαντες, εἰδώλοις ἐξαπατώμενοι λελατρεύκασι· πάντη δὲ παρ᾽ αὐτοῖς ταυτὶ τίμια καὶ προσκυνητὰ καὶ σεβάσμια· καὶ τοσούτῳ σεβάσμια, ὡς μηδένα τῶν ἄλλων δέει καὶ εὐλαβείᾳ τῶν ἁγίων προσιέναι· πλήν γε δὴ ὅτι εἰς μὲν τὴν πρώτην σκηνὴν, διὰ παντὸς εἰσίεσαν οἱ ἱερεῖς τὰς λατρείας ἐπιτελοῦντες· βατὰ γὰρ ἦν ταῦτα τοῖς πολλοῖς καὶ εὐπρόσιτα· τὰ δὲ μετ᾽ ἐκείνην, ἀστιβῆ πᾶσι καὶ ἄψαυστα, ὅτι μὴ μόνον ἐφεῖτο τῷ ἀρχιερεῖ ἐφάπαξ τοῦ ἐνιαυτοῦ εἰσιτητέα εἶναι τὰ νενομισμένα ἐπ᾽ αὐτοῖς ἐπιτελέσοντι.

Ἐντεῦθέν αἱ πανάγιαι δυνάμεις θείοις προστάγμασιν εἰκονίζονται· ἐντεῦθεν τῆς τοιαύτης κλήσεως ὁμωνύμως τοῖς ἀρχετύποις ἁγίοις, τὰ πρὸς τὸ ἱλαστήριον ὑπεριδρυμένα τετύχηκε χρυσοτόρευτα· καὶ εἰκότως προβέβληνται τῶν ἀτυπώτων οἱ τύποι, καὶ τῶν ἀσχηματίστων τὰ σχήματα· ὡς θεμιτὸν φάναι, κατὰ τοὺς θεοσόφους ἡμῶν πατέρας καὶ κλεινοὺς τῆς ἐκκλησίας καθηγεμόνας, ἀδυνατούσης τῆς καθ᾽ ἡμᾶς ἀναλογίας ἀμέσως ἐπὶ τὰς νοητὰς ἀνατείνεσθαι θεωρίας, καὶ δεομένης οἰκείων καὶ συμφυῶν ἀναγωγῶν, αἳ τὰς ἐφικτὰς ἡμῖν μορφὰς προτείνουσι τῶν ἀμορφώτων καὶ ὑπερφυῶν θεαμάτων· τοῦτο γὰρ τῆς θείας ἀγαθότητος, καὶ τῆς περὶ ἡμᾶς πατρικῆς κηδεμονίας, τὰς τῶν ὑπερουρανίων δυνάμεων ἐντυπωτικοῖς συμβόλοις ἐκφαίνεσθαι μακαριότητας, τὸν ἡμέτερον ἀνάγουσι νοῦν, τῇ κατ᾽ αὐτὸν ὑλαίᾳ χειραγωγίᾳ χρώμενον, ἐπὶ τὴν τῶν

οἰκείων ὡς ἐφικτὸν μίμησίν τε καὶ θεωρίαν. „ Ἀλλὰ δεδόσθω παρὰ θεοῦ „ μὲν τὴν κλῆσιν τοὺς ἐπὶ τῆς σκηνῆς χερουβὶμ εἰληφέναι, πόθεν αὐτοῖς τὸ „ τῆς δόξης ἐπιφημισθήσεται χρῆμα; „ Ὅτι γε δὴ πρῶτον μὲν θεοῦ ἡ πρόσταξις, ὅσα δὲ ἐπήγγελται θεὸς καὶ πεποίηκε τίμια, οὐδὲν γὰρ εἰκῇ οὐδὲ μάτην τῶν παρ' αὐτοῦ τι πρόεισι, τοῦτο δ' ἂν εὕροι τις καὶ κατὰ τὴν κοσμογένειαν ἱστορούμενον· “ εἶδε γάρ φησιν ὁ θεὸς, καὶ ἰδοὺ πάντα καλὰ λίαν· „ ἔπειτα πῶς οὐ δεδόξασται ταῦτα, ὅθεν ἐπιφαίνεται θεὸς καὶ γινώσκεται; τί γὰρ τῆς θείας ἐπιστασίας περιδοξότερον; ἢ τῶν καθ' οὓς οἰκονομικῶς ἐπιφοιτᾷ τόπων εὐκλεέστερον; πόθεν τὸ ὄρος τὸ Σινὰ δεδόξασται, καὶ φοβερὸν καὶ ἀπρόσιτον ἀναδέδεικται; πῶς ἤκουε Μωσῆς τῆς θεοστιβοῦς ἐπιψαύων γῆς “ ὁ τόπος ἐν „ ᾧ ἕστηκας γῆ ἁγία ἐστί; „ τῶν γηΐνων καὶ σαρκικῶν ἀπολύεσθαι προσταττόμενος, ἃ ἐδήλου τά τε ἄλλα, καὶ τῶν ὑποδημάτων ἡ ἀφαίρεσις.

οα. Πῶς, ἵνα τἄλλα παρῶμεν, τὰ κατὰ τὴν Ἱερουσαλὴμ σεβάσμια, ἐν οἷς ἐπιδημήσας ὁ σωτὴρ τάς τε μεγαλουργίας ἐκείνας τὰς θείας ἐπετέλει, καὶ τὰ πάθη ὑπὲρ ἡμῶν ἤνεγκε, καὶ πᾶσιν ἐπέραστα καὶ τριπόθητα; ὅτι δὲ καὶ τοὔνομα προσκείμενόν τισι, δύναται εὐκλείας μεταδιδόναι, καὶ χάριτος, ἀκούομεν τοῦ κυρίου ἐν εὐαγγελίοις λέγοντος· “ ὁ δεχόμενος προφήτην εἰς ὄνομα προφή„ του, μισθὸν προφήτου λήψεται· καὶ ὁ δεχόμενος δίκαιον εἰς ὄνομα δικαίου, „ μισθὸν δικαίου λήψεται· καὶ ὃς ἐὰν ποτίσῃ ἕνα τῶν μικρῶν τούτων ποτήριον „ ψυχροῦ μόνον εἰς ὄνομα μαθητοῦ, ἀμὴν λέγω ὑμῖν οὐ μὴ ἀπολέσῃ τὸν „ μισθὸν αὐτοῦ· „ οὐκοῦν καὶ ταῦτα μετασχόντα τῆς κλήσεως, καὶ δόξης τῆς ἐπ' αὐτοῖς κεκοινώνηκε· μανθανέτωσαν οἱ ἀμύητοι καὶ ἀπαίδευτοι τὴν ἐκ τῆς δυνάμεως τοῦ ὀνόματος τοῖς κεκλημένοις μετειλημμένην χάριν τε καὶ ἐνέργειαν· οὕτω γὰρ καὶ οἱ παρ' ἡμῖν θεῖοι ναοὶ καὶ οἶκοι, περίδοξοι καὶ σεβάσμιοι, ὅτι θεῷ ἀνιερώθησαν, καὶ τὸ ὄνομα αὐτοῦ ἐπικέκληται ἐν αὐτοῖς, συμπαρομαρτούσης ἤδη καὶ τῆς τῶν ἐν ἑκάστῳ τούτων ἀποτεταγμένης τῶν ἁγίων μνήμης· ἐπιτηρητέον δὲ κἀκεῖνο ὡς εἰ τὰ ἐν μείοσι κείμενα, τὰ κατὰ τὴν πρώτην σκηνήν φημι ἅγια ἐλέγετο, τὰ μετ' αὐτὴν δὲ ἐνδότερά γε ὄντα καὶ ἅγια ἁγίων λεγόμενα, οἷς συνυπῆρχε ταῦτα καὶ συγκατηρίθμητο, πόσον ἐν ἀμείνοσι κείσεται καὶ δοξασθήσεται; εἰ δὲ οἱ τῆς αἰσχύνης κληρονόμοι πρὸς ταῦτα ἀντιλέγοιεν, ὥρα αὐτοῖς μὴ δὲ τὸ Μωσέως πρόσωπον δεδοξάσθαι δοξάζειν.

Τίνι οὖν πειστέον; Μωσεῖ καὶ Παύλῳ τοῖς θεοπτίας ἠξιωμένοις, καὶ τῆς ὑψηλῆς θεολογίας τὰ μυστήρια πεπιστευμένοις, ἢ τοῖς ἐκ τῆς κοπρίας παραφθεγγομένοις κίβδηλα καὶ ὀδωδότα ληρήματα, καὶ τὰ ἐκ νόθης διανοίας ἀποτετεγμένα τῶν ἀλόγων ψόφων ἐπισφαλῶς ἀμβλωθρίδια; εἰ μὲν οὖν οὐ πείθονται Παύλῳ, οὕτω τὰ περὶ τούτων διεξιόντι, οὐχ ὡς χριστιανοί· εἰ δὲ οὐδὲ Μωσεῖ, οὐδὲ ὡς ἑβραῖοι· εἰ δὲ οὐδὲ θεῷ αὐτῷ, οὐδ' ὡς ἕλληνες ἢ βάρβαροι, πολλῷ δὲ τούτων ἔτι δυσσεβέστεροι καὶ ἀθεώτεροι· ταῦτα δὲ ὡς ἐν βραχεῖ διεξήλθομεν· ἤδη γὰρ τῶν ἀποστατούντων τινὲς τῆς πίστεως, ἐπείπερ εἰς παράδειγμα τῆς τοῦ σωτῆρος ἡμῶν εἰκόνος παρὰ τῶν εὐσεβούντων καὶ ταῦτα πα-

ραλαμβάνεται, συγκαθυβρίσαι καὶ συνεκφαυλίσαι οὐκ ἀπώκνησαν· πολλὰς μὲν δυσφημίας αὐτῶν καταχέοντες, παντὸς δὲ μώμου καὶ ἀδοξίας τὰ παρὰ Θεοῦ διατεταγμένα, οἱ θεοστυγεῖς ἀποπληροῦντες· εἰ τοίνυν τὰ τῶν οἰκετῶν ἐκτυπώματα, τῶν θείων χερουβὶμ λέγω, δοῦλα γὰρ Θεοῦ καὶ αὐτὰ καὶ κτίσματα παρὰ τῷ μεγάλῳ ἀποστόλῳ, καὶ τοῖς εὐσεβεῖν εἰδόσιν ἅπασι, κατὰ τοὺς εἰρημένους τρόπους δεδοξασμένα τέ ἐστι καὶ λέγεται, εἰπάτωσαν ἡμῖν οἱ ἀνόητοι, πῶς τοῦ δεσπότου τῶν ὅλων, ὃς καὶ τῶν χερουβίμ ἐστι κύριος, καὶ πάσης κατεξουσιάζει τῆς κτίσεως, τὸ ἱερὸν ἀπεικόνισμα παρευδοκιμηθήσεται ἢ παροραθήσεται; μᾶλλον δὲ, πῶς οὐ δόξης καὶ τιμῆς μεγίστης ἀξιωθήσεται; ἆρα ὁ τὴν τῷ μείζονι ἐποφειλομένην ἀποστερῶν τιμὴν, καὶ μὴ δὲ τὴν τῷ ἐλάττονι προσήκουσαν ἐπινέμων, πόσης κατηγορίας οὐκ ἄξιος; πῶς τῆς ἐσχάτης ἀβελτερίας οὐκ ἀνάμεστος; ταῦτα οὐδ' οἵ γε νηπιώδεις τὴν φρένα καὶ τὴν γλῶσσαν ψελλίζοντες, καὶ ὀρθὰ λαλεῖν οὐκ εἰδότες διενοήσαντο· τὸ δὲ καὶ ἀτιμίας ἁπάσης ἀποπληροῦν, οὐδ' ἂν οἱ λαμπρᾶς μελαγχολίας νόσῳ ἑαλωκότες ἔδρασαν· καίτοι οἱ θεῖοι χερουβὶμ, ἁπλοῖ τε ὄντες καὶ ἄϋλοι, ἀνείδεοί τε καὶ ἀσχημάτιστοι καὶ διὰ τοῦτο ἀσώματοι, καὶ τόπῳ αἰσθητῷ περιγράφεσθαι ὡς ἀσώματοι φύσιν οὐκ ἔχουσι, καθὰ καὶ πρόσθεν ἡμῖν λέλεκται· εἰ γάρ που ἐν σώματι τοὺς θείους ἀγγέλους ἀκούσειέ τις ὁρᾶσθαί ποτε, μὴ ἂν ἄλλό τι ὑπολήψοιτο, ἢ τό γε τοῖς ἐν οἷς εἴδεσι πρὸς τὰς ἐγκεχειρισμένας διακονίας τοῖς ἐπὶ γῆς τὰς ἐπιστασίας ποιοῖντο, τῷ ἀγνώστους ἡμῖν εἶναι τὴν φύσιν, συμβολικῶς σχηματιζομένους φαίνεσθαι· καθ' ὃ καὶ ἐν τόπῳ εἶναι, τῷ μὴ ἑτέρωθί που χρησμῳδοῦντας κατ' αὐτὸν ἐνεργεῖν λέγονται, ὅπερ μόνῃ τῇ θείᾳ καὶ ὑπεραγνώστῳ πρόσεστι φύσει· ἃ οὐδ' οὕτω τῷ λόγῳ τῆς αὐτῶν ἀσωματότητος λυμαίνεται· μὴ δὲ γὰρ ἂν οἴεσθαι χρῆναι θηριώδεσί τισι καὶ κτηνοπρεπέσι μορφαῖς, ἢ ὀρνιθείαις πτεροφυΐαις, τῶν ὑπερκοσμίων δυνάμεων τὴν οὐσίαν χαρακτηρίζεσθαι· ὅμως δ' οὖν θείοις νεύμασιν, ἐπείπερ τοῦτο Θεὸς ἐβούλετο, οὗ πάντα ἐν ὀφθαλμοῖς κοῦφα καὶ ῥᾴδια, ἐγράφησάν τε καὶ εἰκονίσθησαν.

Χριστὸς δὲ ὁ θεὸς ἡμῶν, ὁ τὴν ἡμετέραν πτωχείαν ἀμφιεσάμενος, καὶ τὸ παχὺ τοῦτο καὶ ὑλικὸν φορέσας τὸ ἀπὸ γῆς σαρκίον, τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν, καὶ τὴν τοῦ δούλου μορφὴν ἑνώσας ἑαυτῷ, φθαρτήν τε οὖσαν καὶ γραπτὴν καὶ περιγραπτὴν φύσιν, πῶς οὐ γραφήσεται καὶ περιγραφήσεται; καθ' ὃ οὖν πέφηνε καθ' ἡμᾶς ἄνθρωπος, καὶ ἐν σώματι τοῖς ἐπὶ γῆς πεφανέρωται, καὶ συμπεπολίτευται, καὶ γράφεται καὶ εἰκονίζεται, οὐδενὸς τὸ παράπαν ἐπινοουμένου τρόπου, τοῦ δυναμένου τὴν ἅπαξ ἑνωθεῖσαν αὐτῷ καθ' ὑπόστασιν σάρκα, ἐκ τοῦ γεγράφθαι, ἀποδιϊστᾷν ἢ διορίζειν αὐτοῦ τῆς θεότητος, κἂν μυρία ληρῳδῶσιν οἱ παράφρονες· ποῖος γὰρ λόγος τοῦτο συναναγκάσειεν; ἐπεὶ οὐδαμῶς γε φύσιν ἔχων ἐπιδειχθήσεται· ἢ οὕτω γε καὶ πάθοι ἂν ὁ λόγος παθούσης τῆς σαρκὸς, καὶ περιτμηθείσης συμπεριτμηθήσεται καὶ συντεθνήξεται, καὶ τἄλλα ὅσα τῆς παθητῆς καὶ θνητῆς ἐστι φύσεως, διὰ τὴν ἕνωσιν πείσεται· ὧν

τί ἀλογώτερον ἢ ἀσεβέστερον; ἢ καινουργείτωσαν ἑτέραν παρὰ τὴν ἡμετέραν αὐτῷ ἀνειλῆφθαι φύσιν, ἵνα ἐν οὐδενὶ αὐτῷ κοινωνήσαντες, ἀνέλπιστα αὐτοῖς καὶ ἀνεπιχείρητα τὰ τῆς σωτηρίας γένοιτο· ἢ φασματώδη καὶ πεπλασμένην τὴν οἰκονομίαν κατὰ τοὺς Μανιχαίων λήρους, οἷς ἐξηκολούθησαν, δογματιζέτωσαν οἱ παραπλῆγες, τέλεον αὐτὴν ἀποσκευαζόμενοι· τί δέ; οὐχὶ παρὰ πᾶσι χριστιανοῖς τοῖς εὐσεβεῖν εἰδόσιν, ἐξ οὗ τὰ τῆς θείας ἐπιφανείας καὶ σωτηρίου οἰκονομίας ἐνήρκται, γράφεται καὶ εἰκονίζεται, ὡς δηλοῦσιν αὐτὰ τὰ πράγματα καὶ ἡ ἀλήθεια; μαρτυρεῖ δὲ καὶ τὸ μήκιστον τοῦ διελάσαντος χρόνου, ἥ τε ἄπειρος τῶν εἰκονισάντων καὶ εἰκονισθέντων πληθὺς ὑπ' ὄψιν πάντων ἐκκειμένη εὐσεβῶς μάλα καὶ εὐπρεπέστατα, μονονοὺ σαφῶς ταῖς ἁπάντων ἀκοαῖς ἐμβοῶσα τήν τε περὶ ἡμᾶς τοῦ σωτῆρος ἀγαθότητα γεγενημένην, καὶ τῆς οἰκονομίας αὐτοῦ καὶ συγκαταβάσεως διατρανοῦσα τὸ μυστήριον, καὶ οὐδὲν ἧττον ἢ τὸ ἱερὸν διδάσκουσα εὐαγγέλιον, τάς τε τῶν ἁγίων ἀριστείας, καὶ τοὺς ἀξιαγάστους ἄθλους αὐτῶν κηρύττουσα, καὶ τὴν τῶν ἀθετούντων ταῦτα ἀγνωμοσύνην καὶ ἀπιστίαν ἐμφανῶς στηλιτεύουσα· " πάντα γὰρ ἐνώπια „ τοῖς συνιοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. „

Καὶ τίς οὕτως ἄθλιος καὶ πεπωρωμένος τὴν ψυχὴν καὶ ἠλίθιος, ὡς ἀντωπῆσαι πρὸς τὴν οὕτω λαμπρὰν καὶ διαφανεστάτην ἀλήθειαν; πῶς δὲ ἄρα τοιαύτης προσηγορίας τυχοῦσα ἡ γραφὴ, οὐ τιμία καὶ ἔνδοξος; οὐδὲν γὰρ ἀπεικὸς καὶ τοῦτο Χριστὸν ὀνομάζεσθαι καθάπερ ἐκεῖνα χερουβίμ· τίς γὰρ λόγος ὁ τοῦτο κωλύσων τῷ ἐπιγεγράφθαι μάλιστα; Χριστὸς γὰρ τοῖς ἐντυγχάνουσιν ἀναγινώσκεται τοὔνομα, καὶ τοῦ εἴδους τὸ ἐμφερὲς ἔχουσα, καθ' ὅσον ἡ χεὶρ τοῦ γραφέως ταῖς εὐφυΐαις καὶ ταῖς ἐκ τῆς τέχνης τῆς γραφικῆς ἐπιδόσεσιν ἀπευθύνεται· ἡμῖν δὲ καὶ τὰ χρυσότευκτα χερουβὶμ, κατὰ τὴν ἀποστολικὴν φωνὴν τιμητέα, καὶ ὁ περὶ τούτων λόγος βραχύς τε καὶ εὐπερίγραπτος ὢν ἐνταυθοῖ περιγεγράψεται· ὁ δὲ περὶ τῶν ἀμαθαινόντων ἔτι σφριγῶν καὶ ἐπακμάζων ἐπὶ τὸ πρόσω προενεχθήσεται· ἐκπλαγείη γὰρ ἄν τις καὶ σφόδρα γε εἰκότως αὐτῶν κἀνταῦθα τῆς ἀνοίας καὶ ἀφροσύνης τὸ μέγεθος, ὡς οὐδ' αὐτὴ τῶν πραγμάτων ἡ φύσις καὶ ἡ ἐνάργεια, καὶ τὰ παρὰ πᾶσι συμφώνως ὁμολογούμενα, καὶ ταῖς κοιναῖς ἐννοίαις τὸ ἀναμφίλεκτον ἔχοντα, τὸ δέον αὐτοὺς συνιδεῖν πέπεικεν· εἴπερ γὰρ αὐτοῖς δογμάτων εὐθύτητος μετῆν, διασχοῦσι ἀμαθίας τὸ πάχος, ἐχρῆν ἐκ τῶν ἐναργῶς προφαινομένων καὶ ταῖς αἰσθήσεσι πάντων ὑποπιπτόντων, συλλογισαμένους περὶ τῶν προκειμένων, ἐπεγνωκέναι τἀληθῆ καὶ δοξάσαι τὰ εὐθῆ· ὡς γὰρ κἂν ταῖς σκιαγραφίαις ἰδεῖν ἔνεστιν, αἱ μὴ τῶν ἀρχετύπων αὐτῶν μόνον, ἤδη δὲ καὶ τῶν κεχρωματουργημένων, καὶ ταῖς διαφανέσι τῆς εὐχροίας βαφαῖς διηνθισμένων, καὶ πρὸς τὴν ἐμφέρειαν τοῦ πρὸς ὃ γέγονεν ἀκριβῶς ἐξειργασμένων, πολλῷ καταδεέστεραι οὖσαι τυγχάνουσιν, οὕτως ἐκ παραλλήλου θεμένους τὰ σχέσει θεωρούμενα, καὶ ὥσπερ ἀναλογίᾳ νόμου, οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων, τίμια δὲ ταῦτα καὶ ἅγια κατὰ τὴν ἀποστολικὴν εἰσήγησιν, πῶς οὐχὶ μᾶλλον τὰ τὸ

πλέον ἔχοντα, τὰ παρ' ἡμῖν ἱερά φημι, ἃ τὴν ἀλήθειαν αὐτὴν πεφόρεκε, διαφερόντως τιμιώτερά τε καὶ ἐνδοξότερα; ἀλλ' οἱ ματαιόφρονες οὐδὲ τῆς ἴσης ἐκείνοις ἀξιοῦσι τιμῆς· τοσούτου δέουσι τὴν τοῦ κρείττονος καὶ συμφέροντος ἐκλογὴν πεπιστεῦσθαι, ἐπεὶ καὶ τῇ τῶν ἐναντίων ἐκτόπως πλεονεκτοῦσιν αἱρέσει· ἐοίκασι γὰρ οἱ τῇ ματαιότητι καὶ τῷ ψεύδει κατισχημένοι, τοῖς ἐν σκότῳ βαθεῖ τραχεῖάν τινα καὶ προσάντη καὶ πολλαῖς ἀκάνθαις καὶ σκόλοψι κατεστορεσμένην ἰοῦσιν ὁδὸν, οἷς συμβαίνει ἀπείροις τοῖς ἐκ τῶν διαπταισμάτων τῆς ἀβλεψίας κινδύνοις, καὶ ἀνηκέστοις ὀδύναις περιπείρεσθαι· οὕτω γὰρ καὶ αὐτοὶ τῇ ἀχλύϊ τῆς ἀπιστίας ὁμοῦ καὶ ἀμαθίας περιπεσόντες, καὶ πλείοσι προσκόμμασι δυσφημιῶν καὶ ὕβρεων, ὧν κατὰ τῆς τοῦ σωτῆρος οἰκονομίας ὥσπερ λίθους οἱ τάλανες βάλλουσιν ἐναλόντες, ταῖς ἀκίσι τῆς ἁμαρτίας τὰς ψυχὰς οἷά περ πρὸς τὰ εὐθύτατα τῆς εὐσεβείας ἀποτυφλώττοντες δόγματα. περιφανῶς κατατιτρώσκονται.

οβ. Ἀλλὰ τὰ μὲν κατὰ Μωσέα, καὶ τὰ τῶν παλαιῶν ἐκείνων πέρας ἐχέτω· ἐπὶ δὲ τὰ πολλοῖς ὕστερον χρόνοις κατὰ τὴν ἰουδαίων περιφάνειαν ἐπίσημα νῦν εἶμι· δεδοξασμένος ὁ Σολομῶντος νεὼς, πῶς γὰρ οὔ; ἐπεὶ θεοῦ οἶκος καὶ αὐτὸς καὶ διάταγμα, καὶ ἡλίκος ἐκεῖνος τοῦ σοφοῦ καὶ κρατίστου ὁ παμποίκιλος καὶ διαβόητος δόμος, καὶ τί γὰρ ἢ Σολομῶντος ἔργον: φιλοτιμίᾳ γὰρ καὶ πολυτελείᾳ καὶ ἀναλώμασι πλείστοις ὅσοις ἀποχρώμενος, τῆς ἐπ' αὐτῷ εὐκλείας καὶ δόξης ὡς ἄριστα μετεποιεῖτο τῶν σπουδασμάτων· εἶτα ἐπειδὴ ἐκεῖνος καθῄρητο, ὁ μετ' ἐκεῖνον ἀνιστάμενος, δόξῃ καὶ λαμπρότητι οἰκοδομίας τε εἵνεκεν, καὶ τῶν ἄλλων δήπου περιφανέστερος διεφαίνετο· δηλώσει δὲ καὶ ὁ προφητικὸς ταῦτα λόγος· " μεγάλη γάρ φησιν ἔσται ἡ δόξα τοῦ οἴκου τού-
,, του ἡ ἐσχάτη ὑπὲρ τὴν πρώτην· καὶ ἐν τῷ τόπῳ τούτῳ δώσω εἰρήνην, λέγει
,, κύριος παντοκράτωρ, καὶ εἰρήνην ψυχῆς εἰς περιποίησιν παντὶ τῷ κτίζοντι
,, τοῦ ἀναστῆσαι τὸν ναὸν τοῦτον· ,, εἰρηκὼς τοίνυν ὁ θεῖος προφήτης, τῷ συγκριτικῷ τοῦ λόγου χρησάμενος σχήματι, ἐδίδαξεν ἡμᾶς ἐπιψηφιζόμενος καὶ τὴν τοῦ προτέρου οἴκου ἔνδοξον ὑπάρχουσαν διασκευήν· ἐπειδὴ γάρ ποτε πεπαρῴνηκε καὶ ἐξήμαρτεν εἰς τὸν κτίσαντά τε καὶ εὐεργετοῦντα θεὸν ὁ πάλαι ἰσραηλίτης λαὸς, τῶν δοθέντων αὐτῷ διὰ Μωσέως κατολιγωρήσας θεσμῶν, παράνομον δὲ βιωτὴν καὶ θεῷ ἀπᾴδουσαν τῆς νενομισμένης ἀνθῃρημένος, λελύπηκε τὴν θείαν δίκην, ταύτῃ τοι καὶ τὰ ἐκ τῆς ἄνωθεν ὀργῆς διέφερε δυσχερῆ, καὶ δίκας τῶν ἡμαρτημένων ἐδίδοσαν· πολέμιοι γὰρ κατὰ διαφόρους ἐπιόντες χρόνους, αὐτάνδρους τὰς πόλεις αὐτῶν ἀνήρπαζον· ὑπὸ βαρβάροις γοῦν ἐχθροῖς γενόμενοι, καὶ τῶν πατρίων ἐθῶν μετανιστάμενοι, τὴν ἀλλοτρίαν νέμεσθαι οἱ δορίληπτοι κατεδικάζοντο· ὑστάτην οὖν τιμωρίαν ἐξέτισαν, ὁπότε ἐπέστησαν Βαβυλώνιοι, καὶ ἡ περίοπτος ἐκείνη καὶ πολυθρύλητος πόλις πορθουμένη κατέστραπτο, τά τε περικαλλῆ αὐτῆς καὶ κράτιστα δώματα βαρβαρικοῦ πυρὸς ἐγένετο παρανάλωμα, τά τε βασίλεια καὶ ὁ περιώνυμος τοῦ Σολομῶντος νεὼς συγκαθῄρητο, καὶ τὰ παρ' αὐτοῖς ἅγια ὑπὸ χερσὶ βεβήλοις

τῶν ἐχθρῶν διεφέρετο· θείας δὲ φιλανθρωπίας τετυχηκότες οἱ ἑαλωκότες, καὶ τοὺς ἄνωθεν καθωρισμένους ἐπ' αὐτοῖς ἐξανύσαντες τῆς αἰχμαλωσίας χρόνους, ἀνίεντο τῶν δεσμῶν, καὶ τὴν ἐλευθερίαν εἰσαῦθις κατεπλουτίζοντο, καὶ πρὸς τὸ πατρῷον ἀνεσώζοντο ἔδαφος, καὶ ἡγεμόσιν οἰκείοις καὶ ἄρχουσι κατὰ τὰς προαγούσας ἐπ' αὐτοῖς προφητείας ἀπεκέχρηντο, ἡνίκα καὶ ὁ τοῦ Σαλαθιὴλ Ζοροβάβελ, καὶ ὁ τοῦ Ἰωσεδὲκ Ἰησοῦς, ὃς μέγας ἀρχιερεὺς ἐλέλεκτο, τοῦ λαοῦ ἐξάρχοντες ἡγεμόνευον· τούτοις οὖν τηνικαῦτα παρὰ θεοῦ διὰ τῆς προφητικῆς φωνῆς προσετέτακτο, σπουδῇ χρησαμένους καὶ προθυμίαις, καινίζειν καὶ ἀνιστᾶν τήν τε πόλιν καὶ τὸν ναὸν ἀναδείμασθαι· καὶ δὴ αὐτίκα τὰ προστατιόμενα ἀμελητὶ κατὰ καιροὺς ἐπεραίνετο, ἐξ ὧν ὅ τε καιρὸς συνεισήνεγκεν, ἥ τε Περσῶν μεγαλοψυχία πεφιλοτίμητο, ὅ τε τῶν περὶ τὴν οἰκοδομίαν σπουδαζόντων πόνος, οἷα δὴ ἄρτι τῆς πατρῴας καὶ φίλης ἐπιβαινόντων γῆς· ἀλλ' ἐκεῖνος μὲν οὕτως ἀπήρτιστο, καὶ μόνος ὢν ὁ οἶκος ἐθαυμάζετο, καὶ πρὸς αὐτὸν οἱ ἁπανταχοῦ γῆς συνίεσαν, καὶ ἐν αὐτῷ τὰ τῶν θυσιῶν ἐπετελεῖτο, καὶ τῆς θρησκείας ἁπάσης ἡ λατρεία περιεγέγραπτο, οὕτω τοῦ διὰ Μωσέως νόμου θεσπίσαντος· τὰ δὲ περὶ αὐτὸν τελούμενα, ζώων ἀλόγων σφάγια, καὶ πρόσχυσις αἵματος, καὶ ἁγνισμοὶ περιῤῥαντήριοι, καὶ σποδὸς δαμάλεως τοὺς κεκοινωμένους περικαθαίρουσα, παχύτητι γὰρ ἐδούλευον γράμματος, οὐ θεωρίᾳ προσεῖχον τηνικαῦτα τοῦ πνεύματος, καὶ ὅμως δεδόξαστο.

ογ. Τὰ δὲ ἐφ' ἡμῶν ὁποῖα καὶ ὅπως ἔχοντα, τί ποτε ἄρα παρὰ τοῖς ἐχθροῖς τῆς ἀληθείας νενόμισται, καὶ αὖθις ἐπισκεψώμεθα· ἡνίκα γὰρ ὁ καιρὸς ἐφέστηκε, καθ' ὃν ἡ θεία τοῦ σωτῆρος ἡμῶν Χριστοῦ χάρις ἐπέφανε, καὶ ὁ ναὸς ὁ τῶν ἁγίων ἅγιος παρὰ τῶν σταυρούντων ἐλύετο, καὶ τριήμερος πάλιν ἀνίστατο, καὶ πᾶς ὁ περὶ τὴν θείαν οἰκονομίαν διεπεπραγμάτευτο σκοπὸς, παρῴχηκε δὲ τὰ παλαιὰ καὶ ἀντεισήχθη τὰ νέα, παρῆλθεν ἡ σκιὰ, ἐπεισῆλθε δὲ ἡ ἀλήθεια, τύποι γὰρ ταύτης ἐκεῖνα ἐτύγχανε καὶ προμηνύματα, οἴχεται μὲν ὁ ναὸς, πέπαυται δὲ ἡ δόξα, πέρας εἴληφεν ἡ λατρεία, διεκόπη τῶν θυσιῶν ὁ νόμος, τῶν ἀλόγων ζώων περιῃρέθη τὰ θύματα, ἔστη τῶν αἱμάτων ἡ χύσις, ἠφάνισται τοῦ καπνοῦ καὶ τῆς κνίσσης τὸ ἀηδὲς, καὶ τὸ πᾶν εἰπεῖν τὰ παλαιὰ πεπαλαίωται καὶ γεγήρακε· τὸ δὲ παλαιούμενον καὶ γηράσκον, οὐκ ἄδηλον ὅποι προσήγγικε· ταῦτα ἐπείπερ τὸ καινὸν σφαγιάζεται θῦμα, ἔναντι πάντων καὶ ὑπὲρ πάντα ἀντεισαγόμενον, καὶ τὸ αἷμα τὸ τίμιον τοῦ ἀμώμου ἀμνοῦ ὑπὲρ τῆς ἁπάντων σωτηρίας εἰσφέρεται προχεόμενον, σεσιώπηται καὶ κατήργηται· ἀλλ' εἰ τὰ καταργούμενα δόξης ἔμπλεα, τὰ κατὰ τὴν ἀνατείλασαν χάριν καὶ ἀλήθειαν, ἥτις τὰ παλαιὰ ἐκεῖνα κατήργηκε, πῶς οὐκ εὐκλεέστερα καὶ πολλῷ μᾶλλον δόξῃ καὶ σεβάσματι διαφέροντα; οἱ δὲ τῆς εἰδωλομανίας ἔξαρχοι, τῇ ἑαυτῶν ἀπάτῃ καὶ ἀγνωμοσύνῃ ἀγόμενοι, οὐδὲ παρατίθεσθαι ἐκείνοις δοξάζουσιν ἀνοηταίνοντες, ἀλλ' ἐκ διαμέτρου τῆς ἀληθείας ἀποσφαλλόμενοι ἵενται, καὶ πρὸς τὴν οἰκείαν καὶ φίλην τοῦ ψεύδους πλάνησιν ἀβουλότατα κατωθούμενοι φέρονται· ναοὶ γὰρ οἱ παρ' ἡμῖν, τί χρὴ καὶ

λέγειν; ὡς μὲν πλεῖστοι, ὡς δὲ μέγιστοι, ὧν τινες καὶ κάλλει καὶ μεγέθει, τοῦ παλαιοῦ ἐκείνου ὑπεραίρουσι, μαρτυρεῖ τὰ ὁρώμενα, καὶ ἐν πάσῃ τῇ ὑφ' ἡλίῳ ἐπ' ἀπειρίᾳ κατευρυνόμενα· ὡς εἴ τις ἀριθμῷ διαλαβεῖν τὸ πλῆθος αὐτῶν ἐθελήσειε, λάθοι ἂν ἑαυτὸν τὴν ἐπὶ θαλάσσης ψάμμον ἀπαριθμούμενος, ἢ τῶν κυμάτων ἐπιὼν τὴν ἐπανάστασιν· χάριτος δὲ ὁπόσης καὶ ἁγιασμοῦ δαψιλῶς ὅπως καὶ πλουσίως μετειληχότες βρύουσιν, οὐδὲ παρεξετάζειν ὅλως ἐκείνῳ θεμιτόν· καὶ ταῦτα δηλοῖ τῶν πραγμάτων ἡ ἀλήθεια· τὰ δὲ οὕτως ἔνθεα, καὶ τῶν ἐνδόξων ἐνδοξότερα, καὶ τῶν θαυμασίων θαυμασιώτερα ἠγνόησαν παντελῶς· πῶς καὶ τίνα τρόπον; ἐπειδὴ ἀνὰ μέσον ἁγίου καὶ βεβήλου οὐ διέστειλαν, οὐδὲ συνῆκαν ὅτι οὔτε συγκατάθεσις ναῷ θεοῦ μετὰ εἰδώλων, οὐδὲ κοινωνία φωτὶ πρὸς σκότος· " διὰ τοῦτο περιεβάλοντο ἀδικίαν καὶ ἀσέβειαν „ ἑαυτῶν, καὶ διενοήθησαν καὶ ἐλάλησαν ἐν πονηρίᾳ, ἀδικίαν εἰς τὸ ὕψος „ ἐλάλησαν· „ ὡς οὐδέν τι μᾶλλον τὸ ἐν κόσμῳ ἀδόξως νοσοῦντες φιλήδονον, ἢ τὸ ἐν γλώττῃ ἀκόσμως ληροῦντες φιλείδωλον· καθάπαξ δὲ πρὸς πᾶν ὁτιοῦν τῶν καλῶν τὰς ἀκοὰς ἀποφράξαντες, οὐδὲ τῶν εὐαγγελικῶν ῥημάτων κατακούειν ἀνέχονται, δι' ὧν τοῖς φαρισαίοις, νομικῶν παρατηρήσεων ἕνεκεν, κατὰ τῶν θεσπεσίων ἐγκαλοῦσι μαθητῶν, ἐπιπλήττων ὁ σωτὴρ ἔλεγεν· " ἢ οὐκ ἀνέ„ γνωτε ἐν τῷ νόμῳ, ὅτι τοῖς σάββασιν οἱ ἱερεῖς ἐν τῷ ἱερῷ τὸ σάββατον „ βεβηλοῦσι, καὶ ἀναίτιοί εἰσι; λέγω δὲ ὑμῖν, ὅτι καὶ ἄνδρες νινευῖται ἀνα„ στήσονται ἐν κρίσει μετὰ τῆς γενεᾶς ταύτης, καὶ κατακρινοῦσιν αὐτὴν, ὅτι „ μετενόησαν εἰς τὸ κήρυγμα Ἰωνᾶ, καὶ ἰδοὺ πλέον Ἰωνᾶ ὧδε· πρὸς δὲ, ὅτι „ καὶ βασίλισσα νότου ἐγερθήσεται ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης καὶ „ κατακρινεῖ αὐτὴν, ὅτι ἦλθεν ἐκ τῶν περάτων τῆς γῆς ἀκοῦσαι σοφίαν Σο„ λομῶντος· καὶ ἰδοὺ πλέον Σολομῶντος ὧδε. „

οδ'. Παρασημαντέον δὲ πρῶτον, ὅτι πλέον ὧδε ἐφ' ἑκάστῳ τῶν εἰρημένων τρόπων προσκείμενον, οὐ τοπικήν τινα παρίστησιν ἔννοιαν, ἀλλ' ὅσον ὑπεραίρει καὶ ὑπερίδρυται τὰ νέα καὶ παρὰ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ οἰκονομούμενα, καὶ ἀσυγκρίτως τὸ πλέον ἔχοντα τῶν τε κατὰ Σολομῶντα τεθαυμασμένων, καὶ τῶν ἐν τοῖς ἄλλοις παλαιοῖς, καὶ ταῖς τῶν πραγμάτων ὑπεροχαῖς, ἐν ἀμείνοσι μακρῷ κείμενα διαδείκνυσιν· ὧν τὸ ὑπερανεστηκὸς καὶ ἐξηλλαγμένον προσεχῶς εἴρηται· διὰ τούτων γὰρ ἡμῖν τὰ θεῖα τῆς οἰκονομίας μυστήρια παραδέδοται, τὰ οὐράνια τοῖς ἐπὶ γῆς ἐκκαλύπτεται, τῆς υἱοθεσίας ἡ χάρις προέρχεται, καὶ βασιλεία οὐρανῶν ἐντὸς ἡμῶν γίνεται, πᾶσα εἰδωλικὴ καὶ δαιμονικὴ ἀπάτη πάντοθεν ἀπελαύνεται· καὶ τί γὰρ ἄλλο, ἢ ὅτι θεὸς μετὰ ἀνθρώπων; οὗ τί ἂν εἴη μεῖζον καὶ ὑψηλότερον; εἰ δὲ καὶ τόπον τις ὑπολήψεται, τί κρεῖττον καὶ ἐνθεέστερον, ΕΝΘΑ ΘΕΟΣ ΕΝ ΣΑΡΚΙ ΠΑΡΑΓΙΝΕΤΑΙ; ὧν οὐδὲν τὰ παλαιὰ ἐκεῖνα διεκέκτητο πώποτε· ἀλλὰ καίπερ τοιαῦτα γε ὄντα, τῶν θαυμασίων ὁπόσον εἰπεῖν θαυμασιώτερά ἐστιν ἀμήχανον, ἃ παρὰ τοῖς ἐχθροῖς τοῦ εὐαγγελίου ὁποῖα νῦν λελόγισται καὶ κατωνόμασται· πάλιν αὐτοὶ θεομαχείτωσαν, αὐτοὶ τὸ μυστήριον τῆς οἰκονομίας κωμῳδείτωσαν, αὐτοὶ τὸ

κεφάλαιον τῆς σωτηρίας ἡμῶν διαφαυλιζέτωσάν τε καὶ χλευαζέτωσαν, αὐτοὶ τῆς ὕβρεως ἀπολαυέτωσαν· εἰδωλικῆς γὰρ πλάνης τὰς ἑαυτῶν ἀποπιμπλᾶσι ψυχάς· ἀξίως οὖν καὶ λίαν ἐνδίκως, καὶ γενεὰ ἄπιστος καὶ μοιχαλὶς νομισθήσεται, ὡς δὴ φίλην καὶ ἀδελφὴν τῆς τῶν φαρισαίων ἀναισχυντίας καὶ ἀπονοίας, τήν τε γνώμην καὶ ἀπιστίαν κατακτησάμενοι· εἰ γὰρ τὰ παλαιὰ ἐκεῖνα καὶ προγενέστερα τίμια, πῶς οὐκ ἔδει ταῦτα ψῆφον ἐνέγκασθαι τὰ νέα καθ' ἡμᾶς, τὴν πασῶν ἀμείνω τὲ καὶ προφερεστέραν, δόξης τὲ καὶ τιμῆς ἀξιωθήσεσθαι; ὅπερ ἤδη παρὰ τῶν εὐσεβούντων ἐπαξίως δὴ καὶ τετύχηκε· κἀκεῖνο δὲ σκοπεῖν ἄξιον, ὡς ὁ μὲν οἶκος ἐκεῖνος ὁ παλαιὸς, οὕτω θείοις δεδόμηται νεύμασι, καίτοι πρότερον παρὰ τῶν ἀνασεσωσμένων οὐκ εὐαγῶς παρεωραμένος.

Ἴδωμεν δὲ τί ποτε ἄρα τῷ τῶν ὅλων θεῷ τὸ πρὶν ἐπ' ἐρημίᾳ καὶ κατηδαφισμένον καθορῶντι κείμενον δοκεῖ· μέγα κατακέκραγεν Ἰουδαίων, ἠμεληκόσι περὶ τὴν δόμησιν· ἐπεγκαλεῖ διὰ τοῦ προφήτου· ἀπειλαῖς χαλεπαῖς καταζεύγνυσι· καὶ ὁποῖα δὴ ταῦτα; ὀλίγων ἐπιμνησθῆναι καταλελοιπόσι τὰ πλείονα, οὐκ ἀποτάτω σκοποῦ νενόμισται· γέγραπται γὰρ ὡδί· " διὰ τοῦτο τάδε λέγει ,, κύριος παντοκράτωρ· ἀνθ' ὧν ὁ οἶκος μου ἐστὶν ἔρημος, ὑμεῖς δὲ διώκετε ,, ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ, διὰ τοῦτο ἀνέξει ὁ οὐρανὸς ἀπὸ δρόσου, καὶ ,, ἡ γῆ ὑποστελεῖται τὰ ἐκφόρια αὐτῆς· καὶ ἐπάξω ῥομφαίαν ἐπὶ τὴν γῆν, ,, καὶ ἐπὶ τὰ ὄρη, καὶ ἐπὶ τὸν σῖτον, καὶ ἐπὶ τὸν οἶνον, καὶ ἐπὶ τὸ ἔλαιον, ,, καὶ ὅσα ἐκφέρει ἡ γῆ, καὶ ἐπὶ τοὺς ἀνθρώπους, καὶ ἐπὶ τὰ κτήνη, καὶ ἐπὶ ,, πάντας τοὺς πόνους τῶν χειρῶν αὐτῶν· καὶ ἤκουσε Ζοροβάβελ ὁ τοῦ Σα- ,, λαθιὴλ ἐκ φυλῆς Ἰούδα, καὶ Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ ὁ ἱερεὺς ὁ μέγας, καὶ ,, πάντες οἱ κατάλοιποι τοῦ λαοῦ, τῆς φωνῆς κυρίου τοῦ θεοῦ αὐτῶν, καὶ ,, τῶν λόγων Ἀγγαίου τοῦ προφήτου, καθ' ὅτι ἐξαπέστειλεν αὐτὸν κύριος ,, ὁ θεὸς αὐτῶν πρὸς αὐτούς· καὶ ἐφοβήθη ὁ λαὸς ἀπὸ προσώπου κυρίου, καὶ ,, εἶπεν Ἀγγαῖος· ἄγγελος κυρίου τῷ λαῷ ἐγώ εἰμι μεθ' ὑμῶν, λέγει κύ- ,, ριος· καὶ ἐξήγειρε κύριος τὸ πνεῦμα Ζοροβάβελ τοῦ Σαλαθιὴλ ἐκ φυλῆς ,, Ἰούδα, καὶ τὸ πνεῦμα Ἰησοῦ τοῦ Ἰωσεδὲκ τοῦ ἱερέως τοῦ μεγάλου, καὶ ,, τὸ πνεῦμα τῶν καταλοίπων πάντων τοῦ λαοῦ, καὶ εἰσῆλθον καὶ ἐποίουν τὰ ,, ἔργα ἐν τῷ οἴκῳ κυρίου παντοκράτορος. ,,

Ἀλλὰ τοῖς μὲν πάλαι, καὶ ῥαθυμοῦσι περὶ τὸν οἶκον, ταῦτα ἠπείληται· καὶ σπουδάζουσι περὶ αὐτὸν ἱκανῶς, ἐκεῖνα ἀπήγγελται· νῦν δὲ. καὶ τί συμβήσεται, τοῖς οἰκοδομεῖν μὲν οὐ σπουδάζουσιν, ἐκπορθεῖν δὲ καὶ καθαιρεῖν ἐπειγομένοις, ἃ διαπρεπῶς καὶ κοσμίως καὶ εὐσεβῶς ἕστηκε; καὶ οὐχ' ἕνα οἶκον, ἀπείρους δὲ τῷ πλήθει καὶ ἀριθμὸν ὑπερεκβαίνοντας, οὐ τὸν ἐναίμοις ἀνειμένον θυσίαις καὶ λιβανωτοῖς καὶ τοῖς ἐσχαρίταις, καὶ λιπασμάτων κνίσσεσι τεθυμιαμένον, καὶ τοῖς τῷ γράμματι δουλεύουσι καὶ σαρκικοῖς ἔτι καὶ τῶν γηΐνων ἀντεχομένοις νενεμημένον, ἀλλὰ τοὺς ταῖς ἐν πνεύματι λατρείαις καὶ θυσίαις αἰνέσεως αἷς χαίρει θεὸς εὐωδιάζοντας, καὶ τοῖς ἐν πνεύματι θεοῦ ἀγομένοις καὶ τῶν οὐρανίων μεταποιουμένοις ἀποκεκληρωμένους· εἰ δὴ οὖν ἐκεί-

νοις τοῖς ἐπ' ἐλάττοσιν ἑαλωκόσιν ἀπειλεῖ καὶ χαλεπαίνει θεὸς, τοῖς ἐπὶ μείζοσιν ἁμαρτήμασι καὶ προσκρούσμασι πεφωραμένοις, πῶς οὐκ ὀργισθήσεται ἀμυνούμενος, πλείοσί τε καὶ χαλεπωτέραις ὑπαγάγοι ταῖς καταδίκαις; τούτοις γὰρ παραπλήσια καὶ δι' ἑτέρων ἁγίων προφητῶν, τῶν τῆς θεραπείας τοῦ θείου οἴκου κατολιγωρούντων, ὁ τῶν ὅλων καταβοᾷ θεὸς, ὑφ' ὧν δηλοῦται πεπεδῆσθαι μὲν τῶν νεφῶν τὰς ὠδῖνας, ἄγονον δὲ τὴν γῆν ἐφορᾶσθαι, θορύβους τε ἐπαλλήλους ἐπεγηγέρθαι, καὶ δύναμιν ὡσαύτως κολάζουσαν, καὶ ῥομφαίαν ἀναιροῦσαν, οἷα συμβαίνει κατά τε στάσιν ἐμφύλιον καὶ πολεμίων ἔφοδον γίνεσθαι· εὐκαίρως τούτοις καὶ ὁ παροιμιακὸς ἐποιμώξειε λόγος· " ὦ οἱ ,, εὐφραινόμενοι ἐπὶ κακοῖς, καὶ χαίροντες ἐπὶ διαστροφῇ κακῇ. ,,

οε. Ἐπὶ δὲ τὸν κολοφῶνα τῆς θεομάχου δόξης αὐτῶν ἄπιμεν· τί δὲ δὴ τοῦτό ἐστιν; ὅτι τὸν κύριον τῆς δόξης τὸν Χριστὸν καὶ θεὸν ἡμῶν, τοῦ τῆς θεότητος ἀφαιροῦσιν ἀξιώματος, καὶ δόξης τῆς πατρικῆς περιφανῶς ἐκβάλλουσι, ψιλὸν δὲ μόνον καὶ τῶν καθ' ἡμᾶς ἀνθρώπων ἕνα καταλιμπάνουσι· κατ' οὐδένα τρόπον ἡμᾶς διὰ τῆς θείας ἐνανθρωπήσεως αὐτοῦ ὠφελῆσθαι ἢ σεσῶσθαι κηρύσσοντες, ἢ τῆς παλαιᾶς ἀρᾶς ἀπηλλάχθαι, καὶ τῆς τοῦ διαβόλου πλάνης καὶ δυναστείας ἠλευθερῶσθαι, τῇ ἀπάτῃ δὲ τῇ προτέρᾳ κεκρατῆσθαι, καὶ τῷ τῶν εἰδώλων προσκεῖσθαι σεβάσματι, καὶ τὴν τοῦ κτίσαντος ἔτι νοσεῖν ἄγνοιαν· τοιούτῳ γὰρ ζόφῳ τῆς ἀσεβείας πάλιν ἐπισκοτίζονται, ὁπότε δὴ πρὸς τὸ αὐχμηρὸν τοῦ κατὰ τὸ ἀπερίγραπτον φαντασιώδους ὀκνήσειαν, ἵνα καθάπαξ τῆς σωζούσης ὁμολογίας ἀποσφαλλόμενοι, ἑνί γέ τῳ τρόπῳ εἰς τὸ τῆς εὐσεβείας κεφάλαιον ἐξαμαρτάνωσι, καὶ τριῶν ἕν· ἢ γὰρ οὐκ εἰδέναι, ἢ οὐ βουληθῆναι, ἢ οὐ δεδυνῆσθαι σώζειν· ὧν ἕκαστον, εἴ τις αὐτῷ περιάπτοι, τῷ τῆς θεότητος μεγαλείῳ λυμαίνεται· ἑνὶ γοῦν τούτων ἡττώμενος, οὐ θεός· αὐτὰ δὲ οὐδὲ μέχρι τῆς τοῦ μονογενοῦς ὕβρεως τὸ βλάσφημον περιΐστησιν, ἤδη δὲ καὶ πρὸς αὐτὸν τὸν ἐπὶ πάντων θεὸν καὶ πατέρα, ἔτι τε καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, εἰκότως ἀναδραμεῖται· ὅτι ὁ μὲν εὐδόκησεν ἐπὶ τῇ σωτηρίῳ τοῦ λόγου συγκαταβάσει, τὸ δὲ συνήργησε· μεμένηκε δὲ καὶ ἡ εὐδοκία τοῦ πατρὸς ἀδόκιμος· ἀνενέργητος δὲ καὶ ἡ συνεργία τοῦ πνεύματος· ἔσβεσται δὲ καὶ τὸ ἀποστολικὸν κήρυγμα· ταῦτα δὲ καὶ ψιλῶς εἰς νοῦν παραδέχεσθαι, ἀθεΐας ἐστὶ τῆς ἀνωτάτω, μήτι γε καὶ ὁμολογῆσαι καὶ διδάξαι.

ος. Πολλῶν δὲ ὄντων τῶν ἐντεῦθεν ἀναφαινομένων ἀτόπων, καὶ γὰρ πάμμεγα καὶ ὑπεραῖρον τὸ δυσσέβημα, ὀλίγα εἰπόντες, τὰ πλείονα καταλείψομεν· εἰ γὰρ σώζειν ἀγνοεῖ, ἥκιστα ἂν ἐκ μὴ ὄντων παράγειν ἠπίστατο· εἰ δὲ οὐ παρῆγεν, οὐδὲ ἀγαθός· εἰ μὴ γὰρ ἔσωζεν, οὐδὲ παράγειν δεήσεται· ἐν τίνι γὰρ ὀνήσει τὸ παραγόμενον, εἰ μὴ σώζεται; εἰ δὲ ἀγαθὸς οὐκ ἔστιν, οὐδὲ θεός· οὐδ' ἄν τι τῶν ἄλλων γνοίη· τὸ γὰρ παράγειν, ἀγαθοῦ· πῶς δὲ ἀγνοῶν σώζειν, τὸ τῆς ἀγνοίας διαφεύξεται πάθος; τί δὲ διοίσει τῶν ἐν κτίσμασιν, εἰ ἀγνοεῖ τί; οὐ γὰρ μόνον οὐ θεὸς, ἀλλὰ καὶ τῶν κτισμάτων φανεῖται καταδεέστερος· εἴπερ προφῆται καὶ ἄνδρες ὅσοι θεοκλυτήσαντες, πολλὰ τῶν ὄντων

καὶ ἐσομένων ἄνωθεν ἐνελάμφθησαν· ὧν, εἰ οὐκ οἶδεν, ἐλαττωθήσεται πάντως· καὶ εἰ πρὸς τὸν Θεὸν καὶ πατέρα ὁ υἱὸς καὶ Θεὸς λέγει " τὰ ἐμὰ πάντα σά ,, ἐστι, καὶ τὰ σὰ ἐμὰ, καὶ δεδόξασμαι ἐν αὐτοῖς ,, ἀγνοήσει δέ τι τῶν ὅλων, ἀνάγκη καὶ τὸν πατέρα ἠγνοηκέναι, ὃ τῶν ἄλλων ἐστὶν ἀτοπώτερόν τε καὶ ἀθεώτερον· ἔπειτα φυσικῶς ἐστέρηται τῆς γνώσεως, ἢ παρ' ἑτέρου τὴν στέρησιν παθὼν ἔσχεν; εἰ μὲν παρ' ἄλλου βεβίασται ἡρπασμένος τὴν γνῶσιν, καὶ ἔσται ὁ ἀφῃρηκὼς ἀλκιμώτερός τε καὶ εὐσθενέστερος· εἰ δὲ φύσει ἀγνοεῖ, οὐδὲ εἴσεταί ποτε· τὰ γὰρ φύσει τινὶ αὐτόθεν προσόντα, καθ' ἑαυτά γε ὄντα, οὐκ ἔξωθεν ἐπεισιόντα, οὐ μεταβάλλει συμπεφυκότα· φύσεως γὰρ ἴδιον ἀμεταπτώτως ἔχειν ἐν τοῖς φυσικοῖς ἰδιώμασιν· οὐκοῦν οὔ ποτε αὐτοῖς τὰ τῆς σωτηρίας ἐλπισθήσεται, εἰ μὴ ἐν ἑτέρῳ κείσεται· ὁ γὰρ νῦν οὐκ εἰδὼς σώζειν, οὐδὲ ἐν τοῖς ἔπειτα εἴσεται· πῶς δ' οὖν ἕξουσι τὸ ἀκαταιτίατον καὶ ἀνεύθυνον, τῇ τῶν λεγομένων ἀγνοητῶν ἀνοσίᾳ περιπεπτωκότες αἱρέσει, οἳ δοξάζουσιν ἀγνοεῖν τὸν Χριστὸν τὴν ὥραν τὲ καὶ ἡμέραν, καθ' ἣν τοῦδε τοῦ παντὸς ἥξει τὸ πέρας; ὅπερ τὸ κατ' αὐτὸν ἀνθρώπινον πιστούμενος ὁ σωτὴρ, τοῖς θεσπεσίοις μαθηταῖς ἔλεγεν, ἢ τῷ μὴ συμφέρειν αὐτοῖς ἀκοῦσαι καὶ ἀναμαθεῖν ἀναβαλλόμενος, ὡς οὐ δεόντως διαπυνθανομένοις, καὶ μείζονα ἢ καθ' ἑαυτοὺς μαθητιῶσιν, ἢ οἰκονομικῶς σχηματισάμενος μὴ εἰδέναι δόξαι μᾶλλον, ἢ εἰδότα καὶ ἀποκρυψάμενον λυπεῖν, ἢ ἕτερόν τι χρησίμως καὶ θεοπρεπῶς οἰκονομῶν· ἐπεὶ θεὸς ὢν ὁ αὐτὸς καὶ λόγος καὶ σοφία, πάντων εἶχε τὴν γνῶσιν· οὐδὲν δὲ θαυμαστὸν, εἰ ἐν πᾶσι τοῖς διδασκάλοις αὐτῶν τοῖς ἀρειομανίταις ἑπόμενοι, κἀν τούτῳ τῷ ἀσεβήματι ἐπακολουθήσωσι· μετὰ γάρ τοι τῶν ἄλλων αὐτῶν δυσσεβημάτων, καὶ τὴν ἄγνοιαν ἐπὶ Χριστοῦ καταγορεύουσιν.

οζ. Εἰ δὲ εἰδὼς σώζειν οὐκ ἠβουλήθη, βασκανίας πάλιν αὐτῷ πάθος προστρίψονται, τοῦ προτέρου πολλῷ χαλεπώτερον· καὶ πῶς θεὸς, εἰ πάσχει τί; τῷ γὰρ πάσχειν, καὶ τροπὴ παρέπεται· τῇ δὲ τροπῇ πάντως καὶ ἀλλοίωσιν πείσεται· καὶ πῶς θεὸς τὸ ἀλλοιούμενον; εἰ δὲ οὐκ ἠβουλήθη σώζειν, πῶς παράγει ἐκ τοῦ μὴ ὄντος; ἃ γὰρ οὐ βούλεται σώζειν, οὐδὲ παράγειν ἔδει· εἰ δὲ παράγει μὲν, οὐ σώζει δὲ, ὡς ἐκ μεταμελείας εἰς τοῦτο ἐλθὼν, ἐναντίος αὐτὸς ἑαυτῷ φανεῖται· καὶ πῶς ἔστι τοῦτο; εἰ γὰρ τὸ παράγειν ἀγαθοῦ, καὶ τὸ σώζειν δήπου· τὸ φθείρειν γὰρ καὶ ἀπολλύειν, οὐκ ἀγαθοῦ ἀλλὰ κακοῦ· ἀντίκειται δὲ τῷ ἀγαθῷ τὸ κακόν· περὶ ἓν δὲ καὶ τὸ αὐτὸ καὶ κατὰ ταὐτὸν τὰ ἀντικείμενα ἅμα συνυπάρξαι, ἀδύνατον· πῶς οὖν ἔσται παρὰ θεῷ, ὅπου γε οὐδ' ἐν τοῖς γενητοῖς τοῦτ' ἂν εὕροι τις; πολλοῖς γὰρ τὸ εὐδόκιμον ἐν ἀμφοτέροις πάρεστι, καὶ ἐργαζομένοις τινὰ καὶ ἐπιμελομένοις, καὶ εἰς τὸ σώζειν καὶ διαμένειν ταῦτα, ταῖς σπουδαῖς χρωμένοις καὶ ταῖς εὐσθενείαις· εἰ μὴ καὶ τούτων τὸν υἱὸν ἐλαττώσουσι· πῶς δὲ καὶ αἴτιος τῶν ἀγαθῶν ῥηθείη ἂν, εἰ τὸ πρώτιστον τῶν ἀγαθῶν τὸ σώζειν οὐ βούλεται; ἔτι εἰ οὐ βούλεται σώζειν, οὐδὲ προνοεῖ· τίνων γὰρ ἂν εἴη πρόνοια, οὐκ ὄντος τοῦ σωζομένου; τῶν γὰρ ἕνεκά του, ἡ πρόνοια· εἰ γὰρ προνοεῖ, σώζειν οὐ βουλόμενος, ἑαυτῷ ἀντικείσε-

ται· τοῦτο δὲ οὐδὲν ἕτερόν ἐστι λέγειν, ἢ ὅτι ἃ βούλεται οὐ βούλεται· εἶτα εἰ οὐ προνοεῖ, οὐδὲ ἀγαθός ἐστι· καὶ εἰ οὐκ ἀγαθὸς, οὐδὲ μεθέξει τί τῶν ὄντων αὐτοῦ, καὶ ταύτῃ οὐδὲ αἴτιος ἔσται τῶν ὄντων· ἐκποδὼν οὖν ἡ πρόνοια· προνοίας δὲ ἀνῃρημένης, πῶς ἂν συσταίη τὰ ἀνθρώπεια; καὶ εἴ τις κτίσις ἑτέρα ἐστὶν, οὐδὲ γὰρ τάξις ἐν τοῖς οὖσιν ἔσται, ἢ ἁρμονία ἢ συμμετρία ἐπιτεθήσεται, πόθεν τῶν γινομένων ἡ εὔτακτος καὶ ἀνάλογος διαδοχὴ, προνοίας οὐκ οὔσης; πῶς δὲ οἱ σπουδαῖοι μὲν δοξασθήσονται, οἱ φαῦλοι δὲ κολασθήσονται; καὶ πῶς τὰ ἁμαρτανόμενα ἐλεγχθήσεται, ἀποδεχθήσεται δὲ τὰ κατορθούμενα; ἀργοῦσι νόμοι καὶ τὰ θεῖα δικαιωτήρια· οἴχεται δὲ βασιλεία καὶ γέεννα, ἡ μὲν διὰ τοὺς χρηστοὺς, ἡ δὲ διὰ τοὺς πονηροὺς εὐτρεπισθεῖσα· ἢ οὕτω γε οὔτε ἀγαθὸν ὀφθήσεται καὶ ἐπαινεθήσεται, οὔτε κακὸν γνωσθήσεται καὶ καταγνωσθήσεται· σύγχυσις οὖν καὶ ἀταξία τῷ παντί· εἰ δὲ φαῖεν πρόνοιαν εἶναι, εἰ μὴ ὁ παράγων προνοεῖ, ἀνάγκη ἑτέραν αἰτίαν αὐτῆς διδόναι, καθ' ἣν τὰ ὄντα προνοούμενα διεξάγεται· καὶ ταύτην ἢ ὁμοίαν ἐκείνῳ ἢ ἀντικειμένην· καὶ εἰ ὁμοία, οὐδὲ ἄλλης δεῖ· εἰ δὲ ἀντικειμένη, ἀναιρετικὰ δὲ ἀλλήλων τὰ ἀντικείμενα, καὶ ἀλλήλοις μαχόμενα, πῶς τῶν ὄντων στήσεταί τι ἢ σωθήσεται; καὶ τί διοίσει ταῦτα τῆς Μανιχαίων ἀθεότητος, δύο ἀθέως εἰσηγουμένων ἀρχάς; εἰ δὲ καὶ εἰδὼς καὶ βουληθεὶς οὐκ ἠδυνήθη σῶσαι, ἢ τῶν φυσικῶν ἕξεων καὶ ἐνεργειῶν ἀτονουσῶν τοῦτο πέπονθε, καὶ ἔσται τῶν ἄλλων παθῶν ἐμπαθέστερον· ἢ ὑφ' ἑτέρου του πάντως ἀπείργοιτο, καὶ τετυράννηται, καὶ ἡττηθήσεται τὴν ἰσχὺν, καὶ ἔσται ὁ κωλύων εὐσθενέστερός τε καὶ περικλεέστερος· κἀκεῖνος μᾶλλον ὁμολογείσθω τὴν θείαν ἀποφερόμενος δόξαν, καὶ τὸ βλάσφημον ἀπεῤῥίφθω εἰς κεφαλὰς τῶν χριστομάχων· τὸ γὰρ μὴ δύνασθαι, οὐ θεοῦ· καὶ εἰργέσθω μὴ τοῦ σώζειν μόνον, ἀλλά γε καὶ τῆς ἄλλης θεοπρεποῦς δόξης, ὅπερ αὐτοῖς δυσσεβῶς ἐσπούδασται.

οη. Τὰ μὲν οὖν ἐκ τῶν ἀθέσμων λόγων αὐτῶν φυόμενα, παρανομίας καὶ ἀθεΐας πλήρη, ὡς ἐν συντόμῳ εἰπεῖν, τοιαῦτα· ἵνα μὴ τοῖς πλείοσιν ἐνδιατρίβοντες, καὶ αὐτοὶ συμπαρανομοῦντες φανοίμεθα· ταῦτα γοῦν παρέντες, καὶ πρὸς τὸ τῶν ἐμέτων αὐτῶν ἀηδὲς καὶ δύσφορον δυσχεραίνοντες, ἐπὶ τὴν τῶν ἀληθῶν δογμάτων εὐθύτητα, καὶ τὸ τῆς ἀληθείας φῶς ἀνανεύωμεν· ὁμολογοῦμεν οὖν καὶ μεγαλοφώνως κηρύσσομεν, ὅτι κατὰ φύσιν θεός ἐστιν ἀληθῶς ὁ Χριστὸς, καὶ θεοῦ υἱός· καθίκετο δὲ εἰς τὸ τῶν ποιημάτων μέτρον, δι' ὑπερβολὴν ἀγαθότητος· καὶ εἰδὼς καὶ βουλόμενος καὶ δυνάμενος σώζειν, ἔσωσεν ἡμᾶς καὶ τῆς διαβολικῆς πλάνης ἐῤῥύσατο, καὶ τῆς θεογνωσίας τὸ δῶρον ἡμῖν ἐχαρίσατο· σοφία δὲ ὢν τοῦ θεοῦ καὶ πατρὸς, ἥκιστα ἄν τι τῶν ὅλων ἀγνοήσειε· τῶν ὄντων γὰρ πάντων ποιητής ἐστι, καὶ οὐδὲν τῶν ὑπ' αὐτοῦ πεποιημένων, ἐκτὸς τῆς γνώσεως αὐτοῦ κείσεται· « ὁ θεὸς γάρ, φησι, τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν, ἡτοίμασε δὲ οὐρανοὺς ἐν φρονήσει, καὶ πάντα ἁπλῶς ἐν σοφίᾳ ἐποίησε, καὶ ἐν αὐτῷ πάντες οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως ἀπόκρυφοι » καὶ αὐτός ἐστιν ὁ τῆς σοφίας χορηγὸς, καὶ πᾶσαν λο-

γικὴν τῇ σοφοποιῷ δυνάμει σοφίζων φύσιν, ὅτι τῆς σοφίας καὶ τῆς συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός· εἰ δὲ αὐτός ἐστιν ὁ λέγων " ὅτι πάντα ὅσα ἔχει ὁ ,, πατὴρ, ἐμά ἐστι· καὶ καθὼς ὁ πατὴρ γινώσκει με, κἀγὼ γινώσκω αὐτὸν, ,, καὶ οὐδεὶς οἶδε τὸν πατέρα εἰ μὴ ὁ υἱὸς ,, τὸ μεῖζον ἁπάντων εἰδὼς, σχολῇ γε ἄν τι τῶν ἐλαττόνων ἀγνοήσειε; τὸ γὰρ μὴ οὕτω καὶ κατὰ ταῦτα καὶ φρονεῖν καὶ δοξάζειν, πρὸς τῷ βλασφήμῳ καὶ τὸ ἀδύνατον ἔχει· ὁ τοίνυν πάντα εἰδὼς πρὸ γενέσεως, τί ποτε ἄρά ἐστιν ἔξω τῶν πάντων ὃ οὐκ εἴσεται; οὐκοῦν καὶ τὸ σώζειν καὶ πρό γε τῶν ἄλλων ἐπίσταται· ἔνθεν παρὰ πᾶσι τοῖς θεὸν εἰδόσι, συμφώνως καὶ ὁμοφρόνως τὸ σωτὴρ ὄνομα αὐτῷ ἀποκεκλήρωται· τοῦτο γὰρ καὶ τὸ Ἰησοῦς δύναται, ἐκ τῆς τῶν πραγμάτων ἀληθείας τὴν δύναμιν καὶ βεβαίωσιν δεξάμενον.

Ὅτι δὲ εἰδὼς σώζειν, καὶ βούλεται σώζειν, πειθέτω αὐτοὺς πρῶτον μὲν τὸ " πάντα ὅσα ἠθέλησεν ὁ κύριος, ἐποίησεν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ· ,, ἔπειτα δὲ, ὅτι τὴν τοῦ πατρὸς βουλὴν ἀρχαίαν ἀληθινὴν, ἣ τὸ σώζειν ἐστὶ, πεπλήρωκεν ὁ τῆς μεγάλης βουλῆς ἄγγελος· οὗ ἡ βουλὴ κατ' οὐδὲν τῆς τοῦ πατρὸς διενήνοχε· μᾶλλον δὲ αὐτὸς ἐκείνη τυγχάνων ἐστὶν, ὥσπερ δὴ καὶ σοφία καὶ δύναμις καὶ τὰ παραπλήσια· πῶς δὲ οὐχ' ἑκούσιον εἶχε τὸ σώζειν ὁ λέγων " τὴν ψυχήν μου ἀπ' ἐμαυτοῦ τίθημι, καὶ ἐξουσίαν ἔχω πάλιν λα- ,, βεῖν αὐτήν; ὁ ποιμὴν ὁ καλὸς, ὁ τιθεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων· ,, πῶς δὲ, εἰ μὴ ἔσωζεν, οὐ θέλει τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἀποστρέφειν αὐτὸν ἐκ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς καὶ ζῆν αὐτόν; διὸ σώζειν βουλόμενος, καὶ προνοεῖ· οὐκοῦν καὶ πρόνοιά ἐστιν ἄχρι καὶ τῶν ἐσχάτων ἀναλόγως ἐφ' ἑκάστῳ διήκουσα· παρίστησι δὲ καὶ ἡ αἴσθησις αὐτὴ, καὶ ὁ ἔμφυτος ἐν ἡμῖν νόμος καὶ λόγος, καθ' ὃν τοῖς οὖσιν ἐπιβάλλοντες κατανοοῦμεν τὴν ἐν αὐτοῖς εὔτακτον καὶ ἐναρμόνιον τάξιν καὶ θέσιν καὶ κίνησιν, ἐξ ὧν ἀναλόγως τοῦ γενεσιουργοῦ τὸ μεγαλεῖον ἀνυμνοῦντες δοξάζομεν· ὅτι δὲ εἰδὼς καὶ βουλόμενος σώζειν καὶ δύναται, τίς οὕτως ἐμμανὴς καὶ ἀπόπληκτος, καὶ ἀπιστίας μέθῃ βεβαπτισμένος, ὥστε μὴ πείθεσθαι; ἀκούων τοῦ λέγοντος " Χριστὸν θεοῦ ὥσπερ σοφίαν, οὕτω δὴ καὶ δύναμιν· καὶ μέγας ὁ κύριος ἡμῶν, ,, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ· καὶ ὁ θεὸς ἡμῶν ὁ θεὸς τοῦ σώζειν· καὶ κύριος ,, κραταιὸς καὶ δυνατός· καὶ θεὸς τῶν δυνάμεων· καὶ ἰδοὺ ὁ θεὸς ἡμῶν μετὰ ,, ἰσχύος ἔρχεται· καὶ ὁ βραχίων αὐτοῦ μετὰ κυρείας· καὶ μὴ οὐκ ἰσχύει ἡ ,, χείρ μου τοῦ ῥύσασθαι; καὶ μὴ οὐκ ἰσχύω τοῦ ἐξελέσθαι ὑμᾶς; καὶ ὁ ,, ποιήσας τὴν γῆν ἐν τῇ ἰσχύϊ αὐτοῦ, ὁ κατορθώσας τὴν οἰκουμένην ἐν σοφίᾳ ,, αὐτοῦ, καὶ ἐν τῇ φρονήσει αὐτοῦ ἐξέτεινε τὸν οὐρανόν. ,,

Πῶς οὖν σωθήσεται τὸ, πάντα δι' αὐτοῦ ἐγένετο, εἰ μὴ σώζειν δύναται; εἰ γὰρ σώζειν μὴ δύναται, οὐδὲ ποιεῖν ἐκ μὴ ὄντος τὰ πάντα; καὶ τὸ, " πάντα δι' ,, αὐτοῦ καὶ εἰς αὐτὸν ἐκτίσθησαν· καὶ αὐτός ἐστι πρὸ πάντων· καὶ πάντα ἐν ,, αὐτῷ συνέστηκε· πῶς δὲ φέρει τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, σώ- ,, ζειν μὴ δυνάμενος; πῶς δήσει τὸν ἰσχυρὸν, καὶ διαρπάσει αὐτοῦ τὰ σκεύη; ,,

τίς δὲ ὁ μακάριος καὶ μόνος δυνάστης; τίς οὖν ταῦτά ἐστιν, ἀλλ' ἢ ὃν ὁ ἄγγελος μετὰ τῶν ποιμένων ἡμῖν εὐαγγελίζεται " ὅτι ἐτέχθη ὑμῖν σήμερον σω-„ τὴρ, ὅς ἐστι Χριστὸς κύριος ἐν πόλει Δαβίδ; „ οὐ γὰρ πρέσβυς οὐκ ἄγγελος, ἀλλ' αὐτὸς ὁ κύριος ἔσωσεν ἡμᾶς, ὃς καὶ οἶδε καὶ βούλεται καὶ δύναται σώζειν ἡμᾶς· ταῦτα μὲν ἡμῖν καὶ ὁμολογείσθω καὶ πεπείσθω, καὶ εἰς τὸν ἅπαντα χρόνον ἐπικρατύνεσθαι ηὔχθω· πῶς δ' οὖν, ἵνα τῶν πολλῶν ἀφέμενοι λόγων μὴ πέρα τοῦ μέτρου φερώμεθα, οἱ ἀπεναντίας τῆς τῶν ἱερῶν δογμάτων εὐθύτητος ἱστάμενοι, καὶ τῆς προσπαθείας τῶν περικοσμίων τῷ οἴστρῳ νυττόμενοι, ἐπὶ τὸ τραχὺ τῆς δυσσεβείας καὶ πρόσαντες ἐξεκώμασαν; " αὗται γὰρ „ αἱ ὁδοί εἰσι τῶν συντελούντων τὰ ἄνομα· ὅτι ἐὰν μὴ πιστεύσητε, οὐδὲ μὴ „ συνεῖτε γέγραπται· „ διά τοι τοῦτο καὶ αὐτοὶ μὴ πιστεύσαντες, οὐ συνῆκαν τοῦ κατὰ Χριστὸν μυστηρίου τὴν δύναμιν, καὶ ὅτι " ἐγγύς σου τὸ ῥῆμά ἐστι „ τῆς πίστεως, ἐν τῷ στόματί σου καὶ ἐν τῇ καρδίᾳ σου· οὐκ ἠβουλήθησαν· „ ἀλλ' ἔδωκεν αὐτοῖς ὁ θεὸς πνεῦμα κατανύξεως, ὀφθαλμοὺς τοῦ μὴ βλέ-„ πειν, καὶ ὦτα τοῦ μὴ ἀκούειν· „ διὸ οὐκ ἐπέγνωσαν ὅτι χωρὶς πίστεως ἀδύνατον εὐαρεστῆσαι θεῷ· πιστεῦσαι γὰρ δεῖ τὸν προσερχόμενον θεῷ ὅτι ἔστι, καὶ τοῖς ἐκζητοῦσιν αὐτὸν μισθαποδότης γίνεται.

οθ. " Ἔστι τοίνυν πίστις, φησὶν, ἐλπιζομένων ὑπόστασις, πραγμάτων ἔλεγ-„ χος οὐ βλεπομένων· „ ἀλλ' ὅσοι μὲν πνεύματι θεοῦ ἠγμένοι, ἐρηρεισμένον τε καὶ βεβηκότα τὸν νοῦν πρὸς πᾶν ὁτιοῦν τῶν ἀρίστων ἔχοντες, ἆθλον ὥσπερ ἀριστεῖον εὐγνωμοσύνης τὴν πίστιν δεχόμενοι, " πίστει νοοῦσι κατηρτίσθαι τοὺς „ αἰῶνας ῥήματι θεοῦ, εἰς τὸ μὴ ἐκ φαινομένων τὰ βλεπόμενα γεγονέναι „ καθὰ τῷ μυσταγωγῷ τῶν τοιούτων δοκεῖ· " πίστει γὰρ, εἴρηκεν, Ἄβελ παρὰ „ θεῷ δίκαιος ἐμαρτυρήθη, οἵ τε περὶ Νῶε καὶ Ἀβραὰμ καὶ Μωσέα· „ καὶ μετ' ἐκείνους οἱ κατ' ἐκείνους ἅγιοι, ταύτῃ τῷ θεῷ εὐηρέστησαν· ὧν οἱ μὲν βασιλείας κατηγωνίσαντο, ἐπαγγελιῶν τε ἐπέτυχον, πυρός τε καὶ θηρῶν καὶ πολέμων κρείττους ὤφθησαν· οἱ δὲ λιθαζόμενοι καὶ μαστιζόμενοι, καὶ διὰ πάσης τῶν δυσχερῶν πείρας ἀχθέντες, ἀνάλωτοι διέμειναν, καὶ ἑδραῖοι περὶ τὴν πίστιν ἐδείχθησαν· καὶ ταῦτα, οὐδὲ κομισάμενοι τὴν ἐπαγγελίαν, οὐκ ἂν δικαιωθέντες ἢ μαρτυρηθέντες, εἰ μὴ ἐπίστευσαν· ταύτῃ θάλασσα τέμνεται, ἥλιος ἵσταται, ποταμὸς ἀνακόπτεται, καὶ τείχη αὐτόματα κατασείεται, ὅσά τε ἄλλα διὰ πίστεως ἀκούομεν κατορθούμενα· οἱ δέ γε τῷ τοῦ ἐναντίου περιελκόμενοι, καὶ εἰς ἀπιστίας κατασυρέντες ὄλισθον, μακράν τε ἁγιωσύνης ἀπεληλαμένοι, καὶ τῆς ἐν ταύτῃ τελειότητος ὁλοτρόπως διημαρτηκότες, " ὡς νήπιοι „ κλυδωνίζονται, καὶ ἀνέμῳ παντὶ περιφέρονται, ἐν τῇ κυβείᾳ τῶν ἀνθρώπων, „ ἐν πανουργίᾳ, πρὸς τὴν μεθοδείαν τῆς πλάνης, ἐν ματαιότητι τοῦ νοὸς αὐ-„ τῶν περιπατοῦντες, ἐσκοτισμένοι τὴν διάνοιαν, καὶ ἀπηλλοτριωμένοι τῆς δό-„ ξης τοῦ θεοῦ, διὰ τὴν ἄγνοιαν τὴν οὖσαν ἐν αὐτοῖς, διὰ τὴν πώρωσιν τῆς „ καρδίας αὐτῶν· „ διὸ οὐδὲ εἰς τὴν ἑνότητα τῆς πίστεως κατηντήκασι, τῆς ἐπιγνώσεως τοῦ υἱοῦ τοῦ θεοῦ, κατ' ἐκείνους τοὺς ἀπειθήσαντας τὴν γνώμην

ὄντες καὶ τὴν διάθεσιν· οἷς ὤμοσεν ὁ Θεὸς, μὴ εἰσελεύσεσθαι εἰς τὴν κατάπαυσιν αὐτοῦ διὰ τὴν ἀπείθειαν αὐτῶν· δικαίως δ' οὖν παρὰ τῷ τοῦ σωτῆρος καταγνωσθήσονται μαθητῇ " δίψυχοι καὶ ἀκατάστατοι ἐν πάσαις ταῖς ὁδοῖς „ αὐτῶν· „ κλύδωνι ἐοικότες θαλάσσης ἀνεμιζομένῳ καὶ ῥιπιζομένῳ· οἷς δὴ καὶ ταλαιπωρεῖσθαι καὶ πενθεῖν καὶ κλαίειν προστέταχε, καὶ τὸν γέλωτα μεταστραφήσεσθαι εἰς πένθος, καὶ τὴν χαρὰν εἰς κατήφειαν· ἀλλ' οὐ παρὰ τὴν ἀπιστίαν αὐτῶν καὶ ἀσέβειαν ἡ καθ' ἡμᾶς μωμηθήσεται πίστις, οὐδὲ παρὰ τοῦτο αἱ ἱερογραφίαι φευκτέαι.

π. Ἀλλ' ἐπειδὴ ἱεραί τε εἰσὶ καὶ ἅγιαι, καὶ ἡ πίστις ἡμῶν ὀρθὴ καὶ ἀμώμητος, αὐτοὶ δὲ πρὸς τὸ φῶς τῆς ἀληθείας ἀναβλέψαι χαλεπαίνουσι, καθάπερ οἱ τὰς ὄψεις λελωβημένοι πρὸς τὰ λαμπρὰ τῶν ἀπαυγασμάτων, καὶ οἱ τὴν ἀκοὴν κεκακωμένοι πρὸς τοὺς ἤχους καὶ τοὺς ψόφους ἀεὶ δυσχεραίνουσι, διὰ τοῦτο κατάκριτοι καὶ τῆς χριστιανῶν μοίρας ἔκπτωτοι καὶ ἀλλότριοι· δεικνύσθω δὲ τὰ τῆς ἀπιστίας αὐτῶν σαφέστερον, μεταχειριζομένοις ἡμῖν, τὸν λόγον πάλιν ἐκ τῆς τῶν ἀποστολικῶν λογίων συμβάλλουσι παραθέσεως· ὁ γάρ τοι τοῖς πᾶσι πάντα γινόμενος, τὸν τῶν πιστῶν ῥυθμίζων βίον, καθάπερ τἄλλα πάντα ὅσα πρόξενα ζωῆς καὶ σωτηρίας ἐχόμενα εἰσηγήσατο, οὕτω δὴ κἀκ τῆς τῶν ἐδωδίμων χρήσεως, συμβιβάζων ὀξομαλίζει αὐτῶν τά τε ἤθη καὶ τὸν τρόπον· ὡς τό γε μὴ εἰς δέον χρῆσθαι, πρὸς κακοῦ πέρας ἥκειν, ἡνίκα ταῦτα τοῖς μὲν τελεωτέροις καὶ ἀρτίως πρὸς τὴν πίστιν διακειμένοις τὴν εὐαγγελικὴν, σκανδάλων γίγνοιτο ἀφορμὴ, ἀφ' ὧν ἀπόλλυσθαι μέλλοιεν οἱ δι' οὓς Χριστὸς ἀπέθανε· τοῖς δὲ περὶ ταύτην ἀσθενεστέροις, ἐμποδὼν ἵσταιτο πρὸς τὴν τελειότητα, καὶ τοῦ μὴ κεκαθάρθαι τὸν λογισμὸν σαφὴς ἔνδειξις· ἃ δὴ συνέβαινε τηνικαῦτα τοῖς ἐκ περιτομῆς πεπιστευκόσι, καὶ ἔτι περὶ τὰ βρώματα ἐκ τῶν μωσαϊκῶν ὁρμωμένοις θεσπισμάτων παρατετηρημένως πως διακεῖσθαι· φησὶ τοίνυν· " οἶδα καὶ πέπεισμαι ἐν κυρίῳ Ἰησοῦ, ὅτι οὐδὲν κοι„ νὸν δι' αὐτὸ, εἰ μὴ τῷ λογιζομένῳ τι κοινὸν εἶναι, ἐκείνῳ κοινόν· „ ὧδε δέ πως ἔχειν, εὖ ἐξεπίστατο καὶ τὸ εὐαγγελικὸν λόγιον τὸ φάσκον· " ὅτι οὐ „ τὰ εἰσερχόμενα εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον· „ ἐῶμεν λέγειν τὰ νῦν ἃ τῷ θεσπεσίῳ ἐκκαλύπτεται Πέτρῳ, ὁπηνίκα τέσσαρσιν ἐξημμένην ἄκροις καθιεμένην ἄνωθεν τὴν ὀθόνην τεθέαται, φωνῆς αὐτῷ ἐκπεποιημένης, ἀναστάντα καὶ θύσαντα φαγεῖν τῶν ἐν αὐτῇ καὶ τὸν ἀποφήσαντα, ἐπεὶ ἐδόκει οἱ ἀκάθαρτα εἶναι, καὶ τῷ ἀσυνήθει ἀπήχθετο, κεχρηματίσθαι πάλιν, μηδὲν τούτων κοινοῦν, ἃ Θεὸς διεκάθαρεν.

Ἐκ τῆς οὖν τούτων παραθέσεως, σκοπείτω τις ὅποι αὐτοῖς ἀκαθαρσίας καὶ μώμου τὰ τοῦ κεκιβδηλευμένου αὐτῶν δόγματος ἐκφέρεται· εἰ γὰρ τὰ μὲν γαστρὸς εἴσω χωροῦντα, καὶ διὰ τῶν ἐκ φύσεως διαπεπλασμένων ταῖς ἀποκριτικαῖς δυνάμεσιν ἐκχωροῦντα καὶ ἐκκρινόμενα πόρων, οὐκ ἄν τις τῶν ἱερῶν διδαγμάτων ἐν μεθέξει γενόμενος, καὶ τῆς τῶν ἀληθῶν καταλήψεως οὐκ ἠμοιρηκὼς, κοινὰ οὔτε μὴν ἀκάθαρτα λογίσαιτο, τό γε ἧκον ἐπὶ τῇ ἰδίᾳ αὐτῶν

φύσει· κεκοίνωται δὲ μᾶλλον καὶ μεμόλυται τὴν ψυχὴν, ὁ κοινόν τι τῶν εἰς βρῶσιν ἡμῖν παρὰ Θεοῦ ἐφειμένων οἰόμενος, τὸ ἀδρανὲς ἐθελοντὴς νενοσηκὼς τῆς πίστεως, καὶ χωλεύων περὶ τὴν τῆς ἀληθείας εὕρεσιν, ἀπὸ τοῦ διεψευσμένην τὴν περὶ αὐτῶν δόξαν ἔχειν, καὶ εἰς διακρίσεις ἴεσθαι· ἃ τὸν τύπον τοῦ κυριακοῦ σώματος ἡμῖν ἐμφανίζει καὶ τὸ ἀπείκασμα, καὶ εἰς μνήμην ἄγει τῆς θείας καὶ σωτηρίου αὐτοῦ σαρκώσεως, εἴ τις κοινὰ ἡγήσαιτο, πῶς οὐ κοινωθήσεται καὶ βεβηλωθήσεται τὴν ψυχὴν καὶ τὸ σῶμα, ἐξαγίστός τε καὶ ἀκάθαρτος ἐντεῦθεν χρηματίσειεν, οὐδὲ ἐν ἴσῳ τοῖς εἰρημένοις ταῦτα τιθεὶς, ἀλλ' ἐν χείρονι πολλῷ μοίρᾳ ποιούμενος: εἶτα εἴ τις τοῖς κεχρημένοις ἐκείνοις μολυσμοῦ τινος ἢ ἀκαθαρσίας πρόστριμμα οἴσειν τολμήσειεν, αὐτῷ ἐπιγράψειε τῷ κτίσαντι καὶ πρὸς ὕπαρξιν ἐκ μὴ ὄντος παρενεγκόντι ἀναθεὶς τὰ μωμήματα· ὁ τοῖς προσεοικόσιν αὐτῷ τῷ δημιουργῷ τῶν ἁπάντων, καθ' ὃ πέφηνεν ἄνθρωπος καθ' ἡμᾶς, ἱεροῖς καὶ ἀμωμήτοις μορφώμασι προσπταίων, ὁποί ποτε τὴν τόλμαν καὶ τὴν ὕβριν προστρίψαιτο, οὐκ ἄδηλον εἴη.

Ὅτε τοίνυν οἱ περὶ τὰ βρώματα διεσφαλμένην τὴν γνώμην κεκτημένοι, οὐκ ἔξω μώμου καὶ αἰτιαμάτων κείσονται, οἱ περὶ τὸ κεφάλαιον αὐτὸ τῆς πίστεως προσκρούοντες Θεῷ, τί μὴ οὐχὶ τῶν δεινῶν πείσονται; οὐκοῦν τὰ μὲν ἅγια, καθὰ πρέπει, πάσης τιμῆς παρὰ τῶν εὐσεβούντων εἰκότως ἀξιωθήσονται· οἱ δὲ ἀνοήτως περὶ ταῦτα σκάζοντες, ἐναγεῖς καὶ ἀκάθαρτοι ἐν δίκῃ νομισθήσονται, κοινοῦντες ἃ ὁ θεὸς ἐδόξασε, καὶ ἀπεναντίας τῶν ἀποστολικῶν δογμάτων ἐρχόμενοι· καὶ ὁ μὲν διακρινόμενος, ἐὰν φάγῃ, κατακέκριται· διότι μετὰ διακρίσεώς προσερχόμενος, πῶς οὐκ ἂν ἀπίστου χείρων λογισθείη; εἶτα, πᾶν τὸ μὴ ἐκ πίστεως, ἁμαρτία ἐστὶ, καὶ ὅσον μὲν βρωμάτων εἵνεκεν· ὅτι οὐ παρὰ τὴν τοῦ ἐδηδεσμένου φύσιν, ἀλλ' ὅτι τοῦ ἐδηδοκότος τὸ ἀνελεύθερον καὶ περὶ τὴν πίστιν ἀδόκιμον δοκιμάζεται· οὐδὲν γὰρ παρὰ τοῦ δημιουργοῦ τῶν ὅλων παρῆκται, ὃ μὴ τοῦ παντὸς ἐπαίνου ἐστὶν ἄξιον, παρά γε τῶν ἀπλανῆ καὶ εὐθυτάτην περὶ τὰ ὄντα κεκτημένων τὴν διάληψιν· τὸ γοῦν βέβηλόν τι τῶν παρ' αὐτοῦ γεγενημένων οἴεσθαι, ἀπόπληκτον κομιδῆ· εἴπερ πάντα καλὰ λίαν τὰ παρ' αὐτῷ δεδημιουργημένα· ὅσον δὲ δογμάτων χάριν, ὅτι οὐ παρὰ τὴν ἱστορίαν τῆς εὐαγγελικῆς διδασκαλίας, ἀβέβηλος γάρ ἐστι καὶ ἱερὰ καὶ ἔνθεος· ἀλλὰ παρὰ τὴν τῶν ἀνοηταινόντων ἀλογίαν καὶ ἀπείθειαν, τὸ ἐκ τῆς ἀπιστίας ἁμάρτημα καθορᾶται· ἐπεὶ οὖν οὐκ ἐκ πίστεως τοῖς ἱεροῖς προσίασιν ἥμαρτον, κοινόν τε τὸ ἅγιον ἐλογίσαντο, ταύτῃ τοι καὶ μάλα προσηκόντως εἰδωλοθύται ἂν αὐτοὶ καλοῖντο, ἀνὰ μέσον ἁγίου καὶ βεβήλου διακρίναι οὐχ' οἱοί τε γενόμενοι· οὐκ ἄρα οὖν διὰ τὴν τῶν δυσσεβῶν ἀπιστίαν παραιτητέαι αἱ ἱεροτυπίαι· πίστιν δὲ ἄπιστον αὐτοὶ εἰσηγείσθωσαν, ἡμεῖς γὰρ μέχρι καὶ σήμερον οὐκ ἴσμεν· ὁπόσον δὲ ἐν τοῖς δόγμασι καὶ βρώμασι τὸ διηλλαγμένον, τοσοῦτον δή που καὶ τῶν περὶ ταῦτα ἁμαρτανόντων, τὸ διάφορον τῆς κατακρίσεως· ἐκκήρυκτοι οὖν εἰκότως καὶ τῶν θείων ἐκπεπτωκότες, ὡς τὸ συνοῖσον συνιδεῖν οὐκ ἐθελήσαντες, καὶ θεοστυγεῖν λογισθήσονται.

πα. Δέδεικται οὖν διὰ πάντων, ὡς ἐξ ἀλογίας καὶ ἀμαθίας ἄπιστοί τε εἰσὶ, καὶ τὸν νοῦν ἀδόκιμοι καὶ βεβηλωμένοι τυγχάνουσι, καὶ πόῤῥω τῆς χριστιανῶν θεοσεβείας αὐλίζονται, καὶ ὡς ἀπερίτμητοι τῇ καρδίᾳ εἰς συναγωγὴν κυρίου οὐκ εἰσελεύσονται· πρὸς πάντα γὰρ ἀπαναισχυντοῦντες, καὶ τὸ μέτωπον χαλκοῦν θέμενοι, καὶ τὴν καρδίαν ἀπειθῆ καὶ ἀτεράμονα τάξαντες, πολέμιοι χριστιανοῖς κατέστησαν, τοῖς ἄνωθεν παραδεδομένοις καὶ ἐγγράφως καὶ ἀγράφως τεθεῖσι θεσμοῖς καὶ μυστηρίοις ἐν αὐτοῖς αὐθαδείᾳ καὶ ἀπονοίᾳ πάσῃ μαχόμενοι, καὶ πάντων ὑπερόπται τῶν εἰς εὐσέβειαν ἡκόντων δεικνύμενοι· οὐ γὰρ εὐαγγελικὸν, οὐκ ἀποστολικὸν, οὐ προφητικὸν αὐτοὺς πέπεικε λόγιον, οὐ τὰ δόγματα τῶν πατέρων καὶ διδασκάλων τῆς ἐκκλησίας αὐτοὺς δεδυσώπηκεν, οὐδ᾽ ὁτιοῦν ἄλλο τῶν τοῦ πνεύματος διδαγμάτων προϊὸν νενουθέτηκεν, οὐ πατέρων πνευματικῶν καὶ σαρκικῶν παραίνεσις κατεμάλαξεν, οὐκ αὐτῶν τῶν θείων ναῶν ἡ πληθὺς ἁπανταχοῦ γῆς ὑπερηπλωμένη καὶ ἀρχαιότητι καὶ ἁγιότητι ἐπιπρέπουσα, οὐ τῶν ἱερῶν σκευῶν τὸ εἰς πλῆθος ἄφατον καὶ ἀνεξερεύνητον ταῖς ἱερομορφίαις ταύταις ἐκπρεπῶς ἐγκαλλωπιζόμενον, οὐ τῶν δειμαμένων ἢ κτησαμένων ἥ τε πίστις καὶ ὁ πρὸς θεὸν πόθος, καὶ τῶν προσενηνοχότων κατῄδεσεν ἡ σπουδὴ, ἅπερ ἅπαντα ὑπ᾽ ὄψιν πάντων προκείμενά τε καὶ προφαινόμενα, μονονουχὶ φωνὴν ἀφιᾶσι τρανῶς καὶ διαῤῥήδην κηρύσσοντα τῆς Χριστοῦ οἰκονομίας τὸ μέγα τε καὶ σεβάσμιον μυστήριον, καὶ τῆς εἰς αὐτὸν ἀγάπης καὶ πίστεως τὸ σπουδαῖον καὶ θερμόν· ὃ δὲ πάντων μάλιστα θαυμάζειν ἄξιον, ὡς τοῦ χρόνου τὸ ἄπειρον αὐτοὺς εἰ μή τι ἄλλο οὐ κατέπληξεν, ᾧ πάντα κρατύνεται καὶ ἰσχὺν λαμβάνειν εὑρίσκεται φύσεως· τὴν γὰρ ὀκτακοσιετηρίδα νῦν προϊὼν τῇ παρακμῇ παρελαύνει ὁ χρόνος, ἐξ οὗ ταῦτα καὶ παραδέδοται καὶ κεκράτηκε, καὶ τὸ κράτος ἔχει μέχρι τῆς τοῦδε τοῦ παντὸς παρατάσεως, κἂν ἐκθέσμως ἐπ᾽ αὐτοῖς ἐπιμαίνωνται οἱ παράνομοι.

πβ. Ἆρα γὰρ οὐ σαφὴς ταῦτα μανία καὶ ἐμπληξία; τί γὰρ φήσουσι περὶ τῶν ἤδη προβεβιωκότων, ἐνθένδε τε ἀποιχομένων; ἆρά γε πάντες εἰδωλολάτραι γεγόνασι, καὶ τῆς σωτηρίας τέλεον ἀποπεπτώκασι; πῶς οὖν ἀληθεύσει Χριστὸς παρ᾽ αὐτοῖς ἡ ἀλήθεια; ἢ πῶς αὐτῷ πεισθεῖεν εἰρηκότι "πολλαὶ „ μοναὶ παρὰ τῷ πατρί; „ ἤτοι πολλαὶ ἀξιωμάτων διανομαὶ ἢ διαφοραί· ὡς γὰρ πολλαὶ βίων αἱρέσεις, οὕτω καὶ τῶν βεβιωμένων ἑκάστῳ ἡ ἀντίδοσις, ἀξίαις ταῖς ἀμοιβαῖς ἐπιμετρουμένη παρὰ τοῦ ἐξερευνῶντος ταῦτα, καὶ τὰ κατ᾽ ἀξίαν ἅπασιν ἐπινέμοντος· καὶ πολλὰς ἂν σχοίη καὶ διαφόρους τὰς ἀποκληρώσεις κατὰ τὴν μέλλουσαν μακαριότητα· ἀλλ᾽ ἴσως καὶ ταῦτα οἱ πάντα ἄπιστοι ὡς λῆρον ἀποπεμψάμενοι διαγράψονται· πῶς γὰρ οἵ γε εἰς αὐτὸ τοῦ αἰῶνος τὸ ἔσχατον, καὶ οἷον τὸ τέρμα ἥκοντες τὸ τοῦ βίου, παρὰ πολὺ τῶν προειληφότων ἐλαττονούμενοι, τὴν ἀπείρονα τῶν μονῶν ἐκείνων πληθὺν ἀποπλήσουσι; ποῦ τὰ ἆθλα τῶν ἤδη ἐπ᾽ εὐσεβείᾳ μέχρις αἵματος διηγωνισμένων ἐκνεμηθήσεται καὶ οἱ στέφανοι; οἶμαι καὶ Ἰουδαίων γε αὐτῶν παῖδες, μέγα ἐπ᾽ αὐτοῖς ἐπικαγχάσουσι καὶ γελάσονται, καὶ τῶν ἄλλων ἐθνῶν οἱ ἀκούον-

τες· ἅπαντες γὰρ τὴν ἑαυτῶν θρησκείαν κρατύνειν σπουδάζουσι, κατὰ τὸ γεγραμμένον· “ εἰ ἀλλάξονται ἔθνη θεοὺς αὐτῶν; καὶ οὗτοι οὐκ εἰσὶ θεοὶ, καὶ „ οὐχὶ ἔθνος πρὸς θεὸν αὐτοῦ· „ μόνοι δὲ ἀνθρώπων χριστιανοὶ, εἰ δεῖ χριστιανοὺς καλεῖν, ὀνόματος γὰρ μόνου οὐ πράγματος χριστιανῶν μεταποιοῦνται, τὴν τῶν χριστιανῶν πίστιν ὑπάρχουσαν, ἀθέως καὶ αὐθαδῶς ἐκπολιορκοῦσιν οἱ δείλαιοι, καὶ ταύτης τὰ ἱερὰ σύμβολα καθαιροῦσιν ἀνιέρως οἱ ἀνόσιοι· ἀλλ' ὦ θεοστυγέστατε καὶ ἀθεώτατε, ἀκουέτω πᾶς ὁ κατὰ ταῦτα φρονῶν καὶ οὕτω δοξάζων, οὕτω σε δεῖ * περὶ τὸν δημιουργὸν διακεῖσθαι; ἐκεῖνος δι' ἄφατον ἀγαθότητα ἐκ μὴ ὄντος εἰς τὸ εἶναι παρήγαγε, καὶ πεσόντα σε ὑπὸ τὴν ἁμαρτίαν πάλιν ἀνέστησε, πάθει σαρκὸς θανάτῳ προσομιλήσας, καὶ τὸν αἴσχιστον ὑπέμεινε διὰ σὲ θάνατον· μέχρι γὰρ θανάτου, θανάτου δὲ σταυροῦ, ἑαυτὸν ἐκένωσε, καὶ τὸ αἷμα τὸ οἰκεῖον ἐξέχεεν· ἵνα σε δι' αὐτοῦ ἐξαγοράσῃ τὸν πεπραμένον τῇ ἁμαρτίᾳ, ἵνα καταλύσῃ τὰ εἴδωλα καὶ τῆς εἰδωλικῆς σε ἀπαλλάξῃ μανίας καὶ πλάνης, καὶ τῆς τοῦ ἐχθροῦ τυραννίδος ἐλευθερώσῃ, καὶ τῆς φθορᾶς ἀνακαλούμενος σώσῃ, καὶ τὴν ἀρχαίαν εὐγένειαν δωρήσηται· τοιαῦτα κατὰ τοῦ σεσωκότος τολμᾷς; ἐκεῖνος ὑπὲρ σοῦ πάσχει, καὶ σὺ ὑβρίζεις; ἐκεῖνος σταυροῦται, καὶ σὺ ὀνειδίζεις; τί σοι τὸ διαφέρον τῶν σταυρωσάντων; τί δὲ τῶν θεοκτόνων διενήνοχας; τί δὲ οὐ μᾶλλον ἐπὶ κακίᾳ παρήλασας; ἐκεῖνοι ἅπαξ κατεδίκασαν, καὶ σταυρώσαντες ἀπεκτόνασι, σὺ δὲ παρὸν προσκυνεῖν τὸν εὐεργέτην, καὶ ὁμολογεῖν τῆς τηλικαύτης εὐεργεσίας τὸ μέγεθος, καθ' ἑκάστην ἡμέραν σταυροῖς καὶ ὀνειδίζεις, τὰ χείρονα φρονῶν κατ' αὐτοῦ, καὶ παλιμφήμοις βάλλεις φωναῖς, ἢ ἐκεῖνοι τοῖς λίθοις, καὶ οὐδὲν ὅ τι τῶν ἀπηχεστάτων καὶ εἰς ἀσέβειαν ἡκόντων, πράσσων καὶ λέγων καὶ παρανομῶν εἰς θεὸν καταλέλοιπας.

* var. lect. [illegible]

Ἀστείως δὲ μάλα καὶ ὁ μέγας Ἡσαΐας τὴν πήρωσιν τῶν ψυχῶν ὑμῶν προδιέγραψε λέγων· “ οὐκ ἔγνωσαν φρονῆσαι, ὅτι ἀπημαυρώθησαν τοῦ βλέπειν „ τοῖς ὀφθαλμοῖς αὐτῶν, καὶ νοῆσαι τῇ καρδίᾳ αὐτῶν, καὶ ἐλάλησαν ἀδι- „ κίαν, καὶ ἠπείθησαν, καὶ ἐμελέτησαν ἀπὸ καρδίας αὐτῶν λόγους ἀδίκους· „ ἀλλ' οὗτοι μὲν, οὕτως τὴν ὅλην τοῦ σωτῆρος ἡμῶν Χριστοῦ οἰκονομίαν ἐξουδενοῦντες καὶ πλύνοντες, εἰδωλολάτρας τῷ ὄντι ἑαυτοὺς ἀποδεικνύουσιν· ἡμεῖς δὲ οἱ περὶ ταύτην ὑγιῶς καὶ εὐσεβῶς διακείμενοι, καὶ τὰ θεῖα θεοπρεπῶς σέβομεν, καὶ τὰς ἄνωθεν ἡμῖν παραδοθείσας ἱερογραφίας ἀποσεμνύνομεν, καὶ τῆς προσηκούσης τιμῆς ἀξιοῦμεν· ὅτι ἅγιαί εἰσι, καὶ τὴν τῶν προσκυνουμένων τιμὴν τοῖς ἀρχετύποις ἀνάπτομεν· ἐφ' ὕβρει δὲ ἐννοεῖν τι περὶ αὐτῶν, οὐδ' ὁπωστιοῦν ἀνεχόμεθα· διὸ οὐκ ἂν ὑφελώμεθά τι τῆς προσηκούσης αὐταῖς σεβασμιότητος· ἐκ γὰρ πίστεως καὶ πληροφορίας τοῖς ἁγίοις πρόσιμεν, καὶ διὰ τοῦτο, οὐδὲ εἰδωλολάτραι κατὰ τοὺς θεοστυγεῖς καὶ ἀπιστίᾳ κατισχημένους εἰκότως νομισθείημεν, ἀλλὰ μετὰ τοῦ μεγάλου τῆς ἀληθείας καὶ ἡμεῖς ἐκβοῶμεν μυσταγωγοῦ, ὅτι ὁμολογουμένως “ μέγα ἐστὶ τὸ τῆς εὐσεβείας μυ- „ στήριον· θεὸς ἐφανερώθη ἐν σαρκὶ, ἐδικαιώθη ἐν πνεύματι, ὤφθη ἀγγέλοις,

„ ἐκηρύχθη ἐν ἔθνεσιν, ἐπιστεύθη ἐν κόσμῳ, ἀνελήφθη ἐν δόξῃ· „ ταῦτα εἰ μὲν ὀφθείημεν ὑπὲρ τῆς καθ' ἡμᾶς ἱερᾶς καὶ ἀμωμήτου πίστεως ἀξίως διηγωνισμένοι, τῷ θεῷ χάρις τῷ διδοῦντι λόγον τοῖς αἰτοῦσιν ἐν ἀνοίξει τοῦ στόματος αὐτῶν· εἰ δὲ καὶ διωχθείημεν, καλὸν τῷ Χριστῷ συνδιώκεσθαι, εἰ μή που μέγα τοῦτο εἰπεῖν, κατ' ἴχνος ἰέναι τοῖς ἱεροῖς διδασκάλοις ἡμῶν ἀξιούμενοι· εἰς δόξαν αὐτοῦ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν, καὶ τιμὴν τῆς ἁγίας ἐκκλησίας αὐτοῦ, ᾧ πρέπει πᾶσα δόξα τιμὴ καὶ προσκύνησις, ἅμα τῷ συνανάρχῳ πατρὶ, καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ αὐτοῦ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Προοίμιον τῶν ὑποκειμένων χρήσεων κϛ'.

Τὸ περὶ τῆς ἀμωμήτου καὶ εἰλικρινοῦς ἡμῶν πίστεως ἐξανύοντες στάδιον, καὶ τὸ τῶν ἀπαυθαδιζομένων πρὸς τὴν ἀλήθειαν ἐξελέγχοντες μάταιον, τὸν τῆς εὐσεβείας προασπιστὴν, τῇ μαχαίρᾳ τοῦ πνεύματος ταῖς θεοπνεύστοις φωναῖς καθωπλίσαμεν, ὡς ἂν ἄτρωτος διαμένοι, τῶν δυσσεβούντων ταῖς ἀκίσι τοῦ ψεύδους συχνῶς βαλλόντων, καὶ ταῖς βολίσι τῆς γλωσσαλγίας κατατοξευόντων τὸν ὀρθὸν τῆς πίστεως λόγον· ἐπειδὴ δὲ καὶ τρόπος ἡμῖν πρόκειται, καὶ οἷον κανὼν νενομοθέτηται, καθ' ὃν χρὴ τῷ τῆς πίστεως ἡμῶν προσφέρεσθαι λόγῳ τοὺς ἐπιεικεῖς, καὶ μετ' εὐλαβείας ἱερᾶς τὰ ἱερὰ ἡμῶν μεταχειριζομένους δόγματα, καὶ τοῦτον τοῖς φιλοκάλοις καὶ φιλοπόνοις καὶ θερμοῖς περὶ τὴν εὐσέβειαν ὡς ἔνι μάλιστα συντομώτατα ἐκθησόμεθα, ἔκ τε τῶν θεοπνεύστων γραφῶν κἀνταῦθα ἐρανισάμενοι, ἔκ τε τῆς τῶν ἐκκρίτων καὶ εὐσημοτέρων πατέρων ἡμῶν διδασκαλίας ἀρυσάμενοι, πρὸς ὑπόμνησιν καὶ ὠφέλειαν τῶν εὐπειθῶς τε καὶ ἐμμελῶς τούτοις ἐντυγχανόντων χρησιμεύσοντα, καὶ χρήσεις τινὰς τῷδε τῷ γράμματι διὰ βραχέων ὑποτεθεῖσθαι ἐσπουδάσαμεν, ὅπως μὴ ταὐτὸν τοῖς ἀπειθοῦσι τῇ ἀληθείᾳ πάθοιεν· ἐκεῖνοι γὰρ τοῦ ψεύδους ὄντες ἐρασταὶ, καὶ πρὸς τοὺς ἐλέγχους τῆς ἀληθείας ἀεὶ δυσχεραίνοντες, οἱ μὲν τῇ ἀπιστίᾳ, οἱ δὲ τῇ ἀμαθίᾳ προκατειλημμένοι, τῷ τῆς δυσσεβείας ὀλέθρῳ περιπεπτώκασι· τοῖς γὰρ ἑαυτῶν θελήμασι δουλούμενοι, τὴν ἰδίαν δόξαν ἐκ πολλῆς ἄγαν ἀβουλίας καὶ ἀλογίας συνϊστάνειν πειρῶνται, καὶ τὰ σαφῆ καὶ ὀρθὰ τῆς εὐσεβείας δόγματα, ἐφ' ἃ μὴ προσῆκεν ἐκ περιέργων καὶ φαύλων ζητημάτων παρευθύνουσιν· ὅθεν καὶ πατέρας ἰδίους χειροτονοῦσι, καὶ διδασκάλους προκαθίζουσιν, οἳ τῆς ἀσεβείας καὶ ἀθεΐας προασπισταὶ πάλαι γεγόνασι, καὶ τῆς καθολικῆς ἐκκλησίας ὡς πορρωτάτω ἐκσεσοβημένοι τυγχάνουσιν· ἀθεΐαν γὰρ τὴν ἐκείνων αἵρεσιν, οἱ καθ' ἡμᾶς θεολόγοι ἐνθέως ὁδηγούμενοι κατωνόμασαν, οὓς συνηγόρους ἔχοντες κατὰ τῆς ἐκκλησίας ἠνδρίσαντο· οἱ δὲ χρηστοὶ ὡς εὐπειθεῖς καὶ τοῦ εὐαγγελίου μαθηταὶ, μὴ πέρα τοῦ δέοντος πρὸς περιεργοτέρας ἐρεύνας ἀποφέροιντο, τοῦ καρδίᾳ ἁπλῇ παραδεχθῆναι δεδενημένου τῆς πίστεως λόγου· πίστεως γὰρ ἴδιον ἀπεριέργως πρὸς τὸ πιστευόμενον προσιόντα, ἁπλῇ τῇ γνώμῃ καὶ ὁρμῇ αὐθαιρέτῳ συντίθεσθαι, οὐ μὴν ἀποδείξεις ἐπιζητεῖν, καὶ λογομαχίαις εἰς οὐδὲν χρήσιμον συντελούσαις, μᾶλλον δὲ βλάβος

οὐ μικρὸν ταῖς ψυχαῖς ἐντικτούσαις συντρίβεσθαι· τοῦτο αἱρετικῶν ἀνθρώπων τὸ ἐπιτήδευμα· τοῦτο ἑλλήνων τὸ τέχνασμα, οἱ ματαιολογίαις καὶ λέσχαις ἀηδέσι πονούμενοι, πολλῆς φλυαρίας ἑαυτούς τε καὶ τοὺς πέλας ἀποπληροῦσιν, εἰκῇ τὸν ἀέρα πλήττοντες, τῆς δὲ ἀληθείας ὁλοτρόπως ἀποτυγχάνοντες· τὸ γάρ τοι ζυγομαχεῖν τῶν ὁμολογουμένων καὶ φαινομένων εἵνεκεν, ὁπόσης ἀνοίας καὶ ἀβελτερίας ἄξιον, οὐδὲ ἐξειπεῖν ἐστιν· εὐγνωμονέστερον δὲ οἱ χρηστομαθεῖς προσαγόμενοι καὶ εὐπειθέστερον, εὐήκοον οὖς παρεχέτωσαν τοῖς διδάγμασι τοῦ πνεύματος, τὴν περὶ τῶν τηλικούτων παραίνεσιν δέξασθαι· πίστις γὰρ μόνη ταῦτα χωρεῖ, λογισμοὺς ἀνθρωπίνους ἀποκρύπτουσα, καὶ ὁ πρὸς τὰ θεῖα τῶν ἐκθύμως περὶ αὐτὰ διακειμένων ἔνθεος ἔρως, ἵνα καὶ τῶν τῆς εὐπειθείας ὠδίνων πολύχουν ἀμήσωσι τὸν καρπὸν, παρὰ τοῦ ταῦτα ἐπιμετρεῖν εἰδότος, εὐκλεεῖς τὰς ἀμοιβὰς ὡς εὐέλπιδες εὐκαίρως ἀποληψόμενοι.

Ἐκ τοῦ κατὰ Ἰωάννην ἁγίου εὐαγγελίου.

Cap. IX. 35. Ἤκουσεν ὁ Ἰησοῦς ὅτι ἐξέβαλον τὸν ποτὲ τυφλὸν ἔξω· καὶ εὑρὼν αὐτὸν εἶπεν αὐτῷ· σὺ πιστεύεις εἰς τὸν υἱὸν τοῦ θεοῦ; ἀπεκρίθη ἐκεῖνος καὶ εἶπε· καὶ τίς ἐστι, κύριε, ἵνα πιστεύσω εἰς αὐτόν; εἶπε δὲ αὐτῷ ὁ Ἰησοῦς, καὶ ἑώρακας αὐτὸν, καὶ ὁ λαλῶν μετὰ σοῦ, ἐκεῖνός ἐστιν· ὁ δὲ ἔφη· πιστεύω, κύριε, καὶ προσεκύνησεν αὐτῷ.

Τοῦ αὐτοῦ.

XII. Διὰ τοῦτο οὐκ ἠδύναντο πιστεύειν, ὅτι πάλαι εἶπεν Ἡσαΐας· τετύφλωκεν αὐτῶν τοὺς ὀφθαλμοὺς, καὶ πεπώρωκεν αὐτῶν τὴν καρδίαν, ἵνα μὴ ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ νοήσωσι τῇ καρδίᾳ, καὶ ἐπιστραφῶσι καὶ ἰάσωμαι αὐτούς· ταῦτα εἶπεν Ἡσαΐας ὅτε εἶδε τὴν δόξαν αὐτοῦ καὶ ἐλάλησε περὶ αὐτοῦ· ὅμως μέν τοι καὶ ἐκ τῶν ἀρχόντων πολλοὶ ἐπίστευσαν εἰς αὐτὸν, ἀλλὰ διὰ τοὺς φαρισαίους οὐχ' ὡμολόγουν, ἵνα μὴ ἀποσυνάγωγοι γένωνται· ἠγάπησαν γὰρ τὴν δόξαν τῶν ἀνθρώπων μᾶλλον, ἤπερ τὴν δόξαν τοῦ θεοῦ.

Τοῦ αὐτοῦ.

XIV. 1. Πιστεύετε εἰς τὸν θεὸν, καὶ εἰς ἐμὲ πιστεύετε.

Τοῦ ἁγίου ἀποστόλου Παύλου ἐκ τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς.

IV. Ἐπίστευσε δὲ Ἀβραὰμ τῷ θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην· τῷ
δὲ ἐργαζομένῳ ὁ μισθὸς οὐ λογίζεται κατὰ χάριν, ἀλλὰ κατὰ ὀφείλημα· τῷ
δὲ μὴ ἐργαζομένῳ, πιστεύοντι δὲ ἐπὶ τὸν δικαιοῦντα τὸν ἀσεβῆ, λογίζεται ἡ
πίστις αὐτοῦ εἰς δικαιοσύνην· καθάπερ καὶ Δαβὶδ λέγει τὸν μακαρισμὸν τοῦ
ἀνθρώπου, ᾧ ὁ θεὸς λογίζεται δικαιοσύνην χωρὶς ἔργων· μακάριοι ὧν ἀφέ-
θησαν αἱ ἀνομίαι, καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι· μακάριος ἀνὴρ ᾧ οὐ
X. 6. μὴ λογίσηται κύριος ἁμαρτίαν. Καὶ πάλιν· ἡ δὲ ἐκ πίστεως δικαιοσύνη, οὕτως
λέγει· μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου, τίς ἀναβήσεται εἰς τὸν οὐρανὸν, τουτέστι
Χριστὸν καταγαγεῖν; ἢ τίς καταβήσεται εἰς τὴν ἄβυσσον, τουτέστι Χριστὸν ἐκ
X. 10. νεκρῶν ἀναγαγεῖν; Καὶ πάλιν· καρδίᾳ μὲν πιστεύεται εἰς δικαιοσύνην, στόματι
δὲ ὁμολογεῖται εἰς σωτηρίαν. Καὶ πάλιν· περὶ βρωμάτων διαλεγόμενος φησὶν,

ὅτι ὁ διακρινόμενος, ἐὰν φάγῃ, κατακέκριται, ὅτι οὐκ ἐκ πίστεως· πᾶν δὲ ὃ οὐκ ἐκ πίστεως, ἁμαρτία ἐστίν. Cap. XIV. 23.

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Κορινθίους ἐπιστολῆς.

Ἵνα ἡ πίστις ἡμῶν * μὴ ᾖ ἐν σοφίᾳ ἀνθρώπων, ἀλλ' ἐν δυνάμει θεοῦ. I Cor. II. 5. * ita cod.

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Ἑβραίους ἐπιστολῆς.

Ἡμεῖς δὲ οὐκ ἐσμὲν ὑποστολῆς εἰς ἀπώλειαν, ἀλλὰ πίστεως εἰς περιποίησιν ψυχῆς· ἔστι δὲ πίστις ἐλπιζομένων ὑπόστασις, πραγμάτων ἔλεγχος οὐ βλεπομένων· ἐν ταύτῃ γὰρ ἐμαρτυρήθησαν οἱ πρεσβύτεροι· πίστει νοοῦμεν κατηρτίσθαι τοὺς αἰῶνας ῥήματι θεοῦ, εἰς τὸ μὴ ἐκ φαινομένων τὰ βλεπόμενα γεγονέναι· πίστει πλείονα θυσίαν Ἄβελ παρὰ Κάϊν προσήνεγκε τῷ θεῷ, δι' ἧς ἐμαρτυρήθη εἶναι δίκαιος, μαρτυροῦντος ἐπὶ τοῖς δώροις αὐτοῦ τοῦ θεοῦ· καὶ δι' αὐτῆς ἀποθανὼν, ἔτι λαλεῖται· πίστει Ἐνὼχ μετετέθη τοῦ μὴ ἰδεῖν θάνατον, καὶ οὐχ' εὑρίσκετο· διότι μετέθηκεν αὐτὸν ὁ θεός· πρὸ γὰρ τῆς μεταθέσεως αὐτοῦ μεμαρτύρηται εὐηρεστηκέναι τῷ θεῷ· χωρὶς δὲ πίστεως, ἀδύνατον εὐαρεστῆσαι· πιστεῦσαι γὰρ δεῖ τὸν προσερχόμενον τῷ θεῷ ὅτι ἔστι, καὶ τοῖς ἐκζητοῦσιν αὐτὸν μισθαποδότης γίνεται· πίστει χρηματισθεὶς Νῶε περὶ τῶν μηδέπω βλεπομένων, εὐλαβηθεὶς κατεσκεύασε κιβωτὸν εἰς σωτηρίαν τοῦ οἴκου αὐτοῦ· δι' ἧς κατέκρινε τὸν κόσμον, καὶ τῆς κατὰ πίστιν δικαιοσύνης ἐγένετο κληρονόμος· πίστει καλούμενος Ἀβραὰμ, ὑπήκουσεν ἐξελθεῖν εἰς τὸν τόπον ὃν ἔμελλε λαμβάνειν εἰς κληρονομίαν, καὶ ἐξῆλθε μὴ ἐπιστάμενος ποῦ ἀπέρχεται· πίστει παρῴκησεν εἰς τὴν γῆν τῆς ἐπαγγελίας ὡς ἀλλοτρίαν, ἐν σκηναῖς κατοικήσας μετὰ Ἰσαὰκ καὶ Ἰακὼβ τῶν συγκληρονόμων τῆς ἐπαγγελίας τῆς αὐτῆς· ἐξεδέχετο γὰρ τὴν τοὺς θεμελίους ἔχουσαν πόλιν, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ θεός· πίστει καὶ αὐτὴ Σάῤῥα δύναμιν εἰς καταβολὴν σπέρματος ἔλαβε, καὶ παρὰ καιρὸν ἡλικίας ἔτεκεν, ἐπεὶ πιστὸν ἡγήσατο τὸν ἐπαγγειλάμενον· διὸ καὶ ἀφ' ἑνὸς ἐγεννήθησαν, καὶ ταῦτα νενεκρωμένου, καθὼς τὰ ἄστρα τοῦ οὐρανοῦ τὸ πλῆθος, καὶ καθὼς ἡ ἄμμος ἡ παρὰ τὸ χεῖλος τῆς θαλάσσης ἡ ἀναρίθμητος· κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες, μὴ λαβόντες τὰς ἐπαγγελίας, ἀλλὰ πόῤῥωθεν αὐτὰς ἰδόντες καὶ ἀσπασάμενοι, καὶ ὁμολογήσαντες ὅτι ξένοι καὶ παρεπίδημοί εἰσιν ἐπὶ τῆς γῆς· οἱ γὰρ τοιαῦτα λέγοντες, ἐμφανίζουσιν ὅτι πατρίδα ἐπιζητοῦσι· καὶ εἰ μὲν ἐκείνης ἐμνημόνευον ἀφ' ἧς ἐξῆλθον, εἶχον ἂν καιρὸν ἀνακάμψαι· νῦν δὲ κρείττονος ὀρέγονται, τουτέστιν ἐπουρανίου· διὸ οὐκ ἐπαισχύνεται αὐτοὺς ὁ θεὸς, θεὸς καλεῖσθαι αὐτῶν· ἡτοίμασε γὰρ αὐτοῖς πόλιν· πίστει προσενήνοχεν Ἀβραὰμ τὸν Ἰσαὰκ πειραζόμενος, καὶ τὸν μονογενῆ προσέφερεν ὁ τὰς ἐπαγγελίας ἀναδεξάμενος, πρὸς ὃν ἐλαλήθη ὅτι ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα, λογισάμενος ὅτι καὶ ἐκ νεκρῶν ἐγείρειν δύναται ὁ θεός· ὅθεν αὐτὸν καὶ ἐν παραβολῇ ἐκομίσατο· πίστει περὶ μελλόντων εὐλόγησεν Ἰσαὰκ τὸν Ἰακὼβ καὶ τὸν Ἡσαῦ· πίστει Ἰωσὴφ τελευτῶν, περὶ τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ἐμνημόνευσε, καὶ περὶ τῶν ὀστέων αὐτοῦ ἐνετείλατο· πίστει Μωσῆς γεννηθεὶς ἐκρύβη τρίμηνον ὑπὸ τῶν

Cap. X. 39. XI. 1. seqq

πατέρων αὐτοῦ, διότι εἶδον ἀστεῖον τὸ παιδίον καὶ οὐκ ἐφοβήθησαν τὸ διάταγμα τοῦ βασιλέως· πίστει Μωσῆς μέγας γενόμενος, ἠρνήσατο λέγεσθαι υἱὸς θυγατρὸς Φαραὼ, μᾶλλον ἑλόμενος συγκακουχεῖσθαι τῷ λαῷ τοῦ Θεοῦ, ἢ πρόσκαιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν· μείζονα πλοῦτον ἡγησάμενος τῶν Αἰγύπτου θησαυρῶν, τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ· ἀπέβλεπε γὰρ εἰς τὴν μισθαποδοσίαν· πίστει κατέλιπεν Αἴγυπτον, μὴ φοβηθεὶς τὸν θυμὸν τοῦ βασιλέως· τὸν γὰρ ἀόρατον ὡς ὁρῶν ἐκαρτέρησε· πίστει πεποίηκε τὸ πάσχα καὶ τὴν πρόσχυσιν τοῦ αἵματος, ἵνα μὴ ὁ ὀλοθρεύων τὰ πρωτότοκα θίγῃ αὐτῶν· πίστει διέβη τὴν ἐρυθρὰν θάλασσαν ὡς διὰ ξηρᾶς· ἧς πεῖραν λαβόντες οἱ Αἰγύπτιοι κατεπόθησαν· πίστει τὰ τείχη Ἱεριχὼ ἔπεσε κυκλωθέντα ἐπὶ ἑπτὰ ἡμέρας· πίστει Ῥαὰβ ἡ πόρνη οὐ συναπώλετο τοῖς ἀπειθήσασι, δεξαμένη τοὺς κατασκόπους μετ' εἰρήνης· καὶ τί ἔτι λέγω; ἐπιλείψει γάρ με διηγούμενον ὁ χρόνος, περὶ Γεδεὼν, Βαράκ τε, καὶ Σαμψὼν, καὶ Ἰεφθάε, Δαβίδ τε, καὶ Σαμουὴλ, καὶ τῶν προφητῶν· οἳ διὰ πίστεως κατηγωνίσαντο βασιλείας, εἰργάσαντο δικαιοσύνην, ἐπέτυχον ἐπαγγελιῶν, ἔφραξαν στόματα λεόντων, ἔσβεσαν δύναμιν πυρὸς, ἔφυγον στόματα μαχαίρας, ἐνεδυναμώθησαν ἀπὸ ἀσθενείας. ἐγενήθησαν ἰσχυροὶ ἐν πολέμῳ, παρεμβολὰς ἔκλιναν ἀλλοτρίων· ἔλαβον γυναῖκες ἐξ ἀναστάσεως τοὺς νεκροὺς αὐτῶν· ἄλλοι δὲ ἐτυμπανίσθησαν οὐ προσδεξάμενοι τὴν ἀπολύτρωσιν, ἵνα κρείττονος ἀναστάσεως τύχωσιν· ἕτεροι δὲ ἐμπαιγμῶν καὶ μαστίγων πεῖραν ἔλαβον· ἔτι δὲ δεσμῶν καὶ φυλακῆς, ἐλιθάσθησαν, ἐπρίσθησαν, ἐπειράσθησαν, ἐν φόνῳ μαχαίρας ἀπέθανον, περιῆλθον ἐν μηλωταῖς ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος· ἐν ἐρημίαις πλανώμενοι καὶ ὄρεσιν καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς· καὶ οὗτοι πάντες διὰ τῆς πίστεως μαρτυρηθέντες, οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν· τοῦ Θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσι.

Τοῦ αὐτοῦ πρὸς Θεσσαλονικεῖς.

Ep. II 2 15 Ἄρα οὖν, ἀδελφοὶ, στήκετε, καὶ κρατεῖτε τὰς παραδόσεις, ἃς εἰδιδάχθητε, εἴτε διὰ λόγου, εἴτε δι' ἐπιστολῆς ἡμῶν.

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Ἑβραίους ἐπιστολῆς περὶ ἀπειθούντων.

Cap. III. 17 Τίσι προσώχθισε τεσσαράκοντα ἔτη; οὐχὶ τοῖς ἁμαρτήσασιν, ὧν τὰ κῶλα ἔπεσον ἐν τῇ ἐρήμῳ; τίσι δὲ ὤμοσε μὴ εἰσελεύσεσθαι εἰς τὴν κατάπαυσιν αὐτοῦ, εἰ μὴ τοῖς ἀπειθήσασι; καὶ βλέπομεν ὅτι οὐκ ἠδυνήθησαν εἰσελθεῖν δι'
IV 1 ἀπιστίαν. Φοβηθῶμεν οὖν μήποτε καταλειπομένης ἐπαγγελίας εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ, δοκῇ τις ἐξ ὑμῶν ὑστερηκέναι· καὶ γὰρ ἐσμὲν εὐηγγελισμένοι, καθάπερ κἀκεῖνοι· ἀλλ' οὐκ ὠφέλησεν ὁ λόγος τῆς ἀκοῆς ἐκείνους, μὴ συγκεκερασμένους τῇ πίστει τοῖς ἀκούσασιν.

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς.

Cap. II. 7. Τοῖς μὲν καθ' ὑπομονὴν ἔργου ἀγαθοῦ, δόξαν καὶ τιμὴν καὶ ἀφθαρσίαν ζητοῦσι, ζωὴ αἰώνιος· τοῖς δὲ ἐξ ἐριθείας, καὶ ἀπειθοῦσι μὲν τῇ ἀληθείᾳ,

πειθομένοις δὲ τῇ ἀδικίᾳ, θυμὸς καὶ ὀργὴ καὶ θλίψις καὶ στενοχωρία ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου τοῦ κατεργαζομένου τὸ κακόν.

Ἡσαΐου προφήτου.

Ἐὰν μὴ πιστεύσητε, οὐδὲ μὴ συνῆτε· καὶ προσέθετο λαλῆσαι κύριος τῷ Ἄχαζ, λέγων· αἴτησαι σεαυτῷ σημεῖον παρὰ κυρίου τοῦ θεοῦ σου εἰς βάθος ἢ εἰς ὕψος· καὶ εἶπεν Ἄχαζ· οὐ μὴ αἰτήσω, οὐδὲ μὴ πειράσω κύριον· καὶ εἶπεν· ἀκούσατε δὴ οἶκος Δαβίδ· μὴ μικρὸν ὑμῖν ἀγῶνα παρέχειν ἀνθρώποις, καὶ πῶς κυρίῳ παρέχετε ἀγῶνα; Cap. VII. 9.

Ἀββακοὺμ προφήτου.

Ὁ δὲ δίκαιος, ἐκ πίστεως ζήσεται. II. 4

Ἐκ τῶν Σολομῶντος παροιμιῶν.

Ἐλεημοσύναι καὶ πίστεις μὴ ἐκλειπέτωσάν σε. Καὶ βδέλυγμα κυρίῳ χείλη ψευδῆ, ὁ δὲ ποιῶν πίστεις δεκτὸς παρ᾽ αὐτῷ. Καὶ πάλιν· ἐλεημοσύναις καὶ πίστεσιν ἀποκαθαίρονται ἁμαρτίαι. III. 3. XII. 22 XV. 27

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ χρυσοστόμου, ἐκ τοῦ εἰς τὸν εὐαγγελισμὸν λόγου (1).

Ἀπεστάλη Γαβριὴλ, δεικνὺς τὸν ἐν θρόνῳ καὶ ἐν τῷ σπηλαίῳ· ἀπεστάλη ὁ στρατιώτης, βοῶν τὸ τοῦ βασιλέως μυστήριον· μυστήριον γνωριζόμενον πίστει, οὐκ ἐρευνώμενον πολυπραγμοσύνῃ, μυστήριον πιστευόμενον οὐχ᾽ ἑρμηνευόμενον, μυστήριον προσκυνούμενον οὐ ζυγοστατούμενον, μυστήριον θεολογούμενον οὐκ ἐρευνώμενον, μυστήριον ὁμολογούμενον οὐ μετρούμενον.

Τοῦ αὐτοῦ ἐκ τῆς ἑρμηνείας τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς· ἡ δὲ ἐκ πίστεως δικαιοσύνη οὕτως λέγει, καὶ τὰ ἑξῆς πρόκειται ἀνωτέρω.

Ἵνα μὴ εἴπωσιν Ἰουδαῖοι, πῶς δυνάμεθα τὴν μείζονα δικαιοσύνην εὑρεῖν, τὴν ἐλάττω μὴ εὑρόντες; δείκνυσιν ὅτι κουφοτέρα ἡ ὁδὸς ἡ διὰ πίστεως, τὴν διὰ λόγων ἀπαιτοῦσα πίστιν ἐν καρδίᾳ· εἰδὼς δὲ ὅτι τῇ πίστει πολλάκις διαμάχονται λογισμοὶ, καὶ δεῖ αὐτοὺς νεανικῶς ἀποκρούσασθαι, εἶπε τὸ, μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου, ἀντὶ τοῦ μὴ δὲ ἐννοήσῃς ἀμφιβαλεῖν, καὶ εἰπεῖν κατὰ σαυτὸν, καὶ πῶς τοῦτο δυνατόν; τοῦτο γὰρ πίστεως ἴδιον, τὸ τὴν κάτω πᾶσαν ἀκολουθίαν ἀφέντας, τὸ ὑπὲρ φύσιν ζητεῖν, καὶ ἀπὸ τῆς τοῦ θεοῦ δυνάμεως ἅπαντα παραδέχεσθαι. Opp, T. IX p. 623.

Τοῦ ἁγίου Κυρίλλου Ἀλεξανδρείας, ἐκ τῆς εἰς τὸ αὐτὸ ῥητὸν ἑρμηνείας (2).

Ὁρίζεται χρησίμως καὶ ὅπως ἂν γένοιτο πρὸς ἡμῶν ἡ πίστις, εἰ τὸ ἀμώμητον ἔχοι παρὰ θεῷ, καὶ τό γε δὴ λίαν εὖ πεποιῆσθαι δοκεῖν· τὸ μὲν γὰρ ἐνδοιάζειν ὅλως καὶ καταδονεῖσθαι φιλεῖν εἰς ἀδρανῆ διψυχίαν, ἀπόβλητον παντελῶς· περιττὸν δὲ ἴσως καὶ τῶν ὅτι μάλιστα σφαλερωτάτων τὸ χρῆναι

(1) En Nicephorus pervetustus et gravis auctor Chrysostomo vindicat hanc homiliam, quam Montfauconius opp. T. II. p. 796, audacter, ut solet, dicit omnino esse spuriam; dubitante modestius Combefisio Bib. conc. T. VI. p. 347. Erravit quoque Ger. Vossius, qui eam inter Gregorii thaumaturgi scripta collocavit opp. p. 25.

(2) Nempe ad Rom. X. 6. Porro totus qui sequitur Cyrilli tractus addendus erit editis a nobis commentariorum Cyrilli reliquiis ad eam Pauli epistolam p. 40.

περιεργάζεσθαι τὰ καὶ λόγου πέρα παντὸς, νοῦ τέ ἐστι τοῦ καθ' ἡμᾶς ἐν ἀμείνοσι· πῶς γὰρ ἂν εἶεν ἐμφανῆ τὰ ἀποῤῥήτως παρὰ θεοῦ τεχνουργούμενα; καὶ μὴν καὶ καρδίας ὀφθαλμὸς τίς ἂν εἴη τοσοῦτος, ὡς καταθρῆσαι δύνασθαι θεόν; μᾶλλον δὲ, τίς ἄρα συνήσει, κἂν εἴ τις ἕλοιτο λέγειν καὶ ἀφηγοῖτο τὰ πολὺ λίαν ὑπὲρ ἡμᾶς; ὁ μὲν γὰρ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, Νικοδήμῳ ποτὲ τοὺς περὶ τῆς πνευματικῆς ἀναγεννήσεως παρετίθει λόγους, καὶ δὴ καὶ ἔφασκεν· " ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν μή τις γεννηθῇ ἄνωθεν, οὐ δύναται εἰσ-„ ελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ· „ εἶτα τούτοις προσετίθει τὰ ἐφεξῆς· συνιέντος δὲ αὐτοῦ παντελῶς οὐδὲν, τότε δὴ τότε Χριστὸς, τῆς τῶν ἐννοιῶν ἰσχνότητος ὡς ἀποστάτω τιθεὶς τῆς ἀνθρώπου διανοίας τὸ πάχος, " εἰ τὰ ἐπί-„ γεια εἶπον ὑμῖν, φησι, καὶ οὐ πιστεύετε, πῶς ἐὰν εἴπω ὑμῖν τὰ ἐπουράνια „ πιστεύσετε; προσετίθει δὲ τούτοις· ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὃ οἴδαμεν λαλοῦ-„ μεν, καὶ ὃ ἑωράκαμεν μαρτυροῦμεν, καὶ τὴν μαρτυρίαν ἡμῶν οὐδεὶς λαμ-„ βάνει· „ Οὐκοῦν ἀβασάνιστα τὰ ὑπὲρ ἡμᾶς· εἰ γάρ ἐστιν ἀληθὲς ὅτι περ τὰ ἐν χερσὶν εὑρίσκομεν μετὰ βίας κατὰ τὸ γεγραμμένον, πῶς οὐκ ἀναγκαῖον ἐννοεῖν, ὡς ἔν γε τοῖς ὑπὲρ λόγον, χρησιμωτάτη λίαν ἡ πίστις, οὐκ ἀκολουθούσης ἐρεύνης, οὐ ζητήσεως εἰκαίας ἐπενηνεγμένης; συνέσει γὰρ τὰ τοιάδε τῶν πραγμάτων τιμᾶται λαμπρῶς.

Τοῦ αὐτοῦ, ἐκ τοῦ β' βιβλίου τῶν πρὸς Ἑρμείαν διαλόγων.

Opp. T. V. part. I p. 443. Οὐ δεῖ τὸ πίστει παραδεχθὲν, θρασυτέραις ὥσπερ ἐκβασανίζειν ἐρεύναις· πίστις γὰρ οὐκέτι τὸ ζητούμενον· ὡς γὰρ ἐλπὶς βλεπομένη, οὐκέτι ἐλπίς· ὃ γὰρ βλέπει τις, τί καὶ ὑπομένει; οὕτω πίστις ἐρευνωμένη καὶ οὐκ ἔχουσα τὸ ἀζήτητον, πίστις οὐκ ἂν εἴη· κατὰ τὸν ἴσον ἐλπίδι λόγον· τὸ γὰρ πίστει τετιμημένον, βασάνου πάντως ἐλεύθερον (1).

Τοῦ ἁγίου Ἰωάννου τοῦ χρυσοστόμου, ἐκ τῆς ἑρμηνείας τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς.

Τῷ δὲ δυναμένῳ ὑμᾶς στηρίξαι, κατὰ τὸ εὐαγγέλιόν μου καὶ τὸ κήρυγμα Ἰησοῦ Χριστοῦ, κατὰ ἀποκάλυψιν μυστηρίου χρόνοις αἰωνίοις σεσιγημένου, φανερωθέντος δὲ νῦν διὰ γραφῶν προφητικῶν κατ' ἐπιταγὴν τοῦ αἰωνίου θεοῦ, εἰς ὑπακοὴν πίστεως εἰς πάντα τὰ ἔθνη (2). Εἰπὼν τὸ κήρυγμα Ἰησοῦ Χριστοῦ, τουτέστιν ὃ αὐτὸς ἐκήρυξεν, ἔδειξε τὸ ἀξιόπιστον ὁ λόγος· αὐτοῦ γὰρ τὸ κήρυγμα, φησὶν, οὐχ' ἡμέτερα τὰ δόγματα εὐαγγέλικά ἐστι· καὶ οὐδενί φησι τῶν πρὸ ἡμῶν ἐγνωρίσθη τοῦτο τὸ μυστήριον· πάλαι μὲν γὰρ προώριστο, ἐφάνη δὲ νῦν διὰ γραφῶν προφητικῶν· μὴ οὖν δείσῃς ἀποστῆναι τοῦ νόμου· τοῦτο γὰρ βούλεται ὁ νόμος, τοῦτο ἄνωθεν προέλεγε· μὴ οὖν περιεργάζου διὰ τί νῦν ἐφανερώθη· τοῦτο γὰρ κατ' ἐπιταγὴν τοῦ θεοῦ γέγονε, καὶ οὐ δεῖ πολυπραγμονεῖν τοῦτο τὸ μυστήριον, ἀλλ' ὑπακούειν· ὑπακοῆς γὰρ ἡ πίστις δεῖται οὐ περιεργίας, μάλιστα ὅταν θεὸς ἐπιτάττῃ.

(1) Audiant hoc et sequentia hodierni pseudo-theologi, qui christianam fidem humano prorsus ratiocinio atque indagini subditam volunt.

(2) Ad Rom. XVI. 25-26. Atqui in editionibus certe Chrysostomi homiliae usque ad hunc Pauli locum non perveniunt.

Τοῦ αὐτοῦ ἐκ τῆς ἑρμηνείας τῆς πρὸς Θεσσαλονικεῖς δευτέρας * ἐπιστολῆς. * cod. πρώτης.

Ἄρα οὖν, ἀδελφοὶ, στήκετε καὶ κρατεῖτε τὰς παραδόσεις ἃς ἐδιδάχθητε εἴτε διὰ λόγου, εἴτε δι' ἐπιστολῆς ἡμῶν. Ἐντεῦθεν δῆλον, ὅτι οὐ πάντα δι' ἐπιστολῆς παρεδίδοσαν, ἀλλὰ καὶ ἀγράφως· ὁμοίως δὲ καὶ ταῦτα κἀκεῖνά ἐστιν ἀξιόπιστα· ὥστε καὶ τὴν παράδοσιν τῆς ἐκκλησίας ἀξιόπιστον ἡγούμεθα· παράδοσίς ἐστι, μηδὲν πλέον ζήτει· δείκνυσιν ἐνταῦθα πολλοὺς ὄντας τοὺς παρασαλευομένους. Opp. T. XI. p. 532.

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Ἑβραίους ἑρμηνείας, εἰς τὸ, πᾶς γὰρ ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος· καὶ τὰ ἑξῆς.

Διὰ τοῦτο τὴν πίστιν παρελάβομεν, ἵνα μὴ ἀναγκαζώμεθα μυρίας ἐπιέναι αἱρέσεις, καὶ πράγματα ἔχειν· ἀλλ' ὅπερ ἂν ἢ προσθεῖναι ἢ ἀφελεῖν τις ἐπιχειρήσῃ ἐκείνης, τοῦτο νόθον εἶναι νομίσωμεν· καθάπερ γὰρ οἱ τοὺς κανόνας διδόντες, οὐκ ἀναγκάζουσι μυρία μέτρα περιεργάζεσθαι, ἀλλὰ τὸ δοθὲν ἐκεῖνο κατέχειν κελεύουσιν, οὕτω καὶ ἐπὶ τῶν δογμάτων. Opp. T. XII. p. 89.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου, ἐκ τῆς εἰς τὸν ριε' ψαλμὸν ἑρμηνείας (1).

Ἐπίστευσα, διὸ ἐλάλησα, ἐγὼ δὲ ἐταπεινώθην σφόδρα· ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου πᾶς ἄνθρωπος ψεύστης. Πίστις ἡγείσθω τῶν περὶ θεοῦ λόγων· πίστις ἡ ὑπὲρ τὰς λογικὰς μεθόδους τὴν ψυχὴν εἰς συγκατάθεσιν ἕλκουσα· πίστις οὐχ' ἡ γεωμετρικαῖς ἀνάγκαις, ἀλλ' ἡ ταῖς τοῦ πνεύματος ἐνεργείαις γινομένη. Καὶ μετ' ὀλίγα. Ἀνάγκη γὰρ ἑκάστης μαθήσεως ἀνεξετάστους εἶναι τὰς ἀρχὰς τοῖς μανθάνουσιν, ἐπεὶ ἀμήχανον τοὺς περὶ τὰς πρώτας ζυγομαχοῦντας, δυνηθῆναι ὁδῷ καὶ τάξει προελθεῖν εἰς τὸ τέλος· καὶ τοῦτο ἂν μάθοις παρ' αὐτῶν τῶν ἔξωθεν· εἰ γὰρ μὴ συγχωρήσειας τὰς πρώτας ἀρχὰς τῷ γεωμέτρῃ, ἀμήχανον αὐτὸν τὰ ἐφεξῆς συμπεράνασθαι· καὶ τῆς ἀριθμητικῆς ὁ τοῖς πρώτοις καὶ στοιχειώδεσιν ἐνιστάμενος, τὴν εἰς τὸ πρόσω ὁδὸν διακόπτει· ὁμοίως δὲ καὶ αἱ ἰατρικαὶ ἀρχαὶ ἰατροῖς ἀναπόδεικτοι· καὶ ὅλως ἐν ὁποίῳ δήποτε ἐπιτηδεύματι τῶν ὁδῷ καὶ τάξει προϊόντων ἐπὶ τὸ τέλος, ἀδύνατον τῶν πρώτων ὑποθέσεων ἀποδείξεις ἐπιζητεῖν, ἀλλ' ἀνάγκη τὰς τῶν λογικῶν τεχνῶν ἀρχὰς ἀνεξετάστως παραδεξάμενον, τὸ ἐκ τῶν ὑποτεθέντων ἀκόλουθον ἐν τοῖς ἐφεξῆς ἐπιβλέπειν· οὕτω δὴ οὖν καὶ τὸ τῆς θεολογίας μυστήριον τὴν ἐκ τῆς ἀβασανίστου πίστεως ἐπιζητεῖ συγκατάθεσιν· πιστεῦσαι γὰρ δεῖ, φησιν, ὅτι ἔστι θεὸς, οὐ ζητῆσαι οὐδὲ ζυγομαχῆσαι τὸ τί ἐστι· καὶ ὅλως εἰ ἡ πίστις ἐλπιζομένων ἐστὶν ὑπόστασις, πραγμάτων ἔλεγχος οὐ βλεπομένων, μὴ φιλονείκει ἰδεῖν ἤδη τὰ μακρὰν ἀποκείμενα, μὴ δὲ τὰ ἐλπιζόμενα ἀμφίβολα καταστήσῃς, διὰ τὸ μὴ αὐτῶν δύνασθαι κατὰ τὴν γνῶσιν ἐφάπτεσθαι· ταῦτα μὲν οὖν καθ' ὅλου περὶ πίστεως διὰ τοὺς λογομαχοῦντας, καὶ ἐν ῥήμασι κενοῖς ἔχοντας τὴν ἐλπίδα. Καὶ μετὰ βραχύ. Ὅλως δὲ ἡ ἄνευ πίστεως

(1) Basilio adserit hanc homiliam Nicephorus, quam morosi aliquot critici haud genuinam esse dicebant, unde et Garnerius ipsam in appendice T. I. collocavit. Eandem ego in codice quoque decimi saeculi Basilio inscriptam legebam.

ἐπὶ τὸ λαλεῖν ἐρχομένη ψυχὴ, διὰ κενῆς ληρήσει, κατ' οὐδενὸς ὑποκειμένου τὸν λόγον προάγουσα· ἀρχὴ τοίνυν λόγου ἔμφρονος, πίστις ἰσχυρῶς τῇ καρδίᾳ τοῦ λαλοῦντος ἐνιδρυμένη.

* Lib. V. Opp. t. I. p. 313.

Τοῦ αὐτοῦ ἐκ τῶν κατ' Εὐνομίου *, ἐν οἷς καὶ πόθεν ἡ ἀπιστία δεικνύει.

Εὐθεῖαι αἱ ὁδοὶ κυρίου, καὶ δίκαιοι πορεύσονται ἐν αὐταῖς· οἱ δὲ ἀσεβεῖς ἐν ταῖς εὐθείαις προσκόπτουσι· καὶ τὸ θαῦμα, ἀφ' ὧν ὠφελοῦνται οἱ τῇ πίστει ὑγιαίνοντες, ἀπὸ τούτων βλάπτονται οἱ νοσοῦντες, περὶ ζητήσεις καὶ λογομαχίας ἀργὰς, ὡς εἶπεν ὁ ἀπόστολος, ἀσχολούμενοι· ὅτι δὲ ψυχῆς νόσημά ἐστι τὸ κακῶς καὶ περιέργως ζητεῖν περὶ θεοῦ, καὶ μάλιστα μετὰ ἀπιστίας, πᾶσι φανερόν· εἰ γὰρ αὐτῷ τῷ παναγίῳ θεῷ τὰ περὶ αὐτοῦ ἀπιστοῦσι, πῶς τῶν προφητῶν ἢ ἀποστόλων αὐτοῦ ἀκούσουσι λεγόντων ἐν θείαις γραφαῖς τὰ περὶ αὐτοῦ, καὶ τῶν εἰς αὐτὸν μελλόντων ἐλπίζειν; Καὶ μετ' ὀλίγα. Ζητεῖς ἵνα εὕρῃς οὐ πίστιν ἀλλ' ἀπιστίαν· τοῦτο ἀληθὲς κατὰ τὸ γεγραμμένον· εἰς κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία· ἐπίστευσε δὲ Ἀβραὰμ τῷ θεῷ καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην, καὶ φίλος θεοῦ ἐκλήθη· φίλος θεοῦ ὁ μακάριος Ἀβραὰμ εἴρηται καὶ ἔστι, φίλος διὰ πίστιν, φίλος δι' ὑπακοὴν θεοῦ· σὺ δὲ ἐχθρὸς δι' ἀπιστίαν καὶ παρακοὴν θεοῦ· ἐπίστευσε δὲ Ἀβραὰμ τῷ θεῷ, ἐπίστευσεν ὡς αὐτὸς, καὶ οὐκ ἠπίστησεν ὡς ὑμεῖς· διὰ τοῦτο αὐτὸς φίλος, ὑμεῖς δὲ ἐχθροί· οἱ ἐχθροὶ κυρίου ἐψεύσαντο αὐτῷ, κατὰ τὸ γεγραμμένον.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου τοῦ θεολόγου ἐκ τοῦ εἰς τὸ βάπτισμα λόγου.

Maur. ed. T. I. p. 696. 704.

Εἰ γὰρ τὰς πρὸς ἀνθρώπους ὁμολογίας ἐμπεδοῖ θεὸς μέσος παραληφθεὶς. πόσος ὁ κίνδυνος, ὧν πρὸς αὐτὸν ἐθέμεθα τὸν θεὸν συνθηκῶν, τούτων παραβάτας εὑρίσκεσθαι, καὶ μὴ μόνον τῶν ἄλλων ἁμαρτημάτων, ἀλλὰ καὶ αὐτοῦ τοῦ ψεύδους ὑποδίκους εἶναι τῇ ἀληθείᾳ; Καὶ μετά τινα. Μηδὲν σοφίσῃ, μηδὲν τεχνάσῃ κατὰ τῆς σῆς σωτηρίας· κἂν γὰρ τοὺς ἄλλους παραλογιζώμεθα, ἡμᾶς γε αὐτοὺς οὐ δυνησόμεθα· ὡς τό γε καθ' ἑαυτοῦ παίζειν, λίαν ἐπισφαλὲς καὶ ἀνόητον. Καὶ μετ' οὐ πολλά. Φύλασσέ μοι τὰ γεγραμμένα, ἐν καιροῖς τρεπτοῖς ἄτρεπτος μένων περὶ ἀτρέπτου πράγματος.

Τοῦ ἐν ἁγίοις Γρηγορίου ἐπισκόπου Νύσσης ἐκ τῶν εἰς τὴν τοῦ ἀνθρώπου κατασκευὴν κεφάλαιον κγ'.

Ed. Paris. T. I. p. 103.

Καὶ γὰρ οἱ περὶ τὸν Ἀβραὰμ πατριάρχαι, τοῦ μὲν ἰδεῖν τὰ ἀγαθὰ τὴν ἐπιθυμίαν ἔσχον, καὶ οὐκ ἀνῆκαν ἐπιζητοῦντες τὴν ἐπουράνιον πατρίδα, καθώς φησιν ὁ ἀπόστολος, ἀλλ' ὅμως ἐν τῷ ἐλπίζειν ἔτι τὴν χάριν εἰσί· „ τοῦ θεοῦ „ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσιν· „ εἰ οὖν ἐκεῖνοι φέρουσι τὴν ἀναβολὴν, οἱ πόῤῥωθεν διὰ μόνης πίστεως καὶ τῆς ἐλπίδος ἰδόντες τὰ ἀγαθὰ καὶ ἀσπασάμενοι, καθὼς μαρτυρεῖ ὁ ἀπόστολος, τὸ ἀσφαλὲς τῆς τῶν ἐλπισθέντων ἀπολαύσεως, ἐν τῷ πιστὸν ἡγήσασθαι τὸν ἐπαγγειλάμενον, θέμενοι· τί χρὴ πράττειν τοὺς πολλοὺς ἡμᾶς, οἷς τυχὸν οὐδὲ ἡ πρὸς τὸ κρεῖττον ἐλπὶς ἐκ τῶν βεβιωμένων ἐστίν; Ἰστέον δὲ ὅτι ἐν τῷ ιθ' κεφαλαίῳ φησὶ, τὴν ἀπιστίαν μετὰ τῶν λοιπῶν ὧν ἀπηριθμήσατο τῆς ψυχῆς

παθῶν, συγγενῆ εἶναι τῇ τῶν ἀλόγων ὁρμῇ, αὐξανομένων δὲ τῇ τῶν λογισμῶν συμμαχίᾳ.

Τοῦ αὐτοῦ κεφάλαιον κδ΄.

Ἀλλὰ μὴν καὶ ἐκ τοῦ θεοῦ τὰ πάντα, τῆς γραφῆς λεγούσης ἀκούοντες P. 106. πεπιστεύκαμεν, καὶ τὸ πῶς ἦν ἐν τῷ θεῷ, τὸ ὑπὲρ τὸν ἡμέτερον λόγον εἶναι, οὐκ ἀξιοῦμεν περιεργάζεσθαι, πάντα τῇ θείᾳ δυνάμει χωρητὰ πεπιστευκότες· καὶ τὸ μὴ ὂν ὑποστήσασθαι, καὶ τῷ ὄντι πρὸς τὸ δοκοῦν ὑποβάλλειν τὰς ποιότητας· οὐκοῦν ἀκολούθως ἀρκοῦν ἡγούμεθα τοῖς οὖσι πρὸς τὴν ἐκ τοῦ μὴ ὄντος ὑπόστασιν, τὴν τοῦ θείου θελήματος δύναμιν· οὕτω καὶ τὴν ἀναστοιχείωσιν τῶν συνεστώτων εἰς τὴν αὐτὴν ἀνάγοντες δύναμιν, εἰς οὐδὲν ἔξω τοῦ εἰκότος τὴν πίστιν παραληψόμεθα.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Διονυσίου ἐπισκόπου Ἀθηνῶν, ἐκ τοῦ περὶ θείων ὀνομάτων λόγου δ΄, κεφάλαιον κδ΄.

Ἐν γνώσει δὲ ἁμαρτάνοντας καλεῖ τὰ λόγια τοὺς περὶ τὴν ἄληστον τοῦ Ed. Ven. T. I p. 378. ἀγαθοῦ γνῶσιν, ἢ τὴν ποίησιν ἐξασθενοῦντας, καὶ τοὺς εἰδότας τὸ θέλημα καὶ μὴ ποιοῦντας· τοὺς ἀκηκοότας μὲν, ἀσθενοῦντας δὲ περὶ τὴν πίστιν ἢ τὴν ἐνέργειαν τοῦ ἀγαθοῦ, καὶ ἀβουλητόν τισι τὸ συνιέναι τοῦ ἀγαθῦναι κατὰ τὴν παρατροπὴν ἢ τὴν ἀσθένειαν τῆς βουλήσεως.

Τοῦ ἁγίου Ἀθανασίου ἐκ τοῦ λόγου τοῦ κατὰ τῶν φρονούντων τὰ Σαμοσατέως, καὶ περὶ πίστεως ὅτι εἷς ὁ Χριστός.

Χριστὸν γὰρ εὐθέως ἐξελθόντες ἐκήρυξαν οἱ ἀπόστολοι συμφώνως τὸν υἱὸν τοῦ θεοῦ. Καὶ μετά τινα. Τίς χρεία ζητεῖν καὶ λογομαχεῖν; πιστεύειν συμφέρει καὶ σέβειν καὶ προσκυνεῖν. Καὶ μετὰ βραχέα. Οὐ ζητῶ πῶς παθητὸς καὶ πῶς ἀπαθὴς ὁ αὐτός· πῶς θεὸς καὶ πῶς ἄνθρωπος, μὴ τὸ πῶς περιεργαζόμενος, καὶ τὸν τρόπον ἀναζητῶν, ἐκπέσω τοῦ προκειμένου ἡμῖν ἀγαθοῦ· πιστεύειν γὰρ πρῶτον χρὴ καὶ δοξάζειν· δεύτερον ἄνωθεν τὴν σύστασιν τούτων αἰτεῖσθαι, καὶ μὴ κάτωπιν ταύτην πορίζεσθαι. Ἐν δὲ τῷ δευτέρῳ ἤτοι τρίτῳ * reapse κατὰ Ἀρειανῶν λόγῳ ὁ αὐτὸς πατὴρ φησίν· ὅτι οὐδὲ εἰ ἀπορεῖ τις ζητῶν περὶ θεοῦ, ὀφείλει καὶ ἀπιστεῖν τοῖς γεγραμμένοις· βέλτιον γὰρ ἀποροῦντας σιωπᾶν καὶ πιστεύειν, ἢ ἀπιστεῖν διὰ τὸ μὴ ἀπορεῖν (1).

Αὐτάρκη οἶμαι τὰ εἰρημένα πρὸς ὑπόμνησιν· οὐ μέγα δὲ εἰπεῖν, καὶ πληροφορίαν εἶναι τοῖς φιλακροάμοσι τῶν θείων, καὶ πρὸς εὐσέβειαν ἐπιθυμητικῶς ἔχουσι· δύναιτο δ' ἄν τις τῶν πιστῶν καὶ ἐχεφρόνων φιλοπόνως τὰ τοιαῦτα ἐξερευνῶν, πλείους μαρτυρίας ἔκ τε τῶν θείων γραφῶν, ἔκ τε τῶν ἱερῶν πόνων τῶν θεηγόρων πατέρων ἡμῶν συναγεῖραι, προτρεπούσας τὸ ἁπλοϊκὸν τοῦ τρόπου τῆς πίστεως, καὶ ἀπανούργευτον ἐν συνειδήσει ἀγαθῇ ἐπιδεικνυμένας, τῇ εὐθύτητι τῶν ὀρθῶν δογμάτων προσφέρεσθαι, αὐτοτελεῖς τοὺς μισθοὺς τῶν τοιούτων πόνων εἰδότας ἀπολήψεσθαι, παρὰ τοῦ πάντων ἡμῶν σωτῆρος καὶ δεσπότου Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν.

(1) In editione Ven. Athanasii T. I. p. 398. ἀπορεῖν. Sed tamen ibi quoque communior lectio μὴ ἀπορεῖν adnotatur.

ΤΑΔΕ ΕΝΕΣΤΙΝ ΕΝ ΤῌΔΕ Τῌ ΒΙΒΛῼ.

PARERGON.

In vacuo plagularum duarum spatio, placet post grande Nicephori opus brevia duo collocare scripta patriarcharum duorum (qui aeque ac Nicephorus pro sanctis imaginibus decertarunt) Tarasii nimirum atque Methodii. Sunt autem epistolae duae, quas ego ex codice vaticano, nonnisi quatenus ss. imaginum negotium attingunt exscripsi.

Ἀδελφοῖς καὶ συλλειτουργοῖς πᾶσι τοῖς ὁσιωτάτοις ἐπισκόποις τῆς φιλοχρίστου Σικελῶν *,
Ταράσιος ἐλέῳ θεοῦ ἐπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης.

* ἐκκλησίας.

Οἱ τοῖς θείοις σοφῶς ἐμμελετῶντες λόγοις καὶ ἐρευνητικῶς καὶ οὐ παροδευτικῶς ἐν αὐτοῖς ἐγκύπτοντες, καὶ τὸν νοῦν αὐτῶν τῇ εὐσεβείᾳ καὶ τῇ ἀληθείᾳ προσπηγνύντες, φωτίζονταί πως θαυμαστῶς ἀπὸ ὀρέων αἰωνίων, ἐξ ἀποστολικῶν προφητικῶν τε φημὶ καὶ πατρικῶν διδαγμάτων, καὶ τῇ αἴγλῃ τῆς τηλαυγήσεως προορῶνται τὸν κύριον ἐνώπιον αὐτοῦ διαπαντὸς, καὶ διὰ τῆς πρακτικῆς ἀρετῆς πρὸς θεωρίαν ἀνάγονται· εἶτα τὲ καὶ τὴν δογματικὴν διδασκαλίαν ταύταις ἀναμιγνῦντες, σφᾶς τε αὐτοὺς καὶ τοὺς ἄλλους πρὸς τὴν ἀλήθειαν ἐκπαιδεύοντες, τὸ ἦθος τοῦ βίου ῥυθμίζουσι, καὶ τῶν γηΐνων ὑπεραναβεβηκότες, τὰ ἄνω ζητοῦσι, τὰ ἄνω φρονοῦσι, καὶ ὥσπερ τὸ διαφανὲς ὕδωρ ἐκμάσσεται τῶν εἰσρεόντων τὰς ὄψεις καὶ αὐτοῦ τοῦ ἡλίου τὸν κύκλον καὶ τῶν οὐρανῶν τὰ κύτη, οὕτω καὶ αὐτοὶ νόες καθαροὶ, νοῒ καθαρῷ προσμιγνύμενοι, οἷόν τι ἐκμαγεῖον καὶ κάτοπτρον γίνονται τῆς θείας δόξης, ὡς ὁ κύριος ἔφη· μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται· καὶ ἀξίως θῦται καὶ ἱερεῖς καὶ μυστηπόλοι ἐκλέγονται τοῦ λαοῦ προκαθεζόμενοι, ὅτι καὶ περὶ αὐτῶν εἴρηται· ὅπου εἰσὶ δύο ἢ τρεῖς συνηγμένοι ἐπὶ τῷ ὀνόματί μου, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν· ἄνδρες οὖν ἐπιθυμιῶν τῶν τοῦ πνεύματος, ἀκούομεν ὅτι τὸν κανονικὸν θεσμὸν φυλάττοντες συναθροίζεσθε καθ᾽ ἕκαστον χρόνον ἐπὶ τὸ διακρίνειν τὰ παρατυγχάνοντα ἐκκλησιαστικὰ κεφάλαια ἐπὶ πάσῃ τῇ ἐπαρχίᾳ ὑμῶν, καὶ πάντως ἐπικαλεῖσθε τὸν κύριον, ἵνα τὴν χάριν τοῦ πνεύματος καταπέμπων ὑμῖν, δῷ ἑκάστῳ ὑμῶν λόγον συνέσεως, λόγον θείας βουλῆς, λόγον φυλακῆς ἐντολῶν θεοῦ, λόγον τηρήσεως κανονικῶν διαταγμάτων, ταῖς κοσμικαῖς φροντίσι ταῖς ἐναντιουμέναις τοῖς προστάγμασι τοῦ θεοῦ χαίρειν λέγοντες, πνευματικῶς πνευματικὰ συγκρίνετε, μὴ προκρίναντες τὰ ἀνθρώπινα τῶν πνευματικῶν· τοῦτο γὰρ ἀνθρωπίνης χάριτος ἔργον, οὐ τῆς τοῦ πνεύματος· τί δέ εἰσι τὰ πνευματικά; εὐαγγελικαὶ ἀποφάσεις, ἀποστολικαὶ διαταγαὶ, τὰ τῶν θείων κανόνων διατάγματα· ἐκτὸς γὰρ τούτων, κρίσις ἐκκλησιαστικὴ λοιδορίας οὐδὲν ἔχει πλέον.

Διὸ καὶ ἡ ἁγία σύνοδος, ἡ κατὰ θεοῦ χάριν καὶ εὐδοκίαν συναθροισθεῖσα ἐν Νικαίᾳ ἐν τοῖς χρόνοις ἡμῶν, εἰς ἣν καὶ οἱ πλείους ὑμῶν εὑρέθητε, μετὰ τὸ ὁρίσαι κρατεῖσθαι τὴν ἀρχαίαν παράδοσιν τῆς ἁγίας τοῦ θεοῦ καθολικῆς ἐκκλησίας, ἀποδέχεσθαι τὰς σεπτὰς καὶ ἁγίας εἰκόνας, καὶ ἀναθέματι παραπέμπουσα τοὺς αἱρεσιώτας, οὓς χριστιανοκατηγόρους καὶ εἰκονοκλάστας ἡ ἀλήθεια ὠνόμασεν, ἀπεφήνατο· καὶ αὐτοὶ ἐπίστασθε πάντα τὰ κανονικὰ διατάγματα ἀπαρατρώτως ἀναμφιβόλως φυλάττεσθαι καὶ κρατεῖσθαι ἀμείωτα παρὰ πάντων ὑμῶν τῶν ἱερέων καὶ μοναχῶν καὶ λαϊκῶν, ὡς τρανῶς διαγορεύουσιν αἱ σημειώσεις τῶν συνοδικῶν αὐτῆς βίβλων· κατὰ πάντα γὰρ ἐκ τῶν πηγῶν τοῦ Ἰσραὴλ ἠρύσατο, καὶ οὐδὲν περαιτέρω τούτων ἐκπεφώνηκεν οὔτε ἀνέλιπεν· τὰ γὰρ τούτων διδάγματα οὔτε προσθήκην οὔτε ὕφεσιν ἐπιδέχεται· γέγραπται γὰρ, ἐπ᾽ αὐτοῖς οὐκ ἔστι προσθῆναι, καὶ ἀπ᾽ αὐτῶν οὐκ ἔστιν ἀφελεῖν· καὶ γὰρ ἐν τοῖς βασιλέων νομίσμασι μικρόν τι τοῦ χαρακτῆρος τὶς περικόψας, ὅλον τὸ νόμισμα κίβδηλον εἰργάσατο· οὕτως καὶ ὁ τὸ ἐλάχιστον τῶν θείων κανόνων ἀνατρέπων, τῷ παντὶ λυμαίνεται· οὕτως οἱ προσθήκην ἐννοούμενοι ἔν τε τῇ θείᾳ

γραφῇ, ἢ τοῖς θείοις κανόσιν, ἢ τοῖς πατρικοῖς παραγγέλμασιν, εὑρίσκονται παραχαράττοντες τὴν ἀλήθειαν· καὶ μετὰ τοῦ ψόφου τῆς γλώττης αὐτῶν, συναγωνίζεται ἡ ψευδογορία· τοιγαροῦν μνήσθητε τοῦ θεοῦ λέγοντος, ὅτε πάντα κατορθώσεις, τότε σωθήσῃ· αὐτοὶ ἐν τῇ διὰ τὸν κύριον συναθροιζομένῃ συνόδῳ ὑμῶν, τὴν ἀλήθειαν ἐπισπώμενοι, πάντων τῶν προσταγμάτων τὴν φυλακὴν διατηροῦντες, πλατύνατε τὸ στόμα, καὶ πνεύματος πληρώσατε, εὐαγγελικῶς τε καὶ ἀποστολικῶς, κανονικῶς τε καὶ πατρικῶς ἀποφαινόμενοι κ. τ. λ. *Sequuntur in Tarasii epistola nonnullae ecclesiasticae regulae, seu canones et praecepta, quae describere non huius est loci.*

Τοῦ ἁγίου Μεθοδίου πατριάρχου Κωνσταντινουπόλεως ἐπιστολὴ πεμφθεῖσα πρὸς τὸν πατριάρχην Ἱεροσολύμων, ἐπὶ καθαιρέσει τῶν ἀποστατησάντων ἱερέων.

Τὴν ἐκταθεῖσαν τῆς τιμίας κορυφαιότητός σου τοῦ λόγου χεῖρα ἡμῖν, διὰ τοῦ εὐλαβεστάτου ἀδελφοῦ Σιλουανοῦ, καὶ πρεσβυτέρου καὶ μοναχοῦ, πασῶν τῶν ἀνέκαθεν μέχρις ἡμῶν συνόδων, εὐαπόδεκτον καὶ ἰθύτομον ἀπαγγέλλει φέρουσαν· καὶ τὴν καθ' ἡμᾶς αὐτοῦ παρ' ἧς κεκινήμεθα ὑπομνῆσαι τὴν ὑμετέραν ἀδελφικὴν θεοσέβειαν, ὀρθῶς καὶ ἀπροσκλινῶς κριθεῖσαν ἀπεδεξάμεθα καὶ ἠγαπήσαμεν· ὡς παρὰ κυρίου εἰσακουσθέντες ἐν τῇ συμπνοίᾳ τῆς ἀληθοῦς ἡμῖν γεγενημένης ὁμονοίας· καθότι οὐκ ἦν ἑτέρως οὐδὲ ἠλπίζετο ἄλλως φέρειν καὶ ἔχειν, ἢ ὡς ἡμεῖς τε περιτρεπόμενοι ὑμᾶς ἠρωτήσαμεν, καὶ συντιθέμενοι ὑμεῖς ἀπεκρίνασθε· λέγομεν δὴ τὸ τοὺς μὲν ἀπὸ Ταρασίου καὶ Νικηφόρου τῶν μακαρίων καὶ ὀρθοδόξων πατέρων καὶ ἀδελφῶν ἡμῶν, ἱερεῖς καθισταμένους, παρασφαλέντας δὲ τῆς ἀληθείας, καὶ ὠλισθηκότας ἀπὸ τῆς εὐθείας ὁδοῦ ὀλοψύχως μετανοήσαντας, καὶ τῆς ἀβουλίας ἑαυτοὺς καταμεμφομένους, τῇ δὲ μεταμελείᾳ τὴν ἀξίαν μετάνοιαν ὅλῃ γνώμῃ ἐνδεικνυμένους, καὶ τοὺς τῶν αἱρέσεων ἐξάρχους τῇ βδελλυρᾷ τούτων κακοδοξίᾳ ἀποπεμπομένους καὶ ἀναθεματίζοντας, τοὺς τῆς εὐσεβείας ὅρους ὁμολογοῦντας ἐμμένειν, καὶ τὴν ὀρθοδοξίαν ἀναβοωμένους, ὡς φυλάξαιεν μέχρι θανάτου εἰς τὰ ἑξῆς ταύτην, καὶ ὑπερθάνοιεν εἰς ἔτι τῆς ἀληθείας, εἰς καύχημα αὐτοῖς, καὶ εἰς ἡμέραν Χριστοῦ, πρὸς τὸ ζῆσαι ἀμηρύτως ἀτελευτήτως, τούτους ἀποδέξασθαι, καὶ εἰς τοὺς οἰκείους βαθμοὺς ἐπανάγειν, καὶ ὡς οἰκεῖα μέλη τῇ ἰδίᾳ ἁρμονίᾳ συντάξαι, καὶ συγκληρώσασθαι τοῖς τε ἄλλοις ἅπασι μετὰ τοῦτο ὡς ἐν δευτέρᾳ τάξει, εἰ συνορῶμεν πάλιν καθ' ὃν ἂν καὶ δέοι τρόπῳ χρήσασθαι· ἄτερ μόνον τοῦ τελευταίου τουτέστιν ἐσχάτου καὶ πρώτου ἐχθίστου τῆς ἀληθείας Ἰωάννου, μηδ' ὅλως πώποτε φανέντος χριστιανοῦ, καὶ κλήρου λόγον οὐκ ἐσχηκότος οὐδ' ἐπεκτείναντος ἁπάντων τινί. Ταῦτα ὀρθῶς καὶ λίαν καλῶς δι' ὀλίγου ἐκθεμένης τῆς ὑμετέρας ἀδελφικῆς σεβασμιότητος, ἰδοὺ σήμερον τριετοῦς πληρωθέντος χρόνου, καὶ τοῦ τετάρτου ἀρξαμένου, οὐδένα καρπὸν μετανοίας τὸν διά τινος ταπεινόφρονος λόγου καὶ σκληραγωγίας βίου ἢ ἠρεμίας ἐθελουσίου δεικνύμενον παρά τινι τῶν ὅλων αὐτῷ πώποτε ἔγνωμεν κ. τ. λ. *Pergit Methodius declamare contra haereticos, praecipueque praedictum Iohannem iconoclastam, in quem Nicephorus quoque praecedente opere cap. 9. invehitur.*

ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ
ΝΙΚΗΦΟΡΟΥ
ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ
ΑΠΟΛΟΓΗΤΙΚΟΣ ΜΙΚΡΟΣ

ΠΡΟΣ ΤΗΝ ΚΑΘΟΛΙΚΗΝ ΕΚΚΛΗΣΙΑΝ ΠΕΡΙ ΤΟΥ ΚΑΤΑ ΤΩΝ ΣΕΠΤΩΝ ΕΙΚΟΝΩΝ ΠΑΛΙΝ ΝΕΟΥ ΣΧΙΣΜΑΤΟΣ (1).

α΄. Ἐπειδὴ ἡ ἁγία τοῦ θεοῦ ἐκκλησία ἐν τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν ἀσφαλῶς καὶ ἐρηρεισμένως ἕστηκεν, ὄντος ἀκρογωνιαίου λίθου Χριστοῦ τοῦ ἀληθοῦς θεοῦ ἡμῶν, καὶ πᾶσι τοῖς ἱεροῖς καὶ θείοις δόγμασι κεκόσμηται καὶ κεκαλλώπισται, καὶ οὐδαμῶς οὐδεμία ἀπολογία ἢ ἀντιλογία περὶ τῆς καθ' ἡμᾶς ὀρθῆς καὶ ἀμωμήτου πίστεως καὶ λατρείας ἐν αὐτῇ ὑπάρχει (2), διὰ τοῦτο περὶ τῶν νῦν κενολογουμένων παρά τινων τῶν τοῦ ἱερατικοῦ

SANCTI PATRIS NOSTRI
NICEPHORI
PATRIARCHAE CONSTANTINOPOLITANI
APOLOGETICUS MINOR

AD CATHOLICAM ECCLESIAM DE NOVO PROPTER VENERABILES IMAGINES EXORTO SCHISMATE.

1. Quoniam sancta Dei ecclesia in apostolorum ac prophetarum fundamento secure firmiterque consistit, angulari eius existente lapide Christo vero Deo nostro, cunctisque sacris ac divinis dogmatibus exornatur et venustatur, neque ulla ubivis vel defensio vel contradictio circa rectam nostram irreprehensibilemque fidem et cultum in ipsa fit; propterea circa hodiernas novitates nonnullorum de ecclesiastico

(1) Totus titulus ita se habet in codice, excepto vocabulo μικρός, quod nos addimus, ut hunc apologeticum ab illo longe maiore distinguamus, qui in hoc pariter volumine nostro editur. Mendose tamen in codice scribitur σχήματος pro σχίσματος, quod alterum reapse scribendum erat; agitur enim non de novo *schemate*, sed de *schismate*, ut ipse statim Nicephorus dicet.

(2) S. Nicephori prolixa vita ab Ignatio diacono scripta extat apud Bollandianos mart. tom. II. p. 295. sq. latine, graece autem ex codice vat. ab Allatio communicata p. 704. sq. Ibi cap. IV. 26. reapse dicitur, domita iam iconoclastarum haeresi, pacem in ecclesia fuisse dum Nicephorus episcopatum iniret; sed eandem paulo post Leone armenio regnante turbatam, denuoque in partes duas scissam ecclesiam, orthodoxorum

λόγου ἀπαλλοτριωσάντων ἑαυτοὺς τοῦ κοινοῦ τῆς ἐκκλησίας σώματος τοῖς ἐρωτῶσι τὴν ἀπολογίαν ταύτην, ἣν τὰ ὑποτεταγμένα φέρει προτίθεται.

β΄. Ὅτι μὲν οὖν ἐξ ἀρχῆς καὶ ἄνωθεν ἔκ τε ἀποστολικῆς καὶ πατρικῆς παραδόσεως, ἡ τῶν σεπτῶν εἰκόνων ὕπαρξίς τε καὶ προσκύνησις μέχρι τοῦ δεῦρο ἦλθε, κηρύσσουσι καὶ μαρτυροῦσιν αἵ τε ἀρχαῖαι ἐκκλησίαι καὶ τὰ ἱερὰ σκεύη, παρά τε βασιλέων εὐσεβῶν καὶ ἑτέρων φιλοχρίστων κατασκευασθέντα, ὅτι ἐν τόποις ἱεροῖς καὶ σεβασμίοις κατετάχθησαν τοῦ μετὰ τῶν λοιπῶν ἱερῶν προσκυνεῖσθαι· σαφέστατον δὲ τούτων καὶ ἀψευδέστατον μαρτύριον τὰ ἐν ταῖς σωλίαις τοῦ ἁγίου θυσιαστηρίου μετὰ τῶν τιμίων σταυρῶν συγκείμενα· οὐ γὰρ ἑτέρῳ τρόπῳ ἐν τούτοις ἀνετέθησαν, εἰ μὴ προσκυνήσεως ἕνεκεν· ἔτι δὲ καὶ τὰ ἐν τοῖς ἁγίοις θυρίοις καὶ πυλῶσιν ἱεροῖς τῷ αὐτῷ τρόπῳ τετυπωμένα· συνίστησι δὲ τὴν τούτων προσκύνησιν καὶ τὰ ἐν τοῖς κανόσι τῆς ἁγίας ϛ΄ συνόδου, σεπτὴν γραφὴν ταῦτα διαγορεύοντα (1)· ἔτι δὲ καὶ ἕτεραι ἁγίων πατέρων περὶ αὐτῶν συγγραφαί.

γ΄. Ὅθεν καὶ ἐν τοῖς προλαβοῦσι χρόνοις εὑρηκὼς τὰς αὐτὰς ἱερὰς εἰκόνας προσκυνουμένας ὁ τότε βασιλεύσας Λέων, ὁ πατὴρ Κωνσταντίνου, ὁ καὶ κατὰ τῆς οἰκονομίας τοῦ σωτῆρος ἡμῶν θεοῦ μανεὶς, ταύτας ἐπειράθη κατα-

coetu, qui se a communi ecclesiae corpore abalienarunt, defensionem hanc, nonnullis rogantibus, prout est in infrascriptis, exponimus.

2. Quod itaque iam inde ab initio antiquitusque ex apostolorum patrumque traditione, sanctarum imaginum existentia et veneratio ad hodiernam usque diem perstiterit, praedicant atque testantur et antiquae ecclesiae, et sacra vasa a piis regibus aliisque Christo devotis adornata, quae in sacris venerandisque locis fuere reposita, ut cum reliquis sacris rebus honorarentur. Evidentissimum autem et sincerissimum testimonium est illarum imaginum, quae in sancti altaris soleis cum venerandis crucibus sunt repositae: illae insuper quae in sanctis foribus ianuisque eodem modo sunt insculptae. Comprobant harum cultum sextae quoque synodi canones, in quibus harum pictura venerabilis dicitur; quod ipsum et alia demum sanctorum patrum scripta adfirmant.

3. Quamobrem superiore tempore has comperiens sacras imagines in honore haberi Leo, pater Constantini qui adversus servatoris quoque Dei nostri incarnationem insaniit, has evertere conatus est. Ideo et sanctae memoriae Germanum,

videlicet et iconoclastarum. Videtur itaque haec oratio sub ils initiis conscripta. Porro quam dixi, Nicephori vita legitur a me in vat. codice saeculi ferme undecimi, cuius in marginibus perscribuntur pulchris atque quadratis, etsi non magnis litteris glossae optimae perfrequentes; et quidem in prima pagina text. ὠδὺς, gloss. καιρὸς τοκετοῦ. - text. κατέτρυχεν, gloss. κατεπόνει. - text. κατόπιν, gloss. κατόπισθεν, κατοπίσω. - text. ἀπαραίτητα, gloss. ἐπιτατικὰ ἃ οὐδεὶς δύναται φυγεῖν. - text. καθεῖναι, gloss. χαλάσαι. - text. προείλετο, gloss. ἠγάπησεν, ἠθέλησεν. - text. κατηφείας, gloss. στυγνότητος. - text. τίς ἄρα, gloss. θαυμαστικῶς καὶ πνευματικῶς, οὐχ ὑποκριτικῶς ἀνάγνωθι. - text. ὦ τᾶν, gloss. ὦ σὺ ἑταῖρε, ὦ μακάριε· λέγεται δὲ καὶ ἐπὶ εἰρωνείας. - text. ἀπότευξις, gloss. ἀποτυχία. - text. ἅτε, gloss. ὥσπερ, καθάπερ. - text. ἀφασίαν, gloss. ἀφωνίαν. - text. ἀτόπημα, gloss. ἀπρεπές. - text. ἐδαιδείην (ἐδεδίειν,) gloss. ἐφοβήθην. - text. ἀποιχομένου, gloss. παρερχομένου, ἀπερχομένου etc.

(1) Nempe hoc dicitur in canone trullano LXXXII, ubi ss. imagines dicuntur σεπταὶ *venerabiles*.

στρέψαι· διὸ καὶ τὸν ἐν ὁσίᾳ τῇ μνήμῃ Γερμανὸν τὸν ἀρχιερέα ταύτης τῆς βασιλίδος πόλεως, τοῦ ἱερατικοῦ ἀξιώματος ἐξήλασεν, ὡς ἀντιπίπτοντα τῷ κακοδόξῳ αὐτοῦ φρονήματι· καὶ εἴ τις ἀκριβέστερον περὶ τούτων μαθεῖν ἐθέλει, ἐντυγχανέτω τοῖς συγγράμμασι τοῦ αὐτοῦ ὁσιωτάτου ἀρχιερέως (1)· οὕτω σαλευομένην τὴν ἐκκλησίαν ὁ δυσσεβὴς Κωνσταντῖνος καταλαβὼν, σφοδρότερον πνεύσας κατὰ τῶν ὀρθῶν ἡμῶν δογμάτων, καὶ μήτε ἱερέως ἐν τῇ βασιλευούσῃ πόλει τυγχάνοντος, ἤδη γὰρ καὶ Ἀναστάσιος (2), ὁ μετὰ τὸν ὅσιον Γερμανὸν ἱερατεύσας, ἐτελεύτησεν, μήτε πρεσβυτέρας Ῥώμης (3) ἀρχιερέα προσκαλεσάμενος, μήτε ἑτέρου θρόνου τοῦ οἱοδέποτε κατὰ τὸν ἐκκλησιαστικὸν κανόνα, τῷ οἰκείῳ δυσσεβεῖ θελήματι ἑπόμενος, μᾶλλον δὲ τυραννικῇ ἀλαζονείᾳ χρώμενος, καὶ τοῦ θείου νόμου καταφρονήσας, διὰ τῶν ὑπ' αὐτοῦ ἀναιδῶς συναθροισθέντων ἀνιέρων ἱερέων, ὅσον ἦν ἐπ' αὐτῷ, τὴν τούτων καταστροφὴν κατειργάσατο, τολμήσας ὁ ἄθεος εἰδωλολάτρας τοὺς χριστιανοὺς ἀποκαλέσαι· καὶ δογματίσας ἐν τῷ ὅρῳ τοῦ τοιούτου ἀνιέρου ἀθροίσματος (4), μὴ προσκυνεῖσθαι τοῦ λοι-

huius regiae urbis pontificem, sacerdotali dignitate expulit, utpote ipsius pravae opinioni adversantem. Quam rem si quis accuratius vult cognoscere, eiusdem sanctissimi antistitis scripta legat. Sic itaque perturbatam impius Constantinus ecclesiam offendens, vehementius adversus recta dogmata nostra invehens, neque iam episcopo apud regiam urbem existente; namque et Anastasius, qui post sanctum Germanum episcopus fuit, obierat; imperator, inquam, neque senioris Romae pontifice, neque alterius cuiusvis sublimis sedis, iuxta ecclesiasticam regulam, appellato, impiae suae voluntati obsequens, vel potius tyrannica superbia utens, divina lege contempta, per collectos a semet profanos episcopos, quantum in ipso fuit, sanctarum imaginum fecit abolitionem, aususque est hic atheus idololatrarum nomine Christianos appellare; et dogmatico huiusmodi profanae synodi canone definire, non esse in

(1) Intellige S. Germani epistolas de hoc argumento quae recitantur in nicaena secunda synodo. Intellige item a nobis editum in Spicil. rom. T. VII. eiusdem Germani opusculum, ubi cap. 40. et seq. iconoclastae refutantur.

(2) Videtur Nicephorus sine contumelia appellare Anastasium, quamquam hunc patriarcham satis constat, si non animo certe opera et simulatione favisse iconomachis. Num ergo aliter de eo existimabat Nicephorus? Certe in Graecorum menaeis Anastasii nomen legitur, qua super re disputat Cuperus in patr. constantinopolitanis. Attamen Anastasium ut iconomachum usque ad obitum damnat Ephraemius chronographus a me editus Script. vet. T. III. v. 9927. sq. Item Theophanes in chronico.

(3) Romam Nicephorus in sua cum Leone arm. imp. disputatione (vit. cap. VI. 41.) dicit τὸ πρωτόβλητον τῶν ἀποστόλων ἕδος, *primam apostolorum sedem* (vel *firmamentum* aut *basim.*) Ita enim edidit Allatius πρωτόβλητον. At Combefisius, qui paulo ante praedictam disputationem ediderat, habet τοῦ πρωτοκλήτου, quae ceteroqui lectio merito illi suspecta videtur. Reapse codex vaticanus vitae Nicephori habet πρωτόκλητον, non τοῦ πρωτοκλήτου. Allátius vero vel ita legens, vel recte emendans, πρωτόβλητον pro πρωτόκλητον maluit. Est enim non insolita in codicibus permutatio litterarum B et K, propter multam earumdem in prisco scribendi usu similitudinem, ut mecum antiquarii sciunt. Et combefisiana quidem lectio τοῦ πρωτοκλήτου insana est; sequitur enim mox κορυφαίου Πέτρου; πρωτόκλητος autem Andreas, non Petrus. Verumtamen inter πρωτόβλητον (quod malo) et πρωτόκλητον, nullae tragoediae sunt agendae, quia perinde fere est dicere *primam sedem*, ac *primam appellatam sedem* aut *basim.*

(4) Habita fuit Constantinopoli haec iconomachorum synodus anno Copronimi regnantis XIII, ut ait Theophanes, eiusque non semel meminit noster Nicephorus in subsequentibus scriptis. Acta eius abolita interciderunt. Alia iconomachorum in eadem regia urbe synodus anno DCCCXV. sub Leone armenio fuit. Vit. S. Nicephori cap. V. 35. vel etiam X. 63. XII. 73.

ποῦ ἱερὰς εἰκόνας, μήτε ὅλως κατασκευάζεσθαι· καὶ ἐπειδὴ τὸ κακὸν ἀρχῆθεν οὐχ ἔστη ἐφ' ἑαυτῷ, ἐπηκολούθησε καὶ τὰ ἐξ ἀσεβείας δόγματα· τάς τε γὰρ πρεσβείας τῶν ἁγίων τῆς ἐκκλησίας ἐξέβαλε, καὶ ἅγια λείψανα καὶ βίβλους ἱερὰς πλείστας κατέκαυσε, καὶ τοὺς μὴ καταδεχομένους τοῦτο τὸ ἄθεον δόγμα διωγμοῖς καὶ αἰκίαις καὶ βασάνοις πολλαῖς ἐτιμωρήσατο.

δ'. Εἰ δὲ δεῖ καὶ ἐκ τῶν ἐναντίων περὶ τούτων πιστώσασθαι, μαρτυροῦσι καὶ αἱ χρήσεις αἱ λεγόμεναι Ἐπιφανίου· καὶ γὰρ ἐκεῖ ὁ Ἐπιφάνιος, ὡς προσκυνουμένας αὐτὰς παρὰ τῶν χριστιανῶν ὁρῶν, ἐπειρᾶτο τὴν τούτων ἀναίρεσιν ποιήσασθαι (1)· ὅπερ οὔτε ἐν τοῖς χρόνοις ἐκείνοις εὐσεβεῖς βασιλεῖς, πρὸς οὓς τὸ γράμμα δοκεῖ φέρεσθαι (2), τὸν περὶ τῆς καταστροφῆς αὐτῶν λόγον ἐδέξαντο, ὡς δηλοῦσιν αἵ τε ὑπ' αὐτῶν κτισθεῖσαι ἐκκλησίαι, καὶ τὰ ἱερὰ εἰκονίσματα τυγχάνοντα· πρὸς τούτοις καὶ αἱ ἐν Κύπρῳ ἐκκλησίαι βοῶσιν (3), ὅτι οἱ τοιοῦτοι λόγοι οὐκ ἠκούσθησαν πώποτε· ἀλλ' οὐδὲ οἱ ἐκ τῆς κυπρίας νήσου ὁρμώμενοι, ὧν ἐστιν ὁ ἐν ἁγίοις Παῦλος, ὁ γεγονὼς τῶν ἐνταῦθα ἀρχιερεύς, καὶ Κωνσταντῖνος ὁ γεγονὼς κατὰ τὴν αὐτὴν νῆσον ἀρχιεπίσκοπος, ἄνδρες σοφοὶ καὶ ἐλλόγιμοι, καὶ τὰ δόγματα τοῦ ἁγίου Ἐπιφανίου τοῦ τῆς νήσου προεδρεύσαντος ἐπιστάμενοι, οὐκ ἠνέσχοντο τοῦ αὐτοῦ πατρὸς εἶναι τὰς χρήσεις, ἃς ἐν τῷ ψευδοσυλλόγῳ οἱ συναθροισθέντες αὐτῷ προσήγαγον· ἐν τούτοις ὁ θεὸς

ad orationem de angelis prosequendam; curnam quum sint unius omnes substantiae, non unam neque similem figuram aspectumque in terram advenientes ostendant hominibus? sed modo adolescentulorum speciem prae se ferant, modo militum, aliquando etiam equitum, item animalium sex alis et multis oculis instructorum, insuper leonum, boum, aquilarum, interdum etiam equorum igneorum, nec non rotarum et curruum. Divus ergo Isaias cum divinam illam adeoque tremendam vidit dominicam sessionem in sublimi throno, in quo, (ut ipse videbat) universi mundi Deus considebat, adstitisse dixit illi in forma sex alis instructa, celsissimas angelicorum simul et cherubicorum ordinum potestates: et duabus quidem alis facies suas velasse, aliis vero duabus pedes suos operuisse [duabus denique reliquis volasse.] Iam dum supernas atque inferiores partes circumtegerent significabant videlicet, hac oblata specie, tum superis in caelo, tum inferis in terra invisibile esse, arcanum, et obtectum divinitatis mysterium. Vel ob id fortasse utramque extremitatem tegebant, quia res ante Dei Verbi Christique de caelo adventum incomprehensibiles sunt, itemque illae post eiusdem assumptionem. Attamen mediis illis, quae incarnationis tempore evenerunt, credens ecclesia in caelum tamquam alis convolat. Fortasse item per hoc vultum pedumque velamentum, nobis innuunt sanctissimi Seraphini, neque initium neque finem divinae naturae spectari, aut comperiri, aut intelligi posse. Nam faciei tegumentum invisibilitatem denotat increatae naturae: pedes autem vicissim velati, significant haud posse quemquam Deo accedere aut propinquare.

ε'. Εἶτα φησὶν ὁ θεῖος προφήτης ὁ ταῦτα ὁρῶν, ὅτι καὶ πλήρης ὁ οἶκος τῆς δόξης τοῦ θεοῦ. Γνωστὸς γὰρ ἦν τότε ἐν τῇ Ἰουδαίᾳ ὁ θεὸς, καὶ ἐν τῷ Ἰσραὴλ μόνῳ μέγα τὸ ὄνομα αὐτοῦ· ἀλλ' ὅμως ἦν τοῖς νοεροῖς προεωρακότα τὰ διορατικὰ τὸ τῆς ἐνανθρωπήσεως αὐτοῦ ἐπὶ θρόνου καθεζομένου θεοῦ λόγου μυστήριον· καὶ ὅτι ἐπὶ γῆς ἀνθρώποις ὡς ἄνθρωπος μέλλει ὀπτάνεσθαι, καὶ ὁ ἄσαρκος σαρκοῦσθαι, καὶ ὁ αὐτοῖς τοῖς ἀΰλοις ἀόρατος, καὶ τοῖς ὑλικοῖς γίνεσθαι διὰ σαρκὸς ὁρατός· καὶ πληροῦν πᾶσαν τὴν γῆν τῆς δόξης καὶ τῆς αἰνέσεως καὶ τῆς χάριτος αὐτοῦ· ἐκπλαγέντα τὴν ἄφραστον καὶ ἀκατάληπτον συγκατάβασιν, καὶ θαυμάσαντα τὴν ἄῤῥητον ἣν εἰς ἀνθρώπους ἔμελλεν ἐνδείκνυσθαι τὴν ἑαυτοῦ ἀποκάλυψιν, εὐχαριστίας ὁμοῦ καὶ ἐκπλήξεως ἀνακεκράγεσαν ὕμνον βοήσαντα, ἅγιος, ἅγιος, ἅγιος κύριος σαβαώθ, πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ· τὴν μέλλουσαν τῶν ἐκκλησιῶν δόξαν προφητεύοντα Χριστὸν τὰ μακαριώτατα σεραφίμ· διὸ φησὶν ὅτι ἐπλήσθη πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ· ὅρα τί γίνεται· ἐπήρθη, φησι, τὸ ὑπέρθυρον* ἀπὸ τῆς φωνῆς, τουτέστιν ἐπήρθη ἡ ἄνωθεν συνέχουσα τὸν ἰουδαϊκὸν ναὸν καὶ λαὸν σκέπη καὶ ἀντίληψις, καὶ ἐπλήσθη ὁ οἶκος καπνοῦ, ἤγουν ἐρημώσεως καὶ σκότους, πλάνης καὶ ἀγνωσίας· προσέχετε μετὰ ἀκριβείας, παρακαλῶ· ὅτε ἦν ἡ γῆ πᾶσα ἄδοξος ἐν πλάνῃ καὶ ἀγνωσίᾳ, πλήρης ἦν ὁ οἶκος τοῦ ναοῦ τοῦ ἰουδαϊκοῦ δόξης· ὅτε δὲ πᾶσα ἡ γῆ πλήρης δόξης καὶ ἐπιγνώσεως θεοῦ γέγονε, τότε ὁ οἶκος τοῦ Ἰσραὴλ ἐπλήσθη καπνοῦ, σβεσθέντος αὐτοῖς τοῦ νομικοῦ λύχνου· ὅπως φησὶν ὁ Χριστὸς, οἱ μὴ βλέποντες ἡμεῖς, βλέψωμεν· οἱ δὲ βλέποντες Ἰουδαῖοι, τυφλοὶ γένωνται· ἀλλὰ ταῦτα μὲν Ἡσαΐας.

* Is. VI. 4.

5. Deinde ait divus propheta, visionis huius spectator, plenam fuisse domum gloria Dei. Notus enim in Iudaea Deus, et apud Israhelem tantummodo magnum nomen eius. Sed tamen notum erat spiritibus intellectualibus, praesciis et perspicacibus, incarnationis sedentisque in throno Verbi Dei mysterium: et quod ab hominibus ceu homo cernendus foret, et incorporeus corporandus, et qui vel ipsis immaterialibus invisibilis erat, abs materialibus quoque per carnem aspiciendus; atque universam terram gloria sua et laudibus beneficiorum suorum repleturus. Ideoque attoniti ob eam insperatam et incomprehensibilem condescensionem, mirantesque ineffabilem quam hominibus Verbum facturum erat suimet revelationem, gratiarum simul et stuporis hymnum canebant clamantes, sanctus, sanctus, sanctus dominus Deus sabaoth, plena est omnis terra gloria eius; Christum videlicet, qui ecclesiae gloria futurus erat ita vaticinabantur beatissimi Seraphim: idcirco aiunt plenam universa terram gloria illius. Vide, quid factum sit. Elevatum est superliminare a voce clamantium, id est sublatum fuit, quod iudaicum templum populumque continebat septum et tutamen, et domus fumo repleta, id est solitudine, tenebris, errore, et inscitia. Attendite diligenter, quaeso. Quando universa terra in ignominia errore et inscitia versabatur, tunc iudaici templi aedificium plenum gloria fuit. Quando autem universa terra gloria et Dei cognitione plena evasit, tunc domus Israhelis fumo repleta est, extincto ipsis legali candelabro; ut sicut Christus dixit, nos antea nihil videntes, videremus: et qui videbant Iudaei, caeci fierent. Hactenus Isaias.

* Ezech. cap. I.

ϛʹ. Ἰεζεκιὴλ* δὲ πάλιν, ὁ πρὸς θεοπτίας, εἴ καί τις ἄλλος, τὸν νοῦν ἐπιτηδείως ἔχων, οὐ μόνον δὶς ἀλλὰ τετράμορφα ζῶα τοὺς ἀνωτάτω τῶν ἀσωμάτων ἀγγέλων τεθεώρηκε νόας, προδιατυποῦντας οἶμαι σαφῶς καὶ ἐν αὐτοῖς ἐνανθρωπήσεως τοῦ Ἐμμανουὴλ ἐκ παρθένου μυστήριον· περιέχετο γὰρ ἐν τοῖς ζώοις εἶδος ἀνθρώπου καὶ σχῆμα βοὸς καὶ τὸ τρίτον λέοντος, τὸ δ' ἀνώτερον τούτοις, ἀετοῦ· ὡς γὰρ ἄνθρωπος, ἀληθῶς ἐφάνη ἐπὶ γῆς Χριστὸς, ὁ ὄντως ὁμοῦ θεός τε καὶ ἄνθρωπος· ὡς βοῦς εἰς σφαγὴν ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας· ὡς λέων, δυνάμει ἐκ νεκρῶν ἐξεγερθεὶς ἀνέστη· ὡς ἀετὸς, εἰς οὐρανοὺς ὑψωθεὶς ἀνελήφθη· ἢ καὶ οὕτως πάλιν ἐπὶ Χριστοῦ ἐκληπτέον τὰ ζῶα· ἄνθρωπος, ὡς λόγος λογικὸς καὶ εἰκὼν τοῦ θεοῦ τοῦ ἀοράτου, διὰ τὸ τῆς ψυχῆς καὶ τοῦ νοῦ νοερὸν καὶ ἀόρατον· βοῦς, ὡς δυνατὸς ἀρχιερεὺς καὶ τὸν ζυγὸν τοῦ σταυροῦ ἐπὶ τὸν ὦμον φέρων, καὶ ἡμῖν τοῖς ἀλόγοις ἐν τῷ τόκῳ συμφατνιάσας ἐν Βεθλεὲμ, καὶ τὸν σπόρον τοῦ εὐαγγελικοῦ λόγου πάσῃ τῇ γῇ κατασπείρας· λέων ὡς βασιλεὺς ἡμῶν τῶν ποτὲ ἀγρίων καὶ ἀνημέρων καὶ αἱμοβόρων καὶ σαρκοβόρων ἀκαθάρτων ἐθνῶν· ἐβασίλευσε γὰρ, φησιν, ὁ θεὸς ἐπὶ τὰ ἔθνη· οὐ μόνον δὲ λέων ὁ Χριστὸς, ἀλλὰ καὶ σκύμνος λέοντος, ὡς φησὶ περὶ αὐτοῦ Ἰα-
* Gen. XLIX. 9. κὼβ*, τουτέστι βασιλέως υἱὸς, ἐκ βασιλικοῦ πατρὸς προελθών· διὸ καὶ ἀετὸς ὡς βασιλεὺς τῶν οὐρανίων πετεινῶν πτερωτῶν, νοερῶν ἀγγελικῶν ἁγίων δυνάμεων· πτερωτῶν, ὡς ἡμῶν τῶν τοῦ Χριστοῦ νεοττῶν σκεπαστικῶν οὐσῶν καὶ φρουρητικῶν· πτερωτῶν, ὡς εὐκινήτων καὶ τῶν γηΐνων πάντων ὑψηλοτέρως ἐχόντων· πτερωτῶν, ὡς τῷ θείῳ ἔρωτι ἀεικινήτως καὶ ἀκορέστως ἐχόντων· πολυομμάτων, ὡς τῷ θείῳ φωτὶ πλουσίως ἐλλαμπομένων, καὶ ὑπό τινος ὕλης πρὸς

6. Ezechiel item, qui ad Dei visiones, si quisquam alius, mentem comparatam habuit, non ut biformia tantum, sed ut quadriformia animalia, supernas incorporeorum angelorum vidit mentes, praefigurantes ut reor manifeste his formis incarnati in virgine Emmanuhelis mysterium. Erant in animalibus forma hominis, figura bovis atque leonis; et his sublimior, aquilae. Namque ut homo, vere apparuit in terra Christus, qui vere Deus simul est et homo. Ut bos, ad caedem propter mundi salutem. Ut leo, potenter a mortuis resurrexit. Ut aquila, in caelum sublimis conscendit. Vel aliter etiam de Christo explicanda sunt animalia: homo, ut Verbum rationale et imago Dei invisibilis, propter animae ac mentis intellectualem vim et invisibilem: bos, ut potens sacerdos, et crucis iugum humeris ferens, et nobiscum ceu irrationalibus, partûs tempore, apud Bethleemum in praesepi repositus, semenque evangelici verbi per universam terram disseminans. Leo, ut rex noster, qui tunc eramus silvestres et saevi et sanguinolenti et carnivori impurique ethnici: regnavit enim, inquit scriptura, Deus super gentes. Neque leo tantum Christus, verum etiam leonis catulus, ut ait de illo Iacobus; id est regis filius, ex regali patre procedens. Ideo etiam aquila, ut caelestium volucrum alatorum rex, id est angelicarum, intellectualium ac sanctarum potestatum. Alatos dicit, ceu nos, qui Christi sumus pulli, contegentes ac tutantes: alatos, ut agiles, et supra terrena omnia alte volantes: alatos, ut divino amore incessanter et sine satietate fruentes. Multioculos quoque dicit, ceu divino lumine abundanter illustratos, nullaque materia quominus contemplen-

θεωρίαν οὐκ ἀντισκοτουμένων· διὸ καὶ πνεύματα λέγονται, ὡς ἄϋλα καὶ ἀσώματα καὶ ἀόρατα καὶ ἀναφηλάφητα καὶ ἀθάνατα καὶ ἀπαχῆ καὶ ἀέρια 1), καὶ χάριτι ἄφθαρτά τε καὶ ἀνόλεθρα.

ζ. Καὶ πειθέτω σε ὁ ἄγγελος κυρίου εἰς αὐτοῦ τοῦ κυρίου συγκατελθὼν τὸ εἶδος τοῖς περὶ Ἀζαρίαν, ὁ πυρέμψυχος καὶ τὴν πυρὰν ψύχων, ὁ δροσοφόρον ἀντὶ πυρφόρου ἀποτελέσας τὴν φλόγα· τὸ δὲ τοῦ παραδόξου παραδοξότερον, ὅτι οὓς μὲν ἔνδον ὡς ἐν γαστρὶ συνέλαβεν ἡ φλὸξ, ἀπεκύησεν ἀβλαβεῖς· οὓς δὲ ἐκτὸς ἀσυλλήπτους ἀμφ' αὐτὴν περιεῖχεν, ἐλυμαίνετο ἀσεβεῖς· τοῦτο ῥοπῆς θείας δυνάμεως ἀγγέλου ἐξουσία παναλκὴς καὶ οὕτως ῥωμαλέα, ὡς καὶ κόσμον ὅλον ἐν ἀκαριαίῳ δυναμένη ὀλοθρεύειν· καὶ μάρτυς ἡ κατὰ Σεναχερὶμ ἑνὸς ἀγγέλου θείου χαλδαϊκὴ νυκτολοθρία θνῆσις, ἀψοφητὶ ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδων πληθὺν ἀξιφὶ θανατώσασα· ἣ δὴ τάχιστα καὶ νῦν τελεῖσθαι ἐν τοῖς παροῦσι Χαλδαίοις 2), θεὸν ἱκετεύομεν· μετεκομίζετο δὲ καὶ κούφως ὑπὸ ἀγγελικοῦ ἀΰλου ὁ ἔνυλός τε καὶ σαρκοφόρος Ἀββακοὺμ ἐξ ὁρίων Ἱερουσαλὴμ πρὸς Βαβυλῶνα, ἐπιφερόμενος ὁ προφήτης τῷ συμπροφήτῃ Δανιὴλ τροφὴν, λάκκου φρουρᾷ τότε ὑπάρχοντι, καὶ εἰσῄει ὁμοῦ καὶ ἐξῄει ἀλυμάντως, εἰς Χριστοῦ τάφου τύπον τηροῦντας ἐνλακκίους σφραγίδας· ἵν' ὡς ἐκ θανάτου καὶ ᾅδου Χριστὸς, ἀνέλθῃ καὶ προφήτης σωθεὶς ἐκ θηρῶν ἀνδρολέθρων ἀντιχαλῶν τῷ ᾅδῃ τοὺς αὐτὸν ἐν τῷ ᾅδῃ κατενέγκαντας· καθάπερ ἐπὶ τῶν Χαλδαίων, ἰσοτύπως γεγένηται αὕτη ἡ τῆς ψήφου θεοῦ ἀδέκαστος δίκη, τοῦ ποιοῦντος τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λει-

tur infuscatos. Ideo spiritus etiam dicuntur, ut immateriales, incorporei, invisibiles, immortales, haud crassi sed aerei, gratiaeque beneficio incorruptibiles et inextinguibiles.

7. Rem tibi persuadeat etiam ille angelus Domini, qui cum ipsius Domini specie venit ad Azariam eiusque socios; is qui cum sit igneus spiritus, rogum frigefecit; qui roris potius quam ignis feracem flammam effecit. Quodque miraculo mirabilius est, eos quos intra ventrem flamma conceperat, peperit illaesos: qui autem extra suum conceptum erant, eos ut impios pessumdedit. Hoc nimirum divinae virtutis robur, angeli potentia fortissima, adeoque valida ut universum mundum uno temporis puncto possit pessumdare. Testis Senacherimi, per unum angelum, chaldaica nocturna clades, qua centum octoginta quinque milium multitudo tacite et absque gladio interfecta fuit: quod ut nunc celerrime de praesentibus quoque Chaldaeis fiat, Deum rogamus. Item translatus satis leviter fuit ab angelo immateriali materialis carneusque Habacucus de Hierusalem finibus Babylonem usque, cibum ferens propheta sodali suo prophetae Daniheli, qui lacus carcere detinebatur: ingressusque est illuc et rediit incolumis, ob figurandam Christi sepulturam, lacus sigilla intacta conservans: ut sicut Christus ex morte inferisque, sic etiam propheta ex feris anthropophagis rediret incolumis, demittens potius orco eos qui ipsum ad orcum detulerant. Sicut contra Chaldaeos, ita hoc contigit decreti Dei incorruptum iudicium, qui facit an-

1) De substantia angelorum notae sunt patrum variae opiniones. Videsis saltem Petavium.

2) Intelligit, puto, Theodorus Mohammedanos qui ex intima Asia adversus graecum Christianorum imperium magnis viribus adventabant.

τουργοὺς αὐτοῦ πῦρ φλέγον· καθ' ἃ ὑπὸ τῶν ἱερῶν λόγων οἱ μακάριοι προσαγορεύονται ἄγγελοι, οἶμαί που, ὡς καθαρτικοὶ πολλάκις τῶν ἀνθρωπίνων παθῶν, καυστικοὶ καὶ τιμωρητικοὶ τῶν ἐναντίων θεοῦ, καὶ φωτὸς μεταδοτικοὶ τοῖς ἀφωτίστοις βροτῶν.

* Zach. I. 8. η'. Ἵππων δὲ πάλιν ὁρῶνται τοῖς σχήμασιν, ὡς Ζαχαρίας φησὶν*, ὡς ὀξυπόρως παντὶ τῷ θείῳ διατρέχοντι· τροχῶν δὲ πυρίνων ὡς τὸν οὐράνιον περιπολοῦντες ὁμοῦ καὶ οἰκοῦντες τροχόν· φωνὴ γὰρ, φησὶ, τῆς βροντῆς σου ἐν τῷ τροχῷ· διὸ καὶ ἐν ἅρματι πυρὸς Ἠλιοῦ ὁ θεσβίτης ἀπὸ γῆς ἀναλαμβάνεται· ὅπερ τύπος ἦν σαφὴς, τὸ μὲν τέθριππον ἅρμα, ἐκ τῶν τεσσάρων στοιχείων συγκειμένης ἡμῶν φύσεως, μεθ' ἧς καὶ εἰς οὐρανὸν ἄνωθεν ἀνῆλθεν ὁ ταύτην φορέσας καὶ ἡνιοχήσας καθὼς ἠβουλήθη θεὸς λόγος· οἱ δὲ ἵπποι τῶν βασιλικῶν ὀχημάτων, ἁγίων ἀγγέλων ὑπῆρχον ὑπόδειγμα· τὸ γὰρ ἅρμα τοῦ θεοῦ, φησὶ, μυ-
* Dan. VII. 9. ριοπλάσιον χιλιάδες εὐθηνούντων καὶ ἑορταζόντων· εἶδε δὲ καὶ Δανιὴλ* ὡς ἐν ὁράσει ἄνδρα πάλιν ἀνθρωπόμορφον ἐπὶ θρόνου ἐνιδρυμένον, τὸν παλαιὸν τῶν ἡμερῶν θεόν· καὶ χίλιαι χιλιάδες, φησὶ, παρειστήκεισαν αὐτῷ, καὶ μύριαι μυριάδες ἐλειτούργουν αὐτῷ· ἀλλὰ ταῦτα μὲν καὶ ὅσα τοιαῦτα ἐν τῇ παλαιᾷ ὡς ἐν ὁράμασι καὶ ὀπτασίαις διετυποῦντο· ἐπεὶ οὔτε οὐσίαν θεοῦ, οὔτε μορφὴν οὔτε σχῆμα οὔτε εἶδος οὔτε κάλλος τὶς τῶν ἐν σαρκὶ εἶδε πώποτε, οὔτε εἰδέσθαι δύναται, ὡς ὁ ἱερὸς ὑμᾶς διδάσκει λόγος· ἀλλ' οὔτε ἀγγέλου τὴν οὐσίαν ἤ τις ἴσχυσεν ἢ ἐθεάσατο.

θ'. Οὐκοῦν δεῦρο ἀπὸ τῆς σκιᾶς ἐπὶ τὴν καινὴν διαθήκην διάβηθι, καὶ τὰς ἀγγελικὰς τρανότερον διακονίας κατόπτευσον· ἧκει μὲν οὖν ποτὲ χοράρχης καὶ

angelos suos spiritus, et ministros suos ignem ardentem; prout in sacris litteris beati angeli saepe nominantur, ceu humanarum passionum purgatores, amburentes castigantesque quae sunt Deo contraria, lucemque obscuratis mortalibus impertientes.

8. Equorum quoque figuris repraesentantur, ut Zacharias ait, quia res divina quaelibet facili cursu utitur. Item quasi igneae rotae visi sunt, ceu qui caelestem sphaeram circumeunt simul et habitant. Vox quippe tonitrui tui in rota. Quare et curru igneo Elias thesbites de terra adsumitur: qui typus manifestus fuit, quadriiugus scilicet currus, quoniam ex quatuor elementis concreta est nostra natura, non sine qua in caelum sursus conscendit qui hanc gestavit et rexit, prout voluit, Deus Verbum. Equi autem regalium curruum, sanctorum angelorum imago erant: currus enim Dei, inquit, decem milia convivantium et festum agentium. Aspexit etiam Danihel in visione virum humana prorsus specie in throno sedentem, antiquum dierum Deum: et milia milium, inquit, adsistebant ei, et mille myriades ministrabant ei. Sed haec quidem, et quaecumque huiusmodi sunt, in vetere testamento visionibus et apparitionibus figurabantur: quoniam Dei substantiam, neque formam, neque figuram, neque speciem, neque pulchritudinem quisquam in carne vivens umquam aspexit, neque aspicere potest, ceu sacrae nos docent litterae. Sed ne angeli quidem substantiam quisquam potuit videre.

9. Age itaque ab umbris ad novum testamentum transi, et angelica perspicacius

τῶν προκρίτων ὁ ἔξαρχος τῆς ἀνωτάτω φύτλης τῶν ἀσωμάτων λειτουργῶν, ἐκφάντωρ θεομύστης τῶν ἀποῤῥήτων τοῦ θεοῦ πρὸς ἀνθρώπους μυστηρίων. Γαβριὴλ ὁ θεοείκελος λάτρις φερέχαιρος χαροποιὸς πρὸς τὴν βροτείαν φύσιν, καὶ πρὸς πανάφθορον κόρην· πρὸς ἣν εἰσῄει τὴν μορφὴν αὐτοῦ κατ᾽ οὐσίαν, ὡς ἔστιν, ἐπιδεικνὺς τῇ πανσέμνῳ· μόνη γὰρ ἡ ἁγία θεοτόκος, ὡς φασὶν, ἀγγελικὴν ὡς ἔστι καὶ ὡς γέγονεν, ἰδέσθαι δεδύνηται, ἵν᾽ ἐκ τοῦ κάλλους τοῦ δουλικοῦ ὑπερθαυμάσῃ τὸ κάλλος τὸ δεσποτικόν· διὸ καὶ προστάξει θείᾳ εἰσῄει πρὸς αὐτὴν ὁ ἀρχιστράτηγος, κάλλος ἀμήχανον αὐτῇ ἐνδεικνύμενος, καὶ μορφὴν αὐτῶν τῶν ἡλιακῶν ἀκτίνων λαμπροτέραν τυγχάνουσαν, ἠρέμα προσδιανοίγων τῇ ἀφθόρῳ τὴν πανάφθορον τῆς οἰκείας μορφῆς ἰδιότητα· ὅθεν καὶ εἶδεν εἶδος μικροῦ καὶ ἀϊδίου ἀποῤῥοῆς ἀνταπαύγασμα· εἶδεν ὥραν ὑπὲρ ὥραν, ὡραϊσμένην ὡραιότητος· εἶδε κάλλους λαμπηδόνα ξένην ἢ κατὰ συνήθειαν· εἶδεν οὐσίας ἀσωμάτου μαρμαρυγὰς ὑπερβαλλούσας τὰς ἡλιακάς· εἶδε λογικοῦ ἑωσφόρου ἀείζωον αὐγήν· εἶδε φλόγα ψυχικὴν, νοεροῦ φάους συναστράπτουσαν αἴγλην· ὅθεν ὡς οὐκ ἄϋλον κατατέθεικεν ἡ πάνσεμνος τοῦ ἀγγέλου τὴν θεωρίαν ὁμοῦ καὶ συντυχίαν, ὡς ἰδοῦσα ὃ ἄλλη οὐκ ἐδέξατο φύσις.

ι΄. Δεσμεῖται δὲ καὶ Ζαχαρίας τῇ ἀφωνίᾳ ἁγίου ἀπιστήσας ἀγγέλου· ἐπεὶ γὰρ ἔμελλεν εἰς φῶς προέρχεσθαι ἐκ γαστρὸς ὁ τοῦ φωτὸς πρόδρομος τοῦ ἀληθινοῦ Ἰωάννης, ἡ φωνὴ δηλονότι τοῦ βοῶντος ἐν τῇ ἐρήμῳ ἡμῖν τοῖς ἐξ ἐθνῶν ἐκκλησίας, τοῦ νόμου γέροντα λέγων· οὗ τύπον ἐκπληρῶν ὁ πατὴρ Ζαχαρίας, προτίκτει τοῦ Χριστοῦ μῆνας ἓξ τὸν Ἰωάννην· οὐκ ἦν γὰρ ἐκεῖνος τὸ φῶς· καὶ διὰ τοῦτο πρὸ ἓξ ἔχει τὸν Ἰωάννην· μεθ᾽ ὃν Χριστὸς ἐτέχθη, ὡς ἑβδόμη τίς

ministeria contemplare. Venit aliquando chori ductor, et electorum superni coetus incorporeorum ministrorum princeps, mysticus arcanorum Dei mysteriorum apud homines revelator, Gabrihel, Deo similis famulus, gaudii et laetitiae nuncius mortalium naturae, ad integerrimam puellam; ad quam est ingressus, formam suam, qualis eius substantia est, venerandae virgini ostendens. Sola enim sancta deipara, ut aiunt, angelicam uti reapse est utque creata fuit, naturam videre potuit, ut in famuli formositate dominicam pulchritudinem admiraretur. Ideo divino mandato ingressus est ad eam archangelus summam ei pulchritudinem ostendens, formamque ipsis radiis solaribus lucidiorem, sensim aperiens purae virgini purissimam formositatis suae proprietatem. Unde etiam vidit speciem, aeterni propemodum fluenti reflexum splendorem. Vidit formositatem formositate maiorem, ornatum ipsius ornatus: vidit peregrinum splendorem et praeter solitum: vidit incorporeae substantiae fulgores solaribus superiores: vidit rationalis luciferi semper vivum splendorem: vidit animatam flammam, intellectualis lucis rutilantem claritatem. Quare tamquam non immaterialem veneranda virgo excepit angeli visionem atque occursum; ceu quae viderat, quod alii numquam contigit naturae.

10. Mutus fit Zacharias, qui angelo sancto non crediderat: quia scilicet processurus erat ex utero in lucem, verae lucis praecursor Iohannes, vox nimirum clamantis in deserto, nobis qui ex gentium ecclesia sumus, legis senectutem edicturus: cuius typum gerens Zacharias gignit sex ante Christum mensibus Iohannem: non enim erat ille lux: ideo

ἡμέρα· αὐτὸς γάρ ἐστιν ὡς ἀληθῶς ἡμῶν μυστικὴ τῶν σαββάτων ἀνάπαυσις, ἣν εὐλόγησεν ὁ τῶν ὅλων θεὸς καὶ ἡγίασεν· ὅτι ἐν αὐτῇ καὶ δι' αὐτῆς κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ· καὶ αὐτός ἐστιν ὄντως ἀληθὴς τῆς μεγάλης βουλῆς τοῦ πατρὸς ἀρχάγγελος, καὶ αὐτὸς κύριος ὁ θεὸς δυνάμεων· διόπερ αὐτῷ καὶ ὑπείκουσι καὶ δουλεύουσι καὶ διακονοῦσιν ἐν παντὶ τρόπῳ καὶ τόπῳ τῆς ἐνσάρκου οἰκονομίας αὐτοῦ οἱ ἅγιοι καὶ φιλάνθρωποι ὡς φιλανθρώπῳ δεσπότῃ οἱ ἄγγελοι· καὶ ποτὲ μὲν αὐτοῦ γεννηθέντος τὸ κατὰ σάρκα, ἄγγελοι πρωτογνώστως τοῖς ποιμέσιν ἐπέστησαν, μυσταγωγοῦντες τούτους τῇ ἐν Βηθλεὲμ αὐτοῦ φατνοθέτῳ γεννήσει· καὶ αὖθις ἀγασθέντες τὸ μέγα καὶ παράδοξον αὐτοῦ τῆς πτωχοπρεποῦς ἐνανθρωπήσεως μυστήριον, τὸ δόξα λαμπρῶς ἐν ὑψίστοις θεῷ, διαπρυσίως ἐκέκραγον· καὶ ἄγγελος ὡς φωστὴρ οὐράνιος εἰς ἀστέρος τύπον μορφωθεὶς, τὴν ὁδὸν ὡδοποίει μάγοις, καλῶν πρὸς τὴν ὁδὸν τὴν λέγουσαν, ἐγώ εἰμι ὁδός· χρησμοδοτεῖ δὲ καὶ πάλιν αὖθις ἄγγελος, ἀναχωρησάντων τῶν μάγων, Ἰωσὴφ, σὺν τῇ μητρὶ καὶ Ἰησοῦ τὴν ἔπαρσιν ποιεῖσθαι ἐπ' Αἴγυπτον· καὶ οἴχεται φυγὰς θεὸς ἐκ βροτοῦ οἰκονομικῶς, οὐ φρίττων θνητὸν ὁ κριτὴς τῶν βροτῶν, ἀλλὰ σοὶ τύπον καὶ εἰκόνα διδοὺς, καὶ ὅρους δειλίας καὶ ἀνδρείας, πότε καὶ ποῦ καὶ καιρὸν εἰδέναι τοῖς πᾶσιν· οὐ μέχρι δὲ Αἰγύπτου ἡ τῶν ἀγγέλων πρὸς τὸν ἑαυτῶν δεσπότην λειτουργία, ἀλλὰ καὶ ἀπ' Αἰγύπτου ἀγγέλος τῷ Ἰωσὴφ μηνύει τὴν ἔξοδον.

ια'. Εἶτα τί; καὶ τὰ ἄλλα περὶ ἀγγέλων εὕροις· ἄγγελοι μὲν τῷ Ἰησοῦ βαπτισθέντι ἐν τῇ ἐρήμῳ εἰς διακονίαν προσέρχονται· οὐχ ὅτι πώποτε τοῦ ἑαυτῶν δεσπότου ἀπέστησαν, ἀλλ' ὅπως σὺ πιστωθῇς ὁ πιστὸς, ὅτι βαπτισθεὶς καὶ φυ-

que ante sex menses suscepit filium Iohannem. Post quem Christus natus est, ceu septima quaedam dies. Ipse enim vere nobis est mystica sabbatorum requies, cui benedixit universalis Deus, et eam sanctificavit; quia in ipsa et propter ipsam ab omni opere suo requievit. Et ipse est reapse verus magni paterni consilii archangelus, ipse dominus ac Deus virtutum. Quapropter ipsi subiiciuntur, et serviunt, atque ministrant omnimodis et omni loco per omne incarnationis tempus sancti et benigni ceu sancto et benigno domino angeli. Etenim nato illo in carne, angeli primae notitiae auctores pastoribus fuerunt, nunciantes huius apud Bethleemum in praesepi nativitatem. Moxque admirantes magnum eius et insperatum in paupercula forma humanationis mysterium, gloria in excelsis Deo magnifice elataque voce clamarunt. Item angelus, ceu luminare caeleste in stellae figuram conversus, viae dux fuit magis, vocans ad viam quae dicit, ego sum via. Rursus oraculum edit angelus, post magorum discessum, Iosepho, ut cum matre ac Iesu in Aegyptum migraret. Disceditque fugiens Deus ab homine, arcano oeconomiae consilio, haud equidem mortem timens, qui est hominum iudex, sed tibi figuram exemplumque praebens, finesque timoris et virilis animi, quandonam et ubi et quare opportunitate in cunctis utendum sit. Non tamen usque ad Aegyptum tantummodo angelorum famulatus dominum suum comitatus est, sed etiam ex Aegypto reditum angelus Iosepho indixit.

11. Deinde vero quid? Alia quoque ab angelis factitata reperies. Angeli siquidem ad Iesum baptizatum ministrandi gratia in deserto accesserunt: non quod umquam

λάττων τὴν κάθαρσιν, ἀγγέλους ἀοράτως πρὸς διακονίαν καὶ τήρησιν κομίζεται· ὅθεν καὶ ἐν τῇ προβατικῇ κολυμβήθρᾳ εἰς τύπον τοῦ βαπτίσματος ἄγγελος τὰς ἰάσεις ἐνεδείκνυτο, ἐν ᾗ ὁ τῆς μεγάλης βουλῆς ἄγγελος ὁ Χριστὸς, διὰ τριάκοντα καὶ ὀκτὼ ἐτῶν τῷ παραλύτῳ ἐχαρίσατο ἴασιν· τριακονταέτης βαπτιζόμενος, καὶ τὰς πέντε τούτου αἰσθήσεις τῇ πίστει τῆς τριάδος παραδόξως ἰώμενος. Μικρῷ καὶ αὐτὸ τὸ πάντων κορυφαιότατον καὶ θαυμασιώτερον ἐν πράγμασιν ἱεροῖς περὶ ἀγγέλων φερόμενον, τῷ λόγῳ παρέδραμον· ποῖον δὲ τοῦτο; τοὺς κατὰ τὸν τῆς ζωῆς Χριστοῦ ζωηφόρον τάφον παραδόξους τε καὶ πολυτρόπους ἀγγέλους, ὧν ὡς ἀληθῶς ξένα καὶ ὑπὲρ λόγον τὰ κατὰ τόπον κηρύγματα καὶ θαυμάσια· ἐν οἷς σκοπήσεις ἐπιμελῶς πρὸ τῶν ἄλλων ἐκεῖνο, πῶς μὲν ἅπαντες οἱ Χριστῷ προσφιλεῖς γηγενεῖς τρέχειν ἐκεῖ λέγονται, αἱ δὲ φύσεις αἱ ἀνώτεραι ἀδρομὶ καθέζεσθαι φαίνονται· ὁ μὲν οὖν Πέτρος ἀναστὰς ἔδραμεν ἐπὶ τὸ μνημεῖον· ὁ δὲ ἄλλος μαθητὴς προέδραμε τάχιον τοῦ Πέτρου· καὶ Μαρία ἡ Μαγδαληνὴ τρέχει καὶ ἔρχεται πρὸς Σίμωνα Πέτρον· καὶ αἱ ἄλλαι Μαρίαι ἔδραμον ἀπαγγέλλουσαι τοῖς μαθηταῖς· καὶ αἱ κατὰ τὸν Μάρκον ὁμοίως ἐν δρόμῳ ἔφυγον ἀπὸ τοῦ μνημείου· ἀλλ᾽ οὐχ οὕτως ἐνθάδε δρόμῳ ἐμφαίνονται καθήμενοι, ὁ μὲν ἐν τοῖς δεξιοῖς, ὁ δὲ πρὸς τῇ κεφαλῇ, καὶ ἄλλος πρὸς τοῖς ποσὶν, ὅπου ἔκειτο τὸ σῶμα τοῦ Ἰησοῦ· καὶ οἱ μὲν ἐντὸς, οἱ δὲ ἐκτὸς ἐπάνω τοῦ λίθου καθήμενοι.

ιβ΄. Τί οὖν διὰ τούτων μανθάνομεν; ὅτι οἱ μήπω τὰ θεῖα καταλαβόντες μυστήρια, ὡς γηγενεῖς, δικαίως τρέχουσιν, ὡς καὶ Παῦλος φησὶν *, ἵνα καταλάβωσι· πρὸς γὰρ τὸ ποθούμενον ὁ τρέχων τρέχει· διὸ καθῆσθαι λέγονται ἐν τῷ

* I. Cor. IX. 24.

a domino suo abfuissent, sed ut tu, o fidelis, crederes, hominem baptizatum et munditiem conservantem, angelos invisibiliter ministros custodesque habere. Unde et in probatica piscina, ad baptismi figuram, angelus sanationes faciebat: qua in piscina magni consilii angelus Christus homini iam triginta et octo annos paralytico salutem contulit: ipse trigesimo vitae suae anno baptizatus, et illius quinque sensus fide Trinitatis prodigiose sanans. Sed parum abfuit, quin quod est prae ceteris summum et mirabilius, in sacris historiis de angelis relatum, indictum praeterirem. Quale vero est hoc? Illi scilicet circa Christi vivificum sepulcrum inexpectati et multiformes angeli, quorum vere peregrini et relatu maiores fuerunt eo in loco sermones atque prodigia. Qua in re illud in primis sedulo animadvertes, quomodo cuncti Christo dilecti terrigenae currere illuc dicantur, sed supernae naturae absque cursu illic sedentes appareant. Petrus itaque exsurgens ad monumentum currebat: sed alius discipulus Petro citius praecucurrit. Et Maria Magdalene currit, venitque ad Simonem Petrum. Et aliae Mariae currebant nuncium ferentes discipulis. Sed et illae apud Marcum mulieres cursim a monumento fugerunt. At non ita angeli cursu utuntur, sed illic sedent, alius dexter, alius ad caput, alius ad saxi pedes, ubi corpus Iesu iacuerat, et alii quidem intra, alii extra, lapidi insident.

12. Quid ergo hinc discimus? Nempe eos qui nondum divina mysteria susceperunt, ceu terrigenas, merito currere, sicut etiam Paulus ait, ut comprehendant. Nam ad dilectum qui currit, cursu utitur. Ideo sedisse dicuntur apud sepulcrum

τάφῳ οἱ πανάγιοι ἄγγελοι, ὡς ἤδη γινώσκοντες τὰ θεῖα τῆς ἀναστάσεως μυστήρια· ἀλλ᾽ ὁ μὲν πρὸς τῇ κεφαλῇ κάθηται, ἴσως ὡς τὰ ὑψηλότερα μεμυημένος μυστήρια· ὁ δὲ πρὸς τοῖς ποσὶ, τάχα τῶν κατωτέρων τινῶν μυστηρίων καὶ διακονιῶν λειτουργὸς γινόμενος· καὶ οἱ μὲν ὁρῶντες ὡς τὰ κρυπτότερα διασκοποῦντες θαυμάσια τῆς θεότητος· οἱ δὲ ἐκτὸς, ἴσως ὡς τὸ τῆς σαρκώσεως Χριστοῦ θαῦμα κηρύττοντες· καὶ ἄλλος ἐν τοῖς δεξιοῖς κάθηται, ψυχῶν δικαίων καὶ δεξιῶν θεοῦ μυσταγωγὸς γινόμενος· ἀλλὰ καὶ νεανίσκων προσώποις ὡραϊσμένοι ὁρῶνται, τῶν νεανίσκων καὶ ἀθραύστων καὶ ἀγηράτων καὶ ἀφθάρτων, καὶ τὸ εὐσταλὲς καὶ φιλάρετον τῆς ἑαυτῶν φύσεως πρὸς θεὸν διὰ τῆς νεανισκοφανοῦς αἰνιττόμενοι ὥρας· ὅθεν καὶ ἐν ἐσθήσεσιν ἀστραπτούσαις, ὁμοῦ τε ἵνα δείξωσι τὸ λαμπρὸν καὶ ἄσπιλον καὶ ἐρωτικὸν τῆς Χριστοῦ ἀναστάσεως, καὶ τὸ ἄῤῥυπον καὶ ἀπαθὲς καὶ ἀκηλίδοτον χάριτι τῆς ἑαυτῶν φύσεως· ἐπεὶ γὰρ δεύτερον φῶς μετὰ τὸ πρῶτον, ὅ ἐστι τὸ φῶς τῶν φώτων, λέγεται ἄγγελος· τούτου χάριν καὶ ἐσθήσεσιν ἀστραπτούσαις, καὶ ὡς ἀστραπὴ, καὶ ὡς χιὼν οἱ πανίεροι οὗτοι φωστῆρες τοῖς ἀξίοις ἐμφαίνονται· ἐν οἷς οὐ πάρεστιν οὐ χρῶμα, οὐ σῶμα, οὐ πτέρυγες, οὐκ ἐνπηχεῖς βραχίονες, οὐ θριξοφόρος κορυφὴ, οὐκ ὄρθιον ἀνάστημα, οὐδ᾽ ὅλως τὶ τῶν κατὰ τὴν ἔνυλον ὁρωμένων ἢ κινουμένων φύσιν· εἰ πολλάκις ἐν θείαις ὀπτασίαις ἀνθρωπομόρφως ἐπιφαίνεσθαι λέγονται, ἀλλ᾽ οὐδ᾽ αὐτὰς ταύτας ἃς περικείμενοι προσηγορίας, τῆς τούτων οὐσίας σημαντικὰς ὑπειλήφαμεν, ἀλλὰ πρὸς τὰς οἰκείας μᾶλλον ἐνεργείας ἐκ θεοῦ, καὶ τῶν θεολόγων ἀνδρῶν ἐκομίσαντο· καί γε ὤφελον· καὶ γὰρ ἐμοί γε σκόπευσον οὕτως. Ἄγγελοι, ὡς ἀγγέλλοντες ἀνθρώποις τὰ

sanctissimi angeli, ceu iam gnari divinorum resurrectionis mysteriorum: sed alius quidem ad caput sedet, quia fortasse excelsioribus mysteriis initiatus: alius ad pedes, quia fortasse inferiorum aliquot mysteriorum atque officiorum minister erat: et alii quidem spectantes, quasi secretiora rimantes prodigia divinitatis: alii extra, fortasse utpote incarnationis Christi prodigium praedicantes: et alius in dextera parte sedet, quia iustarum et in dextera Dei collocandarum animarum magister. Sed et adolescentium pulchrorum formis decori apparent, adolescentium inquam integerrimorum, senii et corruptelae expertium, qui constantem naturae suae erga Deum virtutem, iuvenili formositate designant. Quare et vestibus apparent fulgentibus, ut simul demonstrent splendidam immaculatam amabilemque Christi resurrectionis speciem; et collatam ipsorum naturae a divina gratia munditiem, impassibilitatem, atque impeccantiam. Etenim secundum lumen post primum, quod est luminum lumen, dicitur esse angelus. Propterea et in vestibus splendidis, et veluti fulgur, aut nix, haec sacratissima luminaria dignis apparent: quibus alioqui neque color est, neque corpus, neque alae, neque brachia vel cubiti, neque comati vertices, neque erecta statura, neque aliud quicquam ex his quae in materiali natura cernuntur aut moventur. Et quamquam saepe in divinis visionibus humana specie apparere dicuntur, non tamen has ipsas quas gerunt appellationes, eorum substantiae significativas putamus, sed eas potius a propriis Dei nutu operationibus, atque a theologis hominibus sortiti sunt. Et quidem ita fieri oportuit. Nam mecum, quaeso, considera. Angeli (nuncii) dicun-

θεῖα βουλεύματα καὶ ἄλλοθεν ἄγοντες. Ἀρχάγγελοι, ἵνα σὺ μάθῃς καὶ ἐν ἀνθρώποις τάξιν καὶ κατάστασιν, ἧς τύπος καὶ ἡ ἐκκλησία καθέστηκεν· Ἀρχαὶ δὲ πάλιν λέγονται, ὡς ἐξάρχουσαι πρὸς διδασκαλίαν καὶ φωτισμὸν τῶν κατωτέρω προσταγμάτων. Ἐξουσίαι, ὡς βασιλικὰ καὶ δεσποτικὰ περικείμεναι ἀξιώματα. Δυνάμεις, ὡς χάριτι πάσης ἀσθενείας καὶ πάθους καὶ θανάτου ἀνώτεραι. Θρόνοι, ὡς ἐπαναπαυομένου τοῦ θεοῦ τῇ τούτων πολιτείᾳ καὶ λειτουργίᾳ. Κυριότητες, ὡς ἐμπεπιστευμέναι ὑπὸ τοῦ θεοῦ εἰς πρόνοιαν καὶ σωτηρίαν καὶ χειραγωγίαν τῷ ἀνθρωπίνῳ γένει, καὶ ὡς ἀδούλωτοι χάριτι πάσης λοιπὸν ἐμπαθοῦς κινήσεως καὶ ἐκπτώσεως. Σεραφὶμ, ὅπερ τῇ Ἑβραίων φωνῇ πύρωσις ἑρμηνεύεται, ὡς ἑτέρων καθαρτικαὶ καὶ φωτιστικαὶ οὐσίαι τυγχάνουσι· τὰ δὲ ἀνώτατα πάντων καὶ πλησιόθεα Χερουβὶμ, οἵπερ πάλιν πλῆθος ἑρμηνεύεται γνώσεως.

ιγ΄. Ταύτην ἡμῖν ὁ ἀρχιστράτηγος τῶν ἀγγέλων σήμερον περὶ ἀγγέλων εἰπεῖν ὑφηγήσατο· αὗται τε τῶν ἀσωμάτων ἐννέα τάξεις, καὶ δεκάτη ὁ ἄνθρωπος· εἰσὶν οὖν δέκα τάξεις ἢ δραχμαί, περὶ ὧν φησὶν ὁ Χριστός· εἴ τις γυνὴ ἔχουσα δραχμὰς δέκα, ἐὰν ἀπολέσῃ μίαν ἐξ αὐτῶν, οὐ δὲ ἅψασα λύχνον ἀναζητήσει ταύτην; καὶ ἐὰν εὕρῃ, συγκαλεῖται τὰς φίλας καὶ τὰς γείτονας λέγουσα, συγχάρητέ μοι ὅτι ηὗρον τὴν δραχμὴν ἣν ἀπώλεσα· ἤ τις ἦν καὶ τὸ πρόβατον τὸ ἀπολωλὸς ἐκ τῶν ἐννενηκονταεννέα τῶν μὴ ἀπολωλότων· ὅπερ ὁ ποιμὴν ὁ καλὸς καὶ ἀγαθὸς καὶ φιλάνθρωπος οὐχ᾽ ὑπερεῖδεν, ἀλλ᾽ ἀνεζήτησε, καὶ εὑρὼν ἐπὶ τὰ ὄρη καὶ τοὺς βουνοὺς τοὺς ἑλληνικοὺς κακῶς πλανώμενον καὶ θυσιάζον ἐπέστρεψεν, καὶ βαστάσας τῇ ποίμνῃ τῇ ἀπλανεῖ τὸ πεπλανημένον, εἰς οὐρανοὺς ἀναγαγὼν συνηρίθμησε, καὶ τῆς βασιλείας τῆς αἰωνίου κατηξίωσεν· ἧς γέ-

tur, quia nunciant hominibus divina consilia, et aliunde adferunt. Archangeli, ut discas in hominibus quoque constitutum ordinem esse debere, cuius rei typus ecclesia est. Principatus item dicuntur, quasi principes ad magisterium et illuminationem ordinum inferiorum. Potestates, ut regali dominicaque dignitate praediti. Virtutes, ut gratiae beneficio cuiuslibet infirmitatis, passionis ac mortis immunes. Throni, ceu Deo in horum conversatione et ministerio considente. Dominationes, ceu quibus Deus commisit curam, salutem, directionemque humani generis, et quia gratiae beneficio numquam servient ulli passionum motui et lapsui. Seraphim, quod nomen in Hebraeorum lingua igneam accensionem interpretamur, tamquam aliorum purgativae et illuminatoriae substantiae. Cherubim, quod item vocabulum interpretamur plenitudinem scientiae.

13. Hanc nobis hodie materiam summus dux angelorum ex alto obtulit dicendi de angelis. Hi sunt novem incorporeorum ordines: decimus autem ordo homo. Sunt itaque decem ordines totidem drachmae, de quibus Christus ait: mulier habens decem drachmas, si unam ex his perdiderit, nonne accensa lucerna quaeret eam? Et si invenerit, amicas congregat vicinasque, dicens: congratulamini mihi, quia inveni drachmam quam perdideram. Idem decimus ordo, seu homo, est ovis quae perierat inter nonaginta novem incolumes; quam egregius pastor, bonus atque benignus, non neglexit, sed conquisivit, inventamque in montibus collibusque ethnicis male errantem et idolis immolantem revocavit, et impositam humeris reduxit ad non erroneum gregem eam quae devia fuerat, atque inter caelites reducem connumeravit, et aeterno

νοῖτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ καὶ ζωοποιῷ ὁμοουσίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

ΛΟΓΟΣ Β'.

ΕΙΣ ΤΗΝ ΠΑΡΑΜΟΝΗΝ ΤΩΝ ΦΩΤΩΝ.

1. Τῶν φώτων τὸ προαύλια φωτοφανέσι θεωρίαις ἐποπτεύσωμεν· εἰς αὐτὰ εἰσβαίνοντες τὰ ὕδατα, πλουσίας τῆς αἴγλης μεταλάβοιμεν, φωτοειδεῖς ἐν πνεύματι γενόμενοι, καὶ τὸν τοῦ φωτὸς αἴτιον Ἰησοῦν τὸ πατρικὸν ἀπαύγασμα πανευφήμοις εὐχαριστίαις εὐφημήσωμεν. Ἁγνίζεται Ἰσραὴλ πρότερον ὁπηνίκα τῷ ὄρει κεκαυμένῳ πυρὶ, σκότους τε καὶ θυέλλης πεπληρωμένῳ προσβαίνειν ἔμελλεν· καὶ οὐδ' οὕτως ἄνεισιν, ἐπεὶ μὴ ἀσφαλές· εἱστήκει δὲ κάτω ἔντρομος τοῖς πολυειδέσι φοβερισμοῖς θεοῦ ἐκδειματούμενος. Ὑπολύεται καὶ αὐτὸς Μωϋσῆς τὸ ὑλῶδες ὑπόδημα, τῆς θεοστιβοῦς γῆς ψαύειν προερχόμενος, ὁπότε τῆς φλογοφορούσης βάτου ἐμυεῖτο θαυμαστικῶς τὸ θεώρημα, μείζονος μυστηρίου οὔσης προτύπωμα. Τὸ δ' αὐτὸ καὶ Ἰησοῦς ὁ τοῦ Ναυῆ πρὸς τοῦ ἀγγέλου παρακελεύεται μὴ τοὔδαφος ἐνδεδυμένοις ποσὶ προσεγγίζειν ὅλως, διὰ τὸ τῆς ἁγίας γῆς σεβάσμιον. Τί δὲ οἱ τρεῖς νεανίαι; οὐχ ἡγνισμέναις ψυχαῖς τε καὶ σώμασι τῷ παμφάγῳ πυρὶ προσβάλλουσι, τῆς καυστικῆς αὐτοῖς ἐνεργείας μεταβληθείσης εἰς δροσοειδῆ ποιότητα; ἐφ' ᾧ καὶ τὸ θαῦμα ὅσον καὶ

regno dignatus est; quo nobis omnibus potiri contingat, gratia et benignitate domini nostri Iesu Christi, cum quo gloria sit patri et sancto vivifico consubstantiali spiritui, nunc et semper et in saecula saeculorum. Amen.

ORATIO II.

IN VIGILIAM SIVE STATIONEM LUMINUM.

1. Luminum praeludia splendidis contemplationibus collustremus: in ipsis insistentes aquis claritatem uberem participemus spiritu splendificati, et luminis auctorem Iesum, patris splendorem, eximiis gratiarum actionibus celebremus. Purificatus est Israhel primo, cum in montem igne flagrantem, caligine procellaque plenum, conscensurus esset. Sed ne sic quidem ascendit, quia haud tutum negotium erat; sed infra substitit tremens, et multiformi terrorum specie attonitus. Ipse quoque Moyses materiale calceamentum solvit, dum sacratam Dei vestigiis terram pararet attingere, quo tempore ardentis rubi mirabiliter visui initiabatur, qui praevia maioris mysterii imago erat. Idem facere Iesus quoque Navi filius ab angelo iussus fuit, ne solum calceatis pedibus prorsus calcaret, propter debitam terrae sanctae venerationem. Quid autem tres adolescentes? Nonne animis corporibusque sanctificatis ad voracem ignem accesserunt, atque ita caloris vis in roscidam ipsis qualitatem conversa est? quod quale

ἡλίκον, διπλαῖς ἀντιῤῥόποις ἐνεργείαις τοὺς ἀξίους ἀμειψάμενον; τί δὲ Δανιὴλ ὁ τῶν ἐπιθυμιῶν ἀνὴρ, οὐ τῇ καθαρτικῇ νηστείᾳ προχρησάμενος συνδιαιτᾶται λέουσι ἀπήμαντον τὸ σῶμα ἀπενεγκάμενος; Cod. vat. 1990. f. 12.

β'. Ἀλλὰ βούλει ἐπὶ τὴν νέαν μετεληλυθέναι σοι τὸν λόγον; ὅρα Παῦλον τὸν μέγαν τῆς ἀληθείας κήρυκα τριημερονύκτῳ νηστείᾳ τὴν παρασκευὴν ποιησάμενον, εἶθ' οὕτως πρὸς τῇ ἐκτενεῖ δεήσει τὸ ἀληθινὸν φῶς Χριστὸν ἐνδυσάμενον· βλέπε καὶ Ματθαῖον τὸν εὐαγγελιστὴν προὔργου τὴν τῶν ἐνόντων ἀπόταξιν ποιησάμενον, αὐτούς τε τοὺς τελωνικοὺς λόγους ἀτελεῖς καταλιπόντα, καὶ οὕτως μαθητιᾷν τῷ Ἰησοῦ ἑλόμενον· καὶ οὔπω λέγω ὅτι καὶ Ζακχαῖος πρότερον χαμόθεν ὑψωθεὶς καὶ σῶμα καὶ διάνοιαν, οὕτω τὸν Ἰησοῦν ὑφέστιον πεποίηται, σὺν ὑποσχέσει κρείττονι, καὶ τῆς κρείττονος ἀξιοῦται προσφωνήσεως· καὶ μὴν Κορνήλιος τετραήμερον νενηστευκώς τε καὶ προσευξάμενος, τηνικαῦτα ὁρᾷ τὸν ἄγγελον εὐαγγελισάμενον τὰ καταθύμια, καὶ τῶν ἐλπίδων ἐπιτέτευκται· σὺ δὲ, ὦ βέλτιστε, ἵνα τοὺς ἄλλους παρήσω λέγειν, οὐκ ἄνευ εὐλαβείας καὶ πολλῆς προφυλακῆς τοῖς θείοις προσερχόμενος, οὕτως ἁπλῶς καὶ ἀπαρασκευάστως τῷ ὑπερφαεῖ μυστηρίῳ προσελεύσῃ, δι' οὗ σοι καὶ ἡ ἐν πνεύματι ἀπότεξις, καὶ τὸ υἱὸς φωτὸς κεκλῆσθαι; καὶ οὐ φοβῇ μή ποτε ταὐτὸν πάθοις τῷ ὀφθαλμοῖς ἀσθενέσιν ἀντωπεῖν ἐπιχειροῦντι πρὸς τὸν ἥλιον;

γ'. Ἀλλ' ἐπειδὴ τοῦτο καλῶς, ὡς οἶμαι, προδιετήθη καὶ διετυπώθη, φέρε ὡς οἷόν τε χωρήσωμεν ἐπὶ τὰ προφώτια, καὶ ἴδωμεν κεκαθαρμένοις ὀφθαλμοῖς ὅπως τὸ ἀληθινὸν φῶς ἐξ αὐτῆς γεννήσεως ἀνατεταλκὼς, μέχρι τοῦ φωτογενοῦς βαπτίσματος πρόεισι θεολογούμενον· οὕτω γὰρ ὁ νοῦς τῇ ἱστορίᾳ

quantumque prodigium fuit, dum idem ignis vehementia duplici, dignos poena ultus est! Quid Danihel desideriorum vir, nonne ante purificante ieiunio usus, cum leonibus in contubernio fuit, incolume corpus illinc referens?

2. Sed vin' ad novum testamentum tibi flecti sermonem? Specta Paulum, magnum veritatis praeconem, trium dierum noctiumque ieiunio se comparantem, atque ita non sine constante oratione, vero lumine Christo circumvestitum. Videsis etiam evangelistam Matthaeum perutiliter rebus suis valedicere, et ipsas telonii rationes imperfectas deserere, atque ita Christi discipulatum arripere. Nondum Zachaeum memoravi, corpore ac mente de terra sublatum, Iesum convivio excepisse, cum egregia sua promissione, qua meliorem Christi allocutionem promeruit. Item Cornelius quatriduo ieiunans et orans, vidit denique angelum iucunda sibi nunciantem, composque voti factus est. Tu vero, optime (baptizande), ut alios nunc appellare omittam, etsi non sine religione longisque excubiis ad haec sacra accedis, nihilominus tam temere atque imparatus ad splendidissimum mysterium ades, in quo tua spiritalis fit nativitas, et unde lucis filius appellaris? Nec vereris, ne id patiaris, quod homini infirmis oculis solem spectare volenti solet accidere?

3. Sed quia hoc egregie, ut existimo, iam dispositum fuit et constitutum, age quoad fieri potest ad hoc pervigilium veniamus, purgatisque oculis observemus, quomodo verum lumen iam inde ab ipsa nativitate ortum, usque ad splendidum baptismum comite divinitate procedat. Sic enim mens historiam discurrens illustrabitur,

συνεπόμενος φωτίζοιτο, καὶ ὁ λόγος ἐφαρμογῇ τὴν διήγησιν ποιήσοιτο, ἐφ' ἑκάστῃ τελετῇ ἐπιθεωρῶν τὰ προσήκοντα. Ἄρτι τοιγαροῦν ἐκ παρθένου γεννηθεὶς ὁ ὑπερούσιος, ἀγγέλους ὑμνῳδοὺς τοῦ μυστηρίου παρίστησι· καὶ σκοπῶμεν τὸ ἀπόῤῥητον· τί; ἵνα γνωρισθῇ πᾶσιν ὅτι ὃν κατ' ἀρχὰς τῇ γενέσει τῶν ἄστρων ὡς γενεσιουργὸν ὕμνησαν ἄγγελοι, τοῦτον νῦν γεννηθέντα καὶ ὀφθέντα ἐν τῷ καθ' ἡμᾶς εἴδει ὑμνοῦσι καὶ δοξάζουσι· διὸ καὶ ἀστὴρ αὐτὸν μηνύει πᾶσι, καὶ οὕτως ὑπὲρ τὴν τῶν ἀστέρων φύσιν δεικνύμενος, τῇ τε τοπικῇ κινήσει, καὶ τῇ ἡμερινῇ λάμψει· τί δήποτε; ὡς ἂν κἀντεῦθεν δηλωθῇ ὑπερφυὴς ὁ κυηθεὶς, ἄνθρωπος μὲν τὸ ὁρώμενον, θεὸς δὲ τὸ νοούμενον. Ἐντεῦθεν τὸ τῆς περιτομῆς θεώρημα, οὐδ' αὐτὸ ἀμοιροῦν θεολογίας τοῖς ἐπεσκεμμένως ἔχουσι· τὸ γὰρ ἐπικληθὲν αὐτῷ Ἰησοῦς ὄνομα, κατὰ τὴν τοῦ ἀγγέλου προαναῤῥησιν, ἐπείπερ ἐστι σωτῆρος ἔμφασιν ἔχον, θείας φύσεως γνωριστικόν ἐστι, παντί που δῆλον· μηδὲ γὰρ ἐπιπεμπέτω τὴν γλῶσσαν ἐνταῦθα ὁ θεομάχος διὰ τῆς τοῦ Ἰησοῦ τοῦ Ναυῆ ὁμωνυμίας προεξηγούμενος, ὡς οὐκ ἐπῖ τοῦ θεοῦ λόγου, ἀλλ' ἐπὶ τοῦ σχετικῶς αὐτῷ συναφθέντος τεθειμένον· οὐδὲ γὰρ ἐπείπερ πολλοὶ κύριοι καὶ οὐ κατὰ φύσιν οὗτοι· πρὸς δὲ καὶ θεοὶ, ἀλλ' οὐδ' αὐτοὶ κατὰ φύσιν· ἀλλ' εἷς κύριος, εἷς θεὸς ὁ κατὰ φύσιν ἀληθής· οὕτω καὶ πολλαὶ προσηγορίαι Ἰησοῦ, ἀλλ' εἷς Ἰησοῦς ὁ τῶν ἁπάντων σωτήρ.

δ'. Ἐντεῦθεν ἀνήκται εἰς Ἱεροσόλυμα· καὶ οἷα τὰ τοῦ ὑποδεξαμένου αὐτὸν ἐν ταῖς ἀγκάλαις Συμεὼν ῥήματα, ἴσμεν· τὸ γὰρ σωτήριον θεοῦ ἡτοιμασμένον κατὰ πρόσωπον πάντων τῶν λαῶν, φῶς τε εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ εἴ τι τούτοις ἕτερον αὐτὸν ἀποκαλέσαι, ἐπ' ἴσης τῷ πατρὶ εἶεν θεολογούμενα· ἐπεὶ

et oratio nostra idoneam narrationem faciet, tum in singulis divinae vitae gradibus quod apprime decet considerabit. Nuper ergo ex virgine natus incomprehensibilis Deus, angelos mysterii hymnologos fecit. Et arcanum, quaeso, animadvertamus. Quodnam vero? Nempe ut omnibus notum fieret, quod illum quem initio mundi, cum astra conderentur, tamquam creatorem hymno celebraverant, nunc humanitus natum, et in specie nostra visum, hymnis celebrant atque honorant. Ideoque et stella cunctis illum significat, stella scilicet praeter suam naturam semet exhibens, tum locali motu, tum etiam diurno splendore. Cur id, inquam? Ut hinc etiam supernaturalis appareret qui natus erat, et homo quidem cerneretur, Deus tamen intelligeretur. Sequitur circumcisionis contemplatio, ne ipsa quidem theologia carens, si modo intenta mente fiat. Nam Iesu nomen impositum, iuxta angeli praedictionem, quia servatorem sonat, divinae naturae significativum esse nemo non videt. Neque vero heic vibret linguam Dei aliquis hostis, propter Iesu Navae filii homonymiam, dicens non fuisse hoc nomen tamquam Deo Verbo impositum, sed homini cuius cum illo vetere convenientia aliqua fuit. Neque enim, etiamsi multi domini sunt, haud tamen naturâ sunt tales; vel si multi dii, ne hi quidem reapse tales; sed unus dominus, unus Deus suapte natura verus. Sic etiam multi sunt nomine Iesu appellati, ut tamen unus sit Iesus omnium servator.

4. Deinde Hierosolymam deportatus est: et quaenam eius qui illum ulnis excepit Simeonis verba fuerint, scimus: nempe quod esset salutare Dei, paratum ante faciem omnium populorum, et lumen ad gentium revelationem, et si quid aliud huiusmodi

καὶ ὁ πατὴρ καὶ σωτὴρ καὶ φῶς πρὸς τοῖς λογίοις ὠνόμασται· τὰ δὲ τῆς αὐτῆς ὀνομασίας ὑπαρκτικὰ, καὶ τῆς αὐτῆς ἂν εἴη φύσεως δηλωτικά· καὶ γοῦν υἱὸς πρὸς τὸν πατέρα φησί· πάντα τὰ ἐμὰ σά ἐστι, καὶ τὰ σὰ ἐμά· τῆς ἀντιστροφῆς κατὰ τὸν τῆς οὐσίας δηλονότι λόγον ὁμολογουμένης, οὐ κατὰ τὸν τῶν ὑποστάσεων ὅρον· τοῦτο γὰρ τῆς συγχύσεως Σαβελλίου τὸ φρόνημα, ὅπερ ἠρνήμεθα. Ἐντεῦθεν κάτεισιν εἰς Αἴγυπτον καὶ ὑπειλημμένος [a]· ἀλλ᾽ ἄκουσον τί φησιν Ἡσαΐας [b]· ἰδοὺ κύριος κάθηται ἐπὶ νεφέλης κούφης, καὶ ἥξει εἰς Αἴγυπτον, καὶ σεισθήσεται πάντα τὰ χειροποίητα Αἰγύπτου· ἀπὸ προσώπου αὐτοῦ· οὗ τί ἂν γένοιτο γνωριμώτερον, θεὸν ἐν σαρκὶ εἶναι τὸν ἐκεῖσε ἀφικόμενον; Ἐντεῦθεν ἐξ Αἰγύπτου ἐπάνεισιν, καὶ εἰς Ναζαρὲτ οἰκεῖν εἵλετο, ἀφ᾽ ἧς καὶ τὴν ἐπωνυμίαν εἴληφε· σὺ δὲ μήπω ἰλιγγιάσῃς τοῖς λογισμοῖς ἀκούων ἐπὶ θεοῦ κάθοδον καὶ ἄνοδον, τοπικήν τε κίνησιν καὶ μετάθεσιν· εἰ μὲν γὰρ χωρὶς σώματος ὁ λόγος ἐξηκούετο, ἦν εἰκὸς τὸ ἐπισεῖον τὸν νοῦν καὶ θορυβοῦν· ἐϖεὶ δὲ μετὰ σώματος, οὐδὲν ἀϖηχὲς οὐδὲ ἀνακόλουθον· ὡς γὰρ ἐφανερώθη θεὸς ἐν σαρκὶ, οὕτω καὶ τόπους ἀμείβει θεὸς ἐν σαρκί· καὶ ὅσα ἄλλα τῆς ἐν σαρκὶ ζωῆς ἰδιώματα προσίεται.

ε΄. Ἐντεῦθεν δωδεκαέτης γενόμενος ἐν μέσῳ τῶν διδασκάλων κάθηται ἐπαΐων καὶ ἐπερωτῶν καὶ ταῖς ἐμμελέσιν ἀποκρίσεσιν ἐξιστῶν τοὺς ἀκούοντας· τίνος δ᾽ ἂν καὶ εἴη ἐν τοιαύτῃ ἡλικίᾳ τηλικαῦτα ἐξαίσια φθέγγεσθαι, ἢ ϖάντως θεοῦ σεσαρκωμένου; ἀλλὰ γὰρ καὶ ὑπὸ τῆς μητρὸς ἀνακρινόμενος, φιλοπευστούσης μαθεῖν τὴν ἀποκάλυψιν τῆς πατρικῆς αὐτοῦ δόξης, τὸν λόγον ἀποδίδωσιν· ὁρᾷς ὅσον ἐκ σχεδιασθείσης διηγήσεως ὑϖεδείχθη τὰ θεολογούμενα;

[a] cod. ὑπειλημ-

[b] Is. XIX. 1

de illo pronunciavit, id aeque de patre theologice dici posse iudicandum est. Namque etiam pater, servator lumenque in oraculis nominatur. Qui porro eandem appellationem substantive participant, iidem eandem quoque se habere naturam produnt. Itaque filius patri ait: omnia mea, tua sunt; et tua, mea: reciprocatione secundum naturam adfirmata, non secundum personarum terminum: hoc enim sabellianae confusionis commentum est, quod reiicimus. Postea in Aegyptum descendit, et quidem deportatus. Sed audi quid dicat Isaias: ecce Dominus levi nubi insidens veniet in Aegyptum, et cuncta Aegypti idola coram eo commovebuntur. Quid clarius dici potuit, de Deo incarnato illuc adventante? Mox de Aegypto revertitur, et incolatum Nazareti delegit, unde etiam agnomen contraxit. Tu vero ne cogitationibus fluctues, dum Dei descensum reditumque audis, et localem motum ac transmigrationem. Nam si Verbum sine corpore intelligeretur, non temere mentem nostram commoveri ac perturbari contingeret: sed quia cum corpore est, nihil est absonum aut inconsequens: namque ut Deus in carne apparuit; ita loca mutat Deus in carne, et alias quaslibet vitae carneae proprietates admittit.

5. Hinc iam annos duodecim natus in medio doctorum sedet, audiens et interrogans, prudentibusque responsis audientes obstupefaciens. Age vero quisnam illa aetate tam mira diceret, nisi omnino incarnatus Deus? Tum etiam a matre interrogatus, quae revelari ab eo Dei gloriam optabat, rei gestae rationem reddidit. Viden' quanta in brevi narratione theologia sit? et quomodo Dominus gloriae, ceu rex quidam

καὶ ὅπως ὁ κύριος τῆς δόξης οἷά τις βασιλεὺς εὐπρεπῶς ἐξ ἀνακτορικῶν θαλάμων τῶν μητρικῶν δὴ σπλάγχνων προερχόμενος τῇδε καὶ τῇδε ὕμνηται; εἰκότως οὖν ὁ τῆς βροντῆς υἱὸς Ἰωάννης κέκραγεν· καὶ ὁ λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρὸς, πλήρης χάριτος καὶ ἀληθείας. Ἀλλ' ἤδη καὶ Ἰωάννης ἀπὸ τῆς ἐρήμου προερχόμενος, τὸ ξένον Ἰσραηλίταις καὶ πολύευκτον θέαμα, ὁ θεοῦ ἄγγελος, καὶ ἐν ἀποστόλοις προχειροτόνητος· ἔδει γὰρ τηλικούτου βασιλέως τοιοῦτον εἶναι τὸν στρατιώτην, τοῦ μεγίστου ἀρχιερέως τοσοῦτον τὸν ὑποφήτην· καὶ νοῶμεν τὸ μυστήριον οἷον καὶ ἡλίκον· ἐπειδὴ γὰρ οὐκ ἐνεδέχετο τοῦ νυμφαγωγοῦ παρόντος, μὴ καὶ τὸν νυμφίον συμπαρεῖναι, καὶ τῆς φωνῆς βοώσης μὴ καὶ τὸν λόγον ἀκουτίζεσθαι, τί γίνεται, καὶ τί τὸ οἰκονομούμενον; συστέλλεται εὐθὺς ἀπὸ σπαργάνων ἀπὸ τοῦ ἐμφανοῦς εἰς τὸ ἀφανέστερον ὁ Ἰωάννης, καθάπερ τις λύχνος ὑπὸ μοδίῳ ἐν τῇ ἐρήμῳ ὑπερφυῶς ἐνδιαιτώμενος· κἀκεῖ θείων ἀκούει φωνῶν καὶ θεοπτίας ἀξιοῦται· ἄῤῥητά τε μυσταγωγούμενος καὶ ἐκδιδασκόμενος, καθάπερ ἔτι ὢν ἔμβρυος, τίς εἴη ὁ Ἰησοῦς, ὅτι περ υἱὸς θεοῦ, καὶ ἐφ' ᾧ τὸ σημεῖον τῆς πνευματοειδοῦς περιστερᾶς, ὅτι αὐτός ἐστιν ὁ βαπτίσων ἐν πνεύματι ἁγίῳ.

ϛʹ. Ἐπειδὴ δὲ ἧκε τὸ μέτρον τῆς ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ, καὶ τέλος εἴληφεν ἡ περίοδος τῆς τριακονταέτους παρατάσεως, τηνικαῦτα ὁ μὲν λύχνος ἐπὶ τὴν λυχνίαν καιόμενος, καὶ φαίνων τοῖς ἐν τῇ οἰκίᾳ ἀγαλλιάσιμα· (εἴπερ δεῖ οἰκίαν ὑπολαμβάνειν τὴν ἰσραηλιτικὴν συναγωγήν·) τό τε ἀληθινὸν φῶς ἐπιφαινόμενον καὶ φωτίζον τὸν κόσμον· ὢ τοῦ θαύματος· ὁ ἥλιος πρὸς τὸν ἀστέρα, ὁ λόγος πρὸς τὴν φωνὴν, ὁ νυμφίος πρὸς τὸν φίλον, οἰκο-

magnifice ex regalibus thalamis, maternis inquam visceribus prodiens, dextra laevaque hymnis celebratur? Merito ergo tonitrui filius Iohannes clamavit: et Verbum caro factum est, et habitavit in nobis, et vidimus gloriam eius, gloriam quasi unigeniti a patre, plenum gratiae et veritatis. Sed ecce Iohannes e deserto veniens, peregrinum Israhelitis et exoptatum spectaculum, Dei angelus et apostolus primus electus. Oportebat enim tanti regis talem esse militem, et pontificis maximi tantum ministrum. Et intelligamus mysterium, quale quantumque sit. Quia fieri non poterat, quin paranympho praesente sponsus quoque adesset, et clamante voce Verbum pariter audiretur: quid accidit? quidve prudenter curatum est? Secedit puerulus Iohannes a publicis locis in abstrusa, ceu lucerna quaedam sub modio in deserto praeter naturae ordinem degens. Ibi supernas audit voces, et divinis visionibus dignus habetur; et ineffabilibus initiatur atque edocetur, sicut olim adhuc embryo cognovit, quis esset Iesus, nempe quod Dei filius, et quod supra quem Spiritus in columbae specie descenderet, is foret qui in Spiritu sancto esset baptizaturus.

6. Sed postquam venit mensura plenitudinis aetatis Christi, et triginta annorum periodus est absoluta, tunc demum lucerna ardere in candelabro coepit, et laetitiam domesticis splendore suo creare (si tamen domum reputare oportet synagogam israheliticam): tunc verum apparuit lumen quod mundum illuminat. O portentum! Sol venit ad stellam, Verbum ad vocem, sponsus ad amicum; et id quidem dispensationis

νομίας εἵνεκα ἵνα διὰ τῆς ἐπιβιβάσεως πληρουμένης ἐν τῷ Ἰησοῦ πάσης δικαιοσύνης, ὁ μὲν αὐξάνει εὐαγγελικῶς εἰπεῖν, ὁ δὲ ἐλαττοῦται· πῶς γὰρ ἂν καὶ οὐκ ἦν ἐλαττοῦσθαι τὸ λυχνιαῖον φῶς, μᾶλλον δὲ καὶ πάντη ἐκ μέσου ἀπεῖναι, τοῦ τῆς δικαιοσύνης ἡλίου ἤδη τοῖς θαύμασι μαρμαρύσσοντος ἐξαίσια; βλέπεις ὅσος ὁ χρονικὸς ἀριθμὸς τῆς σωματικῆς ἐντελείας, ἐν ᾧ ὑπετάσσετο τοῖς γονεῦσιν Ἰησοῦς; ὢ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως θεοῦ· δι' ἣν αἰτίαν ἄρα; ἄλλος μὲν οὖν ἄλλο λεγέτω, τῶν ὑψηλῶν τῇ θεωρίᾳ καὶ τὰ βάθη τοῦ πνεύματος ἐγνωκότων· ὡς γοῦν ἐμοί γε δοκεῖ, δυοῖν ἕνεκα· ἵνα καὶ υἱέσι τὸ πρὸς τοὺς γονέας ὑποτακτικὸν διὰ τῆς οἰκείας ὑποταγῆς ὁ πάντων νομοθετῶν νομοθέτης νομοθετήσῃ· τάς τε μεθηλικιώσεις ἁγιάσοι· καὶ τρίτον, μὴ ἀποξενώμενον τι καὶ ἀπεοικὸς τῆς καθ' ἡμᾶς βιωτῆς, ἐν ᾗ μάλιστα τὸ τέλειον ἡμῖν πρόσεστι, τὴν ἑαυτοῦ πολιτείαν ὁ παντέλειος ἐπιδεικνείεν· ὅπου γε καὶ οὕτω τῆς ἀνδρικῆς ἡλικίας τὸ τέλειον ἔχοντος, ἐτόλμησεν Ἄρειος ἄψυχον αὐτοῦ τὸ σῶμα ἀποφῆναι· Ἀπολινάριος δὲ κατὰ συνδρομὴν ἀσεβείας ἄνουν αὐτὸν φληναφῆσαι· ὁ δὲ νῦν Μανιχαῖος 1) κατὰ προὔχουσαν ἀσέβειαν, ἄγραπτον αὐτὸν δογματίσαι· καὶ σκοπῶμεν ὅση ἡ διαφορότης θατέρου * πρὸς θάτερον· ὁ μὲν οὖν τῷ ἀψύχῳ προϊστάμενος, ἐξίστησι ζωῆς τὸ δεσποτικὸν σῶμα· τὸ γὰρ ἀμοιροῦν ψυχῆς, καὶ ζωῆς ἐστιν ἐκτὸς δηλονότι· ὁ δὲ τῷ ἄνουν *, τῇ ἀλόγῳ συντάττει οὐσίᾳ· ἐπείπερ πᾶν ἄνουν, καὶ ἄλογον· ὁ δὲ τῷ ἀγράπτῳ, οὐδὲ ὅλως φύσει σώματος τὸ σῶμα δοξάζει· εἴπερ τῷ ἀπεριγράπτῳ συνακολουθεῖ τὸ ἀσώματον· εἰ γὰρ σῶμα, πᾶν δὲ σῶμα ὑπ' ἀφὴν καὶ χροιάν ἐστι τελοῦν, τὸ δ' ἐν τούτοις ὑποπίπτον ἐξ ἀναγκαίου ἕπεται, εἰ

* cod. θάτερον.

* ita cod.

mysterio, ut gradatim completa in Iesu iustitia, hic quidem cresceret, ut evangelicis verbis utamur, ille vero minueretur. Quomodo enim non minueretur lucernae lumen, immo et omnino tolleretur de medio, quum iam sol iustitiae immensis prodigiorum splendoribus refulgeret? Cernis quanto corporalis aetatis spatio sub parentum suorum potestate Iesus fuerit? O altitudo divitiarum sapientiae et scientiae Dei! Cur ea res, inquam? Alii alia dicant, qui sublimia intelligunt, et profunda spiritus norunt. Quantum mihi quidem videtur, duae causae fuerunt, nempe ut obedientiam parentibus subiectione sua legislator legislatorum, lege firmaret, ac aetatum transitiones et gradus sanctificaret. Tertia quoque causa fuit, ne insolitum aliquid et vitae nostrae inusitatum, praesertim matura aetate, in suae vitae genere hic perfectissimus homo exhiberet. Ecce enim etiamsi ad id virilis aetatis complementum devenit, ausus est Arius corpus eius exanime adfirmare: Apollinaris impietate aemulus, ipsum sine mente commentus est: hodiernus denique Manichaeus incircumcriptum ipsum per summam impietatem dogmatizat. Et observemus quae sit horum inter se differentia. Qui exanimem esse contendit, vitam denegavit dominico corpori: nam quod anima caret, vita alienum est, ut patet. Qui autem absque mente fecit, is illum cum bruta substantia numeravit: nam quicquid sine mente est, ratione quoque caret. Qui denique incircumscriptum esse vult, ne corpoream quidem naturam corpori concedit: etenim incircumscripti consequens est incorporeum. Nam si corpus est, omne autem corpus

1) Dixit novos Manichaeos seu Paulicianus iconomachos.

μὴ ληρῶμεν, καὶ τὸ περιγράφεσθαι· ὡς εἰ μὴ περιγράφοιτο, πάντη τε καὶ πάντως τοῦ οἰκείου ὅρου ἐξοιχήσεται εἰς τὸ ἀσώματον ἀνατρέχον· οὐδὲν, ὡς ἔοικε, τὸ ἐπισχεῖν γλῶσσαν ἀσεβοῦσαν ἐπικουρουμένην κράτει ἐξουσίας.

ζ΄. Ἀλλ' ἀνακτέον τὸ ὄμμα ἐπὶ τὰς προφητικὰς θεοπτίας, καὶ θεωρητέον ὅπως ἐν αὐταῖς ὑποτυποῦται τὸ ἱερώτατον βάπτισμα· εἰς τοῦτο γὰρ καλεῖ ἡ
*Is. XXXV. 1. 6. 7. συνέχεια τοῦ λόγου· τί οὖν φησὶν Ἡσαΐας *; ἔνθεν γὰρ ἑλόντες εἴπομεν· "εὐφράνθητι ἔρημος διψῶσα· ὅτι ἐῤῥάγη ἐν ἐρήμῳ ὕδωρ, καὶ φάραγξ ἐν γῇ διψώσῃ." Τῇ ἀνθρωπίνῃ δηλονότι φύσει ἡ προσφώνησις, ἐν ἐρήμῳ οὔσῃ τῆς ἐκ πίστεως καὶ ἀγαθῶν ἔργων καρποφορίας· καὶ διὰ τοῦτο τὸ τῆς υἱοθεσίας νᾶμα διψώσῃ ἐῤῥάγη τὸ τοῦ βαπτίσματος ὕδωρ, καθάπερ τι ῥεῦμα ποτάμιον τὸ τοῦ Ἰορδάνου ῥεῖθρον· κἀντεῦθέν τι; "καὶ ἔσται ἡ ἄνυδρος εἰς ἕλη, τουτέστιν εἰς ἀμφιλαφῆ πίστιν· καὶ εἰς τὴν διψῶσαν γῆν, πηγὴ ὕδατος ἔσται· αὐτὴ δηλαδὴ ἡ κρήνη τῆς υἱοθεσίας· καὶ ἐκεῖ ἔσται εὐφροσύνη ὀρνέων, τῶν ἐκ τοῦ βαπτίσματος δηλονότι ἀναγεννωμένων, ὀρνέοις τροπικῶς ἐοικότων διὰ τὸ ἀπ' ἀρχῆς ἐξ ὑδάτων κατὰ τὴν ὕπαρξιν ἐσχηκέναι· τί δὲ κατὰ τὸν Γεδεὼν πλήρης λεκάνη ὕδατος; τὴν τῆς υἱοθεσίας μητρόμοιον κολυμβήθραν ὑποσημαίνει ὁ λόγος, κυκλοτερῆ τε οὖσαν τῷ σχήματι, καὶ πάντοθεν ἀποτετορνημένην, τῇ τῆς ἀναμαρτησίας ἰδέᾳ· ἐφ' ἣ ἀπεῤῥύη ὁ τοῦ νοητοῦ πόκου ἰαματικὸς δρόσος πλήρης πνεύματος ἁγίου· ἐξ ἧς ἀναγεννῶνται οἱ νεοτελεῖς θεοῦ παῖδες, τὴν ἐκ σαρκὸς καὶ αἵματος ἀμειψάμενοι γέννησιν· καὶ τοσοῦτον εἰς ἄνδρα τέλειον ἀνατρέχοντες, ὡς καταπαλαίειν τῇ τριαδικῇ λατρείᾳ τὸ δαιμόνιον φῦλον· τί δὲ ἡ κατὰ τὸν Ἡλίαν ἐπὶ τὸ θυσιαστήριόν τε

tactui atque colori obnoxium est; quicquid his qualitatibus subest, necesse est (nisi forte nugari volumus) ut circumscribatur: adeo ut nisi circumscribatur, a sua prorsus definitione excidat, et in rem incorpoream dissolvatur. Nihil tamen videtur linguae intemperantiam cohibere posse, quae saeculari potestati serviat.

7. Sed convertendus est oculus ad visiones propheticas, videndumque quomodo sacratissimus ab his baptismus portendatur; huc enim nos vocat sermonis series. Quid ergo Isaias ait? inde enim verba sumimus: « laetare sitiens desertum, quia apud te » fons erupit, et rivus in terra sitiente. » Humanam scilicet naturam alloquitur, quae in deserto veluti erat absque bonorum ex fide operum fecunditate: ideoque adoptionis laticem optanti, scaturiit baptismi aqua, amnici fluenti instar, Iordanes fluvius. Quid inde? « Erit arida in paludem, id est in uberem fidem: et terrae sitientis loco, aquae fons, ipse nimirum adoptionis fons: ibique erit avium tripudium, ex baptismo videlicet renatarum: nam tropice baptizati avibus comparantur, quia sub rerum initio aves ex aquis productae traduntur. Quid autem Gedeonis concha humore plena? Maternam adoptionis piscinam narratio illa significat; et quidem rotunda figura, et quaquaversus polita, ut innocentiae speciem praebeat; in quam defluit intellectualis velleris salutaris ros Spiritu sancto plenus: unde regenerantur novelli initiati Dei filii, carnis et sanguinis nativitate mutata: ac tantopere in virum perfectum aucti, ut suo tridentali, id est Trinitatis cultu, daemoniacum populum debel-

1) Dicit iconomachos Leoni armenio imp. gratificantes.

καὶ τὸ ὁλοκαύτωμα τρισσευομένη τοῦ ὕδατος ἐπίχυσις; οἶμαι δηλοῦν ἢ τὴν τρισσὴν τῆς θείας μακαριότητος ἐν τῷ βαπτιζομένῳ ἐπιβοωμένην ὑπόστασιν, ἢ τὴν τρισσὴν αὐτοῦ τοῦ τελουμένου κατάδυσιν· ἄνεισι δὲ Νεεμὰν ἀπὸ τοῦ ὕδατος κατὰ τὴν Ἐλισσαιὲ διαταγὴν κεκαθαρμένος ὅλος· ἐπέστρεψεν γάρ, φησιν *, ἡ σὰρξ αὐτοῦ ἐπ᾽ αὐτὸν ὡς παιδαρίου μικροῦ, καὶ ἐκαθαρίσθη, σύμ- * IV. reg. V. 14. βολον ἤδη τοῦτο τῆς ἁπάντων τῶν βαπτιζομένων ἁμαρτικῆς καθάρσεως· νεοθαλὴς γὰρ πᾶς τις καὶ ἄσπιλος τῶν προκατεστιγμένων πλημμελημάτων ἄνεισιν ὁ τελεσθεὶς ἐν πνεύματι.

η'. Εἰ δὲ βούλει γνῶναι καὶ τὸ ἄμισθον τῆς πνευματικῆς ἀναγεννήσεως, ἀκούσῃ τοῦ Ἡσαΐου λέγοντος· * "οἱ διψῶντες, πορεύεσθε ἐφ᾽ ὕδωρ· καὶ ὅσοι * Is. LV. 1. „ μὴ ἔχετε ἀργύριον, βαδίσαντες ἀγοράσατε· „ παντὸς γὰρ τοῦ προαιρουμένου τὸ χάρισμα, καὶ οὗ μὴ τυχεῖν, ζωῆς ἐστιν ἀπότευξις. Ἀλλὰ τούτων μὲν ἀπὸ μέρους ἡ λῆψις καὶ μέθεξις· ὅτι καὶ ἐκ πενιχρᾶς διανοίας ἡ προκόμισις ἐφ᾽ ὅσον οἷόν τε ἀφοσιουμένης τὰ προεόρτια· σὺ δέ μοι ἄθρει οἷα τὰ δρώμενα· κολυμβῆθραι ὑδάτων πεπλήρωνται, πηγαί τε καὶ κρῆναι, ποταμοί τε καὶ λίμναι, δοχεῖα τοῦ πνεύματος πρόκειται· ἡ φύσις τῶν ὑδάτων εἰς τιμὴν ὑπέρτιμον προέρχεται· φῶτα πολυειδῆ τῆς ἱερᾶς νυκτὸς δίκην ἀστέρων κατὰ πᾶσαν τὴν ἐπουράνιον ἑτοιμάζεται· εἱστήκει δὲ κατὰ πᾶσαν πόλιν καὶ χώραν κήρυξ ἐπὶ τοῦ μετεώρου ἱερεύων τὰ θεῖα, καὶ ἁγιάζων τὰ ὕδατα διὰ τῆς ἐπ᾽ αὐτὰ τοῦ θείου πνεύματος ἐπιφοιτήσεως· ὧν τῇ μεθέξει ἁγιασθείημεν, καὶ τῇ ἑξῆς ὀφθείημεν ἅπαντες φαεινοὶ τῷ παμφαεῖ πνεύματι· ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ ἁγίῳ πνεύματι, νῦν καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

lare queant. Quid item illa Eliae tempore circa altare et victimam terna aquae effusio? Puto hinc significari vel triplicem Dei beatissimi super baptizatum invocatam personam, vel ipsius baptizati triplicem immersionem. Naaman etiam ex aqua, Elisaei mandato, purgatus totus emersit: restituta est enim, inquit scriptura, caro eius ceu pueri parvuli, et mundatus est. Symbolum iam tum id fuit baptizatorum: recens enim, et priorum deletis culparum stigmatibus exit, quisquis spiritu perficitur.

8. Atque ut gratuitum quoque spiritalis regenerationis beneficium esse cognoscas, audi Isaiam dicentem: sitientes venite ad aquam; et qui non habetis argentum, ad emendum accedite; omni enim volenti gratia patet; qua qui non potitur, vitae iacturam facit. Sed haec nos partim tantum delibamus ac participamus: nam paupercula etiam mens suas facit oblationes, pervigilium hoc quantum potest sanctificans. Tu vero mecum specta quae oculis sunt subiecta: piscinae aquis implentur, fontes ac fistulae, rivi et stagna, Spiritus receptacula proponuntur: aquarum natura ad summum honorem evehitur. Lumina multiplicia nocte hac sacra, siderum instar toto orbe parantur. Stat in singulis urbibus oppidisque praeco celso loco sacra faciens, aquasque sanctificans per divini Spiritus in ipsas adventum; quarum utinam participatione sanctificemur, et deinde omnes splendido spiritu illustrati appareamus! in Christo Iesu domino nostro, cui gloria et potentia cum patre et sancto spiritu, nunc et per saecula saeculorum. Amen.

ΛΟΓΟΣ Γʹ ΚΑΤΗΧΗΤΙΚΟΣ

ΤΗ ΑΓΙΑι ΜΕΓΑΛΗι ΚΥΡΙΑΚΗι ΤΟΥ ΠΑΣΧΑ.

Cod. vat. 1587. f. 308. b.

αʹ. Τί τοῦτο, ἀδελφοὶ ἀγαπητοὶ καὶ φιλέορτοι καὶ φιλόχριστοι; τίς ἡ τοσαύτη λαμπροφορία; τίς ἡ τοσαύτη φωταγωγία καὶ θυμηδία; Τί τὸ καταστράψαν οὕτω τὴν ἐκκλησίαν; τί τὸ καταγλαΐσαν τὴν οἰκουμένην; τί τὸ παρασκευάσαν τοσαύτην γενέσθαι ἡδονὴν καὶ φαιδρότητα; χθὲς ἐν ἀθυμίᾳ, καὶ σήμερον ἐν εὐθυμίᾳ· χθὲς ἐν κατηφείᾳ, καὶ σήμερον ἐν φαιδρότητι· χθὲς ἐν ὀλολυγμοῖς, καὶ σήμερον ἐν ἀλαλαγμοῖς· ἐρωτᾷς τί τούτων τὸ αἴτιον, καὶ τί τὸ παρασκευάσαν γενέσθαι τοσαύτην χαρὰν καὶ λαμπρότητα; Χριστὸς ἀνέστη ἐκ νεκρῶν, καὶ ἅπας ὁ κόσμος ἠγαλλιάσατο· κατήργησε τῷ ζωοποιῷ αὐτοῦ θανάτῳ τὸν θάνατον, καὶ πάντες οἱ ἐν τῷ ᾅδῃ τῶν δεσμῶν ἀπελύθησαν· ἠνέῳξε τὸν παράδεισον, καὶ πᾶσιν αὐτὸν εἰσηκτὸν ἀπειργάσατο· ὢ βάθος μὴ νοούμενον· ὢ ὕψος μὴ μετρούμενον· ὢ μυστηρίου φρικτοῦ, νοὸς δύναμιν ὑπερβαίνοντος· ὑμνοῦσιν ἄγγελοι τῇ σωτηρίᾳ ἡμῶν ἐπευφραινόμενοι· προφῆται χαίρουσι τὰς οἰκείας προῤῥήσεις πληρουμένας θεώμενοι· πᾶσα ἡ κτίσις συνεορτάζει· ηὔγασε γὰρ αὐτῇ ἡμέρα σωτήριος, ἔλαμψε πάλιν ὁ τῆς δικαιοσύνης ἥλιος· τίς τοίνυν ἀξίως τῆς λαμπρᾶς ταύτης ἡμέρας τὴν χάριν ἐξυμνήσει; τίς μεγαλοπρεπῶς τοῦ τοσούτου μυστηρίου ἐκθειάσῃ τὴν δύναμιν; τίς ἕτερος, ἢ ὁ χρυσοῦς ἡμῶν πατὴρ Ἰωάννης, ὁ διαπρύσιος καὶ μεγαλοφώνατος κήρυξ, ὁ τῆς οἰκουμένης διαφανέστατος καὶ λαμπρότατος φωστὴρ καὶ ἀληθινὸς ποιμὴν καὶ διδιδάσκαλος, ὁ τῶν ψυχῶν εὐφυέστατος καὶ δοκιμώτατος ἰατρὸς, ὁ τῶν ἁμαρ-

ORATIO III. CATECHETICA

IN SANCTUM MAGNUM PASCHATIS DIEM DOMINICUM.

1. Quid hoc est, dilecti fratres, huius festi Christique amatores? Quaenam haec tanta candidae vestis gestatio? quis tantus luminum apparatus et hilaritas? quid tantopere ecclesiam illuminat? quid mundum exornat? quid tantam iucunditatem laetitiamque efficit? Heri consternati, hodie exhilarati: heri in tristitia, hodie in gaudio: heri in eiulatibus, hodie in iubilis. Rogas horum causam, quidve tantum gaudium sollemnitatemque adferat? Christus e mortuis resurrexit, et universus mundus exultat. Destruxit vivifica morte sua mortem, et omnes inferorum incolae vinculis sunt resoluti: paradisum reclusit, cunctisque pervium effecit. O profunditas inscrutabilis! o altitudo immensurabilis! O tremendum mysterium mentis vim excedens! Hymnos canunt angeli salute nostra laetificati. Prophetae gaudent, vaticinia sua ad effectum esse perducta. Universa creatura festum concelebrat: illuxit enim ei dies salutaris, denuo effulsit sol iustitiae. Quis ergo digne diei huius gratiam decantet? Quis pro dignitate tanti vim mysterii dilaudet? quis, nisi aureus pater noster Iohannes, canorus ac vocalissimus praeco, mundi illustrissimum ac splendidissimum luminare, verus pastor atque magister, peritissimus animarum ac proba-

τωλῶν ἐγγυητὴς ἀξιόχρεος, ὁ ὑπὲρ τὸν Νεῖλον ποταμὸν ῥέων τὰ χρυσόρρειθρα νάματα, ὁ χρυσοῦς καὶ χρυσόγλωσσος καὶ χρυσόστομος, οὗτος ἐκθειαζέτω καὶ ἀνυμνείτω καὶ κροτείτω τοῦ μυστηρίου τὴν δύναμιν· καὶ τούτου χάριν, ὡς οἷόν τε διὰ βραχέων συντετμημένων λόγων ἐξαγγελέτω· ἀλλ' ὁ μὲν ἕτοιμός ἐστιν, ὡς τοῦ λόγου ῥήτωρ ποικίλος, καὶ σάλπιγξ μεγαλοφωνοτάτη τοῦ πνεύματος· ἡμεῖς δὲ πρὸς τὸ ἀκούειν τούτου ἑτοιμότεροι γενώμεθα καὶ προσεκτικώτεροι, ἵν' εἴδωμεν οἷα ἡμῖν ἐπαγγέλλεται ὁ μετανοίας κήρυξ ὁ δεύτερος· διὸ ἀκούσατε.

ΑΡΧΗ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ 1).

β'. Εἴ τις εὐσεβὴς καὶ φιλόθεος, ἀπολαυέτω ταύτης τῆς καλῆς πανηγύρεως· εἴ τις δοῦλος εὐγνώμων, εἰσελθέτω χαίρων εἰς τὴν χαρὰν τοῦ κυρίου αὐτοῦ· εἴ τις ἔκαμε νηστεύων, ἀπολαβέτω νῦν τὸ δηνάριον· εἴ τις ἀπὸ πρώτης ὥρας εἰργάσατο, δεχέσθω νῦν τὸ δίκαιον ὄφλημα· εἴ τις μετὰ τὴν τρίτην ἦλθεν, εὐχαριστῶν ἑορτάσοι· εἴ τις περὶ τὴν ἕκτην ἦλθεν, μηδὲν ἀμφιβαλέτω, καὶ γὰρ οὐδὲν ζημιοῦται· εἴ τις ὑστέρησεν εἰς τὴν ἐννάτην, προσέλθοι μηδὲν ἐνδοιάζων· εἴ τις μόνον ἔφθασε τὴν ἑνδεκάτην, προσέλθοι καὶ αὐτὸς μηδὲν ἐνδοιάζων· φιλότιμος γὰρ ὢν ὁ δεσπότης, δέχεται τὸν ἔσχατον καθάπερ τὸν πρῶτον· ἀναπαύει τὸν τῆς ἑνδεκάτης, ὡς τὸν ἐργασάμενον ἀπὸ τῆς πρώτης· καὶ τὸν ὕστερον ἐλεεῖ, καὶ τὸν πρῶτον θεραπεύει· κἀκείνῳ δίδωσι, καὶ τούτῳ χαρίζεται· καὶ τὰ ἔργα δέχεται, καὶ τὴν γνώμην ἀσπάζεται· καὶ τὴν πρᾶξιν τιμᾷ, καὶ τὴν πρόθεσιν ἐπαινεῖ· οὐκοῦν εἰσέλθετε πάντες εἰς τὴν χαρὰν τοῦ κυρίου ἡμῶν·

tissimus medicus, peccatorum reconciliator egregius, Nilo fluvio fluentior aureis laticibus, ille aureus, et aurea lingua, atque os aureum; hic, inquam, dilaudet, hymnis et plausibus prosequatur huius vim mysterii, ideoque breviore quam fieri poterit oratione depraedicet. At is quidem paratus est, ceu dicendi rhetor copiosus, tuba vocalissima Spiritus: nos autem ad hunc audiendum alacriores simus et attentiores, ut cognoscamus quid nobis alter poenitentiae praeco (Iohannes) nunciet. Ergo audite.

INITIUM CHRYSOSTOMI.

2. Si quis pius est, Deique amans, praesente gaudeat pulchra sollemnitate. Si quis servus probus, laetus intret in gaudium domini sui. Si quis laboravit ieiunans, nunc recipiat denarium: si quis a prima hora operatus est, nunc iustam percipiat mercedem: si quis post tertiam venit, cum gratiarum actione festum agat: si quis circa sextam accessit, nihil haesitet, nullum enim detrimentum sentiet: si quis ad nonam usque distulit, nihil dubitans veniat: si quis hora tantum undecima ad laborem se contulit, ne ipse quidem de sua tarditate timeat. Cum sit enim liberalis dominus, postremum haud secus ac primum excipit; refocillat aeque undecimae horae operarium, ac illum qui iam inde a prima operam praestiterat; et ultimi miseretur, et primum remuneratur; huic dat, illi donat: et operam excipit, et voluntatem amplectitur: et actum debito honore adficit, et propositum laudat. Ergo omnes intrate in gaudium domini nostri; et tum primi tum ultimi merce-

1) Extat sequens sermo vel fragmentum in editione maurina T. VIII. p. 250. Spurium incaute Montfauconius iudicavit; nunc autem, Studita iudice, inter genuina divi patris scripta poni debet.

καὶ πρῶτοι καὶ δεύτεροι τὸν μισθὸν ἀπολάβετε· πλούσιοι καὶ πένητες μετ' ἀλλήλων χορεύσατε· ἐγκρατεῖς καὶ ῥάθυμοι, τὴν ἡμέραν τιμήσατε· οἱ νηστεύσαντες καὶ μὴ νηστεύσαντες, εὐφράνθητε σήμερον· ἡ τράπεζα γέμει, τρυφήσατε πάντες· ὁ μόσχος πολὺς, μηδεὶς ἐξέλθοι πεινῶν· πάντες ἀπολαύσατε τοῦ πλούτου τῆς χρηστότητος· μηδεὶς θρηνείτω πενίαν, ἐφάνη γὰρ ἡ κοινὴ βασιλεία· μηδεὶς ὀδυρέσθω τὰ πταίσματα, συγγνώμη γὰρ ἀπὸ τοῦ τάφου ἀνέτειλεν· μηδεὶς φοβείσθω τὸν θάνατον, ἠλευθέρωσεν γὰρ ἡμᾶς ὁ τοῦ σωτῆρος θάνατος· ἔσβεσεν αὐτὸν ὑπ' αὐτοῦ κατεχόμενος· ἐκώλυσε τὸν ᾅδην ὁ κατελθὼν εἰς τὸν ᾅδην· ἐπίκρανεν αὐτὸν γευσάμενον τῆς σαρκὸς αὐτοῦ· καὶ τοῦτο προλαβὼν
* Is. XIV. 9. Ἡσαΐας, ἐβόησεν *· ὁ ᾅδης φησὶν ἐπικράνθη, συναντήσας σοι κάτω· ἐπικράνθη, καὶ γὰρ ἐνεκρώθη· ἐπικράνθη, καὶ γὰρ ἐνεπαίχθη· ἔλαβε σῶμα, καὶ θεῷ περιέτυχεν· [ἔλαβε γῆν, καὶ συνήντησεν οὐρανῷ·] ἔλαβεν ὅπερ ἔβλεπεν, καὶ πέπτωκεν ὅθεν οὐκ ἔβλεπεν· ποῦ σου θάνατε τὸ κέντρον; ποῦ σου ᾅδη τὸ νῖκος; ἀνέστη Χριστὸς, καὶ πεπτώκασι δαίμονες· ἀνέστη Χριστὸς, καὶ χαίρουσιν ἄγγελοι· ἀνέστη Χριστὸς, καὶ ζωὴ πολιτεύεται· ἀνέστη Χριστὸς, καὶ νεκρὸς οὐδεὶς ἐπὶ μνήματος· Χριστὸς γὰρ ἐγερθεὶς ἐκ νεκρῶν, ἀπαρχὴ τῶν κεκοιμημένων ἐγένετο [1]· κύριος ἐκ νεκρῶν ἐγήγερται, καὶ μετ' αὐτοῦ πολὺς ὄχλος ἁγίων· ἑορτάσωμεν ἡδέως τε καὶ σωφρόνως· αὕτη γὰρ ἀληθῶς ἡ ἡμέρα ἣν ἐποίησεν ὁ κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ· κηρύξωμεν τὴν τοῦ σωτῆρος ἀνάστασιν, μᾶλλον δὲ τὴν ἡμετέραν βοήσωμεν σωτηρίαν· κηρύξωμεν τῆς σωτηρίου ἡμέρας τὴν ὑπόμνησιν· κηρύξωμεν

dem percipite: divites simul et pauperes choream ducite: fortes aeque ac ignavi hunc diem honorate: qui ieiunastis, et qui secus, hodie iucundamini: mensa dapibus est referta, deliciamini omnes: vitulus saginatus, nemo discedet famelicus: cuncti copiis liberalitatis fruimini: nemo de inopia queratur, nam commune regnum adest: nemo lapsus suos lamentetur, nam venia de sepulcro exorta est: nemo mortem timeat, etenim liberavit nos mors Salvatoris; extinxit illam, a qua fuerat oppressus: vicit infernum, qui ad infernum descendit: amarum reddidit illum, qui carnes eius gustaverat. Id praeoccupans Isaias exclamavit: infernus, inquit, amarus factus est, dum tibi deorsum congrederetur: amarus factus est, quia mortificatus: amarus factus est, quia illusum est ei: corpus invasit, et incidit in Deum: terram apprehendit, et in caelum incurrit: apprehendit quem videbat, et decidit unde nesciebat. Ubi, o mors, stimulus tuus? ubi, inferne, victoria tua? Resurrexit Christus, et ceciderunt daemones: resurrexit Christus, et laetantur angeli: resurrexit Christus, et vita inter homines versatur: resurrexit Christus, et nemo mortuus in tumulis iacet. Christus enim resurgens ex mortuis factus est dormientium inchoatio. Dominus ex mortuis resurrexit, et cum eo multa sanctorum turba. Festum celebremus suaviter et modeste: haec enim vere dies est quam fecit Dominus, exultemus et laetemur in ea: praedicemus Servatoris resurrectionem, immo potius salvationi nostrae plaudamus: praedicemus salutaris diei commemorationem, praedicemus dia-

1) Hactenus Chrysostomus in editione maurina. Verumtamen apud nostrum Studitam videtur paulo longius progredi. Ceterum ubinam, cessante Chrysostomo, resumat orationem Studita, non satis video.

τὴν νέκρωσιν τοῦ διαβόλου, τὴν τῶν ἀκαθάρτων δαιμόνων αἰχμαλωσίαν, τὴν τῶν χριστιανῶν σωτηρίαν, τὴν τῶν νεκρῶν ἀνάστασιν· διὰ γὰρ τῆς ἀναστάσεως τοῦ Χριστοῦ σβέννυται μὲν γέεννα πυρὸς, σκώληξ ὁ ἀκοίμητος τελευτᾷ, ᾅδης ταράττεται, πενθεῖ διάβολος, ἁμαρτία νεκροῦται, πνεύματα πονηρὰ διώκονται, οἱ ἀπὸ γῆς εἰς οὐρανοὺς ἀνατρέχουσιν, οἱ ἐν τῷ ᾅδῃ ἐλευθεροῦνται τῶν δεσμῶν τοῦ διαβόλου, καὶ θεῷ προσπεύγοντες λέγουσι τῷ διαβόλῳ ποῦ σου θάνατε τὸ κέντρον; ποῦ σου ᾅδη τὸ νῖκος;

γ'. Αἴτιος δὲ ἡμῖν τῆς θείας ἑορτῆς καὶ πανηγύρεως ὁ Χριστὸς, ὁ καὶ πάντων ἡμῖν τῶν καλῶν πρόξενος· οὗτος γὰρ καὶ ἐξ ἀρχῆς ἐποίησεν, ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήγαγεν· οὗτος καὶ νῦν ἀπολλυμένους ἔσωσεν, νεκρωθέντας ἐζώωσεν, καὶ τῆς τοῦ διαβόλου τυραννίδος ἀφείλετο· οὗτος δούλους ὄντας ἡμᾶς τῆς ἁμαρτίας, ἐλευθέρους ἀνέδειξεν, ἐξαλείψας τὸ καθ' ἡμῶν χειρόγραφον· Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα· ἐφ' οἷς ἄξιον καὶ ἡμᾶς εἰπεῖν· τί ἀνταποδώσομεν τῷ κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν; ὁ θεὸς ὁ μονογενὴς, ἄνθρωπος δι' ἡμᾶς γενέσθαι εὐδόκησεν, καὶ γέγονεν ὑπήκοος μέχρι θανάτου, ἵνα ἡμᾶς αἰωνίου θανάτου ῥύσηται· δούλου μορφὴν ἐνεδύσατο ὁ τῶν ἀγγέλων κύριος· σάρκα προσελάβετο ὁ θεὸς λόγος, καὶ ἄνθρωπος ἐφαίνετο ὁ σύμμορφος καὶ ὁμοούσιος τῷ πατρί· καὶ ταῦτα ὑπέμεινεν ἵνα ἡμᾶς καὶ τῆς ἀδίκου δουλείας ἐξέληται, καὶ τῆς ἀτιμίας λυτρώσηται· διὰ τοῦτο ἠνέσχετο σαρκὶ ὁ τῆς ζωῆς ἀρχηγός· διὰ τοῦτο καὶ ἐτάφη τῆς ἀθανασίας ἡ πηγὴ, ἵνα τοῖς θνητοῖς ἀείδιον χαρίσηται ζωήν· καὶ παρῆν μὲν ἐπὶ τῆς γῆς εὐεργετῶν, καὶ ἰώμενος πάντα τὰ πάθη τῶν ἀνθρώπων, ἀναξίας δὲ ὑπὸ τῶν θεομάχων Ἰουδαίων ὑπο-

boli mortificationem, impurorum daemonum captivitatem, christianorum salutem, mortuorum resuscitationem. Nam Christi resurrectione gehennae ignis extinguitur, vermis perpetuus moritur, infernus turbatur, luget diabolus, peccatum perimitur, mali spiritus fugantur, terrestres in caelum conscendunt, inferno detenti emittuntur diaboli vinculis, atque ad Deum confugientes aiunt: ubinam tuus, o mors, stimulus? ubinam tua, o inferne, victoria?

3. Age vero nobis divini huius festi sollemnisque concionis auctor est Christus, qui et omnium nobis bonorum donator est. Is enim iam inde ab initio creavit, ex nihilo ad existendum produxit: idem et nunc pessumdatos salvavit, mortificatos vivificavit, et diaboli tyrannide eripuit: idem nos peccati servos libertate donavit, delens quod adversus nos erat chirographum. Christus legis nos maledictione redemit, factus pro nobis maledictio. Quorum causa, nos quoque dicere aequum est: quid retribuemus Domino pro omnibus quae nobis retribuit? Deus filius unigenitus, homo nostri gratia fieri voluit, factusque est usque ad mortem obediens, ut nos aeternae morti eriperet: servi formam induit dominus angelorum: carnem adsumpsit Deus Verbum, homoque apparuit qui conformis et consubstantialis patri est. Atque haec sustinuit, ut iniusto nos servitio liberaret, et infamia exueret. Idcirco passus est carne, vitae auctor; ideo etiam sepultus qui fons erat immortalitatis, ut mortalibus aeternam largretur vitam. Et is quidem in mundo fuit bene faciens et cunctas hominum sanans

λαμβάνει τὰς ἀμοιβάς· ὁ μὲν γὰρ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς διὰ πολλὴν ἀγαθότητα λεπροὺς ἐκαθάρισεν, τυφλοῖς τὸ βλέπειν ἐχαρίσατο, ἀσθενοῦντας ἐθεράπευσεν, δαίμονας ἀπήλασεν, τὸν Λάζαρον τετραήμερον ἐκ τῶν νεκρῶν ἤγειρεν, καὶ ἐκ πέντε ἄρτων πεντακισχιλίους ἐχόρτασεν· ἐπὶ θαλάσσης περιεπάτησεν, τὸ ὕδωρ εἰς οἶνον μετέβαλεν, τὴν αἱμοῤῥοοῦσαν ἰάσατο, τὴν θυγατέρα τοῦ ἀρχισυναγώγου θανοῦσαν ἐζωοποίησεν· Ἰουδαῖοι δὲ ὑπὸ φθόνου καὶ βασκανίας κινηθέντες, ποτὲ μὲν ἐλίθαζον αὐτὸν, ποτὲ δὲ κατακρημνίζειν ἐπειρῶντο, τελευταῖον δὲ καὶ ἐπὶ τὸν σταυρὸν ἤγαγον.

δ'. Ἀλλ' ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς οὐκ ἐμιμήσατο τῶν βλασφήμων Ἰουδαίων τὴν κακίαν, ἀλλὰ καὶ τὸν νῶτον ἐδίδου εἰς μάστιγας κατὰ τὸν προφήτην [1], καὶ τὰς σιαγόνας αὐτοῦ εἰς ῥαπίσματα, καὶ οὐκ ἀπέστρεψεν τὸ πρόσωπον αὐτοῦ ἀπὸ αἰσχύνης ἐμπτυσμάτων· καὶ τὸ τελευταῖον ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείραντος αὐτὸν ἄφωνος, οὐκ ἀντιτασσόμενος, οὐκ ἀντιλέγων· βλασφημούμενος οὐκ ἀντελοιδώρει, πάσχων οὐκ ἠπείλει, παρεδίδου δὲ ἑαυτὸν τῷ κρίνοντι [2]· οὐ γὰρ ἦλθεν ἐπὶ τῇ πρώτῃ παρουσίᾳ κολάσαι καὶ τιμωρήσασθαι τοὺς ἀπίστους, ἀλλ' ἠθέλησεν διὰ μακροθυμίας ὁδηγῆσαι τοὺς πεπλανημένους ἐπὶ τὴν ἀλήθειαν· καὶ μάθε τοῦ κυρίου τὴν ἀγαθότητα καὶ τὴν χρηστότητα τὴν μεγάλην· ἐβλασφήμουν εἰς αὐτὸν οἱ Ἰουδαῖοι καὶ ἔλεγον, δαιμόνιον ἔχεις· ὁ δὲ κύριος μακρόθυμος ὢν, τοὺς δαίμονας ἀπὸ τῶν ἀνθρώπων ἀπήλαυνεν· Ἰουδαῖοι εἰς τὸ πρόσωπον αὐτοῦ ἐνέπτυον, αὐτὸς δὲ τοὺς τυφλοὺς αὐτῶν ἐθεράπευεν· Ἰουδαῖοι τὸν Χριστὸν ἐλίθαζον, ὁ δὲ Χριστὸς τοῖς χωλοῖς αὐτῶν τὸ βαδίζειν ἐχαρίζετο· καὶ

[1] Is. L. 6.

[2] I. Petr. II. 23.

infirmitates, indignas tamen a Dei hostibus Iudaeis gratias retulit. Certe dominus noster Iesus Christus propter multam suam bonitatem leprosos mundavit, caecis visum tribuit, aegros sanavit, daemones expulit, Lazarum quatriduanum ex mortuis revocavit, et quinque panibus quinque hominum milia saturavit, supra mare ambulavit, aquam in vinum convertit, haemorrhoicae mulieri medicinam fecit, archisynagogi filiam extinctam vitae restituit. At Iudaei invidia ac livore permoti, modo eum lapidibus appetebant, modo praecipitem dare conati sunt, postremo in crucem egerunt.

4. Verumtamen dominus noster Iesus Christus non est imitatus blasphemorum Iudaeorum malitiam, sed dorsum flagellis obtulit, ut ait propheta, et maxillas alapis, neque faciem a sputorum foeditate avertit: denique tamquam ovis ad occisionem ductus est, et velut agnus coram tondente se obmutuit, non resistens, non contradicens: blasphemiis perculsus, non vicissim maledicebat, patiens non comminabatur, sed semet ipsum iudicanti permittebat. Non enim venit ut sua priore praesentia puniret atque ulcisceretur incredulos, sed longa patientia errantes voluit ad veritatem deducere. Et disce Domini clementiam ac mansuetudinem magnam. Blasphemabant adversus eum Iudaei dicentes: daemonium habes: et patiens Dominus daemones ex hominibus eiiciebat. Iudaei in faciem eius spuebant, at Dominus eorum caecos (sputo liniens) sanabat. Iudaei Christum lapidabant, Christus autem claudis eorum gradiendi vim tribuebat: mosque eius perpetuus fuit bene faciendi offenso-

δι' ὅλου διετέλεσεν εὐεργετῶν τοὺς ὑβρίζοντας, καὶ ἀντὶ κακῶν ἀγαθὰ δωρούμενος τοῖς ἀχαρίστοις ἐκείνοις καὶ μισαροῖς ἀνθρώποις· ἀνεξικάκως δὲ φέρων τὰς λοιδωρίας, ἴσως καὶ ἀσθενὴς ἐνομίζετο ὁ ὑπὸ ἀγγέλων δορυφορούμενος.

ε'. Καὶ ἵνα μὴ πολλὰ λέγοντες δόξωμεν μηκῦναι τὸν λόγον, ἔλθωμεν καὶ εἰς αὐτὰ τὰ κεφάλαια τῶν πραγμάτων· τέλος οὖν ἤγετο ἐπὶ τὸν σταυρὸν καὶ θάνατον ὁ τῆς δόξης βασιλεὺς, καὶ προσήλωτο τῷ ξύλῳ ὁ ὑπὸ τῶν χερουβὶμ καὶ σεραφὶμ ἀνυμνούμενος, καὶ ὑπὸ πασῶν δυνάμεών τε καὶ ἀγγέλων προσκυνούμενος· ταῦτα δὲ πραέως ὑπέμενέ τε καὶ ἔπασχεν, ἡμῖν ὑπογραμμὸν παρέχων, καὶ διδάσκαλος ἐπιεικείας γενόμενος· διὰ τοῦτο οὖν καὶ ἡμεῖς ὀφείλομεν γενναίως φέρειν τὰς τῶν πονηρῶν ἀνθρώπων ἀπειλάς· ἀλλὰ γὰρ καὶ ἐπὶ τοῦ σταυροῦ κρεμασθεὶς μείζονα ἔργα καὶ πλείονα θαύματα ἐνεδείξατο, ἵνα ἂν οὕτως παύσῃ τῶν θεοστυγῶν τὴν μανίαν, ὥστε μὴ ἔχειν αὐτοὺς πρόφασιν τῆς ἀπιστίας, μήτε λέγειν ὅτι ψιλὸν ἄνθρωπον ἐσταυρώσαμεν· πρῶτον μὲν οὖν ἠνέσχετο ὁ Χριστὸς σταυρωθῆναι, καὶ εἰς τὸν ἀέρα ἀρθῆναι, ἵνα τοὺς ἐν τῷ ἀέρι δαίμονας φυγαδεύσῃ· ἐκρεμάσθη ἐπὶ ξύλου, ἵνα τὴν πάλαι διὰ ξύλου προσγινομένην τοῖς ἀνθρώποις ἁμαρτίαν ἰάσηται· ἐνύγη καὶ λόγχῃ τὴν πλευρὰν, διὰ τὴν ἐκ τῆς πλευρᾶς τοῦ Ἀδὰμ ληφθεῖσαν γυναῖκα· ἐπειδὴ γὰρ ὁ ὄφις τὴν Εὔαν ἠπάτησεν, ἡ δὲ Εὔα τὸν Ἀδὰμ παραβῆναι παρεσκεύασεν, ἐξῆλθεν δὴ ἀπόφασις κατὰ τῶν ἀμφοτέρων, καὶ ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωϋσέως καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας· διὰ τοῦτο τιτρώσκεται ἡ πλευρὰ, ἵνα μάθωμεν ὅτι οὐ μόνον ἀνδρᾶσιν ἤνεγκε σωτηρίαν τὸ πάθος τοῦ Χριστοῦ, ἀλλὰ καὶ γυναιξί· Ἀδὰμ γὰρ πρῶτος ἐπλάσθη, εἶτα Εὔα· καὶ Ἀδὰμ οὐκ ἠπατήθη, ἡ δὲ γυνὴ ἀπατηθεῖσα ἐν παραβάσει γέγονε·

ribus, maleficiorum loco beneficia ingratis illis hominibus detestandisque rependere: in tantum ut dum convicia imperturbatus perferret, impotens fortasse videretur ille, qui alioqui ab angelis stipabatur.

5. Sed ne plura dicendo videamur orationem producere, ad ipsam rerum summam veniamus. Postremo igitur cruci necique traditus fuit gloriae rex, et in ligno clavis confixus qui a cherubinis seraphinisque hymnorum cantu celebratur, et a cunctis virtutibus angelisque adoratur. Haec benigne sustinuit ac passus est, nobis exemplum praebens, et mansuetudinis factus magister. Quapropter nos quoque debemus improborum hominum minas fortiter ferre. Quin adeo in cruce pendens maiora opera et plura miracula edidit, ut ita Deo odibilium vesaniam sedaret, neque excusationem incredulitati suae praetenderent, quod simplicem hominem crucifixissent. Primo itaque passus est Christus se crucifigi, et in aërem attolli, ut aëreos daemones fugaret. Suspensus est ligno, ut culpam ligni causa hominibus olim inflictam corrigeret. Lancea latus eius perfossum, propter sumptam de Adami latere feminam. Nam postea quam serpens Evam decepit, Evaque Adamum ad transgressionem impulit, edita est contra utrumque sententia, regnavitque mors ab Adamo usque ad Moysem super eos etiam qui non peccaverant. Propterea vulneratur latus, ut discamus non viris tantummodo verum etiam mulieribus passionem Christi adtulisse salutem. Adamus enim prior formatus fuit, deinde Eva: et Adamus quidem non est deceptus, sed mulier decepta

σωθήσεται δὲ διὰ τῆς τεκνογονίας τῆς ἁγίας Μαρίας· αὕτη γὰρ τὸν σωτῆρα
* Is. VII. 14. Χριστὸν ἐτεκνώσατο, οὐκ ἀνδρὶ συνελθοῦσα, ὡς Ἠσαΐας μαρτυρεῖ*, ἀλλὰ πνεύματος ἁγίου ἐπισκιάσει, καθὼς ὁ Γαβριὴλ ὁ ἀρχάγγελος εὐηγγελίσατο· διὰ ταύτην οὖν τὴν πρόφασιν καὶ ἡ πλευρὰ πλήσσεται τοῦ Χριστοῦ, ἵνα καὶ τὰ προειρημένα οἰκονομηθῇ, καὶ τὸ μυστήριον τοῦ βαπτίσματος κηρυχθῇ, καὶ ἡ χάρις ἡ μέλλουσα λάμψῃ· πηγάζει γὰρ αἷμα καὶ ὕδωρ ἐκ τῆς πλευρᾶς τοῦ Χριστοῦ, ἵνα καὶ τὸ καθ' ἡμῶν χειρόγραφον τῆς ἁμαρτίας ἀπαλείψῃ, καὶ τῷ αἵματι αὐτοῦ καθαρισθῶμεν, καὶ τὸν παράδεισον ἀπολάβωμεν.

ϛʹ. Ὦ μυστηρίου μεγάλου· μετενόησεν ὁ λῃστής· χρεία ἦν ὕδατος ἵνα βαπτισθῇ· ἐπὶ τοῦ σταυροῦ ἐκρέματο· οὐκ ἦν ἕτερος τόπος βαπτίσματος, οὐ πηγὴ, οὐ λίμνη, οὐκ ὄμβρος, οὐχ ὁ τὴν μυσταγωγίαν ἐπιτελῶν· πάντες γὰρ διὰ τὸν φόβον τῶν Ἰουδαίων ἔφυγον οἱ μαθηταί ἀλλ' οὐκ ἠπόρησεν ὁ Ἰησοῦς ναμάτων, ἀλλὰ καὶ ἐπὶ σταυροῦ κρεμάμενος, δημιουργὸς ὑδάτων γέγονε· ἐπειδὴ γὰρ οὐχ οἷόν τε ἦν εἰσελθεῖν εἰς τὴν βασιλείαν τὸν λῃστὴν δίχα βαπτίσματος, αἷμα καὶ ὕδωρ προσήκατο τῆς νυγείσης αὐτοῦ πλευρᾶς ὁ σωτὴρ, ἵνα αὐτὸν λῃστὴν ἐλευθερώσῃ τῶν ἐπηρμένων κακῶν· καὶ τὸ αἷμα λύτρον ἀποδείξῃ γενόμενον τῶν εἰς αὐτὸν τὰς ἐλπίδας ἐχόντων· εἰ γὰρ τὸ αἷμα ταύρων καὶ τράγων καὶ σποδὸς δαμάλεως ῥαντίζουσα τοὺς κεκοινωμένους ἁγιάζει πρὸς τὴν τῆς σαρκὸς κάθαρσιν, πόσῳ μᾶλλον τὸ αἷμα τοῦ σωτῆρος ἡμῶν καθάρσιον γέγονε πάντων ὁμοῦ χριστιανῶν; ἐὰν οὖν εἴπῃ σοι τίς τῶν ἀπίστων, διὰ τί ἐσταυρώθη ὁ Χριστός; εἰπὲ αὐτῷ, ἵνα σταυρώσῃ τὸν διάβολον· ἐὰν εἴπῃ σοι, διὰ τί ἐκρεμάσθη ἐπὶ ξύλου; εἰπὲ αὐτῷ, ἵνα τὰς ἀκάνθας καὶ τριβόλους ἐκριζώσῃ τοῦ Ἀδάμ· ἐκεῖνος γὰρ στένειν καὶ τρέμειν κατ-

in transgressionem incurrit. Salvabitur tamen propter sanctae Mariae partum. Haec enim servatorem Christum peperit, sine viri congressu, Isaia teste, sed sancti Spiritus obumbratione, sicut archangelus Gabrihel nunciaverat. Quam ob rem latus quoque Christi vulneratur, ut praedicta dispensatorio modo fierent, baptismi mysterium praedicaretur, et futura gratia illucesceret. Eliciuntur enim sanguis et aqua ex Christi latere, ut peccati chirographum contra nos scriptum eluatur, sanguine illius purificemur, et paradisum adipiscamur.

6. O grande mysterium! Latro resipuit, opus erat aqua ut baptizaretur, in cruce pendebat, nullus erat alius idoneus baptismo locus, non fons, non stagnum, non imber, nemo praeterea qui liturgiam perageret: cuncti enim, metu Iudaeorum, discipuli diffugerant. Sed non carebat laticibus Iesus: etiam in cruce suspensus, erat nihilominus aquarum creator. Nam quia fieri non poterat, ut regnum caelorum ingrederetur latro absque baptismo, sanguinem et aquam emisit de suffosso latere suo Servator, ut dictum latronem impendentibus malis liberaret, suumque sanguinem redemptionis pretium esse demonstraret illorum, qui in ipso spem collocant. Nam si taurorum sanguis atque hircorum, et cinis vitulae aspersus inquinatos sanctificat ad carnis purificationem, quanto magis sanguis Salvatoris nostri omnium simul christianorum purgatorium fiet? Si quis ergo tibi dicat infidelis, cur crucifixus est Christus? dic ei, ut diabolum crucifigeret. Si tibi dicat, cur pepen-

εδικάσθη, καὶ τριβόλους γεωργεῖν· Ἰησοῦς οὖν φιλάνθρωπος ὢν, καὶ τοῦ ἰδίου πλάσματος θέλων προνοήσασθαι, πάντα ὑπέστη δι' ἡμᾶς, ἵνα ἡμεῖς τῆς καταδίκης ἐλευθερωθῶμεν· ὥσπερ γὰρ ἐγεννήθη ὑπὸ γυναικὸς, ἵνα τὴν ἐκ γυναικὸς προσγενομένην ἁμαρτίαν τοῖς ἀνθρώποις ἀπαλείψῃ, οὕτως καὶ ταῖς ἀκάνθαις στεφανοῦται, ἵνα τὴν κακῶς γεωργηθεῖσαν ὑπὸ τῆς ἁμαρτίας γῆν, διὰ τῆς ἰδίας ὑπακοῆς ἡμερωτέραν ἐργάσηται· ἐὰν εἴπῃ σοι, διὰ τί χολὴν καὶ ὄξος ἔπιεν; εἰπὲ αὐτῷ, ἵνα ἡμεῖς τὸν θανατηφόρον ἰὸν ἐξεμέσωμεν τοῦ δράκοντος· ἡ γὰρ χολὴ, ἐμὸν γέγονε γλύκασμα· καὶ τὸ ὄξος ἐκεῖνο, ἐμοὶ γέγονεν εἰς γλύκασμα καὶ ἴαμα· ἐὰν δέ σοι πάλιν εἴπῃ ἄπιστος, διὰ τί ἐγονυπέτουν αὐτὸν προσιόντες αὐτῷ; εἰπὲ αὐτῷ, ἵνα καὶ μὴ θέλοντες προσκυνήσωσιν αὐτὸν οἱ Ἰουδαῖοι, καὶ τὴν βασιλείαν αὐτοῦ ἄκοντες ἐπὶ τὴν γῆν ὁμολογήσωσι· νῦν μὲν γὰρ χλευάζοντες προσεκύνουν, μὴ εἰδότες ὃ ἔπραττον, ἐν δὲ τῇ μελλούσῃ ἀναστάσει πᾶν γόνυ κάμψει ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται ὅτι κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν θεοῦ πατρός· ἀμήν· ἔχει δὲ καὶ ἡ χλαμὺς ἐκείνη καὶ ἕτερον αἴνυγμα· οὐ μόνον γὰρ τὴν βασιλείαν ὑπετύπουν, ἀλλὰ γὰρ καὶ τὸ αἱμοβόρον καὶ φονῶδες τῶν Ἰουδαίων ἐπεδείκνυντο· ἔδωκαν δὲ καὶ κάλαμον ἐν τῇ χειρὶ αὐτοῦ, ἵνα γραφῶσιν αὐτῶν αἱ ἁμαρτίαι.

ζʹ. Ταῦτα μὲν οὖν οἱ χριστομάχοι ἐποίουν, ἀγνοοῦντες τὸν ἐσταυρωμένον· ἡ δὲ κτίσις οὐκ ἠγνόησε τὸν ἑαυτῆς δεσπότην καὶ δημιουργόν· ἔτι γὰρ τοῦ σωτῆρος ἐπὶ τοῦ σταυροῦ κρεμαμένου, θεωρήσας ὁ αἰσθητὸς ἥλιος τὸν ἥλιον τῆς δικαιοσύνης ὑπὸ τῶν ἀνόμων ὑβριζόμενον, καὶ μὴ φέρων τὸ τόλμημα, φεύ-

dit in ligno? dic ei, ut spinas et tribolos Adami extirparet: hic enim ad gemitus pavoresque damnatus fuit, et ad tribolos excolendos. Iesus ergo quum sit humanissimus, et suae creaturae vellet curam gerere, cuncta pro nobis sustinuit, ut nos damnatione eriperet. Sicut enim ex muliere natus est, ut inflictum a muliere hominibus peccatum deleret, ita etiam spinis coronatur, ut male excultam a peccato terram, obedientia sua mitiorem redderet. Si dicat tibi, cur fel et acetum bibit? dic ei, ut nos mortiferum draconis venenum evomeremus: illud enim fel, dulcedo mea evasit: et acetum illud, mihi suavitas fuit et medela. Si denique tibi dicat infidelis, cur ad illum accedentes genu flectebant Iudaei? dic ei, ut nolentes etiam ipsum adorarent, et regnum eius vel inviti humo strati confiterentur. Nunc quidem cum irrisione eum adorabant, nescientes quid agerent, in futura autem resurrectione omne genu flectetur caelestium terrestrium et infernorum, et omnis lingua confitebitur, dominum Iesum Christum in gloria esse Dei patris, amen. Habet etiam illa chlamys aliud aenigma: non enim regni tantummodo indicium erat, verum etiam cruentum et exitiosum Iudaeorum ingenium demonstrabat. Calamum quoque manui eius tradiderunt, ut ipsorum scriberentur peccata.

7. Haec itaque hostes Christi patrarunt, quem crucifigebant ignorantes. Reliqua tamen creatura dominum suum non nescivit et creatorem. Adhuc Servatore de cruce pendente, sol hic sensibilis cernens iustitiae solem ab impiis iniuria adfectum, nec facinus patiens, tellurem obtenebrans fugit, indignum putans favere et oculos illu-

γει σκοτίσας τὴν γῆν, ἄτοπον ἡγησάμενος συνεργεῖν καὶ φωτίζειν ὀφθαλμοὺς τὴν μεγίστην ἀσεβοῦντας ἀσέβειαν· οὐ μόνον δὲ ὁ ἥλιος ἔφευγεν, ἀλλὰ καὶ ἡ γῆ ἐκινεῖτο μὴ φέρουσα τὴν ἀνομίαν τῶν δρωμένων, ἐνδεικνυμένη δὲ καὶ διδάσκουσα, ὅτι θεὸς ἦν ὁ σταυρούμενος· διὸ οὐδὲ ἠνέσχετο, ἀλλ' ἐχαλαίπαινε μὴ θέλουσα φέρειν ἐφ' ἑαυτῆς τοὺς θεοστυγεῖς Ἰουδαίους· οὐχ οὕτως γὰρ ἀδελφοκτονήσας ἔχρανε τὴν γῆν ὁ Καΐν, οὐδ' οὕτως ἐβάρησεν αὐτὴν ἡ τῶν γιγάντων τυργοποιΐα, οὐδ' οὕτως αὐτὴν ἐμίαναν ἀθεμιτουργήσαντες Σοδομῖται, οὐδ' αὐτοὶ οἱ τὰ εἴδωλα ἐξ αὐτῆς πλάσαντες, οὐ τὸ αἷμα ἀπὸ Ἄβελ ἕως Ζαχαρίου ἐκχυθὲν ἐποίησεν αὐτὴν οὕτως, ὅσον οἱ Ἰουδαῖοι τὸ μέγα τοῦτο τολμήσαντες ἀσέβημα· διὰ γὰρ τοῦτο καὶ αἱ σκληραὶ πέτραι ἐσχίζοντο, ἵνα
* I. Cor. X. 4. μάθωσιν ὅτι οὗτός ἐστιν ἡ πνευματικὴ καὶ ζῶσα πέτρα· ἔπινον γάρ, φησιν *, ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας, ἡ δὲ πέτρα ἦν ὁ Χριστός· ὢ τῆς Ἰουδαίων ἀγνωμοσύνης· αἱ πέτραι διαῤῥήγνυνται, καὶ αὐτοὶ ἀναισθητοῦσι· τὰ ἄψυχα κλονεῖται, καὶ οἱ ἔμψυχοι ἀπιστοῦσι· τὸ καταπέτασμα τοῦ ναοῦ ῥήγνυται, ἵνα λοιπὸν ἡ ἐρήμωσις αὐτῶν δειχθῇ· ἐσχίσθη γὰρ τὸ καταπέτασμα
* Luc. XIII. 35. καὶ ἐγυμνώθη τὰ ἐν τῷ ναῷ, διὰ τὸν εἰπόντα Χριστόν *, ἰδοὺ ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος· καὶ γὰρ ἠρήμωται μετὰ τὴν χριστοκτονίαν πάντα τὰ τῶν Ἰουδαίων σεμνά· καὶ οἱ παραμενόντες τῇ πόλει καὶ τῷ ἱερῷ ἄγγελοι μετέβησαν ἐκεῖθεν, καὶ ἦλθον εἰς τὴν ἐκκλησίαν· πολλὰ δὲ καὶ σώματα τῶν κεκοιμένων συνανέστη τῷ Χριστῷ, ἵνα μάθωμεν ἡμεῖς ὅτι Χριστὸς ἀποθανών, μόνος οὐκ ἀνίσταται, ἀλλὰ πάντας τοὺς εἰς αὐτὸν πιστεύοντας ἐκ νεκρῶν ἀνίστησι.

η'. Αὕτη ὡς ἐν κεφαλαίῳ ἐστὶν ἡ σεμνὴ τοῦ πάσχα ἑορτή· καὶ ταῦτα χριστιανῶν τὰ μυστήρια περὶ ἀναστάσεως νεκρῶν καὶ ζωῆς αἰωνίου πανηγυρίζο-

minare hominibus qui se summo scelere impiaverant. Neque sol tantum fugit, verum etiam terra mota est, facinus impium non ferens, Deum illum esse docens qui erat crucifixus. Quare nec ulterius tulit, atque indignata est pondus ferre Deo odibilium Iudaeorum. Non ita fratris interfector Cain illam contaminavit, non ita gigantum fabricata turris eam praegravavit, non ita illam polluerunt nefandi Sodomitae, neque ii qui idola ex eiusdem materia effecerunt, non ita ex Abele usque ad Zachariam sanguis effusus, quantum Iudaei hoc ingens facinus ausi. Propter hoc enim durae quoque petrae scissae sunt, ut ii discerent hanc esse spiritalem vivamque petram. Bibebant enim, inquit, de spiritali sequente eos petra; petra autem Christus erat. O ingratos Iudaeorum animos! petrae scinduntur, et ipsi obdurescunt: inanimata moventur, et ipsi discredunt: templi velum scinditur, ut ipsorum futura vastitas designetur. Scissum quippe velum est, et arcana templi patefacta, propter Christi dictum: en relinqutur domus vestra deserta: reapse enim desertata sunt post Christi necem Iudaeorum sacra omnia: et qui incolebant urbem templumque angeli, illinc abscesserunt, atque ad ecclesiam transmigrarunt: multaque corpora eorum qui dormierant resurrexerunt cum Christo: ut nos discamus Christum a morte haud solum resurgere, sed cunctos ipsi credentes ex mortuis aeque suscitaturum.

8. Haec summatim est veneranda paschatis sollemnitas: haec christianorum mysteria de resurrectione mortuorum vitaque aeterna celebramus. Ergo sollemnia aga-

μεν· τοιγαροῦν ἑορτάσωμεν μὴ ἐν ζύμῃ κακίας καὶ πονηρίας, ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας, πιστεύοντες εἰς ϖατέρα καὶ υἱὸν καὶ ϖνεῦμα τὸ ἅγιον, εἰς τριάδα ὁμοούσιον καὶ ἄκτιστον, πιστεύοντες τῇ ἀναστάσει, προσδοκῶντες τὸν κύριον πάλιν ἐρχόμενον, οὐκέτι μὲν ταπεινῶς, ἀλλ' ἐνδόξως μετὰ λαμπρότητος οὐρανίου, μετὰ φωτεινῶν ἀγγέλων, μετὰ σαλπίγγων καὶ φόβου καὶ χαρᾶς, χαρᾶς μὲν τῶν ἁγίων, φόβου δὲ τῶν καταδίκων καὶ ἁμαρτωλῶν· ὁ δὲ θεὸς τῆς εἰρήνης καταξιώσῃ πάντας ἡμᾶς μετὰ ἁγίων ἀναστάσεως, ἐν ἔργοις καὶ λόγοις εὑρεθέντας καὶ ϖίστει ὀρθοδόξῳ· ὅτι αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Δ'.

ΕΙΣ ΤΟ ΓΕΝΕΣΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΠΡΟΦΗΤΟΥ ΠΡΟΔΡΟΜΟΥ ΒΑΠΤΙΣΤΟΥ 1).

α'. Ἀηδόνι τινὶ ϖολυφώνῳ εὔηχα κελαδούσῃ ϖερὶ τὰς ἐαρινὰς ὥρας ἐοικὼς ἡμῖν ὁ λόγος, εὗρεν ἂν τάχα ἐκ μικροῦ ἀνυμνῆσαι τὴν μεγάλην φωνὴν τῆς ἀληθείας σήμερον ἀποκυουμένην· ἐπεὶ δὲ ἐστιν ἰσχνοεπὴς καὶ δύσφωνος ἄγαν, πῶς ὑμνήσει τὸ μέγα τῶν προφητῶν κλέος; πῶς αἰνέσει τὸ ἐξαίρετον τῶν ἀποστόλων γέρας; πῶς δοξάσει τὸ ξένον τῶν μαρτύρων σέβας; καί μοι σκοπητέον τοῦτο, ὅτι ἐπὶ μὲν τῶν ἄλλων ἁγίων, ἄλλος ἄλλου διείληφε τὰ ἐγκώμια, ὑψηλὸς ὑψηλοῦ, καὶ μετρίου μετριώτερος· τοῦ δὲ νῦν εὐφημουμένου πρὸ τῶν ἀλ- cod. vat. 820. f. 29. item vat. 1216. f. 96.

mus non fermento malitiae et nequitiae, sed azymis sinceritatis et veritatis, credentes in patrem, filium, ac spiritum sanctum, in consubstantialem increatamque Trinitatem, credentes resurrectioni, expectantes Dominum denuo venturum, neque iam humiliter, sed gloriose cum caelesti maiestate, cum splendidis angelis, cum tubis atque terrore simul et gaudio: gaudio inquam sanctorum, terrore peccatorum ac damnatorum. Deus autem pacis dignos nos omnes faciat resurgendi cum sanctis, quorum opera et verba et orthodoxam fidem imitati fuerimus! Quia ipsi est gloria et potentia per saecula saeculorum. Amen.

ORATIO IV.

IN NATIVITATEM SANCTI PROPHETAE PRAECURSORIS BAPTISTAE.

1. Si vocali alicui lusciniae verno tempore suaviter resonanti nostra similis esset oratio, laudare aliquantum magnam illam veritatis vocem, quae hodie nascitur, forsitan posset: sed quum gracilis atque absona sit oratio nostra, quomodo laudabit magnum decus prophetarum? quomodo celebrabit eximiam apostolorum dignitatem? quomodo glorificabit peregrinam martyrum gloriam? Porro hoc mihi quoque considerandum est, quod in aliis quidem sanctis, alius alium laudavit, celsus celsum,

1) Orationem hanc exhibuerat latine tantummodo Combefisius in bibliotheca concionatoria T. VII. p. 129. Nos nunc graece primum ex vaticano codice eruimus. Iam Combefisii interpretationem saepe libenter secuti sumus, saepe etiam ab ea discessimus, tum ob alias causas, tum quia Combefisius graecas dictiones non una vice prave omnino explicaverat; id quod philellenes vere a me dici comperient.

5

* Matth. XI. 11. λων, αὐτὸς Χριστὸς ὁ θεὸς ἡ ἀλήθεια· φησὶ γάρ *· μείζων Ἰωάννου τοῦ βαπτιστοῦ ἐν γεννητοῖς γυναικῶν οὐκ ἐγήγερται· ἐπεὶ οὖν τοσοῦτος περίεστιν ὁ ἔπαινος τῷ μεγάλῳ προδρόμῳ ἀνυπέρβλητος ἐκ τοῦ ἀνωτάτω λόγου, μή τι ἄρα ἐνδεής ἐστι τῆς ἡμετέρας βραχυλογίας, ὦ φιλακροάμονες; ἄπαγε· ἀλλὰ δουλικὸν ἀποτιννύντες χρέος, καὶ πατρικὸν 1) ἀποπληροῦντες ἐπίταγμα, καὶ ὡς ἁγιασθησόμενοι ἐκ μόνης τῆς περὶ τὸν πρόδρομον ὑπομνήσεως, τὸ τολμηρὸν ἡμῶν ἐπιδεικνύμεθα.

β'. Δεῦρο δὴ οὖν λοιπὸν τὴν ἡμέραν ἑορτάσωμεν, τὰ τοῦ γενεσίου πανηγυρίσωμεν, οὐχ οἱ περίοικοι μόνον, ἀλλὰ καὶ πᾶσα ἡ τοῦ νοητοῦ Ἰορδάνου 2) περίχωρος· ἴδωμεν τὸ ξενοπρεπὲς μυστήριον, ἴδωμεν τὸ παραδόξως τελούμενον σήμερον, κατανοήσωμεν τὰ τοῦ Ζαχαρίου, ἀνθομολογησώμεθα τὰ τῆς Ἐλισάβετ. Οὐκ ἐξ ἀγεννῶν τοίνυν γονέων, ἵνα κἀντεῦθεν δειχθῇ μέγιστος ὁ πρόδρομος, ἀλλὰ καὶ λίαν ἐπισήμων καὶ περιδόξων· ὁ μὲν γὰρ Ἀαρών τις καὶ τὴν πολιὰν καὶ τὴν ἀξίαν, τὴν ἱερατικὴν στολὴν ἠμφιεσμένος, τὸ περιστήθιον φημὶ, τὴν ἐπωμίδα, τὸν ποδήρη, τόν τε κοσσύμβρωτον χιτῶνα, τὴν κίδαρίν τε καὶ ζώνην, τὰ ἐκ χρυσοῦ τε καὶ λίθων καὶ ὑακίνθου καὶ βύσσου πεποικιλμένα· καὶ οὕτως εἰς τὰ ἅγια τῶν ἁγίων εἰσιὼν, κατὰ τὴν ἐφημερίαν τῆς ἱερουργίας· ἡ δὲ τῆς Σάῤῥας ἰσοκλεὴς, καὶ μᾶλλον δὲ ὑπερκλεὴς, ὡς καὶ τῇ θεομήτορι ἀγχιστεύουσα· γεννᾷ γὰρ ἐκ στειρώσεως κατ' ἐπαγγελίαν οὐκ Ἰσαὰκ δοῦλον θεοῦ κληθέντα *, ἀλλ' Ἰωάννην τὸν φίλον γνήσιον κυρίου χρηματίσαντα· ὦ ἀγόνου νη-

* Gen. XXIV. 14. Dan. III. 35.

minor minorem: sed eius qui nunc laudatur, ante omnes ipse Christus, Deus ac veritas, laudes pronunciavit. Ait enim: maior Iohanne baptista inter natos mulierum non surrexit. Quia igitur tanta suppetit magno praecursori sublimisque laus a supremae auctoritatis verbo; num is adhuc indiget exiguo nostro sermone, o studiosi auditores? Absit; sed servile persolventes debitum, et patris iussum exsequentes, et quasi ex sola praecursoris mentione sanctificandi simus, nostram audaciam ostendemus.

2. Agedum igitur diem festum iam celebremus, ad natalem honorandum frequenti multitudine conveniamus, neque accolae tantummodo, verum etiam universa intellectualis Iordanis regio. Videamus peregrinum mysterium: spectemus negotium hodie praeter omnem spem patratum: consideremus Zachariae res, vicissimque narremus quae Elisabetae sunt. Non ex obscuris ergo parentibus, ut hinc etiam maximus appareat praecursor, sed ex illustribus inclytisque nascitur. Nam alter quidem erat veluti Aaron propter canos et dignitatem, sacerdotali veste indutus, pectorali inquam et superhumerali, podere, fimbriata tunica, cidari, atque zona, quae omnia auro, gemmis, hyacintho, byssoque erant variata: atque ita in sancta sanctorum ingrediebatur per tempus ministerii sui. Illa vero Sarae gloria aequalis, vel potius superior, utpote Dei matrem propinquitate contingens. Parit enim ex sterilitate secundum pro-

1) Satis constare videtur Studitam aetate iuvenili plerasque has panegyricas orationes dixisse; quo tempore nonnisi iussu vel episcopi sui vel abbatis monasterii concionari poterat. Quem morem in Gregorio quoque antiocheno videsis apud nos T. II. p. 557.

2) Iordanes baptismi symbolum in musivis romanis. Heic dicit baptizatos omnes, id est christianos.

δύος τοιοῦτον κυοφορησάσης παῖδα· ὢ ἀκάρπου ἀρούρας τηλικαύτην βλαστησάσης ἄσταχυν· διὰ τοῦτο οὐκ ἀποκνητέον τὰ τοῦ μεγαλοφωνοτάτου Ἡσαΐου καινότερόν πως καὶ πρὸς αὐτὴν ἀποφθέγξασθαι *· εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα, ῥῆξον καὶ βόησον ἡ οὐκ ὠδίνουσα, ὅτι ἐξήνθησας ἐκ τῆς ἐρήμου μήτρας τὸ κρίνον τῆς ἁγνείας, τὸ ῥόδον τῆς πνευματικῆς εὐοδμίας, τὸν λειμῶνα τῆς ἀγαθοφόρου ἐγκρατείας, τὸν ἡμεροφανῆ λαμπτῆρα τῆς Χριστοῦ ἐπιφανείας, Ἰωάννην τὸν θεοπρόβλητον στρατιώτην τοῦ οὐρανίου βασιλέως, τὸν ἄριστον τῆς Χριστοῦ νυμφαγωγὸν ἐκκλησίας, τὸν ἀσίγητον μάρτυρα τῆς ὄντως ἀληθείας, Ἰωάννην τὸν διαπρύσιον κήρυκα τῆς μετανοίας, τὸν ἐν σώματι ἄγγελον τοῦ κυρίου, τὸν ἐκφάντορα τοῦ ἀμνοῦ τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου· καὶ οὐδ᾽ ἂν αὐτοῦ περιλάβοιμι τὰς ἀξίας, κἂν πλείω προσθείην τῆς κλήσεως τὰ ὀνόματα· πολυώνυμος γάρ τις ἐστὶ, καὶ πολυάξιος, τὸ μεῖζον παρὰ πάντας τοὺς χριστοὺς κυρίου κεκληρωμένος. * Is. LIV. 1.

γ΄. Καὶ γοῦν τιμᾶται καὶ Ἰσαὰκ τοῦ προπάτορος τὸ γενέσιον, ὅνπερ Σάῤῥα συλλαβοῦσα καὶ τεκοῦσα υἱὸν εἰς γῆρας, εἶτα καὶ εἰποῦσα, τίς ἀναγγελεῖ Ἀβραὰμ ὅτι θηλάζει Σάῤῥα παιδίον; ἐφ᾽ ᾧ καὶ μεγάλην δοχὴν ποιῶν φαίνεται ἐν ἡμέρᾳ τῆς αὐτοῦ ἀπογαλακτίσεως. Καὶ τιμᾶται πάλιν Σαμψὼν [τὸ γενέσιον] τοῦ τεχθέντος Μανωὲ κατ᾽ ἐπαγγελίαν, ἐκ στείρας καὶ αὐτὸς προερχόμενος· ὅς, φησιν, οὐ πίεται οἶνον καὶ σίκερα, καὶ οὐ μὴ φάγῃ πᾶν ἀκάθαρτον· καὶ αὐτὸς ἄρξεται σώζειν τὸν Ἰσραὴλ ἐκ χειρὸς ἀλλοφύλων. Ἔτι δὲ πρὸς τούτοις, ἵνα τὰ τῶν ἄλλων παραθέω, καὶ Σαμουὴλ τοῦ τὰ ἔμπροσθεν βλέποντος, ὃν ἔτεκεν ἡ πολυύμνητος Ἄννα τῷ ἀνδρὶ αὐτῆς Ἐλκανᾷ, ἀναθεμένη ἐκ βρέφους

missionem, haud Isaacum Dei servum vocatum, sed Iohannem qui verus Domini extitit amicus. O sterilem uterum, qui talem gestavit filium! O infructuosum agrum, qui tale tantumque spicum germinavit! Quamobrem non est cuuctandum verba illa vocalissimi Isaiae novo quodam modo de ipsa dicere: laetare sterilis quae non paris; erumpe et clama quae non parturis, quoniam ex deserta matrice tua lilium effloruit sanctitatis, rosa spiritalis suavitatis, pratum utilis continentiae, fax interdiu quoque conspicua Christi adventûs, Iohannes a Deo electus miles caelestis regis, optimus ecclesiae Christi paranymphus, testis numquam tacitus eius, quae vere est, veritatis, Iohannes poenitentiae canorus praeco, cum corpore angelus Domini, index agni qui tollit peccatum mundi. Neque possim eius complecti dignitatem, quantumvis nomina appellationum multiplicem; permultos enim titulos dignitatesque habet, maius prae omnibus Domini unctis officium sortitus.

3. Sane in honore habetur Isaaci quoque progenitoris nativitas, quem cum concepisset Sara filium et in senectute peperisset, dixit: quis nunciabit Abrahamo quod Sara filiolum lactet? Quocirca magnum quoque constat patrem fecisse convivium die ablactationis eius. Honoratur item natalis Sampsonis, quem Manue filium suscepit secundum promissionem, de matre sterili similiter ortum; qui, ut ait scriptura, bibiturus non erat vinum neque sviceram, nec immundum quicquam manducaturus; idemque initium facturus salvandi Israhelis de alienigenarum manu. Praeter hos, ut alios omittam, Samuhelis, qui res in antecessum videbat, honoratur natalis; quem

τῷ θεῷ. Ἀλλ' οὔπως τῇ Ἰωάννου τετυχήκασι μεγαλειότητος, ἀγαπητοί· διότι
οἱ μὲν πρὸ νόμου τοῦ γραπτοῦ, οἱ δὲ μετὰ νόμον· Ἰωάννης δὲ ὁ υἱὸς Ζαχα-
ρίου τοῦ ἱερέως καὶ Ἐλισάβετ τῆς θαυμασίας, προεισόδιον ἄνθος τῆς Χριστοῦ
παρουσίας, ἀνέθαλλε μέσον νόμου καὶ χάριτος ἀναφανείς· προηύγασε γὰρ ὁ
νοητὸς ἑωσφόρος, σημαίνων τὴν ἀνατολὴν τοῦ ἡλίου τῆς δικαιοσύνης· προέδρα-
μεν ὁ στρατιώτης δηλῶν τὴν τοῦ παμβασιλέως ἐπιδημίαν· ἦλθεν ὁ νυμφαγωγὸς
μηνύων τὴν ἐπιστασίαν τοῦ νυμφίου· καὶ οἱ μὲν μετά τινας καιροὺς τῆς ἀπο-
κυήσεως, ἢ προεφήτευσαν, ἢ ἐτερατούργησαν· ὁ δὲ ἔτι ἐγκυοφορούμενος, πνεύ-
ματος ἁγίου ἐμπέπλησται, καὶ θαυματουργὸς ἀναδέδεικται.

δ'. Τοιγαροῦν ἔοικέ μοι τοιοῦτόν τι, ἵν' ὡς ἐν εἰκόνι παραστήσω τὸ μεγαλο-
πρεπὲς τοῦ προδρόμου· ὥσπέρ τις οὖν βασιλεὺς ἐκ τῶν ἀνακτόρων βασιλικῶς
προερχόμενος, ἔχει μὲν πρῶτα ἡγουμένους ῥαβδούχους τινὰς καὶ σκηπτροφό-
ρους, ἔπειτα ὑπάτους, ὑπάρχους τὲ καὶ ταξιάρχους, ἔσχατον δέ τινα ἀξιω-
ματικώτερον, μεθ' ὃν εὐθὺς ὁ βασιλεὺς ἀμέσως ἐπιφαίνεται χρυσῷ καὶ λίθοις
διαυγέσι καταλαμπόμενος, οὕτω μοι νόει καὶ ἐπὶ τοῦ ἀληθινοῦ καὶ μόνου τῶν
ὅλων βασιλέως Χριστοῦ τοῦ θεοῦ ἡμῶν· μέλλοντος γὰρ αὐτοῦ διὰ σαρκὸς εἰσιέ-
ναι ἐν τῇ οἰκουμένῃ, προηγήσαντο μὲν πατριάρχαι, οἷον Ἀβραάμ, Ἰσαάκ, Ἰα-
κώβ· ἔπειτα Μωϋσῆς ὁ θεοφάντωρ, Ἀαρών τε καὶ Σαμουήλ, καὶ πᾶς ὁ τῶν
προφητῶν ὅμιλος· ὕστατος δέ πως πεφανέρωται Ἰωάννης· καὶ εὐθὺς ὁ δεσπότης
* Ioh. I. 15. Χριστὸς περὶ οὗ φησίν *· ὁ ὀπίσω μου ἐρχόμενος, ἔμπροσθέν μου γέγονεν, ὅτι
πρῶτός μου ἦν· καὶ ὁ ἔσχατος τῇ τάξει μείζων τῇ ἀξίᾳ, κατὰ τὸ ἀνάλογον
ἀποδέδεικται· οὕτω τοίνυν καὶ προφητῶν καὶ ἀποστόλων καὶ τῶν ἄλλων ἁπάν-

peperit celeberrima Anna viro suo Helcanae, et ab infantia Deo dicavit. Sed isti non adsecuti sunt Iohannis excellentiam, o dilecti: nam partim ante legem scriptam fuerunt, partim post legem. Iohannes autem Zachariae sacerdotis et mirificae Elisabetae filius, pullulavit flos praecedens Christi adventum, medius inter legem et gratiam apparens. Praeluxit enim intellectualis lucifer, ortum solis iustitiae significans: praecessit miles regis universalis adventum denuncians: venit paranymphus sponsum adesse portendens. Et alii quidem aliquanto post nativitatem tempore, vel prophetaverunt, vel miracula ediderunt; hic autem adhuc gestatus in utero, Spiritu sancto repletus erat, et prodigiorum auctor apparuit.

4. Quamobrem venit mihi in mentem, ut imagine quadam magnificentiam praecursoris repraesentem. Sicut enim rex ex palatio regaliter procedens, habet primo praecedentes lictores et sceptriferos, deinde consules, praefectos et ordinum ductores, postremo aliquem maiore dignitate praeditum; post quem statim rex, nemine interiecto apparet, auro et claris lapidibus fulgens; ita mecum cogita de vero unicoque omnium rege Christo Deo nostro. Huic enim per carnem in mundum ingressuro, praecesserunt patriarchae, Abrahamus videlicet, Isaacus, Iacobus: deinde Moyses Dei interpres, Aaron atque Samuhel, et universa prophetarum turba. Postremus apparuit Iohannes, moxque statim Christus dominus; de quo ille dixit: qui post me venturus est, ante me factus est, quia prior me erat. Et qui ultimus ordine est, dignitate maior pro proportione extitit. Sic ergo et prophetarum et apostolorum et

των πρώτιστος κατὰ τὸν ἀληθῆ λόγον ὁ μέγας πρόδρομος, τῶν μὲν ὡς ἑφεπόμενος, τῶν δὲ ὡς προηγούμενος· ἀλλὰ γὰρ τὴν εὐαγγελικὴν ἱστορίαν ἀναπτύξαντες, ἀκουσώμεθα τίνα τὰ τοῦ Γαβριὴλ πρὸς τὸν Ζαχαρίαν ἀπαγγελλόμενα.

ε΄. "Ὤφθη αὐτῷ, φησιν, ἄγγελος κυρίου, ἑστὼς ἐκ δεξιῶν τοῦ θυμιάτος· καὶ ἐταράχθη Ζαχαρίας ἰδὼν, καὶ φόβος ἐπέπεσεν ἐπ' αὐτόν· ὡς φοβερά τίς καὶ ἡ ἀγγελικὴ ὀπτασία, καὶ ἐν φοβερῷ τόπῳ καταφανεῖσα· "ὡς φοβερὸς γάρ φησιν ὁ τόπος οὗτος· οὐκ ἔστι τοῦτο, ἀλλ' ἢ οἶκος θεοῦ*·„ καὶ οὐ θαυμαστὸν εἰ δίκαιος ὢν ὁ ἱερεὺς ἐταράχθη, καὶ φόβος ἐπέπεσεν ἐπ' αὐτὸν, ὅπου καὶ Δανιὴλ * ὁ τῶν ἐπιθυμιῶν ἀνὴρ, ἰδὼν ἐθαμβήθη, ἐπὶ πρόσωπόν τε πεπτωκὼς καὶ ἀχανὴς γεγονὼς, τῇ τῆς ἀγγελικῆς ὑπεροχῆς ἀσυγκρίτῳ λαμπρότητι. Ὤφθη αὐτῷ, φησιν, ἄγγελος κυρίου· τί φασιν ἡμῖν πρὸς ταῦτα, οἱ μὴ εἰκονίζοντες ἡμίχριστοι 1); εἰ ὦπται ἄγγελος ἀνθρώπῳ, πάντως καὶ εἰκόνισται οὐδαμῶς ἄλλως ἢ ὡς ὦπται· ὦπται δὲ ἐν τοιᾷδε μορφῇ, καθ' ἃ καὶ Μωϋσῇ πρότερον ἐν τῷ ὄρει Σινᾷ τὰ περὶ τὸ ἱλαστήριον χερουβὶμ ἐν τύπῳ δεικνύμενα· καὶ εἰ τὸ ἀσώματον καὶ ἀσχημάτιστον κατὰ τὸν δεδειγμένον τύπον περιγράφεται, πῶς τὸ ἐνσώματον καὶ σχηματιζόμενον ὑποπίπτον χροιᾷ τε καὶ ἀφῇ, καὶ ταῖς τρισὶ διαστάσεσιν, οἷον τὸ τοῦ σωτῆρος εἶδος, οὐκ εἰκονίσομεν πρὸς ἐναργῆ τῆς ἀφαντασιάστου αὐτοῦ σαρκώσεως ἀπόδειξιν; καὶ μὴ συμπεριγράφειν ἡμᾶς ἐν τούτῳ ἡγήσωνται οἱ ἄφρονες τὴν θεότητα, ἧς οὐκ ἔκφρασις, οὐ κατάληψις, οὐ θέσις, οὐ σχῆμα, οὐ τόπος, οὐ ποσότης, οὐ πηλικότης, οὐκ ἄλλό τι τῶν περι-

* Gen. XXVIII. 17.

* Dan. X. 8.

aliorum omnium praecipuus fuit, iuxta verax Verbum magnus praecursor; illorum quidem ut subsequens, horum ut praecessor. Sed agesis evangelicam aperientes historiam, audiamus quaenam Zachariae nunciata sint.

5. «Apparuit ei, inquit, angelus Domini, stans a dextris altaris incensi. Et conturbatus est Zacharias videns, et timor irruit super ipsum.» Nempe quia terribilis est angelica visio, et terribili in loco ostensa. «Quam terribilis est, inquit, locus iste! non est heic aliud nisi domus Dei.» Neque est mirandum, si quum iustus sacerdos esset, turbatus est timorque in eum irruit; siquidem et Danihel desideriorum vir, videns obstupuit, et in faciem cadens ore hiante fuit, propter angelicae eminentiae splendorem incomparabilem. «Apparuit ei, inquit, angelus Domini.» Quid ad haec nobis dicunt hi semichristiani, qui angelorum imagines fieri nolunt? Si angelus ab homine visus fuit, ergo omnino figuram induerat, haud aliter quam cernebatur. Visus est autem tali figura, quali antea Moysi in monte Sina circa propitiatorium, cherubim in typo ostensi fuerunt. Quod si incorporeum et non figuratum iuxta ostensum typum delineatur, quid ni corporeum et figuratum, colori, tactui, tribusque dimensionibus obnoxium, qualis fuit Servatoris species, non figurabimus, ad evidentem non phantasticae incarnationis eius demonstrationem? Neque sic a nobis circumscribi putent hi stulti deitatem, quae neque verbis exprimi potest, neque comprehendi, cuius nulla est positura, nulla figura, nullus locus, nulla quantitas, nulla qualitas, nec aliquid aliud ex iis, quae sunt intra fines cir-

1) Invehitur in iconomachos, contra quos extat etiam peculiare Studitae nostri opus.

γραφῆς ἔνδον διὰ τὸ ἄπειρον καὶ ἀπερίληπτον· ἐπεὶ καὶ ἐνταῦθα τὸν ἁπλῶς ἄνθρωπον εἰκονίζοντες, οὐ τὸ τῆς ψυχῆς ἄϋλον καὶ ἀνείδεον συνεικονίζομεν πάντως, οὐ γὰρ ἐνδέχεται, ἀλλὰ καταλλήλως τὰ οἰκεῖα ἑκατέρως ἀπονέμομεν· τῷ ἀπεριγράφῳ τὸ ἀπερίγραφον, καὶ τῷ περιγραπτῷ τὸ ἀπερίγραπτον, ὡς ὁ τῆς ἀληθείας λόγος παρίστησιν· ἐπανιτέον δὲ αὖθις εἰς τὸ προκείμενον.

ϛ΄. "Εἶπε δὲ πρὸς αὐτὸν ὁ ἄγγελος· μὴ φοβοῦ Ζαχαρία, διότι εἰσηκούσθη ἡ „ δέησίς σου.„ Εὐθὺς κατέστειλε τὸν φόβον τῇ πεύσει, οἷα ἡ ἀγγελικὴ ὀπτασία μετὰ τὸ φοβῆσαι, τὸ δειλὸν ἀφαιρουμένη· καὶ ἐναντίως περὶ τὴν δαιμονικὴν ἔφοδον· "μὴ φοβοῦ φησὶ Ζαχαρία, διότι εἰσηκούσθη ἡ δέησίς σου· καὶ ἡ γυνή σου „ Ἐλισάβετ γεννήσει σοι υἱόν.„ Ὢ τῆς ἐπιθυμουμένης θεοπαρόχου ἐπιτάξεως· ὢ τῆς πολυεύκτου ἀγγελοκομίστου ὑποσχέσεως· ἐπέτυχεν οὗ ἐπεπόθει· ἤνυσεν ὃ ἠντιβόλει· εὗρεν ὃ ἐπεζήτει· τὸν τῆς ἀγονίας καινισμὸν, τὸν τῆς εὐπαιδίας * πορισμὸν, οὐκ ἀκολουθίᾳ φύσεως, ἀλλ᾽ ἐπιτυχίᾳ ἐντεύξεως· οὐδὲ γὰρ κατάρας ἦν ἐπιτίμιον ἡ στείρωσις, ἄπαγε, ἀλλὰ μυστηρίου μεγάλου παρασημείωσις· τοῦ γὰρ Ζαχαρίου ἐπικειμένου ταῖς πυκναῖς πρὸς θεὸν ἱκετηρίαις διαλυθῆναι τὴν στείρωσιν, τάχα ἐπακηκοέναι αὐτὸν δοκῶ· οὔπω συντετέλεσται ὁ καιρός· οὔπω συνετμήθησαν αἱ ἡμέραι τῆς ἐπιφανείας· τότε οὖν ἔλπισον τὴν τεκνογονίαν, Ζαχαρία, ὁπηνίκα ἔλθῃ ἡ προσδοκία τῶν ἐθνῶν· τότε ἐκδέχου τὴν ἀποστείρωσιν, ὁπόταν ἥξει ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς· ἐπειδὴ δὲ ἧκεν ὁ καιρὸς, λάβε τὸ καταθύμιον διὰ τῆς τοῦ Γαβριὴλ προῤῥήσεως· ἀνακαινίσθητι ὡς ἀετὸς τῇ νεότητι· γνώρισον, φησὶ, τὴν ὁμόζυγον· "εἰσηκούσθη γὰρ ἡ δέησίς σου· καὶ ἡ

* cod. ἀπαιδίας.

cumscriptionis, propterea quod sit infinita et incomprehensibilis. Nam nunc etiam si simplicis hominis imaginem effingimus, haud certe animam immaterialem et figurae incapacem figuramus, quod fieri prorsus nequit; sed utrique convenienter quae sunt propria tribuimus; nempe incircumscripto incircumscriptionem, circumscripto circumscriptionem, prout veritatis ratio nobis suadet. Sed ad propositum denuo revertendum est.

6. «Dixit autem ei angelus: ne timeas, Zacharia, quoniam exaudita est oratio tua.» Statim timorem eo nuncio compressit, quia visio angelica post pavorem, causam timendi solet eripere; quod in daemoniacis occursibus contra fit. «Ne timeas, Zacha- » ria, quoniam exaudita est oratio tua, et uxor tua Elisabet filium tibi pariet.» O desideratum quod a Deo fit mandatum! o valde optabilem quae ab angelo affertur promissionem! Adsecutus est quod optaverat: optinuit, quod rogabat: invenit quod quaerebat; sterilitatis mutationem, fecunditatis donum; non naturae sequela, sed precum impetratione. Non enim maledictionis poena erat sterilitas, absit, sed magni mysterii significatio. Etenim Zachariam frequentibus ad Deum precibus instantem, ut solveretur sterilitas, haec fortasse inaudisse sibi dicta puto: nondum completum est tempus: nondum finiti sunt dies adventus: tunc demum prolis genituram spera, o Zacharia, quando venerit expectatio gentium: tunc expecta sterilitatis cessationem, cum advenerit spes omnium finium terrae. Nunc quia tempus adest, sume rem optatam per Gabrihelis praedictionem: renovetur ut aquilae iuventus tua: cognosce, inquit, uxorem tuam. «Etenim exaudita est oratio tua, et uxor tua Elisabet tibi

„ Γυνή σου Ἐλισάβετ γεννήσει σοι υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην·„ ἐγνώρισε καὶ τοὔνομα ὃ κληθήσεται κἀξ αὐτῆς τῆς ἐτυμολογίας ἰὸν ἄνωθεν.

ζ'. " Εἶπε δὲ Ζαχαρίας πρὸς τὸν ἄγγελον.„ Λοιπὸν γὰρ αὐτῷ ὡς ὁμοδούλῳ παῤῥησίᾳ διαλέγεται· " κατὰ τί γνώσομαι τοῦτο; ἐγὼ γάρ εἰμι πρεσβύτης, „ καὶ ἡ γυνή μου προβεβηκυῖα ἐν ταῖς ἡμέραις αὐτῆς· „ ἡ μὲν πρόχειρος καὶ πατρικὴ ἀπόδειξις, ἀπιστίας ἔγκλημα καταγράφει τῷ ἱερεῖ· ὁ δὲ παρὼν λόγος οὐχ ὑποπίπτων, ἀλλ' ἐν δοκιμασίᾳ προερχόμενος, ταυτὸν πεπονθέναι φησὶ τῷ μεγάλῳ Θωμᾷ καὶ τὸν Ζαχαρίαν· οὐ τοῦτο γὰρ ἦν αὐτὸν εἰκὸς ἠγνοηκέναι προφήτην τε ὄντα καὶ τὰ θεῖα πεπαιδευμένον, ὅτι περ δύναιτ' ἂν θεὸς καὶ φύσιν καινουργῆσαι, καὶ γῆρας νεοποιῆσαι, καὶ πόρον ἐν ἀμηχάνοις διεκφᾶναι, ὡς ἐπὶ Ἀβραὰμ καὶ Σάῤῥας, ὡς ἐπὶ τῆς Σουμανίτιδος, καὶ τῶν ἄλλων ποικίλων καὶ παντοδαπῶν αὐτοῦ τεραστίων· ἀλλ' ἐπειδὴ αἱ τῶν μεγάλων καὶ παραδόξων προσδοκιῶν ἐπαγγελίαι ἐξάπινα ἀκουόμεναι ταράττειν πῶς εἰώθασι τὴν ψυχὴν, οὐ πρὸς ἀπιστίαν ἀναβαλλόμενος οἶμαι, ἀλλὰ πρὸς τελείωσιν ἐπισπευδόμενος, εὐθὺς οἷα ὑφ' ἡδονῆς ἁλοὺς ἀναφωνεῖ καὶ φράζει, κατὰ τί γνώσομαι τοῦτο; μὴ δὴ παραλογίσῃ, μηδαμῶς διαψεύσῃ, δίδου μοι τὸ ἐπίσημον, πάρεχέ μοι τὸ ἐνέχειρον· ὡς πάλαι ὁ θεὸς τῷ Ἀβραὰμ πρὸς τὸ γενέσθαι αὐτὸν πατέρα πολλῶν ἐθνῶν, καὶ ἐκ τῆς ὀσφύος αὐτοῦ ἐξελεύσεσθαι βασιλεῖς, τὸ τῆς περιτομῆς σημεῖον· καὶ πρὸ τούτου, ὡς τῷ Νῶε πρὸς τὸ μὴ ἐπάξαι κατακλυσμὸν ἐπὶ τῆς γῆς, τὸ ἐν τῇ νεφέλῃ τόξον· πρὸς τούτοις καὶ Μωϋσῇ τὴν ὀφιωθεῖσαν καὶ θᾶττον ἀποκατασταθεῖσαν ῥάβδον εἰς τὸ πιστεῦσαι τοῖς Αἰγυπτίοις ὅτι ὦπται αὐτῷ ὁ ὤν.

» filium pariet, vocabisque nomen eius Iohannem. Significavit etiam nomen, quo vocabitur, ex vi ipsius etymologiae procedere ab alto.

7. « Dixit autem Zacharias angelo.» Exin cum angelo tamquam conservo loquitur: « quomodo hoc cognoscam? ego enim senex sum, et uxor mea processit in diebus » suis. » Communis quidem et patrum explanatio, incredulitatis reum dicit sacerdotem. At noster sermo his non acquiescens, sed experimenti causa ulterius progrediens, idem passum Zachariam ait, quod magnum Thomam. Haud enim verisimile est, prophetam rei divinae gnarum ignorasse, posse Deum et naturam innovare, et senectuti vires instaurare, et bonum exitum desperatis rebus ostendere, ut in Abrahamo Saraque fecit, et in Sumanitide, et in aliis cuiuslibet generis prodigiorum casibus. Sed quia magnarum, et quae sunt praeter opinionem, expectationum promissiones, si repente audiantur conturbare fere animum solent; Zacharias non incredulitate haesitans, ut reor, sed ad rei perfectionem festinans, ilico tamquam gaudio correptus exclamat aitque; quomodo hoc cognoscam? Ne me decipias, ne me fallas, da mihi indicium, praebe mihi arrham; ut olim Deus Abrahamo, ut persuaderet fore illum multarum gentium patrem, et ex eius lumbis reges orituros, tradidit circumcisionis signum: et ante hunc Noacho ut fidem faceret, numquam postea adductum iri super terram diluvium, arcum ostendit in nube: denique Moysi virgam in anguem mutatam, et mox suo statui restitutam, ut Aegyptii crederent, ei apparuisse illum qui EST.

ή. " Καὶ ἀποκριθείς, φησιν, ὁ ἄγγελος εἶπεν αὐτῷ· ἰδοὺ ἔσῃ σιωπῶν καὶ „ μὴ δυνάμενος λαλῆσαι, ἀνθ᾽ ὧν ἠπίστευσας τοῖς λόγοις μου (προσθετέον „ κατὰ τὸ σιωπώμενον ἁπλῶς τε καὶ ἀνεξετάστως), οἵτινες πληρωθήσονται εἰς „ τὸν καιρὸν αὐτῶν· „ ἔλαβε τοίνυν τὸ σημεῖον ὁ Ζαχαρίας κατάλληλον τῷ πράγματι, σιωπὴν φθογγῆς λυομένης, πρὸς φθογγὴν ζῶσαν καὶ ἐνυπόστατον τεχθησομένην αὐτῷ· καὶ συμπτύξας τὰ χείλη ὑμνεῖ φωναῖς ἀνακούστοις τὸν τοῦ τόκου δοτῆρα· " ἐξελθὼν γάρ, φησιν, οὐκ ἠδύνατο λαλῆσαι· καὶ ἐπέγνω- „ σαν ὅτι ὀπτασίαν ἑώρακεν ἐν τῷ ναῷ· καὶ αὐτὸς ἦν διανεύων, καὶ ἔμενε κω- „ φός·„ τὸ μὲν πρὸς τὸ μὴ ἐρωτᾶσθαι, ὡς οὐ καθεκτὸν τὰ τῆς ὀπτασίας ἀκουτίζεσθαι· τὰ δὲ ὡς οἷον ἐκβεβηκὼς τῶν αἰσθήσεων, καὶ εἰς ἑαυτὸν ὅλος τὸ ὁραθὲν συστρεφόμενος, κωφεύειν τοῖς ἀεροκτύποις λαλήμασιν· οὐδὲν δὲ οἷον ὡς προφητοπάτορα καὶ προφητείας ἔργον κἀνταῦθα ἐπισημαίνειν· καὶ τοῦτό ἐστιν ἴσως ἡ τῆς νομικῆς λατρείας παῦλα, πρὸς τὴν ἐν τῇ χάριτι διὰ τῆς γεννήσεως τοῦ Ἰωάννου ἀνάῤῥησιν· τοίνυν παραδραμόντες τὰ διὰ μέσου, ὡς οὔτε τῇ ἡμέρᾳ ἀνήκοντα, οὐδ᾽ αὐτῇ δυνάμει ἡμῶν ἐφικτά, αὖθις ἐπὶ τὸ κατεπεῖγον ἐλευσώμεθα.

θ'. "Καὶ ἐγένετο, φησιν, ὡς ἤκουσεν ἡ Ἐλισάβετ τὸν ἀσπασμὸν τῆς Μαρίας, „ ἐσκίρτησε τὸ βρέφος ἐν ἀγαλλιάσει ἐν τῇ κοιλίᾳ αὐτῆς· „ ὦ Ἰωάννη τὸ μακάριον βρέφος, τὸ ἀκοίμητον ἔμβρυον· ὁ ἐγγάστριος, πῶς ἐγκόσμιος; ὁ ἀτέλεστος, πῶς πληρέστατος; ὁ ἑξαμηνιαῖος, πῶς πολυχρόνιος; ὁ ἀδιανόητος, πῶς ἐμφρονέστατος; ὁ ἀδιάλεκτος, πῶς εὔλαλος; φράσον ἡμῖν φράσον, ἐν ζοφερῷ χωρίῳ τῆς μητρώας νηδύος συνεχόμενος, τὴν ὁρατικὴν ἕξιν οὔπω ἐνερ-

8. « Et respondens angelus dixit ei: ecce eris tacens neque loqui valens, propte- » rea quod verbis meis non credidisti (addendum est, quod subintelligitur, nempe » simpliciter et sine inquisitione), quae tempore suo complebuntur. » Recepit ergo Zacharias signum ei rei consentaneum, nempe vocis caducae silentium, pro voce viva ac substantiali quae mox ei parienda erat. Interim complicatis labiis, laudat vocibus auditui imperviis prolis datorem: « egressus enim, inquit, loqui non poterat: et cog- » noverunt, quod visionem vidisset in templo: et ipse erat innuens, mansitque » mutus. » Partim quidem ne interrogaretur, quia ferendum non erat ut visio passim audiretur: partim vero, ut qui quodammodo excesserat ex sensibus, totusque in se ipso visionem ruminabatur, mutus esset ad verberantes aërem sermones. Nec inverisimile est prophetae patrem, prophetiae argumentum heic significare, id est fortasse legalis cultus cessationem, prae divulgatione cultus secundum gratiam in Iohannis nativitate. Sed iam, intermediis omissis, quae ad praesentem diem non pertinent, quaeque vires nostrae persequi nequeunt, rursus ad id quod instat veniamus.

9. « Et factum est, inquit, quum audisset Elisabet salutationem Mariae, exul- » tavit infans gaudio in utero eius. » O Iohannes, felix infans, vigil embryon! Qui es in utero, quomodo in mundo? qui nondum es perfectus, quumodo es absolutissimus? qui semestris, quomodo longaevus? qui nondum cogitare potes, quomodo es prudentissimus? qui loqui non potes, quomodo expedite disseris? dic nobis dic age; tenebroso materni uteri loco adhuc conclusus, visualem vim nondum exer-

γῶν, τὸν ἀκουστικὸν ψόφον οὔπω εἰσδεχόμενος, τὸν φωνητικὸν φθόγγον οὔπω ἐκβοῶν, τὴν περιπατητικὴν κίνησιν οὔπω μετειληφὼς, τὸ γελαστικὸν ἰδίωμα οὔπω ἐπιτετηδευκώς· πῶς διορᾷς; πῶς ἐπαΐεις; πῶς θεολογεῖς; πῶς περισκιρτᾷς; ποταπῶς ἀγάλλῃ; ἀπόκριναι ἡμῖν ἀπόκριναι ὦ πανάγαστε· μέγα, φησὶν, τὸ τελούμενον μυστήριον, καὶ ἔξω ἀνθρωπίνης καταλήψεως τὸ δρᾶμα· καινοτομῶ εἰκότως τὴν φύσιν διὰ τὸν καινοτομεῖν μέλλοντα ὑπὲρ φύσιν· ἔμβρυος* ὢν ὁρῶ, ἐπειδήπερ τὸν τῆς δικαιοσύνης ἥλιον βλέπω κυοφορούμενον· ἐνωτίζομαι, ἐπειδήπερ ἐπαΐω, ὡς φωνὴ τοῦ μεγάλου λόγου τικτόμενος· ἀναβοῶ, ἐπειδήπερ τὸν μονογενῆ υἱὸν τοῦ πατρὸς κατανοῶ σαρκούμενον· σκιρτῶ, ἐπειδήπερ τὸν τοῦ παντὸς ποιητὴν αἰσθάνομαι ἀνθρωπομορφούμενον· ἀγάλλομαι, ἐπειδήπερ τὸν λυτρωτὴν τοῦ κόσμου διανοοῦμαι σωματούμενον· ἀρχὴν ὑμῖν, φησιν, σημαίνομαι τῆς τοῦ θεοῦ ἐν κόσμῳ εἰσαγωγῆς καὶ σωματικῆς προσελεύσεως· προτρέχω τῆς ἐπιδημίας, καὶ οἷον ἐξάρχω ὑμῖν τῆς ἐξομολογήσεως· λάβετε ψαλμὸν, δαυιτικῶς εἰπεῖν, καὶ τύμπανον προφητικῶς, ψαλτήριον τερπνὸν μετὰ κιθάρας· ᾄσατε αὐτῷ καὶ ψάλατε αὐτῷ· διηγήσασθε πάντα τὰ θαυμάσια αὐτοῦ.

* retro ἔμβρυον.

ι΄. Ἆρ' οὖν, Ἰωάννη, ὑπερανέστης τὰ ἐπίγεια; προέκυψας εἰς τὰ οὐράνια; ὑπεραναβέβηκας ἀγγελικὰς καὶ πρωτουργικὰς διακοσμήσεις; πῶς οὖν γε ὧνπερ τὴν φύσιν οὐκ ἐπελάβου, τούτων τὴν τάξιν καὶ ἀξίαν ἀπεκληρώσω; τὸ αὐτοῖς ἐξ αἰῶνος ἄδηλον καὶ ἀδίδακτον, εὐθὺς ὡς μετὰ θεὸν διαπορθμεύσας καὶ διαγγείλας ἡμῖν ταῦτα ἔτι μαιουόμενος; οὐκ ἀεροπόνησα, φησὶν, οὐκ ἐνεφελοδρόμησα, οὐχ ὑπερουράνισα, οὐχ ὑπερανέστηκα τῶν φλογερῶν καὶ ἀσωμάτων δυ-

cens, aure strepitum nullum hauriens, vocalem sonum nondum emittens, ambulatorii motus nondum particeps, risum hominis proprium adhuc non exserens; quomodo audis? quomodo res divinas eloqueris? quomodo exsilis? quomodo exultas? responde, o mirabilissime. Magnum est, ait, mysterium, et actus ab humana remotus comprehensione. Merito innovo naturam, propter eum qui est innovaturus res supra naturam. Embryo quum sim, attamen cerno, quia iustitiae solem in utero gestatum video. Aurium sensu polleo, quoniam audio me vocem magni Verbi nasci. Clamo quia unigenitum filium patris considero incarnatum. Exsilio, quia rerum omnium creatorem sentio hominis formam sumpsisse. Exulto, quia redemptorem mundi intelligo corporatum. Principium vobis, inquit, significo Dei in mundum ingressûs, et corporalis processûs: praecurro adventui, et quodammodo vobis praeeo confessionem. Sumite psalmum, ut cum Davide loquar, et tympanum ut cum propheta, psalterium iucundum cum cithara, cantate et psallite illi, narrate omnia mirabilia eius.

10. Num ergo, o Iohannes, supra terrena excessisti? caelestia inspexisti? ultra angelicas et primigenias creaturas ascendisti? Quomodo igitur quorum naturam non es sortitus, horum ordinem ac dignitatem recepisti? ita ut quod a saeculo ignotum erat et non traditum, statim quasi praeter Dei institutum huc attuleris, nobisque nunciaveris, quum tu adhuc obstetricio opere indigeas. Non aërem inquit verbero, non discurro nubes, non caelos transcendi, non excessi supra igneas incorporeasque

νάμεων· μὴ τοῦτο ὑπονοείσθω, ἀλλ' ὁ ἐπάνω πάντων ὢν, καὶ μένων ἐν τοῖς πατρῴοις κόλποις σὺν ἁγίῳ πνεύματι, λαθὼν ἀδιαστάτως ἅπαντας τοὺς πυρίνους λειτουργοὺς αὐτοῦ, ὡς ἐπ' ἄλλον οὐρανὸν εἰσεληλυθὼς ἐν τῇ γαστρὶ τῆς ἀειπαρθένου Μαρίας, ἐνεφάνησεν ἑαυτὸν καὶ μεμυσταγώγηκέ μοι τὰ τηλικαῦτα· μηνυτὴς οὖν εἰμὶ τοῦ βρέφους, ὅτι παιδίον γεννᾶται ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν,
* Is. IX. 6. κατὰ τὸν μέγαν Ἡσαΐαν *, ὁ πρὸ αἰώνων θεός· στειροφυὴς γόνος τυγχάνω, ὅτι παρθενικὸς ὁ τόκος προελεύσεται· ὢ τῆς ὑπερφυοῦς μεγαλουργίας· ὢ τῆς παραδόξου τερατουργίας· οἷα ἡμῖν τὸ ἄτικτον βρέφος εὐαγγελίζεται σήμερον; πηλίκα ἡμῖν ὁ Ἐλισάβετ τόκος θεολογῶν προμεμήνυκε; σκιρτάτω ὑφήλιος ἅπασα, χορευέτω ἡ ἐκκλησία προεόρτια, προεισόδια τὰ γενέσια τῶν Χριστοῦ γενεθλίων πανηγυρίζουσα, καὶ χαρᾶς πληρούσθω τὰ σύμπαντα τὸν μηνυτὴν δεξάμενα τῆς τοῦ παμβασιλέως ἐπελεύσεως.

ια'. Ἀλλ' ὦ μακάριε Ἰωάννη, ὁ τῶν μεγίστων μέγιστε προφήτης, ὁ πρωτίστος ἐν ἀποστόλοις· ὁ τῶν μαρτύρων ἐξοχώτατος μεγαλόμαρτυς, ὁ τῆς ἐρήμου θεοκόσμητος πολιοῦχος, ὁ τοῦ ὡραιοτάτου νυμφίου φίλος ἠγαπημένος, ὁ τοῦ ἀφράστου φωτὸς λύχνος ἡτοιμασμένος, ὁ τοῦ ἀμώμου ἀμνοῦ κήρυξ πεπιστευμένος ὁ τῆς πατρικῆς φωνῆς ἄριστος ἐπακροάμων, ὁ βαπτιστὴς Χριστοῦ κεκηρυγμένος, ὁ τῆς Ἡρώδου ἀσελγείας ἔλεγχος πεπαῤῥησιασμένος, ὁ τοῖς ἐν ᾅδου τὴν ζωὴν προμηνύσας, ἡ θεοσήμαντος σάλπιγξ τῆς οἰκουμένης, ἤχησον καὶ νῦν ἡμῖν οὐρανόθεν, ταῖς ἱερωτάταις πρεσβείαις, καὶ εὐμενὴς ἔσο τῷ ἐπᾴδοντί σοι λαῷ τῇ τε ἐλαχίστῃ σου ποίμνῃ, σὺν τῷ διαφέροντί μοι πατρί 1) συγγνωμονῶν τε αὖ τῆς τολμηρᾶς μου τοῦ πτωχοῦ ἐγχειρήσεως, οὐχ ὡς δωροφορίαν, ἀλλ' ὡς

virtutes. Nemo id suspicetur: nam qui supra res omnes est, manetque in paterno sinu cum sancto spiritu, clam prorsus omnibus igneis ministris suis, quasi in aliud caelum uterum ingressus semper virginis Mariae, manifestavit se mihi, atque haec talia tantaque edocuit. Ergo infantis index sum, nempe quod puer nascitur nobis, et filius datus est nobis, prout magnus Isaias ait, Deus ante saecula. Natus de sterili sum, quia mox virgineus quoque partus prodibit. O opus magnificum et supernaturale! o inexpectatum miraculum! Qualia nobis infans nondum natus hodie annuntiat! quantas nobis partus Elisabetae res divinas praedicit! Exultet terra universa, pervigilio hoc ecclesia quasi choreis plaudat, festivitatem scilicet Christi natalibus praeviam sollemni concione celebrans: omnia prorsus gaudio diffluant, dum indicem excipiunt adventûs regis universalis.

11. Sed o beate Iohannes, qui maximorum maximus propheta es, primus inter apostolos, martyrum summus magnusque martyr, deserti divinitus exornatus patronus, formosissimi sponsi dilectus amicus, ineffabilis lucis instructa lucerna, immaculati agni praeco fidelis, paternae vocis egregius auscultator, Christi baptizator electus, herodianae libidinis cum fiducia reprehensor, vitae nuncius his qui in inferis erant, tuba mundo Deum significans, nunc quoque nobis caelitus resones per sacratissimas intercessiones: propitius esto laudanti te populo, et pusillo gregi tuo, cum excellente patre meo: mei quoque pauperculi audaci ausui indulgens: nec ve-

1) De hoc monasterii patre, vel episcopo, etiam initio orationis.

παρὰ δούλου ἀχρείου ὠφειλὴν σοι σὺν φόρῳ τὲ καὶ πόθῳ προσαγομένην· ᾧ ἡ δόξα καὶ τιμὴ καὶ ἡ προσκύνησις, σὺν τῷ παντοκράτορι πατρὶ καὶ παναγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τους αἰῶνας τῶν αἰώνων· ἀμήν.

ΛΟΓΟΣ Ε'

ΕΓΚΩΜΙΟΝ ΕΙΣ ΤΗΝ ΑΠΟΤΟΜΗΝ ΤΗΣ ΙΕΡΑΣ ΚΕΦΑΛΗΣ ΤΟΥ ΜΕΓΑΛΟΥ ΒΑΠΤΙΣΤΟΥ ΧΡΙΣΤΟΥ ΚΑΙ ΠΡΟΔΡΟΜΟΥ.

α'. Φαεινὴ καὶ θεοχαρὴς ἡ συναγείρουσα ἡμᾶς πρὸς ἑορτασμὸν πνευματικὸν πανήγυρις σήμερον, ὦ φιλόχριστοι· φαεινὴ δὲ καὶ ἐξ αὐτῆς τῆς ἐπωνυμίας τοῦ μνημονευομένου, ὅτι λύχνος φωτὸς ἐστι τε καὶ λέγεται, εἰκότως προσαγορευομένη· οὐ δή που τὸ ὑλικαῖς μαρμαρυγαῖς περιαυγάζειν τὰς σωματικὰς ἡμῶν ὄψεις· εἴη γὰρ τούτων οὐκ ἀειφανὴς ἡ λάμψις, τῷ ἀντιφράσσοντι σκιάσματι ἑκάστοτε διακοπτομένη· ἀλλὰ τὸ ταῖς ἀκτῖσι τῆς θείας χάριτος ἐναστράπτειν τὰς καρδίας τῶν συνεληλυθότων ἀεὶ, καὶ πρὸς τὴν τοῦ δικαίου ἄθλησιν ἀναπέμπειν τὰς διανοητικὰς ἡμῶν θεωρίας, ἵν' ἐκεῖνο τὸ μακάριον πάθος νοερῶς πως ὀψόμενοι, ὑπόθεσιν εὐφροσύνης ἑαυτοῖς ὑποστησόμεθα· ἄλλου μὲν γὰρ αἷμα ῥυὲν ὑπὸ γῆν ξίφει, οὐκ ἂν τέρψειεν ἀνθρώπου θέαν, οὐδ' εἰς ἀκοὴν ἐλθὼν σεπτοποιεῖ τὴν μνήμην τοῦ τεθνηκότος ὁ λόγος· οὗ γὰρ ἡ ῥοὴ ζωῆς στέρησιν φέρει, πῶς ἂν τὸν φύσει φιλόζωον ἕλξειεν τοῦτο; τουναντίον δὲ μᾶλλον ἐν στυγνότητι προσώπου εἰς οἶκτον ἀγάγοι καὶ ἐλεεινολογίαν τοῦ πάθους, εἰ μή τι γε ἄρα ἔξω φρενῶν ἢ θηριώδη τὸν τρόπον εὕροι τὸν τοιοῦτον Cod. vat. 1671 f. 354.

luti oblatum munus, sed quasi debitum servi inutilis tributum tibi amanter persolutum, excipe. Cui gloria et honor atque adoratio, cum omipotente patre et sanctissimo spiritu, nunc et semper et per saecula saeculorum. Amen.

ORATIO V.

LAUDATIO IN ABSCISIONEM SACRI CAPITIS MAGNI BAPTISTAE ET PRAECURSORIS CHRISTI.

1. Splendida et Dei gaudio plena haec est celebritas, quae nos ad hoc spiritale festum hodie congregat, o philochristi. Splendida, inquam, ob ipsum memorati nomen, qui lucerna lucens et est et dicitur, et iure meritoque sic denominatur; non autem quia materialibus faculis corporeos oculos nostros illustrat. Nam illarum quidem non est perpetuus splendor, quia contraria semper abrumpitur obscuritate; sed haec (sollemnitas) divinae gratiae radiis congregatorum corda semper illuminat, atque ad iustitiae exercitium mentes nostras meditabundas impellit, ut beatam illam passionem intellectualiter quodammodo spectantes, causam hinc laetitiae nobis constituamus. Profecto alterius cuiuslibet gladio effusus in terram sanguis, nullius hominis visum exhilararet; neque ad aurem delatus mentem solet laetificare sermo morientis. Namque ubi sanguinis effusio vitae iacturam fert, quomodo id inquam hominem per se vitae amantem delectabit; et non potius cum vultus tristitia ad luctum trahet atque ad eius passionis miserationem? nisi forte aliquis existat vel mente alienatus vel ferino more imbutus, ut brutorum aliquot natura est, quae spectaculis sibi obiectis

κατὰ τὴν τῶν κτηνῶν φύσιν ἀλογισταίνοντα τοῖς ὁραθεῖσι· καθάπερ ἐπὶ τῶν ἀλεκτρυόνων οἱ τῶν ὁμοειδῶν αὐτοῖς σφαττομένων χαίρουσιν, ᾄδουσιν, ἀποπηδῶσιν, αἰσθήσει μόνον χρώμενοι, καὶ οὐ συλλογιζόμενοι, ὅτι καὶ ἐπ' αὐτοὺς ἥξει τὸ πάθος· αἷμα δὲ ἀνδρὸς δικαίου καὶ ὄψει ἐραστὸν, καὶ ὠσὶν εὐαγγελιστὸν, καὶ χείλεσι προσκυνητόν· ἡ γὰρ τούτου ἀφαίρεσις, τῆς ἀγήρω καὶ ἀμείνω ζωῆς τὴν μέθεξιν ἀποκληροῦται· καὶ οὐ μόνον δή φημι ῥανὶς αἵματος, ἀλλὰ καὶ ὀστοῦν ἁγίου καὶ λάκισμα μέλους, καὶ τριχὸς λείψανον, καὶ ὁτιοῦν ἐφ' οἷς ἐνεδιδύσκετο ἢ ἐφάπτετο, περισπούδαστόν ἐστι καὶ ἐκζητούμενον τῷ εὐσεβεῖν προελομένῳ· διὰ τοῦτο ἄλλος ἄλλό τι ὥσπέρ τινα θησαυρὸν μέρος ἢ μόριον ἢ τὸ ὅλον κατ' οἴκους ἢ ἐν ταῖς ἐκκλησίαις, πρὸς ἁγιαστικὴν ἐνέργειαν καὶ σωστικὴν ἀσφάλειαν κατέχων ἐγκαλλωπίζεται, προσερχόμενος μετ' αἰδοῦς τῇ τεθαυρισμένῃ κόνῃ, καὶ ἐφαπτόμενος φόβῳ τῶν ἀψαύστων ἀναθημάτων 1).

β'. Τοιοῦτον ἡμῖν τὸ τοῦ δικαίου Ἄβελ αἷμα, κἂν γονεῦσι τηνικαῦτα ξενοφανὲς ὠπτάνετο θρηνολόγημα· μήπω γὰρ ἑωρακότες τεθνεῶτος πάθος, πῶς ἂν ἐπὶ τῇ τοῦ υἱοῦ σφαγῇ οὐκ ἐξέστησαν, οὐκ ἐδάκρυσαν, οὐ γοερὰ ἔφασαν, ἐξάπινα τάχα προβλέψαντες κατὰ γῆς ἐῤῥιμένον, αἵματί τε πεφοινιγμένον ἐξ ἀδελφικῆς μιαιφονίας, κἀντεῦθεν τῆς ζωτικῆς ἐνεργείας ἐστερημένον; τοιοῦτον τὸ τοῦ προφήτου Ἀμὼς ἅγιον αἷμα, ὃν συχνῶς τυμπανίσας ἀνεῖλε ξίφει Ἀμασίας ὁ βασιλεύς· ἐπειδὴ γὰρ τῆς προφητείας ταῖς βολίσιν ἐπλήττετο, πλήξας τὸν δίκαιον

insaniunt: veluti galli, qui dum sui similes interficiuntur, gaudent, cantant, exsiliunt eo simpliciter visu fruentes, neque reputantes, mox eandem caedem ad ipsos perventuram. At vero iusti viri sanguis et visui delectabilis, et auribus grati instar nuncii est, et labiis honorabilis: namque huius amissio, immortalis meliorisque vitae confert adquisitionem. Neque gutta inquam tantum sanguinis, verum etiam os sanctum, et membri alicuius particula, et capillorum reliquiae, et vestimentorum quae ille gestavit aut adtigit frustum pergratum est et expetibile cuivis pietatis studioso. Propterea alius aliam, thesauri instar, partem vel membrum vel corpus totum in domibus vel ecclesiis, sanctificantis virtutis ergo, et salutaris tutelae, habere gaudet, et cum reverentia ad cinerum thesauros accedit, et impervia tactui donaria venerabundus contingit.

2. Talis nobis est iusti Abelis sanguis, quamquam hic parentum tunc noviter oculis oblatus causa luctus fuit: quum enim morientis alicuius passionem nondum aspexissent, quid ni filii patratam caedem exhorrescerent, lacrymarentur, lamentatione prosequerentur, dum improviso fortasse stratum humi filium vidissent, fraternis cruentatum ictibus, et ea propter vitae usu privatum! Talis item et prophetae Amosi sanctus sanguis, quem diu fustibus verberatum ferro extinxit rex Amasias 2); qui vaticiniorum telis a propheta appetitus, iustum clava in temporibus percussum leto tradidit. Talis pariter

1) Vides ss. reliquiarum laudari a Theodoro ut consuetam et spiritui utilem venerationem.

2) Immo vero Amasias sacerdos Bethelis accusavit Amosum apud Hieroboamum regem. Sed de vita et obitu prophetarum variae et interdum contradicentes veterum auctorum sententiae fuerunt, quas ne prolixe referam, lectores meos ad Calmeti biblicum dictionarium ablego.

ἐν ῥοπάλῳ κατὰ τοῦ κροτάφου θανάτῳ παραδίδωσιν· Τοιοῦτον τὸ τοῦ προφήτου Μιχαίου ἅγιον αἷμα, ὃν ἀνεῖλε κρημνίσας Ἰωρὰμ υἱὸς Ἀχαὰβ τὰ θεῖα παῤῥησιαζόμενον· ἤλεγχε γὰρ αὐτὸν ἐπὶ ταῖς ἀσεβείαις τῶν πατέρων αὐτοῦ, καθ᾽ ἃ γέγραπται· τοιοῦτον τὸ τοῦ προφήτου Ἡσαΐου ἅγιον αἷμα διχῆ διαιρουμένου ὑπὸ πρίστηρος παρὰ Μανασσῆ τοῦ ἐκκεκληκότος πρὸς εἰδωλολατρικὸν σέβας τὸν εὐπαροίστρωτον καὶ εὐπαρακόμιστον Ἰσραὴλ, οὐ φέροντος ἀκούειν τὰς τῆς προφητείας ἐκφάνσεις· τοιοῦτον τὸ τοῦ γενναίου Ἐλεάζαρ σὺν ἑπτὰ παισὶν καὶ μητρὶ θεόφρονι ἅγιον αἷμα, ὃ ἐξέχεεν Ἀντίοχος ἐν ποικίλοις βασάνοις, μὴ φέρων τὴν ὑπὲρ ἐντολῆς θεοῦ ἔνστασιν τῶν ἀηττήτων, οὓς πίστει θανάτου σφραγὶς ἐτελείωσε· τοιοῦτον τὸ τοῦ προφήτου Ζαχαρίου ἅγιον αἷμα ὃ πρὸ τοῦ θυσιαστηρίου ἡ πάροινος τῶν Ἰουδαίων ὠμότης μαχαίρᾳ ἐξέχεε, οὐκ ἐνεγκοῦσα τὰς τῆς προφητείας ἐμφάσεις ἀκουτίζεσθαι· καὶ τί δεῖ μοι πλεῖστα ἀναλέγειν, παρ᾽ ᾧ τὸ τῶν ἀποστόλων προφητῶν τε καὶ μαρτύρων συλλήβδην εἰπεῖν ἅγιον αἷμα, ὃ πολλοὶ παλαμναῖοι πολυτρόπως ἐξέχεαν, ὡς ὕδωρ πολὺ κυκλοῦν τὴν ὑπ᾽ οὐρανὸν, καὶ τῆς ἀσεβείας ὑπάρχον σβεστήριον;

γ΄. Τοιοῦτον τὸ τοῦ βαπτιστοῦ Χριστοῦ καὶ προδρόμου ἅγιον αἷμα, περὶ οὗ ἡμῖν ὁ προκείμενος λόγος· ὃ κεκενώκεν ὡς μῦρον πολυτελὲς ἐξ ἱεροῦ τραχήλου εὐωδιάζον τὴν οἰκουμένην· αἷμα, ὃ συνήθροισεν οὐ γαστρὸς ἡδονὴ, οὐκ οἴνου μετάληψις, οὐ κρεῶν ἐδωδὴ, οὐκ ἄλλου τινὸς τῶν λιπαίνειν καὶ ἡδύνειν εἰωθότων τὰς ὀρέξεις, ἀλλ᾽ ἐξ αὐτῶν τῶν σπαργάνων μέχρι τέλους ἡ τῆς ἐγκρατείας ἐμπεποίηκε χάρις· ἦλθε γάρ, φησιν, ὁ Ἰωάννης μήτε ἐσθίων μήτε πίνων*· αἷμα τὸ προκενωθὲν τοῦ δεσποτικοῦ καὶ ἀθανάτου ποτηρίου· ἐχρῆν γὰρ τὸν τοῦ φωτὸς * Matth. XI. 18

prophetae Michaeae sanctus sanguis, quem praecipitio interemit Ioramus Achaabi filius, divina confidenter nunciantem: etenim ab hoc, ut ait scriptura, de parentum sceleribus arguebatur. Talis quoque prophetae Isaiae sanctus sanguis bifariam serra dissecti a Manasse, qui ad idololatricum cultum concitaverat insanientem facile volubilemque Israhelem, quique propheticas revelationes audire non sustinebat. Talis etiam fortis Eleazari cum septem adolescentibus et divini animi matre, sanctus quem Antiochus diversis cruciatibus effudit sanguis, dum constantiam invictorum hominum pro Dei lege moleste fert, quos in fide perfecit mortis sigillum. Talis denique prophetae Zachariae sanctus sanguis, quem ante altare vesana Iudaeorum crudelitas gladio effudit, dum vaticiniorum notitiam audire recusaret. Sed cur me plura recensere oportet, praeter quam compendio dicere de apostolorum prophetarum ac martyrum sancto sanguine, quem scelesti multi homicidae effuderunt, quasi aquae copiam in terrae circuitu, quique impietatis extinguendae vim habuit?

3. Talis est baptizatoris Christi praecursorisque sanctus sanguis, de quo nobis hic institutus est sermo; qui exhaustus fuit ut pretiosum unguentum ex sacra cervice, et terrarum orbem suavitate perfudit: sanguis, quem non ventris voluptas adunavit, non vini sumptio, non carnium esus, non aliud quidquam pinguefacere solitum et commotionibus nostris blandiri; sed quem ab incunabulis usque ad vitae finem abstinentiae gratia confecit: venit enim, scriptura inquit, Iohannes neque manducans neque bibens: sanguis, qui dominici immortalis poculi effusioni praeivit. Oportebat

πρόδρομον διὰ τῆς ἐκ στείρας αὐγαστικῆς αὐτοῦ προόδου τοῖς ὑπὲρ γῆς ὀφθέντα, καὶ τοῖς ὑπὸ γῆν διὰ θανάτου κήρυκα φωτοειδῆ χρηματίσαι 1)· αἷμα, ὃ τῆς τοῦ Ἄβελ σφαγῆς πολυπλασίως εἰς τὰ ὦτα κυρίου σαβαὼθ διαβεβόηται· τοῦ γὰρ ἔργου ἡ ποίησις, φωνῆς μυστικῆς ἐστιν ἀναβόμβησις, οὐ διὰ φωνητικῶν ὀργάνων προϊοῦσα, ἀλλὰ τῇ τῆς ἐνεργείας δυνάμει ἀκουτιζομένη· αἷμα, τὸ πατριαρχῶν μὲν αἰδεσιμώτερον, προφητῶν δὲ τιμαλφέστερον, καὶ δικαίων ὁσιώτερον· ἐπεὶ καὶ ἀποστόλων προφερέστερον, καὶ μαρτύρων εὐκλεέστερον, ὡς ὁ λόγος παρὰ τοῦ μεγάλου λόγου τὴν μαρτυρίαν φέρει· αἷμα, τὸ πάσης ἀνθοβαφικῆς εὐχροίας χαριέστερον ὡραΐζον τὴν τοῦ Χριστοῦ ἐκκλησίαν, ὑπὲρ δικαίου κενωθὲν ἐπὶ τέλει τοῦ παλαιοῦ νόμου, καὶ τῆς Χριστοῦ παρουσίας προεισόδιον ἄνθος τυγχάνον.

δ'. Ἀλλ' ὅπως τοῦτο, καὶ δι' οὗ τινος, καὶ ἐφ' ἧπερ ὑποθέσει κεκένωται, μεθαρμοστέος ἡμῖν ἀπὸ τῶν ἱερῶν εὐαγγελίων ὁ λόγος· " ὁ γὰρ Ἡρώδης, φησὶ *, „ κρατήσας τὸν Ἰωάννην ἔδησεν αὐτὸν καὶ ἔθετο ἐν φυλακῇ διὰ Ἡρωδιάδα τὴν „ γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ· ἔλεγε γὰρ αὐτῷ ὁ Ἰωάννης, οὐκ ἔξ„ εστί σοι ἔχειν αὐτήν· καὶ θέλων αὐτὸν ἀποκτεῖναι, ἐφοβήθη τὸν ὄχλον, ὅτι „ ὥσπερ προφήτην αὐτὸν εἶχον. „ Πρῶτον ζητείσθω τίς οὗτος ὁ Ἡρώδης, τῆς ὁμωνυμίας ἀσάφειαν ἐμποιούσης τοῦ ὀφειλομένου προσώπου δηλοῦσθαι· ὁ τετράρχης δηλονότι· ὁ γὰρ τούτου πατὴρ, ὁ τῶν νηπίων ἀναιρέτης τετελευτηκὼς ἦν πάλαι· τίνος δὲ χάριν ἠλέγχετο παρὰ τοῦ Ἰωάννου; ὅτι τὴν νομίμως συν-

* Matth. XIV. 3.

enim lucis praecursorem, postquam splendida sua de sterili matre nativitate terrae apparuerat, subterraneis quoque locis per mortem suam praedicatorem illustrem fieri. Sanguis, qui multo magis quam Abelis caedes, ad aures Domini sabaoth clamat: nam peractio operis, mysticae cuiusdam vocis est resonantia, non per vocalia organa prodiens, sed ob suae efficaciae virtutem audita. Sanguis patriarchis venerabilior, prophetis honorabilior, iustis sanctior; nam et apostolis praestantior est, et martyribus nobilior, ut magni Verbi verbum testatur. Sanguis qualibet coloria tinctura gratior, Christi ecclesiam venustans, pro iustitia exhaustus sub veteris legis finem, et Christi advenientis ingressum floris instar exornans.

4. Sed iam quomodo hic sanguis, et cuius opera, et quam ob causam exhaustus fuerit, explanabit nostra de sacris evangeliis deducta oratio. «Herodes enim, in» quit scriptura, tenuit Iohannem, et alligavit eum, et posuit in carcere propter » Herodiadem uxorem Philippi fratris sui. Dicebat enim illi Iohannes: non licet ti» bi eam habere: et volens illum occidere, timuit populum, quia sicut prophetam » eum habebant.» Quaeratur primum quis iste Herodes, etenim homonymia ambiguitatem inducit quominus vera persona dignoscatur. Nimirum est hic tetrarcha. Namque huius pater qui infantes interemit, multo ante obierat. Cur hic autem a Iohanne reprehendebatur? quia legitima eiecta coniuge, Aretae regis filia, Philippi

1) Quod Baptista extinctus praedicaverit detentis apud inferos animabus, sententia patrum aliquot fuit, nempe Hippolyti, Origenis, et Eusebii alexandrini, ut in Spicil. rom. T. IX. p. 685. diximus; quibus addendus est auctor tractatus de remuneratione statim post obitum animabus danda, item apud nos Script. vet. T. VII. p. 266, et nunc denique Theodorus.

ἀφθεῖσαν αὐτῷ γυναῖκα ἐκδεδιωκὼς, ἤγουν τὴν θυγατέρα Ἀρέτα τοῦ βασιλέως, τὴν τοῦ ἀδελφοῦ Φιλίππου Ἡρωδιάδα παρανόμως ἐγήματο· ἐξῆν γὰρ αὐτὸν ἄπαιδα οὖσαν ἀγαγέσθαι εἰς βίωσιν πρὸς ἀνάστασιν ἀδελφικοῦ σπέρματος, κατὰ τὸν μωσαϊκὸν νόμον· ὑπόπαιδα δὲ τυγχάνουσαν, οὐδαμῶς 1)· ἦν δὲ αὐτῇ θυγάτριον, ἡ ὁμώνυμος Ἡρωδιὰς 2) τὸ ἔγγονον τῆς ἀσπίδος, τὸ διαβολικὸν ὄργανον τῆς οἰκείας ἀπωλείας· οὐκοῦν εἰκότως ὁ ἔλεγχος παρὰ τοῦ Ἰωάννου· καὶ οὗτος ὑπομνηματικὸς ἀλλ' οὐχ ὑβριστικὸς, ἰατρευτικὸς ἀλλ' οὐ τραυματοποιός· τί γάρ φησιν; οὐκ ἔξεστί σοι ἔχειν αὐτήν· ἐπὶ τὴν θείαν αὐτὸν νομοθεσίαν ἄνεισι, τοιαῦτα πως λέγων· ἴδε καὶ ἐπίγνωθι τί σοι ὁ νόμος παρακελεύεται *· "ἐὰν δὲ κατοικοῦσιν ἀδελφοὶ ἐπὶ τὸ αὐτὸ, καὶ ἀποθάνῃ εἷς ἐξ „ αὐτῶν, σπέρμα δὲ μὴ εἴη αὐτῷ, οὐκ ἔστιν ἡ γυνὴ τοῦ τεθνηκότος ἔξω ἀν„ δρὶ μὴ ἐγγίζοντι· ὁ ἀδελφὸς τοῦ ἀνδρὸς αὐτῆς εἰσελεύσεται πρὸς αὐτὴν, „ καὶ λήψεται αὐτὴν ἑαυτῷ γυναῖκα, καὶ συνοικήσει αὐτῇ· καὶ ἔσται τὸ παι„ δίον, ὃν ἂν τεχθῇ, κατασταθήσεται ἐκ τοῦ ὀνόματος τοῦ τετελευτηκότος, καὶ οὐκ ἐξαλειφθήσεται τὸ ὄνομα αὐτοῦ ἐξ Ἰσραήλ·„ ταῦτά σοι ὁ νόμος παρακελεύεται· σὺ δὲ εἰσοικήσω τὴν ἔχουσαν παιδίον ἐκ τοῦ ἀδελφοῦ σου· μὴ δὲ παραβῇς τοῦ νομοθέτου τὸν ὅρον· μηδ' αὐτὴν ἁλουργίδα μολύνῃς αἵματι ἀνοσίῳ· μήτε μὴν ὁ ἄλλοις τύπος εὐνομίας ὀφείλων καθεστάναι, τοῖς ὑπὸ χεῖρα αἴτιος ὀφθείης παρανομίας· κἂν τούτῳ ὑποίσοις τὸ κρίμα ἔνδικον, ὅτι κρίσις ἀπότομος ἐν τοῖς ὑπερέχουσι γίνεται.

* Deut. XXV. 5.

έ. Ὁ δὲ ἅμα τῷ κράτει, καὶ τὸ εἶναι θεὸν ἐπιλελησμένος, ἐμάνη, ἐξήφθη τῷ θυμῷ, ἀπεσείσατο τὸν ἔλεγχον· οὐκ ἐμιμήσατο τὸν Δαβὶδ, ὃς ἐπειδὴ

fratris uxorem Herodiadem sibi contra fas desponsaverat. Licuisset ei utique liberorum expertem ducere in coniugium ob suscitandum fratri semen, iuxta mosaicam legem: sed liberorum iam matrem non licebat: porro erat huic filiola homonyma Herodias, aspidis foetus, diabolicum perditionis suae instrumentum. Iusta igitur abs Iohanne reprehensio fiebat; et quidem monitoria non contumeliosa, medicinalis non vulnifica. Quid enim aiebat? Non licet sibi eam habere; atque ad legem provocabat, sic fere dicens: videsis et nosce quid tibi lex imperet. «Si fratres simul habitent, et unus » ex his moriatur, nec semen ei fuerit; non dabitur extincti uxor viro haud pro» pinquo; sed viri illius frater ingredietur ad eam, sumetque sibi uxorem, et cum » illa habitabit: et si filium pariet, constituetur ex defuncti nomine, et non delebitur nomen eius ex Israhele.» Haec tibi lex imperat; tu vero uxorem duxisti, quae filiam ex fratre tuo susceptam habet. Ne itaque legislatoris praescriptum praetergrediaris; neque purpuram macules sanguine illicito; et quum ceteris exemplo esse debeas, cave ne subditis causa peccandi efficiaris: ideoque iustam damnationem patiaris, quoniam districtum iudicium eos qui eminente dignitate sunt manet.

5. Ille autem potentia elatus, Deum existere oblitus, furebat, ira aestuabat, reprehensionem repellebat. Non est imitatus Davidem, qui a propheta Nathane de

1) Iosephus hebr. loco mox citando.

2) Errat Theodorus, nam diserte hanc Herodiadis filiam appellat Salomem, non Herodiadem, Iosephus antiq. lib. XVIII. cap. VI. 4.

ἠλέγχθη παρὰ Νάθαν τοῦ προφήτου ἐπὶ μοιχείας ἐγκλήματι, ἐκείνην προεβάλετο τὴν φωνὴν, ἡμάρτηκα τῷ κυρίῳ· οὗ διὰ τὴν ταπείνωσιν καὶ κύριος παρεκβίβασε τὸ ἁμάρτημα· ἀλλὰ κρατήσας, φησὶ, τὸν Ἰωάννην, ἔδησεν αὐτὸν καὶ ἔθηκεν ἐν φυλακῇ· ἐκράτησε τὸν φιλοσοφίᾳ ἀκράτητον, ὁ κεκρατημένος τῷ πάθει τῆς ἀσελγείας· ἔδησε τὸν ἀπολελυμένον τῇ ἀπροσπαθείᾳ, ὁ δεδεμένος τῇ μαγγανίᾳ τῆς ἀκολασίας· ἔθετο ἐν φυλακῇ τὸν φύλακα καὶ κήρυκα τῆς ἐκκλησίας, ὁ καθειργμένος τῇ πράξει τῆς ἀκαθαρσίας· "Διὰ Ἡρωδιάδα Φιλίππου „ τοῦ ἀδελφοῦ αὐτοῦ·„ Ἡρωδιάδα τὴν τῆς Δαλιδάδος ὁμότροπον, καὶ τοῦ διαβόλου συμπράκτορα· αὕτη γὰρ τὸν σύγκοιτον μᾶλλον δὲ σύνθετον ὤτρυνε πρὸς τὴν τοῦ Ἰωάννου μανίαν· οὐ φέρω, φησὶ, κωμῳδεῖσθαι βασίλισσα τυγχάνουσα ὑπὸ τοῦ παιδὸς Ζαχαρίου· κάθες τὴν γλῶσσαν ἐν φυλακῇ τὴν ἐμὲ στηλιτεύουσαν· κτεῖνον ἐν τάχει αἰχμῇ τὸν ἐμοῦ τὴν ψυχὴν τοῖς λόγοις ὡς βέλεσι τραυματίζοντα. "Καὶ θέλων αὐτὸν ἀποκτεῖναι, ἐφοβήθη τὸν ὄχλον, ὅτι „ ὥσπερ προφήτην αὐτὸν εἶχον·„ οὐ γὰρ ἡνίκα βουληθῶσιν οἱ κρατοῦντες πρᾶξαί τι τῶν ἐκτόπων, εὐθὺς τὴν ὁρμὴν εἰς ἔργον ἄγουσιν, αἰδοῖ καὶ φόβῳ τοῦ ὑπηκόου ἀναβαλλόμενοι καὶ κλωθέντες εἰς ἑαυτοὺς τὸν ἐφαρμόζοντα καιρὸν τῆς μοχθηρίας.

ϛʹ. „ Γενεσίων δὲ ἀγομένων τοῦ Ἡρώδου, ὠρχήσατο ἡ θυγάτηρ τῆς Ἡρω„ διάδος ἐν τῷ μέσῳ, καὶ ἤρεσε τῷ Ἡρώδῃ, ὅθεν μεθ' ὅρκου ὡμολόγησεν αὐτῇ „ δοῦναι ὃ ἐὰν αἰτήσηται· ὅτε ἐχρῆν αὐτὸν δοῦναι δόξαν τῷ θεῷ εἰς τόδε προαχθέντα τὸ φῶς, τότε τοῦ σκότους τὰ ἔργα ἀσπάζεται· θυμηδείας γὰρ ὁ καιρὸς οὐκ ὀρχήσεως καὶ μάλιστα γυναικώδους ἐπὶ ἀῤῥενικῆς θέας· ἐξ ἧς τί τὸ

adulterii crimine coargutus, in vocem illam erupit: peccavi Domine: cuius ob humilitatem Dominus peccatum transtulit. Sed hic, inquit scriptura, comprehensum Iohannem vinculis constrinxit et carceri tradidit. Hominem philosophia invictum comprehendit is qui luxuriae passione tenebatur: hominem liberum, utpote omni passione solutum, alligavit is qui intemperantiae vinculis constrictus erat: custodem praedicatoremque ecclesiae tradidit custodiae is qui impurorum actuum mancipium erat. « Propter Herodiadem Philippi fratris sui; » Herodiadem, inquam, Dalilae moribus similem, et diaboli complicem: ipsa enim tori socium vel potius adscititium ad Iohannis odium impulit. Non fero, inquit, vituperari quae sum regina a Zachariae filio. Trade carceri linguam quae me diffamat: perime statim spiculo illum qui suis animam meam sermonibus ceu telis vulnerat. «Cumque eum vellet occidere, timuit » populum, quia prophetae loco eum habebant. » Non enim siquando volunt reges pravum aliquid agere, statim impetum suum in opus conferunt, reverentia metuque subditorum differentes atque intra se ipsos molientes idoneum futuro maleficio tempus.

6. Dum autem agerentur Herodis natalia, saltavit filia Herodiadis in medio convivio, placuitque Herodi, adeo ut cum iuramento promiserit se ei daturum quicquid petisset. Scilicet quum oportuisset eum dare gloriam Deo die hoc, quo in lucem editus fuerat, tenebrarum maluit opera exsequi. Erat insuper laetitiae quidem tempus hoc, non tamen saltationis praesertim feminae in virorum conspectu. Cuius rei

τικτόμενον; ὅρκος· ἐκ δὲ τοῦ; φόνος· ἄνελε τὰς ῥίζας τῆς κακίας, καὶ οὐ βλαστήσει καρπὸς τῆς ἀνομίας· τῶν πρώτων δὲ φυέντων, ἀναδοθήσεται δηλονότι τὸ πέρας τῶν πραγμάτων· „Ὠρχήσατο ἡ θυγάτηρ τῆς Ἡρωδιάδος ἐν τῷ μέσῳ, καὶ ἤρεσε τῷ Ἡρώδῃ·„ καὶ τί γὰρ ἔμελλε πεπαιδεῦσθαι παρὰ τῆς τεκούσης ἡ μαστροπόρινος θυγάτηρ, ἢ τὸ ἐξορχεῖσθαι; καὶ τοσοῦτο ἐξησκημένως ἔχειν περὶ τὴν ὀρχήστραν, ὥστε καὶ ἀρέσαι τῷ Ἡρώδῃ; ὅθεν μεθ' ὅρκου ὡμολόγησεν αὐτῇ δοῦναι ὃ ἐὰν αἰτήσῃ· τοιαύτη γὰρ ἡ προπέτεια τῶν ἐκβακχευομένων τοῖς πάθεσι τῆς ἀτιμίας, ἀπερισκέπτως ἀποφαινομένων κατὰ παντὸς οὑτινος δόξειεν· ἡ δὲ προβιβασθεῖσα ὑπὸ τῆς μητρὸς αὐτῆς, ἥρπαζε τὸν τῆς μιαιφονίας θάνατον ὃν ὤδινε πάλαι ἀποτεκεῖν ἡ ἐχιδνοτόκος Ἡρωδιάς· καὶ πρὸς τὸ ἑαυτῆς θυγάτριον διαθερμανθεῖσα, ἔοικε τοιαῦτα λέγειν· ἴδε ὁ καιρὸς, τέκνον, ὁ ἐπιζητούμενος ἡμῖν· ἤνυσας τῷ ποδὶ τὸ ἐμοὶ φιλούμενον, πέπαυκάς μου τὸ ἀλγεινὸν τῷ τεχνικῷ σου λυρίσματι· κρύψωμεν εἰς γῆν τὸν ἡμᾶς στηλιτεύοντα· ἴθι τάχιον ταῦτα λέγουσα· δός μοι ὧδε ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου τοῦ βαπτιστοῦ· ὢ μανίας ὑπερβολῆς αἴτημα· μονονουχὶ ὅτι μὴ ἐντρυφᾷν εἶχε τῷ φονικῷ θεάματι· ἐδυσχαίρενεν ἡ μαινὰς καὶ φονεύτρια· οὐχ ἱκανὸν γὰρ ὅτι ξίφος διελάσαι τὰ τοῦ ἱεροῦ τραχήλου ἠρετίσω· ἀλλὰ γὰρ καὶ ἐπὶ πίνακι δοθῆναί σοι τὴν ἁγίαν κεφαλὴν ἐπραγματεύσω· ὢ ἀτάσθαλε, καὶ τῆς Ἰεζάβελ ἀπηνέστερον τὸ ἦθος ἔχουσα.

ζ'. „Καὶ ἐλυπήθη φησὶν ὁ βασιλεύς· διὰ δὲ τοὺς ὅρκους καὶ τοὺς συνανακειμένους ἐκέλευσε δοθῆναι· καὶ πέμψας ἀπεκεφάλισε τὸν Ἰωάννην ἐν τῇ φυλακῇ· καὶ ἠνέχθη ἡ κεφαλὴ αὐτοῦ ἐπὶ πίνακι, καὶ ἐδόθη τῷ κορασίῳ· καὶ ἤνεγκε τῇ μητρὶ αὐτῆς· „ ὢ διαβολικῆς παρασκευῆς ἀποτέλεσμα· τίς ὁ ἐπε-

quaenam sequela fuit? nempe iusiurandum. Quid inde vero? homicidium. Aufer malitiae radices, et non pullulabit fructus iniquitatis: etenim facto initio, rei quoque terminus consequetur. «Saltavit Herodiadis filia in medio convivio, et Herodi placuit.» Quid enim aliud edocta fuisset a matre filia lenonia, quam saltare? immo et tantopere in eo ludo exerceri, ut ipsi Herodi placeret? qui idcirco ei recepit quicquid postulasset concessurum. Haec quippe est bacchantium in ignominiae passionibus temeritas, ut inconsiderate decernant de re qualibet, prout visum fuerit. Puella vero a matre sua instincta, occasionem arripuit cruentam necem postulandi, quam iamdiu viperina mater Herodias parturire parabat. Cerne, ait, o filia tempus nobis expetitum. Rem mihi optatam pede saltante confecisti; dolorem meum artificioso tuo cantu sedasti. Terrae infodiamus hominem, qui nos diffamat. Perge statim ita dictura: da mihi in hoc disco Iohannis baptistae caput. O summi furoris postulatio! Nisi ex cruento spectaculo fructum oculis consequeretur, haud satiata foret truculenta maenas. Non satis tibi fuit, quod cervicem sacram gladio secare incitasti; sed et in disco sanctum caput tibi dari curasti. O scelesta, et ipsa Iezabele crudeliorem indolem gerens!

7. «Et contristatus est, inquit scriptura, rex; sed propter iusiurandum, et propter simul discumbentes, dari iussit: missoque spiculatore decollavit Iohannem in carcere: et allatum est caput eius in disco, datumque puellae, quae ad matrem detulit.»

νεῖκων κατὰ τῆς θείας κεφαλῆς τὸ ἀναιρετικὸν ξίφος; ὁ δεύτερος Δωὴκ, ὁ ἄνομος ὑπηρέτης, καὶ οὐ μιμητὴς τῶν ἐφεστηκότων ἐμφρόνως Σαοὺλ τῷ βασιλεῖ, ἡνίκα προσέταττε τοὺς τοῦ θεοῦ προφήτας ἀποκτένεσθαι. "Καὶ ἠνέχθη ἡ κεφαλὴ αὐτοῦ ἐπὶ πίνακι",, συμπόσιον εἴποιμι ἢ φονευτήριον τὸ τοιοῦτον ἄριστον; δαιτυμόνας καλέσαιμι ἢ παλαμναίους τοὺς συνανακειμένους οἰνόφλοιγας; ὢ καινὸν θέαμα· ὢ πονήρον ὅραμα· ἐκεῖθεν ὄρνις παρετίθετο, ἐντεῦθεν προφητικὴ κεφαλὴ ἤγετο· ἐκεῖθεν οἶνος ἐχέετο ἄκρατος, ἐντεῦθεν αἷμα δίκαιον κρουνηδὸν ἐφέρετο· ὡς φοβερὰ ἡ ἀγγελία, καὶ φρικτὴ ἡ ἐξηγορία· "Καὶ ἐδόθη τῷ κο-,, ρασίῳ, καὶ ἤνεγκε τῇ μητρὶ αὐτῆς",, φεῦ τῆς ἀτοπίας· ἐδόθη ἡ ἀτίμητος κάρα ὑπὲρ ἀτίμου πράξεως, τῇ ἐναγεῖ καὶ βεβήλῳ ἡ ἁγνὴ καὶ ἄψαυστος καὶ τοῖς ἀγγέλοις αἰδέσιμος· καὶ ἤνεγκε τῇ μητρὶ αὐτῆς, οἱονεὶ παρέθηκεν ὡς ἐδέσματι ἐμφορηθῆναι τῇ ὀργώσει τὸν τοῦ προφήτου θάνατον· φάγε λέγουσα ὦ μῆτερ σάρκας τοῦ ἀσάρκως βιώσαντος· πίε αἷμα τοῦ ἀναίμονος· ἔχομεν διὰ παντὸς σεσιγημένην τὴν γλῶτταν τοῦ ἡμᾶς στηλιτεύσαντος.

η΄. Καὶ προσελθόντες, φησὶν, οἱ μαθηταὶ αὐτοῦ, ἦραν τὸ σῶμα, καὶ ἔθαψαν αὐτό· ὅρα μοι ὦ φιλοΐστωρ εἰκονογραφουμένην 1) τὴν ταφὴν τοῦ δικαίου, καὶ τοὺς μὲν εἰκονομάχους ἐπιῤῥάπιζε ὡς ἀληθείας ἐχθρούς· ἐναργῶς δὲ ὑπ' ὄψιν λαμβάνων τὴν ἱστορίαν, πορίζου τὸ ὠφέλιμον· πῶς ἐκ φυλακῆς αἴρεται ὁ ἅγιος σιδηροδέσμιος· πῶς ὁ παλαμναῖος ἐντείνει τὸ ξίφος ἀπηνοειδῶς κατὰ τῆς ἱερᾶς κορωνίδος· πῶς ἀποθμηθεῖσα ἡ μυροφόρος κάρα ἐπιδέδοται τῇ κορυβαν-

O iniquae molitionis exitus! Quis divali capiti letale ferrum intulit? Novus Doëg, scelestus minister, haud certe imitator illorum qui sobrie restiterunt regi Sauli, Dei prophetas occidi iubenti. «Et adlatum est caput eius in disco.» Dicam ne convivium, an potius supplicii locum prandium hoc? Convivas ne appellem, an carnifices qui inflatis vino venis accumbunt! O spectaculum novum! o triste visum! Illinc avis apponebatur, hinc propheticum caput exhibebatur. Illinc vinum meracum fundebatur, hinc iustus sanguis quasi fons saliens manabat. Quam terrificus nuncius! quam horribilis rei narratio! «Datumque est puellae, et illa detulit ad matrem suam.» Hem summam absurditatem! Datum est inaestimabile caput pro vili actu; impurae profanaeque feminae, res sancta et intacta, ipsis angelis honorabilis. Attulit ad matrem suam; videlicet obtulit quasi edulium ingluviei matris quae prophetae necem discupiverat: comede, inquiens, o mater, carnes viri qui sine carne vixit; bibe sanguinem eius, qui exsanguis in vita fuit. Tandem aliquando silentem habemus linguam hominis qui nos publica infamia aspergebat.

8. «Et accedentes, inquit scriptura, discipuli illius, sublatum corpus sepulturae » tradiderunt.» Specta mecum, studiose auditor, pictam in imagine iusti viri sepulturam, simulque iconomachos castiga ceu veritatis hostes. Cumque sedulo historiam pictam inspexeris, hinc tibi fructum compara: quomodo ex carcere producitur sanctus vir catenis vinctus: quomodo carnifex gladium crudeliter intendit in sacrum verticem: quomodo abscisum et odorato cruore manans caput furenti He-

1) Patet expositam fuisse in templo pictam imaginem martyrii sepulturaeque Baptistae, unde captat occasionem concionator Theodorus increpandi more suo iconomachos.

τιώσῃ Ἡρωδιάδι· ὅπως δὲ θάπτεται τὸ ἱερὸν σῶμα χερσὶ τῶν οἰκείων μαθητῶν, οἱονεὶ δακρυόντων, ψυχαλγούντων, στοιχηδὸν περιϊσταμένων· καὶ τοῦ μὲν ἐφαπτομένου ποδῶν, τοῦ δὲ τὴν κεφαλὴν ἐφαρμόζοντος τῷ λοιπῷ σκήνει, ἑτέρου θυμιῶντος καὶ τὰ ἐπικήδεια ἐπιψάλλοντος· ἐκεῖ εἰμὶ, ὦ ἀκροαταὶ, τῇ διανοητικῇ θεωρίᾳ, καὶ βλέπω τὴν ταφὴν τοῦ δικαίου ἐν εἰρήνῃ οὖσαν κατὰ τὸ γεγραμμένον *· ὁρῶ τὸ ἀγγελικὸν ἐκεῖνο πρόσωπον, οὗ οἱ ὀφθαλμοὶ ὡς δύο φωστῆρες δύσαντες, καὶ οὗ τὸ ὅλον εἶδος τῆς ὄψεως χρηστοφανῶς ἀποτετύπωται· ἄπνουν μὲν τῆς ἐπικήρου ζωτικῆς ἐνεργείας, εὔπνουν δὲ ὅτι μάλιστα τῇ τῆς θείας χάριτος μυρῳδίᾳ· ἀσπάζομαι τὰς ἱερὰς χεῖρας ἐκείνας, ὧν ἡ ἀφὴ ἀνέπαφος τῇ ἁμαρτίᾳ, καὶ ὧν τῷ δακτύλῳ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου τοῖς ἀνθρώποις καθυπεδείχθη· προσκυνῶ τοὺς ὡραίους πόδας ἐκείνους, ὧν τὸ εὐαγγελίζεσθαι τὰ ἀγαθὰ τοῖς ἐπὶ γῆς, καὶ δι' ὧν προκατηρτίσθη ἡ ὁδὸς τῆς τοῦ κυρίου παρουσίας· παρείτω μοι πρὸς προσκύνησιν καὶ ἡ τιμία ἅλυσις ἐφ' ᾗ ἐδεσμήθη ὁ πολυτίμητος ἐν ἀνθρώποις ἄγγελος· παρείτω μοι καὶ ἡ σεβασμία πίναξ, ἐφ' ᾗ ἐπετέθη ἡ χρυσίου τιμαλφεστέρα πανσέβαστος κάρα· οὐ δέ γε τὴν μάχαιραν τοῦ παλαμναίου τὴν διελάσασαν κατὰ τοῦ ἱεροῦ τραχήλου εἰ εὕροιμι, ἀπροσκύνητον ἐάσαιμι· οὐδέ γε τοὔδαφος ὑφ' οὗ ἐφρουρήθη ὁ θησαυρὸς εἰ ἐπέτυχον, μὴ οὐχὶ προσεπτυξάμην ὡς μεταδοτικὸν χάριτος· ὦ μακάριε τάφε καὶ οὐ πικρὲ λίθε, ὃς ἔχεις τὸ τρισμακάριον ἐκεῖνο σκῆνος, ὑπὲρ σμαράγδων καὶ μαργάρων σωρείας ἔνδον συνειλημμένον· ἐκεῖ τοιγαροῦν παρῆν ὁρατῶς μὲν ὁ τῶν μαθητῶν ὅμιλος, ἀοράτως δὲ ἀγγέλων πληθὺς, τὸν ὁμώνυμον αὐτὸν ἄγγελον

* Is. LVII. 2. gr.

rodiadi traditur: quomodo sacrum corpus manibus discipulorum sepelitur, moestorum, illacrymantium, globatim adstantium; dum alius pedes tangit, alius caput reliquo corpori rursus accommodat, alius thurificat, et funebria psallit. Illic sum, o auditores, mentis meae visione, cernoque sepulturam iusti in pace versantem, ut ait scriptura. Cerno angelicam illam faciem, cuius oculi ceu duo luminaria occubuerunt, et cuius tota vultus species bonitatis typus videtur. Video exanimem, quod attinet ad temporalis vitae actionem, apprime tamen animatum quod attinet ad divinae gratiae pretiosum odorem. Sacras illas deosculor manus, quarum tactus peccato fuit intactus, et quarum digito ille qui tollit peccatum mundi hominibus demonstratus fuit. Adoro pulchros pedes illos, quorum fuit officium bona nunciandi incolis terrae, et a quibus parata fuit via Domini adventui. Iamque omittam dicere de venerabili catena, qua revinctus fuit praestantissimus inter homines angelus: omitto item honorabilem discum, in quo fuit repositum augustum illud et auro pretiosius caput. Quin adeo carnificis quoque ensem, qui per sacrum collum actus fuit, sicubi invenero, haud inhonoratum relinquam. Sed et ipsam humum, in qua thesaurus hic fuit conservatus, si quando incurram, amplectar, ut gratia fertilem. O beatum sepulcrum, et non triste saxum, quod beatissimum illud corpus contines smaragdorum margaritarumque cumulo rutilantius! Illic itaque visibiliter quidem aderat discipulorum turba, invisibiliter autem angelorum multitudo, qui homony-

1) Vides Studitae nostro cognitas tamquam sacras reliquias catenam discumque ad Baptistae martyrium pertinentes; de quibus aliisque Paciaudius de cultu s. Ioh. Bapt. dissert. VI.

ἐν σώματι, τὸν τοῦ κυρίου φίλον γνήσιον, τὸν νυμφαγωγὸν τοῦ νυμφίου, τὸν ἀείφωτον λύχνον τοῦ ἀφράστου φωτὸς, τὴν ζῶσαν φωνὴν τοῦ μεγάλου λόγου, τὸν προφήτου περισσότερον, τὸν μείζονα ἐν γεννητοῖς γυναικῶν εὐφημούντων, γεραιρόντων, ἀναγόντων πρὸς οὐρανὸν, καὶ εἰς τὴν ἀγήρω χαρὰν ἀποκομιζόντων· τοιαύτη μὲν οὖν ὡς εἴρηται εἰρηναῖα ἡ ταφὴ τοῦ δικαίου, ἀγαλλιάσιμός τε καὶ τῷ κόσμῳ σωτήριος.

θ΄. Ἡρώδης δὲ ὁ παράφρων, ἆρα γε κἀντεῦθεν τῆς δίκης τὸ ἀπόκριμα διέφυγεν; οὐ μὲν οὖν· ἀλλ' ὡς εἴρηται 1) διὰ ταῦτα ὑπὸ παντὸς τοῦ ὑπηκόου ἀνταρσίαν ἀποστὰς κατασφάττεται· τοῦ Θεοῦ εἰς παιδείαν τοῖς εἰς ὕστερον βασιλεύσουσι τὰ κατ' αὐτὸν ἐκδειματοῦντος, ὡς ἂν μὴ τοῖς ὁμοίοις πάθεσι περιπέσειεν· ἀλλ' ἐντεῦθεν ἐπανελθὼν, ἁρμόζουσαν τῇ παρούσῃ ἡμέρᾳ φωνὴν δεῦρο ἐκβοήσομαι· σήμερον Ἰωάννης ὁ πρόδρομος ὑπὲρ ἀληθείας τὴν κεφαλὴν ἀποτεμνόμενος μακαρίζεται, καὶ Ἡρώδης ὁ παράνομος κωμῳδούμενος διασύρεται· σήμερον Ἰωάννης ὁ πρόδρομος ἐν ταῖς ἁπάντων γλώσσαις τῷ τοῦ ἐλεγμοῦ διηγήματι τετίμηται, καὶ Ἡρώδης ὁ πανέκφρων ὑφ' ἑκάστου τῶν φοβουμένων τὸν κύριον τῇ μοιχείᾳ στηλιτευόμενος ἠτίμωται· σήμερον ἡ κεφαλὴ Ἰωάννου τοῦ προδρόμου ἐπὶ πίνακι προφέρεται ἱερὸν σφάγιον, καὶ Ἡρωδιὰς ἡ μοιχεύτρια στηλιτεύεται καὶ μὴ βουλομένη αἰώνια· σήμηρον Ἰωάννου τοῦ προδρόμου τὸ αἷμα ὑπὲρ φυλακῆς θείου νόμου χέεται, καὶ ὁ τοῦ προδρόμου ἀντίθετος διὰ τῆς ἀντιπραγίας ἐνδίκως θριαμβεύεται· σήμερον Ἰωάννης ὁ πρόδρομος διὰ τὴν πρὸς Ἡρώδην ὑπὲρ δικαίου παῤῥησίαν ἀποκτέννεται, καὶ βασιλεῖς τῆς γῆς τῶν ἰδίων συνθρόνων μὴ

mum sibi in corpore angelum, germanum Domini amicum, sponsi paranymphum; candelabrum semper lucidum ineffabilis lucis, vocem vivam magni Verbi, illum plus quam prophetam, maiorem illum in natis mulierum, collaudabant, celebrabant, in caelum tollebant, et ad immortale gaudium transferebant. Talis itaque fuit iusti viri pacifica sepultura, mundo laetifica et salutaris.

9. Num porro insanus Herodes, in hac etiam terrena statione ultionis poenam fugit? Minime gentium; sed, ut dicitur, propter hoc facinus subditorum omnium seditionem expertus, occisus fuit: Deo ob futurorum regum eruditionem res huius ad terrorem proponente, ne in paria facinora incurrant. Sed inde digrediens conveniente praesenti diei voce age iam exclamabo: hodie Iohannes praecursor, capite veritatis causa minutus, beatus dicitur, Herodes vero impius conviciis laceratur: hodie Iohannes praecursor omnium linguis propter regis reprehensi commemorationem honoratur, Herodes autem vesanus ab omnibus Dominum timentibus, adulterii vituperatione dehonestatur: hodie Iohannis praecursoris in disco circumfertur sacra laniena, Herodias autem adultera aeterno opprobrio vel nolens cumulatur: hodie Iohannis praecursoris sanguis propter divinae legis observantiam funditur, praecursoris autem adversarius propter contraria facta ignominiose traducitur: hodie Iohannes praecursor propter suam defendendae iustitiae coram Herode fiduciam occiditur; reges autem terrae, quominus a regnandi consortibus dissocientur eruditi,

1) Merito hanc narrat tamquam popularem traditionem de Herodis nece Theodorus; ille enim reapse non in civium rebellione sed in Hispania exul obiit, ut diserte Iosephus narrat B. iud. lib. II. 9.

διαζευγνῦσθαι παιδευόμενοι τὸν διαζευχθέντα ἀποπτύουσι· σήμερον Ἰωάννης ὁ πρόδρομος αἴρει σημεῖον ἐπὶ τῆς γῆς, καὶ παραγγέλλεται πᾶς ἄνθρωπος ἀρκεῖσθαι τῇ ἰδίᾳ γυναικὶ καὶ περαιτέρῳ μὴ χωρεῖν· σήμερον Ἰωάννης ὁ πρόδρομος εἰς ᾅδου κάτεισι, καὶ οἱ νεκροὶ χαρὰν τῆς Χριστοῦ παρουσίας ἀνεκλάλητον ἀκουτίζονται· σήμερον Ἰωάννην τὸν πρόδρομον καρατομηθέντα διὰ δικαιοσύνην θεοῦ οἱ οὐρανοὶ ἐπευφράνθησαν, ἄνθρωποι δὲ ἐπὶ γῆς ὑμνολογοῦσιν ἑόρτια· καί μοι δοκεῖ ὁ μέγας τοῦ κυρίου πρόδρομος ἐξ οὐρανῶν ἡμᾶς ἐποπτεύειν, καὶ ὡς ὑμνῳδοὺς αὐτοῦ θείοις χαρίσμασιν ἀμείβεσθαι· ἐν προφήταις ὡς ἀστὴρ ἑωθινὸς διάττων τὲ καὶ ὑπεραυγάζων· ἐν ἀποστόλοις ὡς ἥλιος ἐν μέσῳ ἡλίων προλάμπων καὶ ὑπερλάμπων· ἐν μάρτυσιν ὡς οὐρανὸς πεποικιλμένος τοῖς ἄστροις τῶν θαυμάτων· ἐν δικαίοις ὡς πολλοῖς τῆς δικαιοσύνης αὐχήμασιν ὑψηκωμώτερος, τῶν κέδρων τοῦ Λιβάνου ὑπερφαίνων· ὁ χαρὰν ἐξακουτίσας σήμερον τῇ οἰκουμένῃ· εἰ γὰρ πολλοὶ ἐπὶ τῇ γεννήσει αὐτοῦ χαρήσονται κατὰ τὰ λόγια, ἀνάλογον ἂν εἴη καὶ ἐν τῇ αὐτοῦ τελειώσει τὴν αὐτὴν ἔσεσθαι εὐφροσύνην, ἣν πανηγυρίζειν ἠξιώμεθα, ὅσοι ἐν ἱερατικῷ τε καὶ ἐρημικῷ, ἐν μοναδικῷ τε καὶ λαϊκῷ τάγματι πᾶσιν ἀνήκοντος τοῦ μνημοσύνου τὸ ἀγαλλίαμα· διαφερόντως δὲ ἡμῖν τοῖς τοῦ ἱεροῦ αὐτοῦ οἴκου [1] θιασώταις· οὗ μετασχοίημεν τῶν πρεσβειῶν ἔτι μάλα ἐκτενέστερον, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα καὶ τὸ κράτος, σὺν τῷ πατρὶ καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων· ἀμήν.

eum qui se dissociavit contemnunt: hodie Iohannes praecursor vexillum in terra attollit, atque omnis homo admonetur ut propria uxore contentus, ulterius non procedat: hodie Iohannes praecursor ad inferos descendit, et mortui gaudium propter Christi adventum percipiunt ineffabile: hodie ob Iohannem capite propter iustitiam minutum caeli laetantur, simulque in terra homines festales hymnos dicunt. Et mihi quidem videtur magnus Domini praecursor de caelis nos aspicere, atque ut suos cantores divinis donis remunerari. Hic inter prophetas, stella est matutina discurrens et illuminans: inter apostolos, sol est in mediis solibus praefulgens et supra ceteros radians: inter martyres, veluti caelum est sideribus variatum miraculorum: inter iustos, ceu multis iustitiae ornamentis alte frondescens, Libani cedros excedit. Hic hodie mundo universo gaudium intimat. Nam si multi in nativitate eius gavisuri erant, iuxta divinum effatum; consentaneum sit in eius quoque consummatione candem esse laetitiam, quam nos sollemnitate hac celebrare digni fuimus, quotquot sacerdotalis, aut eremitici, aut monachalis, aut etiam laici ordinis sumus, cuncti scilicet sacra hac commemoratione gaudium adferente: praecipue vero nobis qui sacrae illius aedis contubernales; cuius propterea intercessionibus validioribus utinam fruamur! in Christo Iesu domino nostro, cui gloria et potestas, cum patre et sanctissimo vivifico Spiritu, nunc et semper et per infinita saecula saeculorum. Amen.

1) Scilicet Studii monasterium, et sacra aedes, titulum S. Iohannis Baptistae gerebant. Confer Studitae nostri vitam et opera ed. Sirmond. p. 18. et 618. Item Cangium Constantinop. christ. lib. IV. tit. 4. ed. Paris. p. 103. De eodem S. Baptista hymnus quoque extitit nostri Theodori. Vit. p. 22.

ΛΟΓΟΣ ϛʹ.

ΕΓΚΩΜΙΟΝ ΕΙΣ ΤΗΝ ΚΟΙΜΗΣΙΝ ΤΗΣ ΑΓΙΑΣ ΔΕΣΠΟΙΝΗΣ ΗΜΩΝ ΘΕΟΤΟΚΟΥ.*

Cod. vat. 1671. f. 162. b.

αʹ. Φωνὴν σάλπιγγος, κερατίνης βοῆς ἀλαλάζουσαν γεγωνότερον καὶ καταδονοῦσαν τὰ πέρατα, ἀπαιτῶν ὁ λόγος πρὸς εὐφημίαν τῆς παρούσης ἱεροκηρύκτου ἡμέρας, κινδυνεύει, ὦ ἄνδρες, δι' ἀσθένους τοῦ φωνητικοῦ ἡμῶν ὀργάνου προερχόμενος· ἀλλ' ἡ βασίλισσα καὶ κυρία τοῦ παντὸς, ὡς οἷά τις ἀφιλότιμος, δέξαιτο τάχα καὶ τὸν τῇδε δουλικὸν αὐτῆς βραχὺν καὶ πενιχρὸν ἡμῶν λόγον, ὡς τῶν ὑψηγόρων τοὺς μακρούς τε καὶ ὑπερλάμπρους, ταῖς τοῦ προστάσσοντος 1) εὐχαῖς εὐμενιζομένη· ἐπείπερ καὶ πρὸς ἓν μόνον βλέπει τὸ τῆς προθέσεως ἡ φιλάγαθος· ἀλλά μοι δεῦρο συναγέρθητι ἡ ὑπ' οὐρανὸν ἅπασα, ὅσον ἐν ἱεράρχαις τὲ καὶ ἱερεῦσιν, ἐν μοναδικοῖς τε καὶ μιγάσιν, ἐν βασιλεῦσί τε καὶ ἄρχουσιν, ἐν ἀνδράσι τὲ καὶ γυναιξὶν, ἐν νεανίσκοις τὲ καὶ παρθένοις, ἐν φυλαῖς τὲ καὶ γλώσσαις, παγγενεῖ τὲ καὶ παμπληθεῖ, καὶ τὰς τῶν ἀρετῶν ἐσθῆτας ἐξυπαλλάσσουσα, ὡς ἐν κροσσωτοῖς χρυσοῖς περιβεβλημένη πεποικιλμένη, πρόελθε φαιδρῶς γεγηθυῖα τῆς κυριοτόκου Μαρίας ἑορτὴν ἑορτάζουσα τὰ ἐπικήδειά τε καὶ διαβατήρια· μεταβαίνει γὰρ ἐκ τῶν ἐνθένδε καὶ ἐγγίζει ὄρεσιν αἰωνίοις, τὸ ὄρος ὄντως τὸ Σιὼν, ὃ ηὐδόκησεν ὁ θεὸς κατοικεῖν ἐν αὐτῷ, ὡς ἡ

ORATIO VI.

LAUDATIO IN DORMITIONEM SANCTAE DOMINAE NOSTRAE DEIPARAE.

1. Tubae vocem, bucinae clangorem, solito resonantius clamantem, et orbis fines strepitu concutientem, sermo meus quum postulet ob hanc sacri praeconii diem celebrandam; vix, o viri, per phonetici nostri organi infirmas vires procedit. Sed regina ac domina universi, tamquam minime ambitiosa, recipiet spero hunc quoque brevem, famulitio eius addictum, pauperculum nostrum sermonem, haud secus quam sublimium oratorum longas splendidasque orationes, eius qui mihi id demandavit, precibus propitiata: praeter quam quod, unice aspicit mentis propositum benignissima virgo. Age nunc mihi huc simul adesto, universa quae caelo subes terra, quantum est pontificum ac sacerdotum, monachorum et laicorum, regum et principum, virorum ac feminarum, adolescentulorum ac virginum, tribuum et linguarum, ex omni genere ac populo; virtutumque quasi mutatoriis sumptis, aureis fimbriis circumamicta et variata, prodi hilariter gestiens, ut dominiparae Mariae funebria et transitum celebres. Migrat enim ex his terrestribus et appropinquat montibus aeternis, verus Sionis mons, in quo Deo habitare placuit, ut psalmistae lyra canit. Hodie igitur ter-

* Adnotatio. In codice prisco vat. 455. f. 226. b. legitur alia oratio cum hoc titulo: τοῦ ἁγίου πατρὸς ἡμῶν Θεοδώρου τοῦ νέου ὁμωλογητοῦ εἰς τὸ γενέθλιον τῆς ὑπεραγίας Θεοτόκου, ἐν ᾧ τὸ ἑξήκοντα χαῖρε: *sancti patris nostri Theodori, novi confessoris (id est Studitae), in nativitatem sanctissimae Deiparae, ubi sexaginta ave.* Incipit. Λαμπρῶς πανηγυρίζει ἡ κτίσις τήμερον: *splendide hodie sollemnitatem agit creata natura.* Equidem vix dubito quin praedicta oratio Studitae nostri sit; sed quia sub s. Iohannis damasceni nomine edidit eam Lequinius opp. T. II. p. 849. seqq., a me praetermitti debuit. — 1) Recole p. 34. n. 1.

τοῦ ψάλλοντος λύρα· σήμερον τοιγαροῦν ὁ ἐπίγειος οὐρανὸς τῷ τῆς ἀφθαρσίας περιβολαίῳ ἑλισσόμενος, ἐξαλλάττεται εἰς διαμονὴν τὴν βελτίονά τε καὶ μακραίωνα· σήμερον ἡ νοητὴ καὶ θεοφώτιστος σελήνη τῷ τῆς δικαιοσύνης ἡλίῳ συνεισβάλλουσα, ἐκλείπει μὲν τοῦ τῆς παραυτίκα ζωῆς προσκαίρου, ἐν τ' αὐτῷ δὲ ἀνατέλλουσα καταλαμπρύνεται τῷ τῆς ἀθανασίας ἀξιώματι· σήμερον ἡ χρυσότευκτος καὶ θεοκατασκεύαστος κιβωτὸς τοῦ ἁγιάσματος ἐκ τῶν ἐπιχθονίων σκηνωμάτων ἀπαίρουσα πρὸς τὴν ἄνω Ἱερουσαλὴμ μετακομίζεται εἰς κατάπαυσιν ἀτελεύτητον· καὶ ὁ θεοπάτωρ Δαυὶδ οἷά τις κιθαρίζων ἐκεῖνα ἡμῖν μελῳδῶν ἀναφθέγγεται *· ἀπενεχθήσονταί, φησιν, τῷ βασιλεῖ παρθένοι, δηλαδὴ ψυχαί, ὀπίσω αὐτῆς ἀπενεχθήσονταί σοι.

* Ps. XLIV. 15.

β'. Νῦν οὖν αἰσθητοὺς ὀφθαλμοὺς ἡ θεοτόκος συμμύσασα, τοὺς νοητοὺς ἡμῖν ὡς λαμπροὺς καὶ μεγάλους ἀνίσχει φωστῆρας, μήπω καταδύσαντας, εἰς τὸ γρηγορεῖν τὲ καὶ ἐξιλάσκεσθαι τῷ προσώπῳ τοῦ θεοῦ ὑπὲρ τῆς τοῦ κόσμου ἀντιλήψεως· νῦν ἐν τῇ ἐνάρθρῳ φωνῇ τὰ θεοκίνητα χείλη ὑποσιωπήσασα, ἀείλαλον αὐτῆς τὸ πρεσβευτικὸν ὑπὲρ τοῦ παντὸς γένους ἐξανοίγει στόμα· νῦν τὰς σωματικὰς καὶ θεοφόρους παλάμας ὑποστείλασα, ἀειρομένας αὐτὰς ἀφθαρτισθεῖσα πρὸς τὸν δεσπότην ὑπὲρ τῆς οἰκουμένης ἁπάσης παρίστησιν· ἄρτι τὸν ἡλιοειδῆ καὶ φυσικὸν χαρακτῆρα ἀποκρύψασα, ἀκτινολαμπεῖ τῇ σκιαγραφικῇ αὐτῆς εἰκόνι, καὶ προστίθησι τοῖς λαοῖς εἰς ἀσπασμὸν εὐεργετικὸν σχετικῆς προσκυνήσεως, κἂν μὴ βούλωνται οἱ αἱρετίζοντες 1)· ἄνω δὴ ἀναπτᾶσα ἡ πάναγνος περιστερά, τὰ κάτω φυλάττειν οὐ παύεται· τοῦ σώματος ἐξελθοῦσα, τῷ πνεύματι σὺν ἡμῖν ἐστιν· εἰς οὐρανοὺς εἰσαχθεῖσα, ἐξοστρακίζει τοὺς δαίμονας μεσιτεύουσα τὰ πρὸς κύριον· πάλαι μὲν διὰ τῆς προμήτορος Εὔας ὁ θάνατος εἰσ-

renum caelum incorruptibilitatis vestimento circumamictum transfertur ad meliorem aeternamque mansionem. Hodie spiritalis atque a Deo illuminata luna in iustitiae solem incurrens, deficit quidem a praesenti temporali vita, simulque exoriens immortalitatis dignitate illustratur. Hodie inaurata et divinitus fabricata sanctitatis arca de terrenis tabernaculis ad supernam Hierusalem commigrat, in requiem fine carentem; id quod nobis et theopater David, cithara veluti canens ait: adducentur regi virgines; id est animae, post illam tibi afferentur.

2. Nunc ergo materiales oculos Deipara claudens, spiritalia nobis et magna attollit luminaria, numquam occasura, ante scilicet conspectum Dei pro mundi tutela pervigilantia: nunc cum vox articulata in eius commotis a Deo labiis silet, ad aeternam loquelam supplex suum pro universo hominum genere os adaperit: nunc corporales suas, quae Deum gestavere manus demittens, facta immortalis, ad Dominum pro mundi salute attollit: nunc soli parem subtrahens naturalem formam, splendet tamen in picta icone sua, quam populis ad congruae venerationis salutarem contactum exhibet; etiamsi id minime vellent haeretici: et quum in supera evolaverit columba sanctissima, inferiora haec protegere non desinit: corpore egressa, spiritu nobiscum est: caelo inlata, daemones fugat facta apud Dominum mediatrix. Olim quidem per progenitricem Evam mors ingressa mundum imperio

1) Intelligit iconomachos mariani cultus infensissimos hostes.

ἐλθὼν ἐκοσμοκράτησε, νῦν δὲ τῇ μακαρίᾳ θυγατρὶ αὐτῆς ὁμιλήσας ἀποκέκρουσται, ἐκεῖθεν ἐκνικώμενος ὅθεν τὸ κράτος εἰσεδέξατο· ἀγαλλιάσθω τοίνυν τὸ γυναικεῖον γένος ἀντ' ὀνείδους δόξαν κατακληρούμενον· εὐφραινέσθω ἡ Εὔα, οὐκέτι γὰρ ἐπάρατος εὐλογίας γόνον τὴν Μαρίαν περιφέρουσα· σκιρτάτω ἡ σύμπασα κτίσις, τὰ τῆς ἀφθαρσίας νάματα μυστικῶς ἐκ τῆς παρθενικῆς πηγῆς ἀρυομένη, καὶ τοῦ θανατηφόρου δίψους ἀποπαύουσα· τοιαῦτα ἡμῖν τὰ ἑορταζόμενα σήμερον· τηλικαῦτα τὰ ὑμνολογούμενα, ἃ ἡμῖν ἡ χριστοανθὴς ῥίζα τοῦ Ἰεσσαὶ, ἡ ἱερόβλαστος ῥάβδος τοῦ Ἀαρὼν, ὁ νοητὸς παράδεισος τοῦ τῆς ζωῆς ξύλου, ὁ ἔμψυχος λειμὼν τῶν παρθενικῶν ἀρωμάτων, ἡ κυπρίζουσα θεογεώργητος ἄμπελος τοῦ πεπείρου καὶ ζωοσταγοῦς βότρυος, ὁ ὑψηλὸς καὶ ἐπηρμένος χερουβικὸς θρόνος τοῦ παμβασιλέως, ὁ πλήρης οἶκος τῆς δόξης κυρίου, τὸ τοῦ Χριστοῦ ἅγιον καταπέτασμα, ὁ τῆς ἀνατολῆς φαεινότατος τόπος, κοιμηθεῖσα ἐν εἰρήνῃ καὶ δικαιοσύνῃ χαρίζεται· κοιμηθεῖσα φημὶ, ἀλλ' οὐκ ἀποθανοῦσα· μεταστᾶσα, ἀλλ' οὐ καταλιποῦσα ὑπερασπίζεσθαι τοῦ γένους· ποίῳ τοίνυν λόγῳ παραστήσομέν σου μυστήριον, ἀποροῦμεν ἐννοῆσαι, ἀσθενοῦμεν ἐκφράσαι, ἰλιγγιῶμεν διαγράψαι, ὅτι ξένον καὶ ὑψηλὸν καὶ ἐπηρμένον διανοίαις ἁπάσαις· οὐ γὰρ ὡς ἐπὶ τῶν ἄλλων κοινωνεῖ καὶ συμφέρεται, ἵνα δῶμεν προχείρως ἐκ τῶν καθ' ἡμᾶς τὰς ἀποδείξεις, ἀλλ' ἐκ τῶν ὑπὲρ ἡμᾶς τὰ περί σου εὐσεβῶς διαλαμβάνοντες, παραχωροῦμεν σοὶ μόνῃ τὰ ὑπὲρ ἄνθρωπον· διήλλαξας τοιγάρτοι τὴν φύσιν κατὰ τὴν ἄῤῥητον γέννησιν· ποῦ γὰρ ἔγνω τίς παρθένον ἀσπόρως συλλαμβάνουσαν; ὢ τοῦ θαύματος· τὴν ὡς μητέρα λοχεύουσαν, ὁρᾷ ὡς ἄφθορον παρθενεύουσαν, ἐπειδὴ θεὸς ἦν τὸ γεννώμενον· τοῦτο οὖν καὶ ἐπὶ

premebat; nunc tamen beatam illius filiam adgressa, depulsa est; indidem victa, unde olim potentiam sumpserat. Laetetur igitur femineum genus, pro ignominia gloriam sortitum. Gaudeat Eva, quae iam deinceps non est maledicta, postquam benedictionis sobolem Mariam protulit. Exultet creatura universa, quae immortalitatis fluenta ex virgineo fonte mystice haurit, quibus a mortifera siti liberatur. Haec nostra est hodierna sollemnitas: haec est hymnologia quam nobis suppeditat Iessae radix quae florem Christum extulit, sacra Aaronis virga frondescens, intellectualis paradisus ubi vitae lignum, spiritale pratum virginalium aromatum, florida et a Deo exculta vitis maturi vitaque manantis racemi: celsus elevatusque thronus cherubicus regis universalis, domus gloria Domini plena, sanctum Christi velamen, lucidissima orientis regio, quae in pace ac iustitia obdormivisti, obdormivisti inquam potius quam obiisti: translata es, neque tamen humanum genus protegere desinis. Quibusnam itaque verbis mysterium tuum explanemus, mente ambigimus, lingua infirma non eloquitur, scribere titubamus, quia peregrinum excelsumque est, atque omnes cogitationes transcendit. Neque enim illud commune aliquid habet aut comparativum, ut facile ex rebus nostris demonstrationem illius faciamus; sed ex iis quae supra nos sunt, decora tua pie comprehendentes; uni tibi quae superiora homini sunt concedimus. Immutasti igitur naturam ineffabili partu tuo. Quandonam enim audivit quisquam virginem sine semine concipientem? O rem miram! quae mater est pariens, eam vides virginem incorruptam, quia scilicet quod pariebatur, Deus erat. Hoc unum

τῇ ζωοφόρῳ κοιμήσει, ἐξαλλάττουσα τῶν λοιπῶν, εἰκότως μόνη ἔχεις τοῦ συναμφοτέρου τὸ ἄφθαρτον.

γ'. Ἀλλ' ἡ Σιὼν ἡμῖν ἀφηγείσθω τὰ τῆς ἡμέρας παράδοξα 1)· πεπλήρωτο τοίνυν τὸ τῆς ζωῆς ὁροθέσιον· παρῆν ἡ τῆς ἀναλύσεως ὥρα· προέγνω ὡς οἷα θεοῦ μήτηρ ἡ παναγία τὸ τῆς μεταστάσεως στάδιον· πόσον γὰρ δοίη τίς τὸ μεῖζον, ὦ φιλόχριστοι, πρὸς πάντα τὸν δουλικῶς ὁρῶντα, τῇ μητρὶ τοῦ θεοῦ καὶ ἀρχιπροφήτιδι; ἐπεὶ δὲ ταῦτα ᾔσθετο καὶ μεμάθηκεν, οἷα ἡμῖν ὁ λόγος ἀνακαλεῖσθαι αὐτὴν ὑποφαίνει; ἧκεν ἡμέρα τῆς ἐξόδου μου· ἧκεν ὁ χρόνος τῆς πρὸς σὲ ἐκδημίας μου· παρέστωσαν μοι οἱ λειτουργήσοντες τὰ ἐντάφια, δέσποτα· ἐπισταίησαν οἱ τὴν κηδείαν συντελέσοντες διάκονοι, καὶ εἰς μὲν χεῖράς σου παραθήσομαι τὸ πνεῦμα μου· παλάμαις δὲ τῶν μαθητῶν σου τὸ ἄψαυστον καὶ θεόδοχον σῶμά μου, ἐξ οὗπερ σὺ ἡ ἀθανασία ἀνατέταλκας ἐκκομίσασθαι· παραστήτωσάν μοι οἱ ἐν τοῖς πέρασι διεσπαρμένοι πρὸς εὐφροσύνην μου, οἱ κήρυκες καὶ ὑπηρέται τοῦ εὐαγγελίου σου· καὶ εἰ τὸν δίκαιον Ἐνὼχ ἔτι ζῶντα μεταθέσθαι διὰ τὸ χρειῶδες ηὐδόκησας· τόν τε θεσβίτην Ἠλίαν ἐπαρθῆναι πυρίνῳ ἅρματι ἐκ τοῦ ἐμφανοῦς πρὸς ἀδήλους χώρας, ἀμφοτέρους τὸν τῆς φρικτῆς σου καὶ παμφαοῦς δευτέρας παρουσίας ἀναμένοντας χρόνον· καὶ αὖθις εἰς τὸν προφήτην Ἀμβακοὺμ ἀπὸ Ἱερουσαλὴμ εἰς Βαβυλῶνα διὰ χρείαν τοῦ Δανιὴλ ἐν μιᾷ καιροῦ ῥοπῇ μεταστῆσαι καὶ ἀναποδίσαι ἐτερατούργησας· τί σοι οὐ δυνατὸν θελήσαντι μόνον; ταῦτα ἐπεὶ λέλεχεν ἡ πανύμνητος, καὶ ἡ ἀποστολικὴ δωδεκὰς ἐπέστη, ἄλλος

itaque etiam in vitali dormitione, a ceteris differens, merito sola habes, utriusque simul (corporis et animae) incorruptelam.

3. Sed iam nobis Sion enarret diei illius mirabilia. Completus erat vitae terminus; aderat resolutionis hora. Praecognoverat, ut par erat, Dei mater sanctissima translationis suae stadium. Quis enim hoc multo magis, o philochristi, prae aliquo quolibet servilis conditionis vate, matri Dei et principi prophetarum non attribuat? Postquam igitur haec sensit et agnovit, qualia ipsam elata voce dixisse ratio nobis suadet? Venit, inquit, exitus mei dies: venit tempus mei ad te transitionis. Adsint mihi qui meas exequias curent, Domine: adsistant, funus meum curaturi ministri; et in manus tuas spiritum meum commendabo. Manibus discipulorum tuorum, intactum Deique receptaculum corpus meum, ex quo tu qui es ipsa immortalitas prodiisti, efferatur. Adsint mihi ad solatium qui in cunctis terrae finibus dispersi sunt, praecones ac ministri evangelii tui. Quod si iustum Enochum viventem adhuc propter suam bonitatem transferri voluisti; et Eliam thesbitem igneo curru sustolli ex hac cognita ad ignotas regiones, ambos scilicet tremendi tui ac splendidissimi adventus tempus expectantes: si praeterea prophetam Habacucum ex Hierosolymis Babylonem usque, ob Danihelis necessitatem, uno temporis momento transferri, et inde reverti mirabiliter fecisti; quid tibi impossibile sit, modo velis? Vix haec dixerat laudatissima virgo, cum duodecim apostoli supervenerunt, alius aliunde ceu nebulae alis spiritûs ad lucis nebulam

1) De Deiparae obitu, eiusque loco, et apostolis ut pie creditum est adsistentibus etc. prolixe eruditeque Trombellius in vita eiusdem Deiparae Tom. IV. dissert XLV. prolatis variis ex antiquitate testibus ac documentis, quae heic repetere non vacat. Nunc autem noster quoque Studita testis non contemnendus accedit.

ἀλλαχόθεν ὡς νεφέλαι τῷ πτερῷ τοῦ πνεύματος πρὸς τὴν τοῦ φωτὸς νεφέλην ἐλασθέντες καὶ καταπαύσαντες· τί οὖν φησιν ἡ θεώνυμος καὶ πολυώνυμος καὶ μεγαλώνυμος; ἄρασα κύκλῳ τοὺς ὀφθαλμοὺς ἀνακεκλιμένη καὶ ἰδοῦσα τοὺς ζητουμένους, ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ κυρίῳ, καὶ ἔσται μοι τοῦτο εἰς ὄνομα εὐφροσύνης καὶ εἰς αἴνεσιν καὶ μεγαλειότητα παρὰ πᾶσι τοῖς ἔθνεσι τῆς γῆς, ὅτι συνήγαγέ μοι τοὺς θεμελίους τῆς ἐκκλησίας, ὅτι συνήθροισέ μοι τοὺς ἄρχοντας τῆς οἰκουμένης, τοὺς θαυμαστοὺς ὑπηρέτας τῆς ἐμῆς κηδείας· ὢ μεγαλοφυοῦς τερατουργήματος· ὢ μητρικῆς ἀφοσιώσεως ἔργον· ὢ σχέσεως υἱκῆς δῶρον· οὐρανός μοι τὸ δωμάτιον κατεφάνη, τοὺς φωστῆρας τοῦ κόσμου ἐν ἑαυτῷ περιφέρων· ναὸς κυρίου ἡ ὀρόφη ὤφθη, τοὺς θείους μύστας καὶ ἱερουργοὺς παραστήσασά μοι· οὐκέτι τὸ ἰουδαϊκὸν σύστημα μελετήσει τὴν κατ' ἐμοῦ παροινίαν· οὐκέτι κατ' ἐμοῦ ἐφοπλίσει τὴν πάντορμον χεῖρα πρὸς ἐμὴν φονοκτονίαν τὸ ἱερατικὸν βουλευτήριον· πάλαι μὲν οὖν μεμελετηκότες συνανῄρουν ἂν τῷ υἱῷ τὴν μητέρα οἱ φιλαίμονες, ἀλλὰ διήμαρτον τοῦ σκοποῦ, εἰργούσης αὐτοὺς τῆς προνοίας ἄνωθεν· πρὸς ἀσύλους μεταβιβάζομαι κατοικεσίας, πρὸς ἀσύλους καὶ ἀνενοχλήτους διαναπαύσεις, ἔνθα οὐ παρεισδύει ὁ ἐχθρὸς τὰ τῆς κακίας ἔνεδρα, ἔνθα ἴδοιμι τὴν τερπνότητα κυρίου, καὶ ἐπισκέψομαι τὸν ναὸν ὁ παμφαὴς ναὸς αὐτοῦ.

δ'. Ἀλλ' οἷα πρὸς αὐτὴν, εἴτε ἀφ' ἑαυτῶν, εἴτε παρὰ τῶν προφητικῶν στομάτων ἐκλεξάμενοι οἱ μακάριοι ἀπόστολοι:

α'. Χαίροις 1), φησὶ, κλίμαξ ἐστηριγμένη ἀπὸ γῆς εἰς οὐρανὸν, δι' ἧς ἡ

(nempe quae lucem fulgore suo obscurabat) delati donec illic pedem figerent. Quid ergo dixit virgo theonyma, polyonyma, megalonyma? Oculos circumferens de suo recubitu, densque expetitos discipulos, laetetur, inquit, anima mea in Domino, sitque hic mihi gaudii titulus, et laudationis atque amplitudinis apud omnes terrae populos, quia congregavit mihi Dominus ecclesiae fundamenta, mundi principes adunavit, mirabiles funeris mei ministros. O grande portentum! o maternae sanctificationis opus! o filialis dilectionis donum! Caelum mihi patet hospitium, quod mundi luminaria continet: templum Domini, caeleste lacunar, aperitur, divos mystas sacerdotesque mihi ostendens. Haud iam ulterius iudaica factio meditabitur adversus me vesaniam, neque adversus me violentam manum armabit caedi meae anhelans sacerdotalis senatus. Iamdiu quidem hi cruenti moliti sunt matrem cum filio perimere, sed scopo aberrarunt, superna eos cohibente providentia. Ad tuta transmigro habitacula, ad tutam et sine molestia quietem, ubi inimicus malitiae suae insidias non collocat, ubi Domini deliciis fruar, templumque spectabo ego quae illius templum splendidum fui.

4. Age vero quid Virgini responderunt sive propriis sive prophetarum verbis beati apostoli?

1) Imitatur Theodorus S. Cyrillum alex. (in oratione de B. Maria opp. T. V. part. 2. p. 379. (Dicerem imitari quoque Damascenum; nisi nuper p. 54. in adnotatione monuissem lectores, orationem illam de nativ. B. Mariae, editam inter damascenicas, Theodorum potius habere parentem, teste etiam codice vaticano 455.

καθ' ἡμᾶς κάθοδος, καὶ ἡ εἰς οὐρανοὺς ἄνοδος γέγονε τοῦ κυρίου, κατὰ τὸν μέγαν πατριάρχην Ἰακώβ.

β'. Χαίροις βάτε παραδοξοειδέστατε ἐξ ἧς ἐπεφάνη ἄγγελος κυρίου ἐν φλογὶ πυρὸς, ἥνπερ κατακαῖον τὸ πῦρ οὐ κατέκαιεν, κατὰ Μωϋσέα τὸν θεοπτικώτατον.

γ'. Χαίροις ὁ θεόδεκτος πόκος ἐξ ἧς ἀπεῤῥύη ὁ οὐράνιος δρόσος πλήρης λεκάνη ὕδατος, κατὰ Γεδεὼν τὸν θαυμασιώτατον.

δ. Χαίροις πόλις τοῦ βασιλέως τοῦ μεγάλου, ἣν οἱ βασιλεῖς θαυμάζοντες μεγαλύνουσι, κατὰ Δαβὶδ τὸν ᾀσματόγραφον.

ε. Χαίροις ἡ νοητὴ Βεθλεὲμ, ὁ οἶκος τοῦ Ἐφραθᾶ, ἐξ οὗ ἐξελήλυθεν ὁ βασιλεὺς τῆς δόξης τοῦ εἶναι εἰς ἄρχοντα ἐν τῷ Ἰσραὴλ, οὗ αἱ ἔξοδοι ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος, κατὰ Μιχαίαν τὸν θειότατον.

ς. Χαίροις τὸ κατάσκιον παρθενικὸν ὄρος, ἐξ οὗ ὁ ἅγιος τοῦ Ἰσραὴλ ἐπεφάνη, κατὰ Ἀμβακοὺμ τὸν θεοβόητον.

ζ'. Χαίροις λυχνία χρυσοειδέστατε καὶ φωτοφόρε, ἐξ ἧς περιέλαμψε τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις τὸ ἀπρόσιτον φῶς τῆς θεότητος, κατὰ Ζαχαρίαν τὸν θεσπέσιον.

η'. Χαίροις τὸ παγκόσμιον ἱλαστήριον τῶν βροτῶν, δι' οὗ ἀπὸ ἀνατολῶν ἡλίου καὶ ἕως δυσμῶν τὸ ὄνομα κυρίου δεδόξασται ἐν τοῖς ἔθνεσι καὶ ἐν παντὶ τόπῳ θυμίαμα τῷ ὀνόματι αὐτοῦ προσάγεται, κατὰ Μαλαχίαν τὸν ἁγιώτατον.

θ. Χαίροις κούφη νεφέλη ἐν ᾗ κύριος κεκάθηκε, κατὰ Ἡσαΐαν τὸν ἱεροφωνότατον.

ι. Χαίροις ἱερὰ βίβλος τῶν προσταγμάτων κυρίου, καὶ ὁ νεοχάρακτος νό-

1. Ave, aiebant, scala a terra in caelum protensa, per quam Domini ad nos descensus, et in caelum reditus fuit, ut Iacob patriarcha vidit.
2. Ave rube mirabillime, ex quo angelus Domini apparuit in ignis flamma, quem ardens ignis non amburebat, sicuti summo Dei spectatori Moysi ostensum est.
3. Ave Deo gravidum vellus, ex quo caelestis ros defluxit, immo plenus aqua catillus, quod admirabili contigit Gedeoni.
4. Ave civitas regis magni, quam admirabundi reges magnificant, ut hymnographus David delineat.
5. Ave intellectualis Bethleem, domus Ephratha, ex qua egressus est rex gloriae, ut fieret princeps in Israhele, cuius exitus ab initio dierum saeculi, ut ait divus Michaeas.
6. Salve umbrose mons virginee, ex quo sanctus Israhelis apparuit, ut Habacucus divinitus instinctus clamat.
7. Ave lucerna auro splendens lucifera, ex qua sedentibus in tenebris et in umbra mortis effulsit inaccessa deitatis lux, secundum divinitus afflatum Zachariam.
8. Ave universale mortalium propitiatorium, per quod ab ortu solis usque ad occasum nomen Domini glorificatur in gentibus, et in omni loco thurificatio nomini eius offertur, sicut ait sanctissimus Malachias.
9. Ave levis nebula, in qua Dominus resedit, ut est apud sacra magnaque voce praeditum Isaiam.

μος τῆς χάριτος, δι' ἣν τὰ ἀρεστὰ θεῷ, ἡμῖν γνωστά ἐστι, κατὰ Ἱερεμίαν τὸν πολυθρηνότατον.

ια. Χαίροις πύλη κεκλεισμένη, δι' ἧς κύριος ὁ θεὸς τοῦ Ἰσραὴλ εἰσελήλυθεν καὶ ἐξελήλυθεν, κατὰ Ἰεζεκιὴλ τὸν θεοπτικώτατον.

ιβ. Χαίροις τὸ ἀλάξευτον χειρουψηλότατον ὄρος, ἐξ οὗ ὁ ἀκρογωνιαῖος ἀποτέτμηται λίθος, κατὰ Δανιὴλ τὸν θεολογικώτατον.

ε'. Καὶ ποῖος νοῦς χωρήσειεν, ἢ τίς λόγος ἐφίκοιτο, ὅσα ἐκεῖσε ἦσαν, ἔφασαν, ἐμακάρισαν οἱ θεολόγοι; Ἀλλ' ἐπειδὴ τὰ εἰκότα ἱερούργησαν ἱερῶς, καὶ ἁγίως τὰ ἅγια ἐπετέλεσαν, ἰδοὺ παρεγένετο καὶ ὁ κύριος μετὰ δόξης ἰσχύος αὐτοῦ καὶ πάσης στρατιᾶς οὐρανοῦ· καὶ ἀοράτως μὲν ἐλειτούργουν οἱ ἀσώματοι, σωματικῶς δὲ οἱ ἀπόστολοι ὑμνῳδοὶ τῆς θείας μεγαλειότητος ἐδείκνυντο· συμμιγὴς ἦν, ἀδελφοὶ, ἡ πανήγυρυς καὶ ὁ θίασος οὐράνιός τε καὶ ἐπίγειος· καὶ μὴ ξενιζέτω ὁ λόγος τὰ θεοπρεπῆ ὑπογράφων, ἀγγέλων, ἀρχαγγέλων, κυριοτήτων, θρόνων, ἀρχῶν, ἐξουσιῶν, δυνάμεων, τῶν χερουβικῶν, καὶ σεραφικῶν, ἀποστόλων, μαρτύρων, δικαίων, τῶν μὲν προτρεχόντων, τῶν δὲ προσυπαντώντων, τῶν μὲν ἡγουμένων, τῶν δὲ προηγουμένων, τῶν δε ἑπομένων, τῶν δὲ παρεπομένων, πάντων φωνῇ μιᾷ ἐν εὐφροσύνῃ βοώντων· ᾄσατε τῷ κυρίῳ· αἰνέσατε τὸν κύριον· εὐλογημένος κύριος ἐπὶ δίκαιον ὄρος τὸ ἅγιον αὐτοῦ· καὶ ἀνυψωθήτω ὁ οὐρανὸς εἰς τὸ μετέωρον· τίς οὖν ἤκουσεν ἐξ αἰῶνος τοιοῦτον ἐξόδιον, ὁ φιλόχριστοι; τίς ἔγνω τηλικαύτης κηδείας προπομπήν; τίς ᾔσθετο τοιαύτης μεταβάσεως πώποτε, οἵας ἡ μήτηρ τοῦ κυρίου μου ἠξίωται; καὶ οὐκ ἀπεικός· ἐπειδήπερ οὐδέ τις ὑπέρτερος αὐτῆς δέδεικται, μειζο-

10. Ave sacer mandatorum Domini liber, noviter scripta gratiae lex, per quam Deo placita nobis innotescunt, prout luctuosissimus ait Hieremias.

11. Ave ianua clausa, per quam Deus Israhelis ingressus est et egressus, sicut summus Dei speculator Ezechiel scribit.

12. Ave nulla manu laborate mons celsissime, ex quo angularis abscisus fuit lapis, sicut ait summus theologus Daniel.

5. Sed enim quaenam mens complectatur, vel oratio exaequet, quot quantaque ibi cecinerunt, dixerunt, laudativo praeconio extulerunt theologi viri? At postquam iustis sacris functi fuerunt, sancteque sancta peregerunt, ecce adfuit ipse Dominus cum gloria fortitudinis suae omnique caelorum exercitu. Et invisibiliter quidem incorporei (angeli), corporaliter autem apostoli divinorum magnalium hymnistae erant. Mixta erat, o fratres, panegyris atque chorus caelestium ac terrenorum (nec quisquam miretur nostram Deo dignas res narrantem orationem), angelorum, archangelorum, dominationum, thronorum, principatuum, potestatum, virtutum, cherubinorum, seraphinorum, apostolorum, martyrum, iustorum: quorum alii deducebant, alii praecedebant, alii subsequebantur, alii stipabant, cunctique una voce cum iubilis clamabant, cantate Domino, laudate Dominum, benedictus Dominus super iusto monte sancto eius, et exaltetur caelum in sublime. Quis ergo audivit par canticum a saeculo, o philochristi? quis huiusmodi exequiarum pompam? Quis umquam talem transitum novit, quali mater Domini mei digna fuit? Neque id immerito, quandoquidem nemo illa

τέρας οὔσης ἁπάντων· φρίττει μου οὖν τὸ πνεῦμα τὸ μεγαλεῖον τῆς μεταστάσεώς σου, ὦ παρθένε, διενθυμούμενος· ἐκπλήττεταί μου ὁ νοῦς τὸ τῆς κοιμήσεώς σου θαυμάσιον ἀναλογιζόμενος· συνδέδεταί μου ἡ γλῶττα τὸ τῆς παλινζωΐας 1) σου μυστήριον ἐκδιηγουμένη· Τίς γάρ ἐστιν ἐκεῖνος, ὃς ἐπαξίως ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις σου; διηγήσοιτο πάντα τὰ θαυμάσιά σου; ποῖος νοῦς ὑψηγορῶν ῥητορεύσει: ποία γλῶσσα μεγαληγοροῦσα φθέγξεται. καὶ τὰ σὰ ἐξείποι, τὰ σὰ παραστήσει, τοῖς σοῖς προσβάλλει ῥήμασιν, ἢ τῶν σῶν ἐφικνεῖται θαυμασίων τελετῶν, πανηγύρεων, ἑορτῶν, διηγήσεων, ἐγκωμίων; μεθ' ὧν καὶ τοῦ παρόντος μυστηρίου ἀσθενεῖ, ἀτονεῖ, ἀποτυγχάνει, ἀπελέγχεται· καὶ γὰρ ὑπερέχεις, ὑπερβάλλεις, ὑπερτερεύεις ἀσυγκρίτως, ἐν ὕψει καὶ μεγέθει τοῦ ἀνωτάτου πόλου, ἐν ἁγνείας λαμπρότητι τοῦ ἡλιακοῦ φάους, ἐν παῤῥησίας οἰκειώσει τῆς ἀγγελικῆς ἀξίας, πάσης τῆς αὔλου καὶ λογικῆς οὐσίας νοητῶν τε καὶ νοερῶν δυνάμεων.

ς'. Ἀλλ' ὦ τῆς ἐπιφανοῦς σου καὶ λαμπρᾶς, δι' ἡδονῆς γάρ ἔχω λέγειν, πανηγύρεως· ὦ τῆς σημειοφόρου καὶ θαυμαστοποιοῦ μεταστάσεώς σου· ὦ τῆς ζωοπαρόχου καὶ ἀειφθαρτοδωρήτου ἐνταφιάσεώς σου τῆς φωτοκυήτορος· ἀλλὰ τὰς νεφέλας διασχοῦσα, καὶ εἰς οὐρανὸν ἀνιοῦσα, καὶ εἰς τὰ ἅγια τῶν ἁγίων εἰσιοῦσα ἐν φωνῇ ἀγαλλιάσεώς τε καὶ ἐξομολογήσεως κατευλογῆσαι ἀξίωσον, Θεοτόκε, τὰ τῆς οἰκουμένης πέρατα· πρεσβείαις σου τοὺς ἀέρας εὐκρατοῦσα, τοὺς ὄμβρους εὐκαίρως δωρουμένη, τοὺς ἀνέμους εὐθετοῦσα, τὴν γῆν εὐ-

excelsior, quae omnium maxima fuit. Horret spiritus meus, dum transitus tui magnalia, o Virgo, recogitat. Perhorrescit mens mea, dum tuae dormitionis admirabilitatem reputat. Haeret lingua mea, dum tui reviviscentis mysterium enarrat. Nam quis digne auditas faciet omnes laudes tuas, et narrabit cuncta mirabilia tua? Quaenam mens satis sublimi facundia eloquetur? quaenam lingua magnisona praedicabit? tua inquam decora effabitur, res tuas describet, merita tua verbis exprimet, vel tua mirabilia exaequabit mysteria, celebritates, festos dies, laudationes, encomia? Quamobrem ad hoc quoque mysterium celebrandum infirma est, viribus impar, et adtingendo scopo inepta convincitur. Tu enim superemines, excedis, incomparabiter superas, altitudine, magnitudine, sublimissimam quamlibet caeli partem: sanctitatis quidem splendore lucem solis, meritorum iure angelorum dignitatem, et cuiuslibet incorporeae rationalis substantiae intellectualium et intelligibilium virtutum.

9. Sed o illustrem splendidamque, sic enim laetanter aio, sollemnitatem tuam! O prodigiosum plenumque stupore transitum tuum! O vitae incorruptelaeque datricem sepulturam tuam, o lucis Parens! Sed nubes permeans, et in caelum conscendens, et in sancta sanctorum ingressa in voce exultationis et confessionis, benedicere digneris, o Deipara, orbi terrarum; intercessionibus tuis aërem salubriter tempe-

1) De Deiparae corpore resuscitato et in caelos assumpto, copiose item Trombellius in citato operis tomo dissert. XLVI. Videndus insuper Benedictus XIV. de festis lib. II. cap. 8. Rem attingit etiam Atto vercellensis in sermone XVII. inter illos a nobis editos. Inter vetera scripta eminet pseudo-Hieronymus tract. de assumptione B. Mariae ad Eustochium. Studita autem noster ecclesiasticam traditionem tenere se nunc indicat vocabulo παλινζωΐας. Et quidem pluribus verbis Damascenus orat. II. de dormitione Deiparae n. 14. Nunc adde Epiphanium monachum nuper a cl. Dresselio editum.

καρποῦσα, τὴν ἐκκλησίαν εἰρηνεύουσα, τὴν ὀρθοδοξίαν κρατύνουσα, τὴν βασιλείαν φυλάττουσα, τὰ βάρβαρα ἔθνη ἀποσοβοῦσα, ἅπαν τὸ χριστιανῶν φῦλον περιέπουσα· εἶτα καὶ τῆς ἐμῆς τολμηρίας συγγινώσκουσα· σοῦ γάρ ἐστι τὸ λόγιον, καὶ σὺ ὦ μήτερ θεοῦ τὸ ἐσόμενον προφητικῶς ἐμελῴδησας· ἰδοὺ γάρ, φησιν, ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί· ἐπεὶ οὖν οὐχ οἷόν τε διαπείπτειν σου τὸν θεόφραστον λόγον, δέξαιο κἀμοῦ τοῦ ἀναξίου σου οἰκέτου τὴν κατὰ δύναμιν πρόσρησιν, καὶ ἀπόδος τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου· σθένει τε τῶν πρεσβειῶν σου στήριξόν με, σὺν τῷ διαφέροντί μοι πατρὶ, καὶ τῇ ἀνακειμένῃ ποίμνῃ· ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ ἡ τιμὴ καὶ τὸ κράτος, σὺν τῷ παντοκράτορι πατρὶ καὶ τῷ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

ΛΟΓΟΣ Ζ′

ΕΓΚΩΜΙΟΝ ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΙΩΑΝΝΗΝ ΤΟΝ ΑΠΟΣΤΟΛΟΝ ΚΑΙ ΕΥΑΓΓΕΛΙΣΤΗΝ ΤΟΥ ΧΡΙΣΤΟΥ.

Cod. vat. 2019. f. 156.

1. Οὐρανοῦ προκειμένου ἡμῖν εἰς ὑπόθεσιν ἐγκωμίου, τίς ἄρα ἐξευρεθείη λόγος τῷ ὕψει τῶν ἐγκωμίων συνεπαρθῆναι δυνάμενος; ποία δὲ διάνοια ὑφάψοι τὸ τοῦ μεγέθους τῆς ὑπερφυοῦς αἰνέσεως; τάχα ἂν ἀποκάμοιμεν καὶ μόνον τῆς ὑποθέσεως κατάρξασθαι, ὡς τῶν ἀνεφίκτων ἐφαπτόμενοι, καὶ εἰς ἀπειροπληθὲς ὕψος πηδᾷν δοκιμάζοντες· καὶ μὴν οὐ τόνδε φημὶ τὸν πόλον, ὃν ἀστρῷοι

rans, imbres idoneo tempore donans, ventos apte regens, terram frugiferam faciens, ecclesiam tranquillam, orthodoxiam firmam, imperium tutum; barbaras autem gentes longe submovens, universum Christi populum protegens; postremo meae quoque audaciae parcens. Tuum enim hoc fuit effatum: tu, mater Dei, prophetice quod futurum erat cecinisti: ecce enim, inquiens, ex hoc tempore beatam me dicent omnes generationes. Quia igitur divinitus inspirata verba tua excidere nequeunt, recipe mei quoque indigni famuli tui, quam pro viribus dixi orationem, et redde laetitiam salutaris tui. Precum tuarum robore confirma me, cum praesule meo parente, et cum grege commisso: in Christo Iesu domino nostro, cui gloria et honor atque dominatio cum patre omnipotente, et vivifico spiritu nunc et semper et in saecula saeculorum. Amen.

ORATIO VII.

LAUDATIO IN S. IOHANNEM APOSTOLUM ET EVANGELISTAM 1).

1. Cum caelum nobis ad laudationis argumentum propositum sit, quis sermo invenietur, qui encomiorum altitudinem aequare possit? Quod vero ingenium ad magnitudinem se extollat nobilissimae laudis? Fors ipsâ dumtaxat argumenti adgressione fatiscemus, tamquam ea tentantes quae nemo adsequi possit, ac qui in immensam

1) Graecus huius orationis textus nunc primum prodit; interpretatio autem latina Combefisii est, a nobis tamen non parum, et quidem necessario, variata.

χορείαι ἐκπρεπῶς καταποικίλλουσιν, οὐδ' ὅνπερ ἥλιος ἁρματηλατῶν τὸν ἐφήμερον διανύει δίαυλον, οὐδ' οὐ μὴν ὅνπερ σελήνη μηνοειδὴς διαθέουσα ἡμεροφανῆ τὴν νύκτα ἀπεργάζεται· οὗ τοῦ θαύματος καὶ ἡ ὄψις διδάσκαλος, τοῖς τῆς κτίσεως ἐμβαθύνουσα κάλλεσι, καὶ πρὸς τὸν τῆς δημιουργίας αἴτιον τὸν νοῦν ἀναπέμπουσα· ἀλλ' οὐρανὸν ἐκεῖνον λέγοιμι, οὗ ἀστέρες ἀειφανεῖς τῶν ἀρετῶν σύνοδοι πολλῶν, πῷ φάει τῆς εὐπραξίας ἀποστιλβοῦντες, καὶ οὗπερ ἥλιος, τὸ εὐαγγελικὸν κήρυγμα, εἰς τὰ τῆς οἰκουμένης διάττων πέρατα, μυριοπλασίως ἡλίου φωτεινότερον φρυκτορεῖ κόσμον ὁρατόν τε καὶ ἀόρατον· σεληνιαίου γὰρ φωτὸς οὔπω δέδεκται, ὅτι μηδὲ νὺξ τὴν περὶ αὐτὸ ἡμέραν οἶδεν διαδέχεσθαι, ἀνεπιδύτως τοῦ φάους μαρμαρύσσοντος.

β'. Καὶ τί οὗτος ὁ μεγαληγορούμενος, μαθεῖν βούλεσθε; Ἰωάννης, ὦ ἄνδρες, ὁ ὑπερλίαν ἀπόστολος, τῶν εὐαγγελιστῶν ὁ προφερέστατος, ὁ τοῦ θεοῦ ἀετὸς, ὁ μέγας, ὁ χρυσοπτέρυξ, ὁ τοῦ οὐρανίου βυθοῦ ἐρευνητὴς ἄφθαστος, ὁ ἐπέκεινα τῶν χερουβὶμ ἀνανήξας τῇ θεωρίᾳ ἄνθρωπος, ὁ τῆς τοῦ λόγου ἀνάρχου ὑπάρξεως καὶ ἀγγέλοις ἄγγελος· ὁ μεγαλοφωνότατος τῆς ἀληθείας κῆρυξ· ὁ νοῦς ὁ ὑψόβλεπτος, ἡ γλῶσσα ἡ πύρινος, τὸ στόμα τὸ θεόφραστον, τῆς σοφίας τὸ ἄπειρον πέλαγος, τῶν δογμάτων ὁ βυθὸς ὁ ἄφθαστος, τῆς γνώσεως τὸ δοχεῖον τὸ μέγιστον, ἡ κοσμοφανὴς ἀστραπὴ τοῦ πνεύματος, ἡ οἰκουμενικὴ βροντὴ τῆς χάριτος, τῶν ἐκκλησιῶν ὁ στύλος ὁ ἀκρότατος, ὁ τοῦ θεοῦ στερεοπαγὴς θεμέλιος, ἡ ἀγρευτικὴ σαγήνη τῆς ἀνθρωπίνης φύσεως, ὁ ἁλιευτικὸς τῶν ψυχῶν οὐρανομήκης κάλαμος, ὁ κατὰ πασῶν αἱρέσεων πρίων

celsitudinem videamus prosilire. Non hunc autem polum dico, quem stellarum chori vario decore perornant, nec quem sol aurigans reciproco cursu quotidie peragrat; at neque quem luna cornuta percurrens, diei fulgore noctem collucentem praestat; cuius miraculi visus magister existit, dum in rerum creatarum pulchritudinem penetrat, animumque ad creationis auctorem transmittit: quin potius illud dixerim caelum, cuius stellae, perpetuo lucentes sunt multarum virtutum turmae, bonaeque actionis splendore fulgentes: et cuius sol, evangelica nempe praedicatio, ad orbis terrarum fines pervadens, mille partibus lucidius sole mundum collustrat, tum hunc oculis subiectum, tum illum sola cognitum mente. Non enim lunari lumine opus ei est: quippe cum ne nox quidem excipiat diem, quia splendoribus illustratur qui nunquam occidunt.

2. At scire vultis quisnam hic sit magnifice adeo praedicatus? Nimirum Iohannes est, auditores: Iohannes, inquam, perquam excellenter apostolus; evangelistarum praestantissimus; Dei aquila, magna illa pennis aureis praedita; caelestis profundi investigator, quem nullus adsequi potest: homo qui cherubinos contemplatione superavit, qui aeterni Verbi existentiam angelis ipsis nunciavit: vocalissimus veritatis praeco; mens sublimia spectans; lingua ignea; os divino sermone instructum; immensum sapientiae pelagus; dogmatum imperscrutabilis gurges; scientiae conceptaculum maximum; fulgur Spiritûs mundo relucens; gratiae tonitru mundum perstrepens; sublimis ecclesiarum columna, Dei firmissimum fundamentum; humanae naturae praedatrix sagena; piscatoria animarum arundo ad usque caelum attingens; serra

ἀεικίνητος, ἡ τὰ τῆς ἀσεβείας ζιζάνια διατέμνουσα ὀξεῖα μάχαιρα, ἡ τὰ τῆς ἀθεΐας στρατεύματα διατειχίζουσα κλεῖς οὐράνιος, ἡ σφενδονῶσα τοὺς νοητοὺς θῆρας θεοσθενὴς διάνοια, ὁ πελαγίζων ποταμὸς τῆς τοῦ θεοῦ σοφίας τὰ νάματα, ὁ τῆς παρθενίας ναὸς καθαρώτατος, ὁ τῷ ὄντος ἐραστῷ λίαν ἀγαπητὸς καὶ ἐπιστήθιος, ὁ μέγας τοῦ εὐαγγελίου ὡραιόδρομος ἥλιος, ἡ εὔηχος λύρα καὶ σάλπιγξ τοῦ πνεύματος· καὶ τί δεῖ λέγειν; οὐδ' εἰ μυριοστὸν φαίην κατάλογον δυνηθείην ἂν ἐξιχνεῦσαι τῶν ἐγκωμίων τὴν ἄβυσσον· φέρε δὴ, φέρε, οὐ τὸ ὅλον εἰπεῖν, τοῦτο γὰρ ἤδη ἄπορον, οὐ τῇ ἐμῇ ἀγλωττίᾳ, ἀλλὰ γὰρ καὶ οἷς ὑψηγορεῖν δύναμις, ἡττωμένοις τῷ μεγέθει τοῦ θαύματος, ὅτι μηδὲ ὕψος οὐρανοῦ μετρητόν· κἂν δοίη τίς συναίρειν τὸν ἔπαινον, βραχέα δέ τινα ἐκ τῶν εὐαγγελικῶν λειμώνων μελισσειδῶς ἄνθη λογήσαντες, καὶ ταῦτα οἷά τινα σίμβλα λογικῶς κηροπλαστήσαντες, καὶ ὡς ἀπαρτήσαντες τῇ ἀποστολικῇ πανηγύρει ὥσπέρ τινι βασιλίδι, ἐπίκουρον τὸν περὶ οὗ ὁ λόγος λαμβάνοντες, προσενεγκεῖν ἥδιστα θαρσήσομεν.

γʹ. Πατρίδα μὲν εἴ τις ἐπιζητήσοι ἐγκωμίων νόμοις ἐπερειδόμενος, ἀφ' ἧς ὁ ἀπόστολος εἰς φῶς ἐλήλυθεν, οὐ περιφανῆ ταύτην εὑρήσοι, ἀλλὰ γὰρ καὶ λίαν ἄσημον, τὴν Γαλιλαίαν· κοινοτέρως γάρ· ὅμως κἀνταῦθα περίβλεπτος ὁ ἀπόστολος· πῶς καὶ τίνι τρόπῳ; ὅτι ἐξ ἧς οὐδένα προφήτην ἐγηγέρθαι, οὐδ' οὐ μήν τι ἀγαθὸν εἶναι Ἰουδαίοις τε καὶ τῷ ἀληθῶς Ἰσραηλίτῃ ᾤετο, ἐνταῦθα Χριστὸς, ἡ πηγὴ πάσης ἀγαθότητος, ἐν γαστρὶ παρθένου τῆς ἀρχιπροφήτιδος

adversus omnes haereses, perpetuo motu agitata; acutus gladius, impietatis zizania dissecans; caelestis clavis impietatis turmas occludens; divino robore animus spiritales bestias velut fundâ impetens; fluvius Dei sapientiae latice exundans; virginitatis mundissimum templum; ei, qui revera amabilis est, valde carus, ac supra eiusdem pectus recumbens; magnus evangelii sol speciose discurrens; sonora Spiritûs lyra ac tuba. At quid opus est dicere? Ne si mille quidem titulis auctum catalogum contexam, eius possim pervestigare laudum abyssum. Age vero, age, non ut universa dicamus (hoc enim inconcessum, nedum mihi qui sermonis ac facundiae penuriâ laboro, sed et iis qui altiloquii facultate pollent, quos tantum illud miraculum ingenti sua magnitudine vincit; quando neque altitudo caeli eiusmodi est, ut eam metiaris). Quod si nobis concedatur, partem aliquam laudum conferre, pauca quaedam ex evangeliorum pratis in modum apum decerpentes, ac velut in quibusdam alveolis ceras ingeniose fingentes, atque huic sollemnitati apostolicae, tamquam reginae cuidam, circumponentes, ipsum sermonis auspicem adhibentes, de quo nobis est instituendus sermo; lubentissime offerre praesumemus.

3. Patriam quidem, ex qua apostolus in lucem prodiit, si quis encomiorum legibus nitens, inquirendam dixerit, haud illam admodum illustrem invenerit: quin etiam obscuram valde et ignobilem, nempe Galilaeam: communior enim haec est opinio. At hinc tamen spectabilis existit apostolus. Quomodo, aut quâ ratione? Quia unde nullus surrexisse propheta, ac nec boni quidem aliquid esse, Iudaeis pariter ac vero Israhelitae, videbatur, illic Christus totius bonitatis fons in Virginis principis prophetissae utero conceptus, illicque cum humanam induisset formam parentibus

συλλαμβάνεται· ὧδε μορφωθεὶς τῷ καθ' ἡμᾶς εἴδει ἐντέθραπται, τοῖς γονεῦσιν ὑποτασσόμενος τῆς πόλεως ἀφ' ἧς τὴν κλῆσιν εἴληφεν· ναζωραῖος γὰρ ὑπὸ τὴν Γαλιλαίαν, ὡς τῆς κώμης Βηθσαϊδᾶ ὑποτελούσης μάλιστα· ὡς ἀξιάγαστον τὸ ἔδαφος, ὡς μακαριστὴ ἡ πατρὶς, τῆς ἀδαμιαίας πατρίδος αἰδεσιμώτερον διαλάμπουσα, ὡς τὸν ἐξ οὐρανοῦ δεύτερον Ἀδὰμ σὺν τῷ Ἰωάννῃ προικοφορήσασα· γένος οὐδ' αὐτὸ εὐκαταφρόνητον· πῶς; ὅτι ἀπὸ Ζεβεδαίου καὶ Σαλώμης ὁμαίμονος Χριστοῦ κατὰ σάρκα ὁ εὐφημούμενος· ὢ πῶς εὐαγῶς ἀμφότερα εἰς ταυτὸν συνέδραμεν, τὸν υἱὸν τοῦ νυμφῶνος ἀδελφιδοῦν Χριστοῦ ἐξευρεθῆναι ἁρμοδιώτατον· καί γε τῶν ἀφ' ἡλίου ἀνατολῶν Ἰωάννης εὐγενέστερος, γένος θεοῦ χρηματίζεται ἀμφοτέρωθεν· ὁρᾶτε ἡλίκα ἀνεφάνη τὰ δόξαντα εἶναι φαυλότερα τῇ φιλοπόνῳ ἐργασίᾳ πλεκόμενα· τίς ἡ ἀνατροφὴ, ἐπιτήδευμα, ἥτις καὶ οἷον ἐπιδεικτέον, εἰ ἄρα κἀντεῦθεν καθ' εἱρμὸν βαίνει ὁ λόγος.

δ'. Οὐδὲν ἀπορώτερον ὧν ἴσμεν ἐν βίῳ μεθόδων ἁλιευτικῆς τέχνης, οὔτε μὴν τῆς περὶ αὐτὴν ἀνατροφῆς ἀγροικότερον· διότι τῶν μὲν ἄλλων τεχνῶν αἱ προχειρίσεις πρὸς τῷ ἐμπολιτεύεσθαι καὶ πλείονα πορισμὸν τῷ τεχνίτῃ εἰσφέρουσιν, ἄν τε λογικῶς ἄν τε πρακτικῶς εἴποιέν τις· τῆς δὲ, πρὸς τῷ ἰδιάζων, καὶ ἡ τῶν ἐδωδίμων σπάνη ἐφάμιλλος, ὡς πληροῦσθαι τὸ τοῦ γράμματος πᾶς, μόχθος ἀνθρώπου εἰς τὸ στόμα αὐτοῦ*· καὶ γάρ εἰσι ῥακοδοτοῦτες καὶ ἐρικνωμένοι, αὐχμηροὶ τὴν κόμην καὶ ὀψίκαυστοι, γυμνοποδοῦντες ὁμοῦ καὶ ἀναθέοντες, ἀκταῖς τε καὶ ἐρημικώτεροις τόποις ἐνδιατρίβοντες· πῇ μὲν πέτραις ὑπερκαθεζόμενοι, πῇ δὲ βυθοὺς διορῶντες, κἀντεῦθεν τὴν ἄγραν ἀνέχοντες· τίνος οὖν εἵνεκεν περιεργότερον ὑπεῖπον ταῦτα; ὅτι εἰ καὶ ταύτην τὴν τέχνην μέτ- * Eccle. VI, 7

subiectus, educatus est; cum civitas ex qua ille cognomen accepit (nazarenus enim appellatus est) Galileae provinciae esset: cui quidem Bethsaidae pagus subiectus erat. Quam dignum admiratione solum! Quam beata patria! Adami patria venerabilius effulgens, ut quae secundum e caelo Adamum cum Iohanne protulerit. Genus ne ipsum quidem contemptibile. Quomodo? Nimirum, quod is, quem laudamus, natus sit patre Zebedaeo, ac matre Salome, Christi, si carnem spectes, consanguinea. O quam sancte ac praeclare ambo concurrerunt, ut thalami filius, Christi consobrinus inveniretur! adeo ut Iohannes universis ab ortu Solis nobilior existat, qui utrimque Dei genus sit. Videtis quanta haec appareant, quae videbantur contemptibiliora, studioso opere nunc contexta? Quid ultra? Vitae studium, quodnam illud ac quale fuerit ostendendum est; siquidem hinc quoque orationis series procedit.

4. Inter studiorum ac professionum nota nobis in saeculo genera, nihil piscatoria arte egenum magis; nec quicquam vita piscationi addicta rusticius invenias: nimirum aliarum artium studia, praeter vitae ac conversationis rationem, maius quoque lucrum artifici conferunt, sive quis rationem aestimet, sive actionem: piscatoria autem ars, parem cum solitudine parsimoniam habet, ut impleatur quod scriptum est: *Omnis labor hominis in ore eius.* Sunt namque pannis obsiti, ac vestibus detritis, squallenti coma, ac adusta facie, nudis pedibus discurrentes, littoribus, ac magis solitariis locis immorantes, modo quidem super petras sedentes, modo imos gurgites, unde praedam expectant, dispicientes. Quorsum haec tam diligenter exposui?

εισιν ὁ Ἰωάννης, οὐ νεμεσητόν. Μετάβηθι ἐπὶ τὸν τῆς μεταφορᾶς τρόπον θεωρητὸν, καὶ εὑρήσεις συμβαίνουσαν τῷ γένει τὴν ἐπιστήμην· Δαβίδ ποιμὴν πρότερον προβάτων· εἶτα ὑπὸ Θεοῦ ποιμαίνων Ἰακὼβ τὸν δοῦλον αὐτοῦ καὶ
Ps. LXXVII. 71. Ἰσραὴλ τὴν κληρονομίαν αὐτοῦ *· σκέψαι μοι καὶ Ἰωάννην ἀπὸ τῆς ἀλόγου εἰς λογικὴν ὑπὸ τοῦ μεγάλου λόγου μετενηνεγμένον θεοπρεπῶς ἁλείαν· οὐ γὰρ ποιμαίνειν τήνδε ἢ τήνδε καί τισιν ὁρίοις διειλημμένας φυλὰς, ἀλλὰ γὰρ τὴν οἰκουμένην ἁλιεύειν ἅπασαν· δεῦτε, γάρ φησιν, ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς
Matth. IV. 19. ἀνθρώπων *· εἰ δὲ ὅτι κατὰ κοινοῦ ἡ κλῆσις, ἀλλ' ἡμῖν γε ἀκτέον ταύτην ἐπὶ τὸν περὶ οὗ ὁ λόγος· ὥσπερ καὶ ἐπί τισιν ἄλλαις γενικωτέραις φωναῖς, οὐ πλεονεκτοῦσι παρὰ τοὺς λοιποὺς ἀποστόλους τῷ θεολόγῳ τὰς δὲ διὰ τῆς μερικωτέρας ἀναλήψεως, ἄπαγε· ὅτι μηδὲ μειονεξία τοῖς ἀπὸ κοινοῦ φωτὸς ἀναφθεῖσι λαμπτῆρσιν, ἡ ὑφ' ἑνὸς ὁλικὴ τῆς λαμπρότητος μέθεξις.

ε'. Ἐπεὶ δὲ κατέστη ὑπὸ Θεοῦ ἁλιεὺς ὁ μέγας ἀπόστολος, δεῦρο ἴδωμεν αὐτὸν ἀλληγορικῶς ὡς ἐν πλοίῳ ἐν τῷδε τῷ σαρκίῳ καταρτίζοντα οὐ διεῤῥωγότα δίκτυα, ἀλλὰ τὰ εὐαγγελικὰ ἀπαρτίζοντα ἀμφίβληστρα· τίς ὁ κάλαμος; ὁ δογμάτων δόναξ· τίς ἡ ὁρμιά; ἡ πλοκὴ τῆς θεολογίας· τὶ τὸ ἄγκιστρον; ὁ τρίμερος σταυρός· τὶ τὸ δέλεαρ; ἡ θεοφόρος σάρξ, ἐν ᾗ δελεασθεὶς ἐχειρώθη τὸ μέγα κῆτος ὁ Βελίαρ· ζητεῖς ἐν ᾗ ὑπερκαθίζεται πέτρα; νόει μοι τὴν στερεὰν ἕδραν τῆς πίστεως· ὢ τοῦ θαύματος· ῥίπτει τὸ ἀμφίβληστρον οὐκ εἰς τόνδε τὸν κόλπον καὶ τόνδε, ἀλλ' εἰς τοῦ βίου τὴν θάλασσαν· ἐκτείνει τὸν κάλαμον οὐκ εἰς μικρόν που διάμετρον, ἀλλ' εἰς αὐτὰ τῆς οἰκουμένης τὰ τέρματα· ἐνίεισιν

Nimirum ut ostendam nihil esse dignum vituperatione, tametsi Iohannes hanc exercuerit artem. Transi tu spiritalis sensus investigator ad visibilem metaphorae modum, occurretque scientia generi congruens. David cum prius pastor ovium esset, postmodum a Deo electus est, *pascere Iacob servum suum, et Israhel hereditatem suam.* Mihi quoque Iohannem considera, ab irrationalium piscium, ad rationalium capturam magno Verbo vocante, prout Deum decebat, translatum. Non enim electus fuit ut hunc illumve gregem pasceret, aut quibusdam terminis discretas tribus, sed ut orbem universum piscatione caperet. *Venite*, enim inquit, *post me, et faciam vos piscatores hominum.* Tametsi autem communis fuit vocatio; ad eum tamen a nobis reducenda est, de quo haec est instituta oratio; quod etiam in quibusdam aliis universalioribus vocabulis fiet; non ut prae apostolis aliis theologo ius vindicemus, ex his quae peculiarius de ipso exponimus; absit: nam neque accensis e communi aliquo lumine facibus, idcirco minor est splendoris ex uno plena participatio.

5. Quandoquidem vero magnus hic apostolus a Deo piscator constitutus est, age videamus eum allegorice, quasi in navicula, in corpusculo suo reficientem, non discissa retia, sed evangelica verricula. Quaenam arundo? doctrinae calamus. Quisnam piscatorius funiculus? theologiae nexus. Quisnam hamus? tripartita crux. Quaenam esca? caro deifera, qua inescatus magnus ille cetus Beliar captus est. Quaeris super quam sedeat petram? Firmam mihi fidei considera sedem. O rem mirabilem! Verriculum iacit, non in hunc illumve sinum, sed in saeculi mare

τὴν ὁρμίαν οὐκ εἰς βάθος ἐπιμετρούμενον, ἀλλ᾽ ἐπ αὐτὴν τῆς ἀσεβείας τὴν ἄβυσσον· θέα μοι τὴν ἄγραν πλούσιον ἐκ μοναδικῶν τε καὶ μιγαδικῶν συνηθροισμένην, τοὺς ἁδροὺς φημι τοῦ λαοῦ καὶ ἀγελαίους, πολυειδῆ τε καὶ ποικίλον, ἔθεσι λέγω καὶ πάθεσιν, ἐκ μικρῶν τε καὶ μεγάλων, ἡλικίαις δηλαδὴ καὶ τάξεσιν· οὓς μὲν τετραχυνομένους δόγμασι μοχθηριῶν, ὡς ἐξ ὑφάλων τῆς ἀθεΐας πετρῶν λαμβάνων· οὓς δὲ λελκϊσμένους ἀφελότητι διανοίας οἷα πελαγοδρομοῦντας σαγηνεύων· καὶ ταῦτα οὐ θανατῶν, ἀλλα ζωογονῶν, οὐκ ἐν ἁλμυροῖς ὕδασι τῆς ἁμαρτίας συνέχων, ἀλλ᾽ ἐν γλυκέσι νάμασι τοῦ βαπτίσματος ἐνδιαιτῶν· οὐδ᾽ οὐ μὴν ἀργυρίοις φθαρτοῖς ἐπεμπολῶν, ἀλλ᾽ ὑπογραφῇ υἱοθεσίας ἐκ τῆς τοῦ διαβόλου δουλείας ἐλευθερῶν, προεζωγρημμένους ὑπ᾽ αὐτοῦ εἰς τὸ ἐκείνου θέλημα. Ὢ τοῦ ὁράματος· τίς ἠκουτίσθη τοιοῦτον θήραμα ἐξ αἰῶνος; τίς ἔγνω τηλικοῦτον μεγαλέμπορον ἁλιέα; ὅτι μὴ ἑκατοντάδας μόνον καὶ χιλιάδας, ἀλλὰ γὰρ πάντα τὰ ἔθνη ἃ μαθητεύειν ἐπιστεύθη προσάγοντα τῷ πρωταλιεῖ δεσπότῃ Χριστῷ. οὐκ ἄρα εἰκότως προύλεγον μὴ οἷον τέ με ἐφικνεῖσθαι τῆς ὑποθέσεως, κἂν ἄκρῳ οἱονεὶ δακτύλῳ;

ς΄. Σκέψαί μοι καὶ τἄλλα εἱρμολογίᾳ ἀρίστῃ ἀλληγορούμενα. Ὑμεῖς
ἐστὲ τὸ φῶς τοῦ κόσμου *· τὸ φῶς ἐλαστικὸν σκότους, ὀφθαλμῶν ὄψις, σω- * Matth. V. 14.
μάτων ἀνακαίνωσις, ἐφετὸν, ἀγαστόν· τί οὖν ἀπόστολος; οὐ μειοῖ σκότος ἀντικείμενον; οὐκ ὀμματοῖ τυφλοὺς ἀμφοτέρωθεν; οὐ ῥῶσιν παρέχει σώμασιν; οὐ διὰ ταῦτα στερκτὸς καὶ θαυμαστός; τοῦτο ἦν ἄρα ὁ Χριστὸς παρ-
εγγυᾶτο *· ἀσθενοῦντας θεραπεύετε, λεπροὺς καθαρίζετε, δαιμόνια ἐκβάλλετε· * Matth. X. 8.

universum. Extendit calamum non in modicum aliquod spatium, sed in fines orbis terrarum: immittit funiculum non in gurgitem immensum, sed in ipsam impietatis abyssum. Tu mihi locupletem capturam considera ex singularibus pariter ac promiscuis collectam; crassos dico de populo ac gregales; moribus scilicet atque affectionibus varios, ex minoribus maioribusque, aetate nimirum ac dignitate: alios quidem pravis exasperatos doctrinis, tamquam e petris sub undis latentibus, ab impietate capit; alios mentis simplicitate interceptos tamquam per mare cursitantes, verriculo includit: et quidem haud neci tradens, sed vivificans: non in salsis peccati aquis continens, sed in dulcibus baptismi fluentis vivere faciens: quin neque corruptibili pecunia adquirens, sed adoptionis chirographo a diaboli servitute eximens, cum antea capti tenerentur ad huius arbitrium. O rem mirabilem! Quis a saeculo capturam eiusmodi audiit? Quis talem, copiosaque adeo instructum merce piscatorem agnovit? Quandoquidem non centenos, vel millenos tantum, sed universas gentes, quarum docendarum creditum munus accepit, ad Christum dominum ac principem piscatorum adducit. Nonne igitur iure meritoque ante dicebam, maius hoc argumentum esse quam pro mea facultate, vel si extremo veluti digito attingere velim?

6. Mihi quoque alia expende egregiam per allegoriam seriatim exposita. *Vos estis lux mundi.* Lux, tenebrarum expultrix, oculorum illuminatio, corporum refocillatio: desiderabilis omnino res et admirabilis! Quid ergo apostolus? Nonne tenebras adversarias minuit? Nonne utrimque caecis visum restituit? Nonne robur corporibus tribuit? Nonne ob haec amore dignus et admiratione? Hoc utique Christus mandabat: *in-*

δωρεὰν ἐλάβετε, δωρεὰν δότε. Ἐννόει μοι τὰ μυρία γένη τῶν νοσημάτων, καὶ ὄψῃ τὰ ἄπειρα πλήθη τῶν θαυμάτων τῶν ἐξ ἑκασταχοῦ βοτρυδὸν ἀγεληδὸν πρὸς τὸ ἄμισθόν τε καὶ ἄλυπον ἰατρεῖον τῆς σωτηρίας συῤῥεόντων, ὅτι μηδὲ τομαῖς τε καὶ καύσεσιν ἤ τισι φαρμακοποσίαις ἡ τῶν ἀλγεινῶν φυγαδεία· πίστει δὴ μόνῃ καὶ λόγου μάστιγει· ὢ τῆς μεγαλοδωρεᾶς· ἄρτι τυφλὸς, βλέπει τὸ φῶς, ἐξαπίνης τὸ ἀεινεφὲς ἀποθέμενος, καὶ χαίρει ὁρῶν τὰ ὑπ' οὐρανὸν κάλλη τε καὶ θεάματα· ἄρτι χωλὸς, παραχρῆμα στερεοποδεῖ καὶ γήθει ἀλλόμενος ὡς ἔλαφος· ἄρτι μὲν μογγιλάλος, τῶν δεσμῶν τῆς γλώσσης λυθεὶς ὀρθολεκτεῖ εὐχαριστήρια· ἄρτι δὲ ξηρόχειρ, ὑγιασθεὶς ἄμφω τὼ χεῖρε πρὸς τὸν ἐν οὐρανοῖς δεσπότην ᾄδει εὐκτήρια· ἄρτι μὲν ὑδεριῶν, κενοῦται τοῦ πάθους ὡς τάχιστα, καὶ εἰς τὴν ἀρχαίαν ὑγίειαν ἄνεισιν· ἄρτι δὲ λεπρὸς ἀποσύρεται τῆς λώβης, καὶ βλέπων τὴν ἑαυτοῦ νεουργηθεῖσαν σάρκα ἀγάλλεται· ἄρτι μὲν παράλυτος, ἀρτιασθεὶς ἐπωμάδιον φέρει τὸ κλινίδιον· ἄρτι δὲ δαιμονῶν, τοῦ πνεύματος καθαρθεὶς, σωφρόνως δοξάζει τὸν κύριον· ἄρτι μὲν ἡμιθανὴς ἀσθμαίνων, ἐξόδια ἀναθρώσκει τάχιστα· ἄρτι δὲ νεκρὸς, ἐκ φθορᾶς ἀνέθορε τὰ ἐν ᾅδου λογοθετῶν τοῖς ὑπὲρ γῆν, καὶ ζωάρχην θεὸν ἀνθομολογούμενος· ἄρτι μὲν ἑτερόφθαλμος, ὀρθοβλεπτεῖ, καὶ μονόμματος διδυμομματεῖ, καὶ ἄθριξ καρηκομεῖ· ἄρτι δὲ κυρτὸς, ὀρθοῦται, καὶ κωφὸς ὠτακουστεῖ, καὶ πυρετῶν ἔῤῥωται, καὶ ῥίγιῶν εὐκρατεῖ· ἄρτι στεῖρα παιδοποιεῖ, καὶ αἱμόῤῥουσα εὐπαθεῖ, καὶ δυστοκοῦσα εὐτοκεῖ, καὶ καρκινόσαρξ εὐσωμεῖ, καὶ

firmos curate, leprosos mundate, daemones eiicite; gratis accepistis, gratis date. Considera mihi innumerabilia morborum genera, occurretque infinita miraculorum copia in hominibus patratorum, qui conferta multitudine ad gratuitum nihilque molestiae facientem salutis medicum confluunt; quia nimirum non ferro ac igne, aut potionibus quibusdam medicis morbos abigit, sed sola fide ac sermonis flagello. O doni magnificentiam! Nunc caecus, de repente lumen videt, cum nubem impositam oculis semper habuisset, gaudetque sublunaria haec decora ac spectacula aspiciens. Nuper claudus, solidatis plantis firmum recipit gressum, gestitque saliens ut cervus. Modo blaesus, linguae vinculis solutis, expedito sermone gratiarum actionis laudes pangit. Modo aridam manum habens, sanus effectus, manus ambas tendens ad Dominum in caelis existentem, preces canit. Modo hydropicus, quam citissime morbo vacuatur, et ad pristinam sanitatem redit. Modo leprosus, plaga sua eripitur, vidensque carnem suam renovatam, exultat. Modo paralyticus, artubus instauratis lectulum in humeros tollit. Modo daemoniacus, a spiritu mundatus, sobria ac sana mente Dominum laudat. Modo semimortuus et suprema verba iam dicens, confestim revalescit. Modo mortuus, a corruptione velox resurgit, eorum rationem quae sunt in inferno reddens hominibus in terra constitutis, ac vitae auctori Deo vicissim confitens. Modo altero laesus oculo, recte videt; unumque oculum a natura sortitus, duobus oculis intuetur: glaber, comam nutrit: modo incurvus erigitur, surdoque aperiuntur aures: febris ardore aestuans, bene valet; contrario item frigore algens, temperationem humorum recipit. Modo sterilis, prolem suscipit: fluensque sanguine, valetudinem obtinet: atque ad partum difficilis, expedita redditur: haemorrhoissa sa-

πᾶν κολόβωμα φυσικὸν ἀρτιάζεται, καὶ πᾶσα μαλακία ὑποχωρεῖ καὶ πᾶν ψυ- * Marc. XI. 23
χικὸν πάθος ἐξωστατεῖ· ἐῶ λέγειν τὰς ἐν ἀλόγοις ζώοις θαυματουργίας, τὰς
τε τῶν στοιχείων ἄρσεις καὶ μεταθέσεις, ἧς τινος οὖν ἄλλης φύσεως ϖαρα-
δοξοποιΐαν· ἢ γὰρ οὐκ ἀληθὲς τὸ ὑπὸ τοῦ κυρίου εἰρημένον * ὅτι ὃ ἂν εἴϖῃ
τῷ ὄρει τούτῳ, ἄρθητι καὶ βλήθητι εἰς τὴν θάλασσαν, καὶ μὴ διακριθῇ ἐν
τῇ καρδίᾳ αὐτοῦ ἀλλὰ πιστεύσει ὅτι ἃ λέγει γίνεται, ἔσται αὐτῷ ὃ ἂν εἴπῃ·
ὅρα μοι λοιπὸν καὶ ὄρος εἰς ὑγρὸν μεταιρόμενον τυχὸν, καὶ αὖ ϖάλιν βυθὸν
ξηραινόμενον καὶ εἰς χλοηφόρον ϖεδίον μετατιθέμενον· καὶ . . . ριγὲς ὕδωρ
ἀθρόως ἐκ πυθμῶν πηγάζον, πετράν τε σχιζομένην καὶ τὸν χριστοφόρον ἀπο-
πέμπουσαν *· καὶ εἴ τι ἄλλο κατὰ χρείαν τῶν εἰς ϖίστιν ἑλκόντων τοὺς μα- * I. Cor. X. 4
θητιῶντας, οὐδὲν ἀδυνατούσης τῆς θείας χάριτος.

ζʹ. Ἀλλ' ἵνα μὴ ἐπὶ πλεῖον ἐνδιατρίβων τοῖς κατὰ μέρος διακορὴς γί-
νοιμι τοῖς ἀκούουσιν, ἐπ' ἄλλο δὴ καὶ τρέψομαι. Ὑμεῖς ἐστὲ τὸ ἅλας τῆς
γῆς *. Ἐκ τῶν ἀναγκαίων εἴληπται κἀνταῦθα ἡ μεταφορά· ὥσϖερ καὶ ἀλλα- * Matth. V. 13.
χοῦ, ἔχετε ἅλας ἐν ἑαυτοῖς *· τοῦτο δὲ τί ἄλλο ἢ ἀγάϖη ἂν εἴη, ἥ τις * Marc. IX. 49.
καὶ νόμου πλήρωμα, ὥς φησι Παῦλος ὁ ἱερὸς ἀπόστολος; ὡς οὖν οὔτε ἄρ-
τος βρωθήσεται ἄνευ ἁλὸς, ὅτι μὴ δέ τι σχεδὸν τῶν ἐδωδίμων, οὕτω δῆ-
λον ὅτι καὶ ἀγάϖης δίχα οὐδὲν τῶν θεοφιλῶν ἐξεργασθήσεται· τοιοῦτον
ἡμῖν ἑαυτὸν ϖαρίστησιν ὁ ἀϖόστολος ἀδαμαντίνην ἔχων οἱονεὶ τὴν ψυχὴν
καὶ ἀκαταγώνιστον ἐν τοῖς ὑϖὲρ ἀληθείας ἀγῶσι· καὶ μηδοϖωτέρῳ διὰ τῶν
δεξιῶν ἢ ἀριστερῶν μεταβαλλόμενος ἤγουν μωραινόμενος· σκόϖει· ἐδεδίωκτο,

natur; cancromate laborans, corpus integrum recuperat: quodlibet naturae detrimentum sarcitur: ac omnes languores recedunt: animae item morbi omnes pelluntur. Mitto dicere, quae erga brutos animantes miracula patrata sunt: elementorum item de suo statu commotiones ac translationes., et alterius cuiusvis naturae miraculum. Nonne enim illud veritate nititur, quod a Domino dictum est: *quisquis dixerit monti huic: tollere, et mittere in mare, et non haesitaverit in corde suo, sed crediderit, quia quod dixerit fiet, fiet ei quodcumque dixerit.* Iam mihi et montem forte videas in aquas translatum, vicissimque exsiccatos imos gurgites, atque in campum herbiferum mutatos: quin et aquam repente a fundo scaturientem, scissamque petram, et hominem Christo plenum assectantem: ac si quid aliud discipulis ad fidem trahendis idoneum iusta exigebat necessitas; quum nihil sit, quod divina gratia praestare non possit.

7. At ne singulis plus aequo immorans, auditoribus taedium creem, ad aliud tiam transeo. *Vos estis sal terrae.* Hic quoque metaphora ab illis sumpta est, quae ad usum necessarium veniunt: quemadmodum etiam alio loco: *Habete in vobis sal.* Hoc autem quid aliud quam caritas sit? quae etiam est plenitudo legis, ut sacer apostolus Paulus docet. Sicut enim absque sale panis non manducabitur, ut nec fere quisquam alius cibus, sic liquet absque dilectione nihil praestitum iri eorum quae Deo accepta sunt. Talem se nobis exhibuit apostolus, adamantino animo praeditus, atque in certaminibus pietatis causa susceptis insuperabilis, neque prosperis mutatus neque adversis, id est infatuatus. Videsis: persecutiones patiebatur, nec

καὶ τῶν διωκόντων τοῦ πόθου οὐκ ἀφίστατο· ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας ἤγετο, καὶ τῆς εὐθάρσου ὁμολογίας οὐκ ἐλλέλειπτο· ἐμαστίζετο, καὶ τοῖς κολασταῖς ἰητὴρ ἐγνωρίζετο· ὠνειδίζετο, προὐπηλακίζετο, καὶ τοῖς ὑβρισταῖς δόξαν ἐπραγμάτευε· μιμούμενος τὸν διδάσκαλον, ὃς καὶ ἐπ' αὐτοῦ τοῦ πάθους τοῖς σταυρωταῖς τὴν ἄφεσιν ἐζητεῖτο παρὰ τοῦ πατρός· ῥομφαίαν δ' ἐκεῖνοι προὔτεινον, αὐτὸς τὴν διδασκαλίαν προὐβάλλετο· πῦρ ἠπείλουν ἐκεῖνοι, ὁ δὲ τὸν πόθον ηὔξει· αὐτοὶ τὰς ἀπειλὰς, καὶ οὗτος τὴν προσευχήν· τὸν θλιμμὸν ἐκεῖνοι, καὶ οὗτος τὸ διψᾶν τὴν σωτηρίαν τῶν ἀλγεινῶν τερπόμενος, τοῖς ὑποπιεσμοῖς εὐρυνόμενος. Καὶ μὴν κἀκ τῶν δεξιῶν ἡ πεῖρα· εἵπετο γὰρ δήπουθεν τοῖς σημείοις τε καὶ τέρασιν οὐχ ἡ τυχοῦσα τιμή τε καὶ ἀφοσίωσις· ἀλλ' οὐκ ἐκεῖθεν καὶ ἀπέψυκτο τῆς ἀγάπης, οὔτε ἐντεῦθεν ἐχαυνοῦτο τοῖς ἐπαίνοις· ὁ αὐτὸς δὲ ἐν ἅπασι πρὸς τὴν ἑκάστου ἰδιοτροπίαν ἀεὶ ποικιλλόμενος καὶ παραρτυόμενος κατὰ τὴν τοῦ μάννα διάγευσιν· ὢ τοῦ θαύματος· προσθετέον γὰρ καὶ ταῦτα· ὡς πρόβατον ἐν μέσῳ λύκων ὑπὸ τοῦ ἀρχιποίμενος Χριστοῦ ἀποσταλεὶς, οὔτε αὐτὸς ἐλελύκωτο, καὶ τοὺς λύκους εἰς ἄρνας μετέπλαττεν· δακνόμενος, ἰᾶτο τὰ τῶν ψυχῶν δήγματα τραύμασι θεραπείας ἀμείβων· ἀγράμματος καὶ τοὺς τοῦ κόσμου σοφοὺς μετεστοιχειοῦτο εἰς τὰ τῆς εὐσεβείας δόγματα· ἄοπλος, καὶ τοὺς πολεμίους θεῷ ἀντεστρατολογεῖτο κατὰ τοῦ διαβόλου· ὢ πόσης ταῦτα δυσχερείας, προσθείην δ' ἂν καὶ χάριτος; τοιοῦτον δὴ τὸ θεῖον ἅλας· τό τε πανοῦργον τοῦ ὄφεως, καὶ τὸ τῆς περιστερᾶς ἀκέραιον, ὅσον ἐκ τῶν προσεχῶς εἰρημένων, ὁ λόγος ὑπείληφεν· καὶ τὰ πλείω πάρεισι τοῖς εἰδόσι, φειδοῖ τοῦ μακρηγορήματος· ἀλλ' ἐπὶ τὸν καλοφῶνα τοῦ λόγου ἰτέον.

ab eorum qui persequebantur amore recedebat: ducebatur ad reges et praesides, nec quicquam de animosa confessione remittebat: virgis caedebatur, ac verberantibus sese medicum praebebat: conviciis appetebatur, et ludibrio habebatur, illusoribusque gloriam curabat; magistrum imitatus, qui etiam dum pateretur, crucifixoribus veniam a patre precabatur. Praetendebant illi gladium, ipse obiiciebat doctrinam: illi ignem minabantur, ipse caritatem augebat: illi minas, ipse preces: illi afflictionem, iste salutis eorum qui affligebant, sitim prae se ferebat: molestiis delectabatur: angustiis dilatabatur. Quin adeo, ne a prosperitatibus quidem ei tentatio defuit: sequebatur enim signa edita ac prodigia non vulgaris honor ac commendatio. At neque adversis refriguit caritas, neque laudibus emollita est: sed idem in omnibus perstitit, ad cuiusque modum varius atque conditus, iuxta mannae gustum. O rem mirabilem! Nam haec quoque addenda sunt. Missus tamquam ovis in medios lupos a pastorum principe Christo, nec ipse in lupum mutatus est, luposque in agnos convertit. Cum morderetur, animorum morsibus medebatur, vulneribus acceptis curationes rependens: illitteratus, etiam saeculi sapientes ad religionis dogmata convertebat: inermis, hostes quoque Dei militiae adscribebat adversus diabolum. O quantam haec habebant difficultatem! addiderim etiam quantam gratiam! Tale sane est divinum sal. Serpentis astutia, ac columbae simplicitas quanta fuerit, iam ex proxime dictis palam factum est; pluraque apud gnaros dicere omittimus, vitandae causa prolixitatis. Verum ad sermonis colophonem veniendum est.

η'. Καὶ ἐπέθηκεν αὐτοῖς ὄνομα βοανέργες, ὅ ἐστιν υἱοὶ βροντῆς*. Τὴν βροντὴν φασί τινες γέννημα εἶναι ἀνεμιαίου πνεύματος, ὃ συλληφθὲν ἐν νέφεσι καὶ οὐκ ἔχων ὅπου ῥαγείη διέξοδον, τῇ μὲν θλίψει τὴν ἀστραπὴν, τῇ δὲ ῥήξει τὴν βροντὴν ἀπεργάζεται· ἐκ δὲ βροντῆς βροντὴν κυήσκεσθαι εἰπών τις, οὐκ ἔξω βάλλει τὸν λόγον τοῦ δέοντος· εἴπερ οἷον τὸ γεννῶν, τοιοῦτον δὴ καὶ τὸ γέννημα· τί οὖν ἐντεῦθεν; ὅτι κατὰ τὸ πνεύματος ἁγίου εἶναι ἀπήχημα υἱὸς βροντῆς ὠνόμασται ὁ ἀπόστολος, ἀστράπτων ὁμοῦ καὶ βροντῶν ἡμῖν τὰ θεῖα, ὡς ἐκ νεφελῶν οἱονεὶ ἐκραγεὶς τῆς θείας χάριτος. Εἴδωμεν δὲ εἰ δοκεῖ ἐν κεφαλαίῳ οἷα καὶ τὰ βροντήματα, ὡς ἂν μᾶλλον θαυμάσοιμεν τοῦ ὀνοματοθέντος τὴν δύναμιν. Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν, καὶ θεὸς ἦν ὁ λόγος· ὢ τῆς μεγαλοφωνοτάτης θεηγορίας· οὐκ οὕτω βροντῆς πατάγῳ τεθήπασιν ἄνθρωποι, ὡς τὴν Ἰωάννου θεολογίαν σὺν τοῖς ἐπιγείοις ἐξεπλάγησαν καὶ τὰ οὐράνια, εἴπερ κἀκείνων παρὰ Ἰωάννου ἡ μαθητεία· ἵνα γάρ, φησι, γνωρισθῇ νῦν ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις ἐν τοῖς ἐπουρανίοις διὰ τῆς ἐκκλησίας ἡ πολυποίκιλος σοφία τοῦ θεοῦ*· ὡς μὲν οὖν τὰ ἐν αἰσθήσει συγγράφων, ἀρχὴν ἁπάντων τῶν ποιημάτων τὸν οὐρανὸν προὔθηκεν εἰπών· ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· οὐδὲ γὰρ οἷόν τε ἦν ὀφθαλμὸν πρῶτον ὄντα τῶν ἐν ἡμῖν αἰσθήσεων, ὑπερταθῆναί που περαιτέρω τοῦ οὐρανίου ὕψους· διὸ καταλλήλως τῇ αἰσθήσει, καὶ τὸ ποίημα προτέτακται, τῶν ἄλλων ταῖς ἄλλαις δευτερευόντων· ὁ δὲ ἅτε ὑπὲρ αἴσθησιν τὴν ἐξηγορίαν ποιούμενος, οὐκ οὐρανὸν καὶ γῆν, ἀλλὰ τοῦ οὐρανοῦ καὶ γῆς καὶ ὁμοῦ πάντων τῶν ὑπερουρανίων νοῶν

* Marc. III, 17.
* Eph. III, 10.

8. *Et imposuit illis nomina Boanerges, quod est filii tonitrui.* Sunt qui dicant fieri tonitruum ex aereo spiritu, qui nimirum inclusus in nubibus, nec inveniens qua parte exeat, collisione quidem, fulgur; ruptione autem, tonitruum efficiat. Quod si quis tonitruum tonitruo progigni dicat, nihil a probabilitate alienum dixerit: siquidem quale est gignens, tale et quod gignitur. Quid ergo inde? Nimirum, tamquam Spiritus sancti resonantia appellatus est apostolus tonitrui filius, divino nobis splendore in modum fulgetri elucens, atque instar tonitrui mugiens, velutque ex nubibus e divina quasi caritate erumpens. Videamus autem, si lubet, quasi summatim quantae hae sint tonitrui voces, ut eo maiori admiratione illius potentiam admiremur, qui indidit nomen. *In principio erat Verbum, et Verbum erat apud Deum, et Deus erat Verbum.* O divinae praedicationis clarissimam vocem! Non sic homines tonitrui fragore obstupescunt, uti Iohannis theologiam, cum terrae colonis etiam caelestes virtutes obstupuerunt: quando et illae Iohannis discipulae quodammodo sunt. *Ut enim,* inquit, *innotescat principatibus et potestatibus in caelestibus per ecclesiam multiformis sapientia Dei.* Et Moyses quidem, cum rerum sensui subiectarum historiam conscriberet, creaturarum omnium principium, caelum posuit, dicens: *in principio creavit Deus caelum, et terram.* Non enim fieri poterat ut oculus, qui inter sensus primatum tenet, caeli altitudinem superaret. Quocirca pro sensus ratione etiam creatura prior est, cum aliae aliis posteriores sint. At Iohannes, tamquam ea enarrans quae sensum superant; non caelum et terram, sed caeli ac terrae omniumque caelestium mentium creatorem, principium assum-

ποιητὴν, ἀρχὴν εἴληφεν, εἰπών· ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεὸν καὶ Θεὸς ἦν ὁ λόγος.

Θʹ. Εἶδες εἰς ποῖον ὕψος ἄπειρον ἦρε τὸ ὄμμα τοῦ νοῦ· ὥσπέρ τι νοητὸν στερέωμα καταπηξάμενος ἡμῶν ἐν διανοίᾳ τὸ τριταῖον ΗΝ· ἵνα μέχρι τοῦδε ὥσπέρ τι ἔξαλμα φωτὸς προϊὼν ὁ νοῦς, πρῶτος ὢν καὶ οὗτος τῶν τῆς ψυχῆς δυνάμεων, μὴ ἔχοι φύσιν ἀρθῆναί που ἐπέκεινα, κἂν κενεμβατεῖν δόξοιεν ἐκ πολυπραγμοσύνης ἀνενδέκτου· ἀλλ᾽ οἷον ἐπαναπαυσάμενος τῆς ἐφέσεως παλινδρομῇ πρὸς τὰ κατόπιν καὶ ὑπὸ κτίσιν, οἷς καὶ συγγενῶς ἔχοι, ὁρῶν τὰ δημιουργήματα, καὶ δοξάζων τὸν ἀριστοτέχνην, ἕνα τε ὄντα ἄναρχον Θεὸν ἐν τρισὶν ὑποστάσεσιν, τὸν πᾶσι τοῖς οὖσιν ἐπιστατοῦντα· τίνα ταῦτα; σεραφὶμ, χερουβὶμ, θρόνους, δυνάμεις, ἐξουσίας, κυριότητας, ἀρχὰς, ἀρχαγγέλους, ἀγγέλους· εἶτα τὰ κατ᾽ αἴσθησιν, οὐρανὸν, ἥλιον, σελήνην, ἀστέρας, ἀέρα, γῆν, θάλασσαν, ζῶα χερσαῖα, ἐνάλια, ἐναέρια, φυτὰ, βοτὰ, πᾶσαν συλλήβδην φύσιν ἔμψυχόν τε καὶ ἄψυχον· ἅπαντα γὰρ ταῦτα, καὶ εἴ τι ἕτερον ἐν τοῖς ἄμφω κόσμοις ἀκατονόμαστον, διὰ τοῦ εἰπεῖν, πάντα δι᾽ αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲν ὃ γέγονεν, συνεκδοχικῶς παρεδήλωσεν· τί γὰρ δεῖ πλέον περιττοεπεῖν τοῖς θεοφόροις, κατὰ λέξιν πάσης τῆς θεολογίας ἐνθεαστικώτατα ἐξητασμένοις, παρ᾽ ὧν καὶ ἡμῖν τοῖς κυνιδίοις οἱονεὶ ψιχιώδης συνεισφορὰ τοῦ λόγου; Ὦ θεολογίας γεγωνότερον βροντῆς ἠχησάσης τὰ οὐράνια δόγματα· ὢ περιφράσεως γοργότερον ἀστραπῆς ἐπελθούσης τοῖς σύμπασιν· ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ *· καὶ πρὸς Ἰωάννην ὡς θεοείκελον λεγέτω πᾶς τις, τὸν περιλαβόντα τὸ εὖρος τῆς ὑπ᾽ οὐρανὸν τοῖς κηρύγμασι, τὸν ἐνὶ χνεσιν ἀβύσ-

* Ps. CXXXVIII.

psit, dicens: *in principio erat Verbum, et Verbum erat apud Deum, et Deus erat Verbum.*

9. Vidisti in quantam altitudinem extulit mentis oculum? intellectuale veluti firmamentum menti nostrae infigens trinum illud ERAT; ut eo usque, salientis instar lucis, mens progressa (namque haec est facultatum animae prima) nolit deinceps ulterius subvehi, ne per aërem curiositate inutili videatur discurrere: sed quasi cursum inhibens retrocedat ad res creatas, quibus necessitudine homo devinctus est, intuens in eas, optimumque artificem laudibus celebrans, unum Deum aeternum in tribus subsistentem personis, rebusque universis praesidentem. Quaenam vero hae? seraphim, cherubim, throni, virtutes, potestates, dominationes, principatus, archangeli, angeli: tum res sensui subiectae, caelum, sol, luna, stellae, aër, terra, mare, animalia terrestria, marina, aërea, plantae, herbae, universa denique, ut summatim dicam, natura, tum anima praedita, tum expers animae. Omnia enim haec, ac siquid aliud uterque mundus innominabile habent, illis verbis, *omnia per ipsum facta sunt, et sine ipso factum est nihil quod factum est,* comprehendi declaravit. Quid enim pluribus superfluum esse oportet, cum divino Spiritu afflati viri theologiam omnem ad verbum divinitus sint interpretati, a quibus nos quoque catellorum instar habuimus, quas velut sermonis micas inferremus. O theologia quae tonitruo exaudibilior caelesti doctrina insonuit! O locutio, quae velocius fulgetro universa pervasit! *Mirabilis facta est scientia tua ex me;* dicat

σου σοφίας περιπατήσαντα τοῖς ἐνθυμήμασιν· δι᾽ οὗ πύλαι ᾅδου καθῄρηνται θεοῦ φωνῆς πληρώματι, καὶ ὀρθοδοξίας ἀνέτειλεν ἥλιος· δι᾽ οὗ ἡ τοῦ κόσμου σοφία μεμώραται, καὶ θεοσοφίας ἐμπέπλησται τὰ πέρατα· ῥητόρων καὶ σοφιστῶν καταποθέντων, Ἰωάννου δὲ τῆς θεολογίας βασιλευσάσης· καὶ οὐκ οἶδ᾽ ὅ τι λέξεων εἴποιμι ἐπάξιον τῆς ὑπερηρμένης ἀποστολικῆς μεγαλειότητος, ἢ τὸ παραχωρῆσαι τοῖς προευφημήσασιν αὐτὸν θείοις στόμασιν τὸν ἱερὸν ἔπαινον.

ι΄. Ἀλλὰ τί ἔτι *; Ἰησοῦς οὖν ἰδὼν τὴν μητέρα καὶ τὸν μαθητὴν παρεστῶτα * Ioh. XIX. 26
ὃν ἠγάπα, λέγει τῇ μητρὶ αὐτοῦ, γύναι ἰδοὺ ὁ υἱός σου· εἶτα λέγει τῷ μαθητῇ· ἰδοὺ ἡ μήτηρ σου· καὶ ἀπ᾽ ἐκείνης τῆς ὥρας παρέλαβεν αὐτὴν ὁ μαθητὴς
ἐκεῖνος εἰς τὰ ἴδια· καὶ ἐν ἑτέρῳ πάλιν *· ὃς καὶ ἀνέπεσεν ἐν τῷ δείπνῳ ἐπὶ τὸ * Ioh. XIII. 23.
στῆθος αὐτοῦ, καὶ εἶπεν· κύριε τίς ἐστιν ὁ παραδιδούς σε; Ταῦτα ἀποκληρωτικὰ ὥσπερ τινὰ ἕδνα βασίλεια τῷ θεολόγῳ, φημὶ δὴ τὸ κατ᾽ ἐξοχὴν παρὰ τοὺς λοιποὺς μαθητὰς ὑπὸ Ἰησοῦ ἠγαπᾶσθαι· ἥ τε ἐπὶ τοῦ ἀκηράτου στήθους ἐπίπτωσις· πρὸς τῷ καὶ υἱὸν εἰρῆσθαι τῆς θεομήτορος· ὡς φοβερὰ τὰ τρία, θάτερον θατέρου ὑπεραιρόμενον, καὶ ἕκαστον ἴλιγγά μοι φέρον νοήματος ὡς ἐξαισιώμενον· Ἀνδρέας ἐν μαθηταῖς πρωτόκλητος, ἀλλ᾽ οὔπω ἀγαπητὸν Ἰησοῦ ἑαυτὸν ὠνόμακεν ὡς οὗτος· Πέτρος πρωτόθρονος, ἀλλ᾽ οὐδ᾽ αὐτὸς τῆς τοιαύτης προσηγορίας τετύχηκεν. Τὸ θεῖον ἀπαθές· Χριστὸς ἐξ ἴσου ἅπασι τὴν τῆς ἀγάπης ἀκτῖνα
ἀφίησιν· ἄλλως τε εἰ Πέτρος πλεῖον ἀγαπᾷ ἁπάντων * ὡς ἐρωτηθεὶς ὡμολό- * Ioh. XXI. 15
γησεν, καὶ τὴν ὁμολογίαν Χριστὸς ἐβεβαίωσεν, διὰ τῆς τρισσῆς πεύσεώς τε καὶ ἀποκρίσεως, ἧς προῖκα καὶ τὸ τοὺς ἄλλους ποιμαίνειν εἴληφεν, καὶ ἀντ-

aliquis ad Iohannem quasi Deo similem, qui terrae latitudinem complexus est praedicatione; qui animi cogitationibus in abyssi sapientiae vestigiis ambulavit; per quem portae inferorum divinae vocis plenitudine destructae sunt, exortusque est orthodoxiae sol: per quem mundi sapientia infatuata est, orbisque fines impleti sunt sapientia: oratoribus ac sophistis proculcatis, Iohannis autem dominante theologia. Verumtamen nescio quid ego dignum celsa adeo apostoli magnitudine dicam, nisi potius iis cedam qui sacras eius laudes divino ante me ore celebrarunt.

10. At vero quid illud significat? *Iesus ergo cum vidisset matrem, et discipulum stantem, quem diligebat, dicit matri suae: mulier, ecce filius tuus. Deinde dicit discipulo: ecce mater tua. Et ex illa hora, accepit eam discipulus ille in sua.* Alioque rursus capite: *qui et recubuit in caena super pectus eius, et dixit: Domine, quis est qui tradit te?* Sunt haec peculiarius attributa theologo velut dotalia quaedam regia munera; ut, inquam, prae discipulis reliquis, ac privilegio a Iesu dilectus fuerit; utque super purissimum recubuerit pectus; ac demum ut Dei genitricis filius sit appellatus. Quam tria haec tremenda! ut alterum alteri praecellat, ac quodque eorum velut singulariter eximium, mei animi sensum in stuporem agat. Andreas primus inter discipulos vocatus; nec dum tamen se Iesu dilectum appellavit sicut iste. Petrus apostolorum princeps; atqui nec ipse appellationem eiusmodi consecutus est. Deitas ab affectionibns immunis est. Christus ex aequo universis dilectionis radium immittit. Praeterea: siquidem Petrus plus omnibus amat, uti ipse interrogatus confessus est, Christusque confessionem confirmavit, trina illa inter-

ἀγαπᾶσθαι τυχὸν πλεῖον ὤφειλεν, καμπύλον τὸ λῆμμα· καί μοι δοκεῖ τὸ τῆς παρθενίας χρῆμα εἶναι αἴτιον· πῶς; ὅτι εἰ καὶ ἐπ' ἴσης τοῦ φωτὸς ἡ βολὶς
* Ioh. XV. 3 τοῖς κατόπτροις, ἐπείπερ πάντες καθαροὶ, ὡς ὁ λόγος *, ἀλλ' ὅμως τῇ τῆς παρθενίας στίλψει διειδέστερον ἐν τῷ ἑνὶ παρὰ τοὺς ὁμοταγεῖς ἐνίεται· εἰ καὶ παράδοξος πῶς ὁ λόγος· καὶ τοῦτό ἐστι πλεῖον εἰς ἀγάπην, τὸ φῶς πλεῖον λαμπρύνειν τὸν διειδέστερον μέτοχον· εἰ δὲ ὅτι πλέον ἀγαπᾷ Πέτρος προΐσταται, ἐκεῖνό μοι ῥητέον, ὅτι οὐ τὸ πλησιάσαν σῶμα τῷ φωτὶ μᾶλλον φωτίζεται, ἀλλ' ὃ τὴν φύσιν διειδεστέραν, κἂν οὐκ ἔγγιον κέκτηται· εἰ δέ σοι ὁ λόγος ἀσθενὴς φαίνοιτο ἔτι, ὁ βαλὼν καὶ ἰάσεται. Ἐντεῦθεν ἡ ἐπιστήθιος πρόσπτωσις· ὢ τοῦ ἀξιώματος· τὰ χερουβὶμ, θεοῦ ὄχημα, καὶ Ἰωάννης ἐπιστέρνιον ἀνάκλιμα· Μωϋσῆς μόλις ἴδεν θεοῦ τὰ ὀπίσθια καὶ ταῦτα αἰτησάμενος· καὶ Ἰωάννης αὐτεπάγγελτος ἐπίπροσθεν περιφὺς, καὶ πυνθάνεται ἐκεῖνα δηλαδὴ ἃ Πέτρος ὁ κορυφαῖος θαῤῥήσειν οὐκ ἤνεγκεν, δοὺς ἑαυτῷ τὰ δευτέρια, τῇ εἰς Ἰωάννην προτιμήσει· ἀμφοτέρας τὰς θεωρίας ἐξετάζων, γνοίης οἷον καὶ ἡλίκον τὸ ὑπεροχικὸν Ἰωάννου ἀξίωμα· ἐντεῦθεν μοι δοκεῖ ὥσπερ ἀπό τινος πηγαίας ζωῆς τὰ θεόβρυτα αὐτὸν τῆς σοφίας ἀρύσασθαι νάματα, κἀκ τούτων ἐκ τῆς ἐμψύχου κοιλίας τοὺς ποταμοὺς τῆς θεολογίας ῥυήσκεσθαι· ἀλλ' ἐπὶ τὸν σταυρὸν μετιτέον 1).

ια'. Ἰδοὺ φησὶν ὁ υἱός σου· εἶτα τῷ μαθητῇ, ἰδοὺ ἡ μήτηρ σου· βαβαὶ τοῦ δωρήματος· τὸν δοῦλον, τῆς δεσποίνης διὰ περιουσίας καθαρότητος υἱὸν

rogatione ac responsione; eiusque confessionis praemio, munus alios pascendi accepit; plus fortasse etiam debuit redamari; reflexo munere ac reciproco. Existimo autem virginitatis excellentiam in causa fuisse. Cur? Quia nimirum, tametsi lucis radius aequis portionibus in illa specula incidebat (nam omnes apostoli puri erant, ut ait scriptura;) ob virginitatis tamen nitorem in unum prae collegis aliis dilucidior ferebatur. Quamquam novum videtur quod dicitur. Atque hoc maius aliquid ad dilectionem habet, quod nimirum nitidius corpus ac magis pellucidum, lumine magis illustretur. Quod si Petrus ea ratione, quod plus amet, praefertur, hoc mihi occurrit dicendum: non eo corpus maiori perfundi lumine, quo lumini propinquius est, sed quo maiore nitore suapte natura pollet, quamquam non propinquius existat. Quod si hic sermo tibi infirmus videbitur, quae manus vulnus inflixit, ea et sanabit. Inde est ut recubuerit super pectus Iesu. O dignitatis praestantiam! Cherubim, Dei sunt vehiculum; at Iohannes super pectus reclinatur. Vix Moyses Dei posteriora vidit, idque cum videre rogasset; at Iohannes ultro, ac ipso invitante Domino, pectori haerens atque complexus, ea interrogat, quae nec Petrus apostolorum princeps interrogare sustinuit; qua sibi ipse ratione Iohannem voluit praelatum. Siquidem ambas considerationes animo expenderis, scies quanta ac qualis sit excellentia dignitatis Iohannis. Hinc tamquam e fonte quodam vitae, ipsum divinitus scaturientes latices hausisse existimo: indeque ex animato ventre theologiae flumina progignere. Verum ad crucem nobis redeundum est.

11. *Ecce*, inquit, *filius tuus. Deinde discipulo: ecce mater tua.* Papae, quan-

1) Sic etiam in sermone edito de cruce Theodorus: ἐπὶ δὲ τὸν σταυρὸν ἐπιτέον.

ἀκουτισθῆναι, καὶ φύλακα προχειρισθῆναι τοῦ τῆς ζωῆς θησαυροφυλακίου· ὁ μὲν ἀφίσταται, διὰ πάθους, τῆς ἀπαθῶς τεκούσης· ὁ δὲ ταύτην ὑπηρετητικῶς λαμβάνει εἰς τὰ ἴδια· ὁ παρθένος τὴν παρθένον· τὸ κλῆμα τὴν ἀμπελοτόκον· ὁ στρατιώτης τὴν βασιλίδα· ὁ θεολόγος τὴν θεοτόκον· ὁ κατὰ χάριν θεάδελφος τὴν κατὰ φύσιν μητρόθεον· ἴδε τὴν ἁρμονίαν τῆς καταλλήλου κλήσεως, καὶ ὑπεραίνεσον τὴν σύμβασιν. Ἆρ' οὐ τοῦτο μόνον πᾶσαν ἀποκρύψαι ὑπερβολὴν ἐγκωμίου τῷ θεολόγῳ πάρεστιν, ἀμοιροῦντι τῆς οἱασοῦν ἄλλης αἰνέσεως; εἰ δὲ μετὰ τῆς τῶν προλαβόντων ὑπερβολῆς καὶ τὰ φθάσαντα συναστράψοι, τίς ἂν δυνηθείη ἀντωπῆναι τοῦ ὕψους τὸ ἀναντίβλεπτον; οὕτω τοιγαροῦν ὑπερανεστώς ἐστι πάσης τῆς ἐν λόγοις ἐγκωμιαστικῆς δυνάμεως, ὡς μόνου θεοῦ εἶναι ἐκεῖνον ἐπαινέσασθαι, εἰ καὶ τολμηρὸν εἰπεῖν, παρ' οὗ καὶ πλεονάζει τὴν ἔφεσιν· ὑφ' οὗ καὶ τὰ ἐγκώμια ἔστεπται, φῶς καὶ βροντὴ καὶ τὰ τοιαῦτα προσαγορευόμενος· ἀλλ' ἐπείπερ ταῦτα οὕτως, καὶ πέρας εἴληφεν ἡ ἀκήρατος ἀνθολογία, καθ' ὅσον ἐφικτὸν ἡμῖν δρέψασθαι τοῖς πενολόγοις, δεῦρο καὶ ἡμεῖς ἐν τούτοις συγκαταπαύσωμεν τὸν λόγον, μικροῖς μεγάλα ἀμείψαντες· ἐκεῖνο προσθέντες τοῖς εἰρημένοις, ὡς οὐ μικρὸν ἂν εἴη γέρας αὐτῷ εἰς φιλοτιμίαν καὶ ἡ φρικωδεστάτη ἀποκάλυψις, ἣν ἐν Πάτμῳ περιορισθεὶς διὰ τὸν λόγον παρὰ τοῦ τηνικάδε κρατοῦντος, θεόθεν μυηθεὶς ἐκδέδωκεν· καὶ τοῦτο ἐκ πλεονασμοῦ τῆς ἀγάπης ἰδιαίρετον παρὰ τοὺς λοιποὺς εἰληφώς· φασὶ δὲ αὐτὸν μετὰ τὰς ἱερὰς ἐκείνας περιόδους καὶ τὴν εὐαγγελικὴν περίληψιν τῶν περάτων, ὧδέ που μέσον εἰς τὴν ἀσιάτιδα χθόνα, ἐν ᾗ καὶ τὸν διδακτικὸν θρόνον

tum munus! Ut nimirum servus ob excellentem munditiam, Dominae filius appelletur; ac eius quae vitae thesauri custos fuisset, custos constituatur. Ille quidem recedit, per passionem ab ea, quae sine passione id est illaesa integritate peperit; hic autem ministri more, in sua eam accipit: nimirum virgo virginem, palmes foecundam vitem, miles reginam, theologus deiparam: Dei frater per gratiam, Dei parentem per naturam. Vide convenientis appellationis consonantiam, ac supra modum lauda concursum. Nonne vel hoc unum satis sit, ut laudationis omnem excellentiam, qua quis theologum prosequatur obscuret, tametsi desit alia omnis laudatio? Sin autem cum eorum quae superius dicta sunt sublimitate, etiam proxima colluceant, quis inaccessam visui altitudinem possit intueri? Sic itaque superior est omni facultate laudandi, ut solius Dei commendatione ornandus sit (quamquam hoc videtur audacius dici); a quo etiam amoris illam praerogativam obtinet; a quo et laudibus coronatus est, lucis illa appellatione, tonitruique, ac similium. Cum haec autem ita se habeant, et postquam sincera florum decerptio finem accepit, quantum nobis pro tenui facultate dicendi decerpere licuit, age et nos in his peroremus, minora rependentes maioribus: hoc dumtaxat addentes iis, quae diximus, non minimum esse Iohanni ad magnificentiam praemium, illam quam in Patmo horrendissimam apocalypsim, dum eo in loco praedicationis causa exularet eius decreto qui tunc rerum potiebatur, Deo docente edidit: hoc quoque ob dilectionis praerogativam singulari prae aliis apostolis munere donatus. Aiunt autem eum, post sacros illos circuitus, atque evangelicam praedicationem, qua orbis fines complexus est, quodam Asiae loco

μᾶλλον καθιδρύσατο, τὸ ἱερὸν αὐτοῦ σῶμα ἀποθέσθαι· ταφὴν μὲν κατὰ τύπον θανάτου, μετασιὰς δὲ ὑπὲρ φύσιν ἀνθρωπίνην 1), ἵνα κἀν τούτῳ δοξάσῃ θεὸς τὸν ἑαυτοῦ ἐραστὴν μάλα· ἀλλὰ τὸ μὲν σῶμα ἐν τούτοις τὸ καθαρὸν καὶ εὐῶδες καὶ τὰ στίγματα τοῦ Χριστοῦ φέρον· τῇ δὲ ψυχῇ οὔσῃ ὡς ἀληθῶς ἡλίου φωτοειδεστέρᾳ, ἀναπτὰς τῶν ἐνθένδε ἀγγελικῇ δορυφορίᾳ εἰς ἐκεῖνον τὸν χῶρον μετελήλυθε τὸν αὐτῷ πρέποντα τῆς ἀῤῥήτου καὶ πρωτοφανοῦς ἀγαλλιάσεως.

ιβ΄. Ἀλλ᾽ ὦ μακαριώτατε, καὶ τρισμακαριώτατε, καὶ παμμακαριώτατε Ἰωάννη, ὁ μέγας τοῦ εὐαγγελίου ἥλιος, ὁ βρυὴρ τῆς θεολογίας ὁ ἀένναος, τῶν ἀποστόλων ἀκρέμων 2), ἰσόπετρε 3), σὺ ἡμᾶς οὐρανόθεν εὐμενῶς ἔπιδε, ὅσης τὰ ὧδε κατηφείας, ἠφάνισται θυσιαστήρια ἐστεμμένα θείοις ἀγάλμασιν, ἀφῄρηται ναῶν ἱερῶν εὐπρέπεια· ἡ εἰκὼν Χριστοῦ καθύβρισται· ἐξουδένωται καὶ ἐν πόλεσιν καὶ ἐν χώραις καὶ κατ᾽ οἴκους· πρὸς δὲ καὶ τῆς θεομήτορος 4), καὶ οὗ τινος οὖν ἄλλου τῶν οἷος σὺ καὶ μείων σοῦ θεοφόρων· ὀδυρμοῦ τὰ πάντα· λάβε Πέτρον, συμπαράλαβε Ἰάκωβον δεόμεθα· οἱ τρεῖς ἀεὶ Χριστῷ συμπάρεδροι, μεταμορφουμένῳ, θαυματουργοῦντι τὰ πολλὰ, ἀγωνιῶντι, προσευχομένῳ· ὡς ἤδη τῶν ὁμοχώρων μυστικώτεροι, αὐτοὶ καὶ νῦν σὺν τῇ λοιπῇ σεβασμίᾳ ἐννάδι τὴν ἁγίαν τριάδα εὐμενῆ ἡμῖν καταστήσασθε, ἐπιτιμῆσαι Χριστὸν τῇ πονηρᾷ ταύτῃ θαλάσσῃ, ὥς ποτε τῇ Τιβεριάδι, γαλήνης εἰρηνοδώρου ἀντανισχούσης, ἐπαν-

manentem, ubi praecipue sedem magisterii collocaverat, sacrum suum corpus deposuisse: et sepulcrum quidem positum fuisse quasi mortis typum; ipsum tamen supra naturae humanae conditionem translatum, ut hac quoque ratione praecipuas Deus honoris partes amatori suo deferret. Et corpus quidem sic habitum est, purum illud ac suave fragrans, Christique stigmata gerens: anima autem, quae lucis splendoribus revera solem superabat, ab humanis evolans, stipantibus angelorum choris, ad locum transiit, qui ipsam decebat, inenarrabilis illius primique ac lucentissimi gaudii.

12. Sed o beatissime, terque beatissime, ac prorsus beatissime Iohannes: magne evangelii sol, iugis theologiae scaturigo, apostolice rame, Petro compar, tu nos de caelis benigne intuere. Viden' quam sit tristis horum inferiorum facies? Destructa sunt altaria angustis simulacris coronata: ablatus est sacrorum templorum decor: Christi imago ludibrio habita est et ad nihilum redacta in urbibus, ruri, domi: insuper etiam Deiparae, ac cuiusvis alius tui similium, aut etiam te minorum, a Deo afflatorum patrum. Luctuosa omnia. Assume Petrum, unaque Iacobum assumas rogamus. Tres vos, Christi comites assidui, cum est transfiguratus, cum pleraque miracula ederet, cum in agonia preces funderet, velut iam collegis aliis ac condiscipulis magis spiritales, ac divina docti; ipsi et modo cum beata novem

1) Nota sunt, quae de S. Iohannis extraordinario obitus genere, vel etiam translatione aut resurrectione, narrant nonnulli veteres apud Sandinium in hist. apost. p. 189. Festum eius μεταστάσεως est in kal. graeco, die 26. sept. Laudes eidem insignes dicit S. Cyrillus in homilia opp. T. V. part. 2. p. 380.

2) Illustratur hoc vocabulum ab inedito apud me Iobi interprete cap. XIV. 7: ὁ ῥάδαμνος ἐστὶν παντὸς δένδρου τὸ ἄκρον, ὅπερ ἀκρέμονα λέγουσιν.

3) Compar Petro honore apostolatus, non primatus. Etenim primatum vindicat Petro ipse Studita in praecedentibus, nec non aliis locis in indice sirmondiano adnotatis.

4) Luget Studita, ut in aliis passim scriptis, Iconomachorum sui temporis scelera.

αδραμεῖν τὰς ἑαυτοῦ ἐκκλησίας εἰς τὴν ἀρχαίαν καὶ ἀρεσθεῖσαν τῆς ὀρθοδοξίας ὡραιότητα· ἐμοὶ δὲ σὺ τῷ τολμητίᾳ, ὦ μάκαρ, ἵλεως ἔσο ὀφλήσαντι οὐκ ἐπαινέσαντι· καί γε δέξαιο τοὺς τόνδε σοὶ τὸν ναὸν ὁμοῦ μὲν περικαλλῶς, ὁμοῦ δὲ καὶ περιουσίως ἐγείραντας· ἐν ᾧ καὶ τὰ σώματα οἱ πλείους ἀσκητικῶς εἴασαν εἰς τὰ προαύλια, ὡς ἐνταῦθα τῆς σῆς φανοτάτης οὐρανίου σκηνῆς παραῤῥιπτεῖν δεῖ· τοσοῦτον ἀξιουμένους σὲ ὁρᾷν σὺν παντὶ τῷ ποιμνίῳ κατὰ διάμετρον ἀξίας, ὅσον οἱ πρὸς αὐτὸν τὸν ἥλιον ἀποβλέποντες· ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, ἅμα τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

sociorum caterva, sanctam nobis Trinitatem propitiam reddite, ut Christus iniquum hoc mare increpet, ut quondam increpuit apud Tiberiadem; tranquillitate, quae pacem praestet, vicissim exoriente; ut suas ipse ecclesias, in antiquam illam et iucundam orthodoxiae venustatem reducat. Tu vero mihi temerario, vir beate, propitius esto, qui debuerim, at non laudaverim: sed et eos suscipere digneris, qui templum hoc quam ornate tam sumptuose tibi extruxerunt, in quo et plures in vestibulis, monachorum more, corpora sua reliquerunt, ut hic positi, splendido caelestique tabernaculo tuo advolverentur; te tantum videre optantes, cum universo grege, pro dignitatis mensura, quantum iis concessum est, qui e terra in solem ipsum aspiciunt: in Christo Iesu domino nostro, quem decet omnis gloria, honor, et adoratio, cum Patre ac sancto Spiritu, nunc et semper, et in saecula saeculorum. Amen.

ADNOTATIO.

Igitur septem Theodori Studitae panegyricas orationes dedimus, quarum duae latine tantum editae fuerant, reliquae nec graece nec latine. Ante nos tamen extabant aliae novem eiusdem Studitae orationes. I. In crucem Domini, gr. lat. apud Gretserum op. de Cruce T. II. p. 231. II. In nativitatem Deiparae, gr. lat. edita inter damascenicas, ut nos iam diximus p. 54. III. et IV. De adoratione ss. imaginum duae, gr. lat., quarum altera inserta eius vitae cap. 65-73; altera cum damascenicis prodiit Basileae an. 1575. V. In tertiam inventionem capitis S. Ioh. Bapt. gr. lat. a Combefisio, et Cangio. VI. In S. Barptolemaeum apostolum, latine tantum apud Dacherium Spicil. ed. nov. T. II. p. 12. Hanc graece etiam vidit Allatius, incipientem: μέγιστος ἀγὼν, προσθήσω δ' ἔτι, καὶ κλέος; eratque editurus libro sexto Symmictorum, teste Fabricio B. G. ed. vet. T. XIV. p. 12. Ea mihi quidem nondum occurrit, quamquam vix dubito quin lateat inter Allatii schedas vallicellianas aut barberinias. VII. Oratio epitaphica in Platonem magistrum suum, gr. lat. apud Bollandianos T. I. april. append. p. 46. VIII. Oratio item epitaphica in magnum Arsenium, gr. lat. apud eosdem Bollandianos T. IV. iul. die 19. IX. Oratio pariter epitaphica in matrem suam extat inedita graece in Metaphrastae codice parisiaco. Denique alia inedita in codd. paris. de inventione capitis S. Ioh. Baptistae, teste Fabricio B. G. ed. nov. T. X. p. 472, a quo superiorum quoque notitia congesta fuit. Atque hoc fere est illud *panegyricum volumen in dies festos Domini, nec non Deiparae, et sancti Ioh. Baptistae*, quod inter Studitae scripta memorat Michaël monachus in vita eiusdem cap. 38, quam habemus typis impressam. Mitto dicere de minoribus sermonibus duplicis catecheseos, seu magnae seu parvae, quorum 135. edidit latine Livineius, graece unum Fabricius B. G. ed. nov. p. 470; tres item graece auctor catalogi codd. Nanian. p. 164. Inter opera Theodori, quae Sirmondus prelo parare videbatur, postremo loco video in elencho post praef. nominari fragmentum *confessio de Trinitate*. Reapse id fragmentum incipiens μίαν εἶναι τῶν ὅλων ἀρχὴν, legitur sub Theodori nomine in cod. vat. 620, et ottob. vat. 414. At in vat. 2026. inscribitur Theodoreto. Eadem nominum varietas in florentinis quoque codicibus occurrit, observante Bandinio Catalog. codd. gr. T. I. p. 525. Sed revera nihil aliud est, id fragmentum, quam, ut ego comperi, compendium ex Theodoreti haeret. fab. libro V. consarcinatum.

ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΚΑΙ ΟΜΟΛΟΓΗΤΟΥ

ΘΕΟΔΩΡΟΥ ΗΓΟΥΜΕΝΟΥ ΤΩΝ ΣΤΟΥΔΙΟΥ

ΕΠΙΤΙΜΙΑ.

Κοινὰ τῆς ὅλης ἀδελφότητος ἐπὶ τῶν παραλειπόντων ἐν τῇ ἐκκλησίᾳ εἰς τὸν κανόνα.

Cod. vat. 430. f. 20. b. ottob. 350. f. 14.

α΄. Ὁ μὴ εὑρισκόμενος εἰς τὴν εἴσοδον τοῦ δόξα ἐν ὑψίστοις, ἄνευ ἀσθενείας ἢ ἑτέρας εὐλόγου κατοχῆς, ἐν τῇ εὐλογίᾳ μενέτω κεκυφὼς μέχρι παρελεύσεως τῶν ἀδελφῶν, ἐξαιτούμενος συγχώρησιν· καὶ εἶθ' οὕτως λαμβανέτω τὴν εὐλογίαν.

* Confer Goar p. 27. de hexaps.

* Goar ibidem de cathismate.

β΄. Ὁ ὑστερούμενος τοῦ ἑξαψάλμου*, παρεστηκέτω ἐν τῇ τραπέζῃ· εἰ δὲ καθίσματος*, βαλλέτω ἀνὰ μετανοίας ιε΄. Μετὰ τὸν ἑξάψαλμον ἐξερχόμενος ἢ περιερχόμενος ἄνευ ὑπομνήσεως, παραστηκέτω ἐν τῇ τραπέζῃ.

γ΄. Ὁ μὴ ἀνιστάμενος· ἕως τοῦ πεντηκοστοῦ, ξηροφαγείτω.

* Goar p. 23. de canone.

δ΄. Ὁ τὸν ὅλον κανόνα* ἀπολιμπανόμενος, ξηροφαγίαν ἀκάθιστον ἐπιτιμάσθω.

ε΄. Ὁ μὴ φθάνων εἰς τὸ προοίμιον ἑκάστης ὥρας, τῷ ἐπιτιμίῳ ὑποβαλλέσθω τοῦ μὴ εὑρισκομένου εἰς τὸ δόξα ἐν ὑψίστοις.

ς΄. Ὁ ἀπολιμπανόμενος τοῦ προκειμένου ἑκάστης ὥρας, ἢ καὶ ἕως τέλους, ξηροφαγείτω.

ζ΄. Ὁ μὴ εὑρισκόμενος ἀπὸ τῆς ἐνάρξεως, τῷ ἐπιτιμίῳ ὑποβαλλέσθω τοῦ μὴ εὑρισκομένου εἰς τὸ δόξα ἐν ὑψίστοις.

SANCTI PATRIS NOSTRI ET CONFESSORIS

THEODORI PRAESIDIS STUDII

POENAE.

Et primo quidem communes toti fraternitati adversus eos qui contra regulam in ecclesia peccant.

1. Qui non interfuerit initio cantus *gloria in excelsis*, absque infirmitate vel alio probabili impedimento, dum datur benedictio, maneat incurvatus in transitu fratrum, veniam petens; atque ita deinde accipiat benedictionem.
2. Qui non adfuerit hexapsalmo, stet ad mensam. Quod si cathismati defuerit, puniatur metanoeis quindecim. Si post hexapsalmum exiverit aut obambulaverit, sine admonitione, stet mensae tempore.
3. Qui rectus non steterit usque ad psalmum quinquagesimum, aridis vescatur.
4. Qui totum canonem deseruerit, aridis stans vesci iubeatur.
5. Qui non adfuerit initio cuiusque horae, eidem poenae subiiciatur atque ille qui cantui *gloria in excelsis* defuerit.
6. Qui recesserit ante responsorium cuiusque horae, vel etiam ante eius finem, aridis vescatur.
7. Qui initio non interfuerit, eidem poenae subiiciatur atque ille qui defuerit cantui *gloria in excelsis*.

η'. Ὁ τοῦ μεγαλείου μὴ ὑπακούων, παραστηκέτω ἐν τῇ τραπέζῃ.

θ'. Ὁ ἐναπομένων ἔξω τῶν θυρῶν, ξηροφαγείτω.

ι'. Ὁ μὴ κοινωνῶν κατ' ἰδίαν γνώμην, ἀφοριζέσθω ἡμέραν μίαν.

ια'. Ὁ ἐν ἐπιτιμίᾳ ὤν, καὶ μὴ παριστάμενος μετὰ τῶν κατηχουμένων ἐν τῷ νάρθηκι τῆς λειτουργίας ἐπιτελουμένης, μετανοίας βαλλέτω πεντήκοντα.

ιβ'. Ὁ μετὰ τῶν ἀδελφῶν 1), ἄνευ εὐλόγου προφάσεως, μὴ ἐρχόμενος εἰς τὴν ἑστίασιν, παρεστηκέτω, ἢ ξηροφαγείτω, ἢ κατὰ τὸν μέγαν Βασίλειον μεινάτω ἄσιτος ἕως τῆς ὡρισμένης ὥρας τῇ ἑξῆς ἡμέρᾳ.

ιγ'. Ὁ ἄνευ ὑπομνήσεως ἐξερχόμενος τῆς ἐκκλησίας πλὴν τοῦ ἅπαξ, ἢ καθεζόμενος ἑκάστης ἐπιτελουμένης λειτουργίας ἄνευ ὑπομνήσεως πρὸ τῶν θυρῶν τοῦ θυσιαστηρίου, ἀνὰ δέκα μετανοίας βαλλέτω.

ιδ'. Πᾶς ὁ μὴ εὑρισκόμενος ἐν ταῖς τρισὶ τῆς ἑβδομάδος κατηχήσεσιν, ἄνευ εὐλόγου προφάσεως, ξηροφαγείτω.

ιε'. Ὁ ἀπολιμπανόμενος τῆς ἑσπερινῆς κατηχήσεως, στηκέτω.

ιϛ'. Πᾶς ὁ ἀκούων τοῦ τρικρούσματος ἐπὶ παντὸς, καὶ μὴ συνερχόμενος μετὰ σπουδῆς, ἀνὰ κ' μετανοίας βαλλέτω.

ιζ'. Ὁ παρὰ τὴν ὡρισμένην ἄνεσιν ἀναπατῶν, καὶ περιερχόμενος ἐν τῷ μοναστηρίῳ, ἀφοριζέσθω ἡμέραν μίαν.

ιη'. Ὁ ἀφ' ἑτέρου ἐργαστηρίου εἰς ἕτερον μετερχόμενος ἄνευ καθηκούσης αἰτίας, ἀφοριζέσθω ἡμέραν μίαν.

8. Qui psalmum *magnificat* non audierit, stet ad mensam.

9. Qui manserit extra fores, aridis vescatur.

10. Qui sua voluntate sacram communionem omiserit, extra consortium fiat uno die.

11. Qui poenae suppositus, non interfuerit cum catechumenis in narthece dum peragitur liturgia, metanoeis subiiciatur quinquaginta.

12. Qui cum fratribus, absque probabili causa, ad refectionem non venerit, stare iubeatur, vel aridis vesci: vel iuxta magnum Basilium 1) maneat impransus usque ad statutam horam sequentis diei.

13. Qui sine admonitione ecclesia excesserit, plus quam semel; vel sederit dum singulae liturgiae peraguntur, extra fores altaris sine admonitione, decem metanoeis puniatur.

14. Quisquis tribus hebdomadae catechesibus non interfuerit, absque honesta causa, aridis vescatur.

15. Qui non adfuerit serotinae catechesi, stare iubeatur.

16. Quisquis audita trina pulsatione non statim convenerit, viginti metanoeis puniatur.

17. Quisquis ultra statutam relaxationem obambulet et vagetur in monasterio, uno die separetur.

18. Qui ex una in alteram officinam se conferet, sine idonea causa, uno die separetur.

1) Perturbatus vel corruptus hic est in codicibus locus. Sed adest interpres s. Basilius mox citatus cuius epitimion 33. eiusmodi est: ὁ ἀπολιμπάνων τῶν τραπεζῶν, μὴ εἰρηκὼς τὴν αἰτίαν, μενέτω ἄσιτος: *qui a mensa abfuerit, absque causa probabili, maneat impransus.*

ιθ'. Ὁ μετὰ τὴν εὐχὴν τῆς ἐκ τῆς τραπέζης ἐγέρσεως μὴ ἀπιὼν καθὼς διατέτακται, βαλλέτω ἀνὰ μετανοίας κ'.

κ'. Ὁ συντυγχάνων ἀπὸ τῶν ἀποδείπνων, βαλλέτω ἀνὰ μετανοίας ν'.

κα'. Πᾶς ὁ ἐργοχειριάστης μὴ ἐν ἡσυχίᾳ ἐργαζόμενος, ἀλλὰ ἀνακινῶν ξένοις ὁμιλίας, ἀφοριζέσθω ἡμέρας δύο.

κβ'. Ὁ εὑρισκόμενος ἐπὶ παντὶ κλέμματι, ἀφοριζέσθω ἑβδομάδα μίαν.

κγ'. Ὁ κραυγάζων παρὰ τὸ εἰκὸς, βαλλέτω ἀνὰ μετανοίας λ'.

κδ'. Ἐὰν εὑρεθῇ τινὶ κατὰ πάντα τόπον, πάρεξ τῶν δεδομένων μετ' εὐλογίας, ταῦτα μὲν ἀφαιρείσθω, ἐκεῖνος δὲ ξηροφαγείτω.

κε'. Ἐάν τις ἔχῃ ἀνεξάγγελτόν τι, ἢ καὶ ἄνευ τῶν ὡρισμένων ἐξαγγέλλῃ τινὶ, ἀφοριζέσθω ἡμέραν μίαν.

κς'. Ἐάν τις διερχομένων β' ἑβδομάδων μὴ ἐξαγγείλῃ εἰς τὸν ἡγούμενον, ἀφοριζέσθω ἡμέραν μίαν.

κζ' Εἴ τις τινὸς ἀνέχεται καταλοῦντος, καὶ μὴ αὐτὸς ἐπιδιορθώσεται τὸν καταλαλοῦντα, ἢ μὴ ἀνεχόμενον ἀνενέγκῃ τῷ προεστῶτι, βαλλέτω ἀνὰ μετανοίας ἑκατόν.

κη'. Ὁ καλούμενος ὑπό τινος, καὶ μὴ εὐθὺς ἀποκρινόμενος, τῆς κλήσεως οὐ μακρὰν οὔσης, βαλλέτω ἀνὰ μετανοίας λ'.

κθ'. Πᾶς ὁ μὴ κατὰ σάββατον ὑπαλλάσσων τὸ ἔνδυμα αὐτοῦ ἰδίᾳ γνώμῃ, ἢ καὶ πάλιν μὴ παραδοὺς τὸ ἀντάλλαγμα τῇ αὐτῇ ἡμέρᾳ, ἢ καὶ τῇ ἑξῆς, ξηροφαγείτω.

λ'. Πᾶς ὁ φρατριάζων κατὰ τοῦ προεστῶτος, καὶ συνταράσσων τὴν ἀδελφότητα, ἀφοριζέσθω ἡμέραν μίαν.

19. Qui post preces quae a mensa surgentibus dicuntur, non decedet prout ordinatum est, viginti metanoeis puniatur.

20. Qui colloquiis post completorium indulserit, puniatur metanoeis quinquaginta.

21. Quisquis operarius cum silentio non operetur, sed cum externis verba commutet, biduo saparetur.

22. Qui in quolibet furto compertus fuerit, una hebdomada separetur.

23. Qui praeter modum clamet, triginta metanoeis puniatur.

24. Si quicquam alicubi apud aliquem deprehendetur, ultra ea quae cum benedictione data fuerunt; illud quidem auferatur, ipse autem aridis vescatur.

25. Si quis aliquid inconfessum retineat, vel etiam cuiquam praeter destinatos confiteatur, separetur uno die.

26. Si quis elapsis duabus hebdomadis non confiteatur praesidi, separetur uno die.

27. Si quis sponte audiat detractorem, neque hunc corrigat, vel nolentem corrigi ad praesidem non deferat, centum metanoeis puniatur.

28. Qui ab aliquo vocatus statim non responderit, si certe haud de longinquo vocetur, triginta metanoeis puniatur.

29. Quisquis sabbato vestimentum suum sponte non mutaverit, vel etiam statim mutatorium eodem die vel postero non tradiderit, aridis vescatur.

30. Coniurans in praesidem, turbansque fraternitatem, separetur uno die.

λα΄. Εἴ τις ὡς ἔτυχεν ἐξελθὼν εἰς ἀγάπην ἐν τῇ ὑποστροφῇ διηγήσεται τὰ συμβάντα καθ' οἷον δήποτε τρόπον μάλιστα ἐν τῇ τραπέζῃ, ἐκτὸς τῶν ἐρωτωμένων ὑπὸ τοῦ προεστῶτος, ἀφοριζέσθω ἡμέραν μίαν.

λβ΄. Εἴ τις τὰ τῶν ἄλλων μοναστηρίων ἐπιφοιτῶν πρὸ τῶν γραμμάτων ἐξαγγείλοι, ἢ καὶ μὴ ὄντων γραμμάτων, ἄνευ τοῦ προεσῶτος, καθ' οἷον δή ποτε τρόπον καὶ μάλιστα ἐπὶ βρώσεως ἢ ἄλλου τινὸς πράγματος, ἀφοριζέσθω ἡμέρας γ΄.

λγ΄. Εἴ τις ἐν κυριακῇ, καὶ μάλιστα ἐν ἑορτασίμῳ ἡμέρᾳ, μὴ φορέσῃ τὸ μεῖζον αὐτοῦ ἱμάτιον, τουτέστιν εἰς τὰ δύο λυχνικὰ * καὶ εἰς τὸν ὄρθρον, ποιείτω πρὸ τοῦ θυσιαστηρίου ἀνὰ μετανοίας ν΄, καὶ εἶθ' οὕτως ἀναστρέψας περιβαλλέσθω αὐτό.

* De lychnico Goar p. 24.

λδ΄. Οὗ τινος εὑρεθείη ἐν τῷ ἰδίῳ πίνακι διαγεγραμμένον ἕτερόν τι ἢ γραφικὸν ἢ λεξικὸν ἢ πρὸς ἀδελφὸν ἐπισταλτικὸν, πλὴν οὗπερ ἐκμανθάνοι στιχηροῦ ἢ καθίσματος, ἀφοριζέσθω ἡμέραν μίαν.

λε΄. Ὁ συνεγνωκὼς ἀδελφοῦ τὴν ἐκ τοῦ μοναστηρίου ἔξοδον, ἢ συνομιλήσας, ἢ συνοδεύσας, καὶ μὴ προαναγγείλοι, ἀφοριζέσθω ἑβδομάδα μίαν.

Περὶ τοῦ Κελλαρίτου.

λς΄. Χύμα οἴνου ἐὰν γένηται, μετάνοιαι κατὰ τὸ μέτρον τοῦ χύματος ἀνὰ ε΄, καὶ τὴν ἄνω· ὡσαύτως καὶ χύμα ὄξους, ἢ παράχυμα ἐλαίου, ἢ παράχυμα ὀσπρίου ἐὰν γένηται.

λζ΄. Σῆψις εἴδους παντοίου βιβρωσκομένου ἐὰν τύχοι, κατὰ τὰ ταυτά.

λη΄. Ἐάν τι σκεῦος εὑρεθείη ἀσκέπαστον ἐπὶ πολὺ, αἱ αὐταὶ μετάνοιαι.

31. Si quis forte egressus ad agapem, in reditu narret ea quae quomodolibet praesertim in mensa acciderint, nisi a praeside interrogetur, uno die separetur.

32. Si is qui aliena monasteria adit, ante litteras nunciet aliquid, vel etiam nullis cum litteris et sine praesidis facultate, praesertim circa epulas vel aliud negotium quodlibet, separetur triduo.

33. Si quis die dominico, et praesertim sollemni, vestem suam maiorem non gestet, id est usque ad duo lychnica et matutinum, is faciat coram altari metanoeas quinquaginta; atque ita reversus veste illa induatur.

34. Si in alicuius pluteo scriptum aliquid repertum fuerit, aut ex bibliis, aut ex lexicis, aut quicquam epistolare ad fratrem, praeter id quod didicerit ex metricis versiculis, aut ex cathismate, uno die separetur.

35. Qui conscius fuerit fratris monasterio egredientis, vel cum eo collocutus fuerit, aut comitatus, neque praenuntiaverit, una hebdomada separetur.

De Cellario.

36. Si vini effusio fuerit, metanoeas faciat pro mensura effusionis quinque vel ultra. Similiter si effusio aceti, vel supereffluentia olei, vel item supereffluentia leguminum contigerit.

37. Corruptio eduliorum cuiusvis generis eadem poena animadvertatur.

38. Si vas comperiatur diu intectum, fiant eaedem metanoeae.

λθ΄. Ἐὰν πλείω παραθήσηται τῇ τραπέζῃ ἢ ἐλάττω τῶν διατετυπωμένων, ἀνὰ ρ΄ μετανοίας.

μ΄. Συντριβὴ ἐὰν γένηται οἱουδήποτε σκεύους μέχρι βαυκαλίου, μετάνοιαι ρ΄ καὶ σ΄ καὶ τ΄, ἢ καὶ παραστάσιμον μετὰ τοῦ σκεύους αὐτοῦ.

Περὶ τοῦ Ὀψοποιοῦ.

μα΄. Ἐὰν μὴ γέμῃ ὁ λέβης, μετανοίας λ΄, ὡσαύτως καὶ ὁ κούκουμος.

μβ΄. Ἐὰν περίσσευμα ἀφανισθῇ *, μετανοίας ρ΄· εἰ δὲ ῥιφῇ ἀχρειωθὲν, παραστάσιμον μετὰ ξηροφαγίας.

μγ΄. Ἐὰν μὴ προεισβάλλῃ ἐν καιρῷ τὸ ἔλαιον καὶ τὸ ἅλας ἵνα συνεψηθῶσι, μετάνοιαι κ΄.

μδ΄. Εἰ ζωμὸν ἐλαιωμένον ἀποχύσει, μετάνοιαι λ΄.

με΄. Εἴ τις ἄρῃ βαυκάλιον ἀπὸ τοῦ ἀριστηρίου, καὶ μὴ πάλιν ἀντιστρέψῃ αὐτὸ εἰς τὸν ἴδιον τόπον, μετάνοιαι ν΄.

μϛ΄. Ἐὰν συντριβῇ χύτρα ἢ πυροστάτης ἢ κακάβιον ἢ ἐσχάρα ἢ ἄλλό τι σκεῦος μαγειρικὸν ἐκ καταφρονήσεως, ἀνὰ ρ΄ καὶ σ΄ καὶ τ΄ μετανοίας.

Περὶ τοῦ Βιβλιοφύλακος.

μζ΄. Ἐάν τις λάβῃ βιβλίον, καὶ μὴ φιλοκάλως κρατῇ αὐτὸ, ἢ ἅψηται ἄλλου ἄνευ τῆς ἐπιτροπῆς τοῦ κρατοῦντος, ἢ ἐπιζητοίη ἕτερον παρ᾽ ὃ ἔλαβε γογγύζων, μὴ ἅψηται ὅλως τῇ ἡμέρᾳ ἐκείνῃ.

μη΄. Ἐὰν ὁ βιβλιόφυλαξ τὴν δέουσαν ἐπιμέλειαν μὴ ἐπιδείκνυται, τινάσσων καὶ μεταστοιβάζων καὶ κονιορτῶν ἕκαστον, ξηροφαγείτω.

39. Si mensae obtulerit plus minusve quam sit praescriptum, centum faciat metanoeas.

40. Contritio si acciderit cuiuslibet vasis usque ad pateram, metanoeas faciat centum aut ducentas vel trecentas; aut etiam stet coram cum ipso vase.

De Coquo.

41. Nisi lebes plenus fuerit, vel cucumus, triginta faciat metanoeas.

42. Si reliquiae aliquae pereant, centum faciat metanoeas. Quod si iam factae inutiles abiiciantur, stet coram, et aridis vescatur.

43. Nisi idoneo tempore oleum immiserit et sal, ut simul coquantur, metanoeas faciat viginti.

44. Si iusculum oleatum effuderit, metanoeas triginta.

45. Si quis pateram ex refectorio sustulerit, nec illam in locum suum reposuerit, metanoeas quinquaginta.

46. Si confringatur testa, ut olla, aut cacabus, aut craticula, aut aliud quodvis culinare vas ex neglectu, centum vel ducentas vel trecentas faciat metanoeas.

De librorum Custode.

47. Si quis librum acceperit, neque nitidum servaverit, vel alium attigerit sine permissione eius qui tenet, vel alium quaesiverit murmurans praeter illum quem iam acceperat, prorsus illo die non impetrabit.

48. Si librorum custos debitam sedulitatem haud prae se tulerit, libros singulos excutiens, transponens, pulvere purgans, aridis vescatur.

μθ'. Ὅστις εὑρεθῇ ἀποκρύπτων εἰς κοιτάριον, καὶ μὴ κατὰ τὸν καιρὸν τοῦ κρούσματος ἀποδοίη τοῦτο τῷ βιλιοφύλακι, ἄνευ εὐλόγου προφάσεως, παρεστηκέτω ἐν τῇ τραπέζῃ.

Περὶ τοῦ Σκυτέως.

ν'. Ἐὰν ἐκ καταφρονήσεως κλάσῃ σουβλίον, ἢ ἕτερον ἐργαλεῖον σκυτοτομικὸν, ἀνὰ μετανοίας ρ', καὶ ν', καὶ λ'.

να'. Ἐὰν παραχρήσηται τοῖς δέρμασιν ἢ ταῖς σφύραις, καὶ μὴ μετὰ ἀσφαλείας διακόπτῃ καὶ ὑποβάλῃ ἐν τοῖς ὑποδήμασιν, ἐχέτω τὰ αὐτὰ ἐπιτίμια.

νβ'. Ἐὰν προσπαθῶς δῷ τινὶ, ἢ καὶ ἀχρειάστως, ξηροφαγείτω.

Περὶ τοῦ Καλλιγράφου.

νγ'. Ἐὰν ὑπὲρ τὴν χρείαν ποιῶν κόλλαν, σήπῃ αὐτὴν διὰ τῆς ἀπομονῆς, μετάνοιαι ν'.

νδ'. Εἰ μὴ φιλοκάλως κρατεῖ τὸ τετράδιον, καὶ τίθησι τὸ ἀφ' οὗ γράφει βιβλίον, καὶ σκέπει ἐν καιρῷ ἑκάτερα, καὶ παρατηρεῖται τά τε ἀντίστιχα καὶ τοὺς τόνους καὶ τὰς στιγμὰς, ἀνὰ μετανοίας λ', καὶ ρ'.

νε'. Ἐάν τις ἐκστηθήσει ἐκ τῶν γεγραμμένων τοῦ ἐξ οὗ γράφει βιβλίου, ἀφοριζέσθω ἡμέρας γ'.

νϛ'. Εἴ τις πλέον τῶν γεγραμμένων ἀναγνώσει ἐξ οὗ γράφει βιβλίου, ξηροφαγείτω.

νζ'. Εἰ ἐκ θυμοῦ συντρίψει κάλαμον, μετάνοιαι λ'.

νη'. Εἰ ἐπάρῃ ἕτερος ἑτέρου τετράδιον ἄνευ γνώμης τοῦ γράφοντος, μετάνοιαι ν'.

49. Si quis librum abdens in cubiculo, hunc pulsationis tempore custodi non reddiderit, sine honesta causa, stet mensae tempore.

De Sutore.

50. Siquis ex negligentia subulam aut sutorium aliud instrumentum fregerit, metanoeas centum, et quinquaginta, et triginta faciat.

51. Si coriis abusus fuerit aut malleis, et nisi coria caute inciderit, calceisque supposuerit, iisdem poenis obnoxius esto.

52. Si ex peculiari affectu det alicui, aut sine usûs necessitate, aridis vescatur.

De Calligrapho.

53. Si praeter usum gluten fecerit, idque situ marcescat, metanoeas faciat quinquaginta.

54. Si haud mundum servet quaternionem, pariterque librum unde exscribit, neque suo tempore utrumque operiat, neque curam gerat antistichorum, accentuum, et interpunctionum, metanoeas faciat triginta supra centum.

55. Si quis memoriter recitaverit scripta in libro unde ipse exscribit, separetur triduo.

56. Si quis plus quam est in scripto legerit ex eo quem exscribit libro, aridis vescatur.

57. Si ex ira calamum fregerit, metanoeas faciat triginta.

58. Si alter alterius quaternionem, absque scribentis consensu, sibi vindicaverit, metanoeas faciat quinquaginta.

νθ'. Εἰ μὴ στοιχείη τοῖς τετυπωμένοις παρὰ τοῦ πρώτου καλλιγράφου, ἀφοριζέσθω ἡμέρας δύο.

ξ'. Ἐὰν ὁ πρωτοκαλλιγράφος ἐμπαθῶς διανέμη τὰ ἐργόχειρα, καὶ εἰ μὴ περιστέλλη καλῶς τὰς βεμβράνας καὶ πάντα τὰ ἀμφιαστικὰ ἐργαλεῖα, ὥστε μή τι ἀχρειωθῆναι τῶν χρησιμευόντων εἰς τὴν τοιαύτην διακονίαν, ἀνὰ μετανοίας ν', καὶ ρ, καὶ ἀφορισμὸν ἐπιτίμησον.

Περὶ Ἀκεστοῦ *.

* Deest hic titulus in codd.

ξα'. Ἐὰν ἐκ καταφρονήσεως συντρίψη βελόνην ἢ ψαλία, ἢ συγκόψη τροιὰν, ἢ διασχίση ἱμάτιον, μετάνοιαι λ', ἢ ν', ἢ ρ.

ξβ'. Εἰ παραβλέψη καὶ τὸ τυχὸν ῥάκιον, ἢ τὰ ἠχρειωμένα μὴ ἀνακαινίση, καὶ προσεμπαλοῖ καὶ ἀποφθειρΓοῖ*, καὶ ἀπαθῶς καΤαδιδοῖ ἑκάσΤῳ Τῶν ἀδελφῶν τὰς καθ' ἑβδομάδας ὑπαλλαγὰς, ξηροφαγείτω, ἢ παραστηκέτω, ἢ ἀφοριζέσθω ἡμέραν μίαν.

Περὶ τοῦ Ὀστιαρίου.

ξγ'. Ἐὰν ὁ ὀστιάριος ἐξ ἀμελείας ἐάση τὸ θυρώριον, καὶ γένηται ἔξοδος ἀδελφοῦ λαθραία, ἀφοριζέσθω ἑβδομάδα μίαν.

ξδ'. Ἐὰν ἐκ καταφρονήσεως ἐάση εἰσέρχεσθαι κοσμικὰς ἀποκρίσεις παρὰ τῶν προσφοιτώντων ξένων ἐν τῇ μονῇ, μετανοίας ρ'.

ξε'. Ἐὰν μὴ μετ' εὐλαβείας διδοῖ καὶ λαμβάνη λόγον παρὰ τῶν ἐπιξενομένων, ἢ τὰς φάσεις μὴ ποιῆται πρὸς τὸν ἡγούμενον ἁρμοδίως καὶ πρεπόντως, ἀνὰ μετανοίας ρ'.

ξϛ'. Ἐὰν ἐξ ἀπροσεξίας ἀπολέση κλείδιον, ξηροφαγείτω.

59. Si minime obtemperaverit imperatis a primo calligrapho, separetur biduo.

60. Si primus calligraphus peculiari aliquo affectu pensa distribuerit, neque bene membranas paraverit, et omnia reliqua ad tegendos libros instrumenta; ita ut nihil fiat inutile eorum quae ad id ministerium conferunt, metanoeis quinquaginta et centum et separatione puniatur.

De Sartore.

61. Si ex negligentia fregerit acum aut forficem, aut subtemen conciderit, aut vestem sciderit, metanoeas faciat triginta, aut quinquaginta, aut centum.

62. Si vel lacerum quemvis panniculum neglexerit, aut detrita non sarserit, neque inverterit et pediculis emundaverit, et nisi indifferenter singulis fratribus dederit mutatoria hebdomadaria; aridis vescatur, aut stet in loco convivii, aut una die separetur.

De Ostiario.

63. Si ostiarius ianuam deserat, et clandestina fratris egressio contingat, separetur una hebdomada.

